



ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΖΙΓΑΒΗΝΟΥ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

ΙΔ΄ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ ΚΑΙ ΕΙΣ ΤΑΣ Ζ΄ ΚΑΘΟΛΙΚΑΣ

ΝΥΝ ΠΡΩΤΟΝ
ΕΚ ΠΑΛΑΙΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ ΕΚΔΙΔΟΜΕΝΗ
ΜΕΤΑ ΠΡΟΛΟΓΟΥ ΚΑΙ ΣΗΜΕΙΩΣΕΩΝ

ΥΠΟ

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΟΓΕΡΑ

Ἀρχιεπισκόπου πρώην Πατρῶν, Διδασκάλου τῆς Α. Υ. τοῦ ἐπιδόξου Διαδόχου τοῦ Ἑλληνικοῦ θρόνου ΚΩΝΣΤΑΝΤΙΝΟΥ καὶ ἐπιτίμου Καθηγητοῦ τῆς Θεολογίας ἐν τῷ Ἀθήνησι Πανεπιστημίῳ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

Περιέχων τὴν ἑρμηνείαν τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, τῶν δύο πρὸς Κορινθίους καὶ τῆς πρὸς Γαλάτας

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
1887

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

ΙΔʹ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

ΚΑΙ ΕΙΣ ΤΑΣ Ζʹ ΚΑΘΟΛΙΚΑΣ

EUTHYMII ZIGABENI
COMMENTARIUS
IN
XIV EPISTOLAS SANCTI PAULI
ET VII CATHOLICAS

NUNC PRIMUM AD FIDEM CODICIS ANTIQUI

CUM PROLOGO ET ANIMADVERSIONIBUS

EDIDIT

NICEPHORUS CALOGERAS

olim Archiepiscopus Patrensis, Magister Serenissimi Principis Hellenici CONSTANTINI et Universitatis Athenarum Professor honorarius Theologiae

---

TOMUS PRIOR

Complectens praefationes et interpretationem Epistolae ad Romanos, I et II ad Corinthios et ad Galatas



ATHENIS

TYPIS FRATRUM PERRI

1887

ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΖΙΓΑΒΗΝΟΥ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

ΙΔ΄ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ
ΚΑΙ ΕΙΣ ΤΑΣ Ζ΄ ΚΑΘΟΛΙΚΑΣ

ΝΥΝ ΠΡΩΤΟΝ
ΕΚ ΠΑΛΑΙΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ ΕΚΔΙΔΟΜΕΝΗ
ΜΕΤΑ ΠΡΟΛΟΓΟΥ ΚΑΙ ΣΗΜΕΙΩΣΕΩΝ


ΥΠΟ

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΟΓΕΡΑ

Ἀρχιεπισκόπου πρώην Πατρῶν, Διδασκάλου τῆς Α. Γ.
τοῦ ἐπιδόξου Διαδόχου τοῦ Ἑλληνικοῦ θρόνου ΚΩΝΣΤΑΝΤΙΝΟΥ
καὶ ἐπιτίμου Καθηγητοῦ τῆς Θεολογίας ἐν τῷ Ἀθήνησι
Πανεπιστημίῳ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

Περιέχων τὴν ἑρμηνείαν τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς,
τῶν δύο πρὸς Κορινθίους καὶ τῆς πρὸς Γαλάτας



ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
1887

Ἦν ποτ' ἀνακτορίῃσιν Ἀλεξίου ἐννεσίῃσι
Γράψεν ἀνὴρ δέλτον θεσπιεπὴς ἱερήν,
Ἐκ ζόφου, ἔνθα περ ἦεν, ἐς ἠελίου σέλας αὖτις
Ἐκπροθοροῦσα Τεῆς βούλετ' ἀνακτορίης
Ἐνδῦναι χείρεσσιν. Ἐπεὶ βασιλῆος ἐοῦσα
Τὸ πρίν, Ἄναξ, καὶ νῦν εὔχετ' Ἄνακτος ἔμεν.

ΚΩΝΣΤΑΝΤΙΝΩι

ΤΩι ΕΠΙΔΟΞΩι ΔΙΑΔΟΧΩι

ΚΑΙ ΕΠΙ

ΧΡΗΣΤΑΙΣ ΤΑΙΣ ΕΛΠΙΣΙ ΚΛΕΙΝΩι

ΤΩΝ

ΕΛΛΗΝΩΝ ΒΑΣΙΛΕΙ

ΥΨΗΛΟΤΑΤΕ!

Ὁ θεόχριστος Βασιλεὺς καὶ τῶν Ψαλμῶν ὑψηγόρος ὑποφήτης ἀναντίρρητον ἐξαγγέλλει ἀλήθειαν, ὅταν ψάλλῃ «μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος». Καὶ ἔστιν ὄντως φανερώτατον ὅτι πᾶς ἕκαστος γίνεται ζωγράφος τῆς ἰδίας τοῦ βίου εἰκόνος, ὡς χρωστῆρα μὲν τὴν ἐλευθέραν βούλησιν ἢ προαίρεσιν μεταχειριζόμενος, ὡς χρώματα

δὲ τὰς καλὰς ἢ τὰς κακὰς πράξεις. Ὅθεν εἴτε λαμπρὰ αὕτη καὶ περικαλλὴς τοῖς μεταγενεστέροις παραδίδοται, εἴτε δυσειδὴς καὶ φαύλη, τῆς φιλοτεχνίας ὁ ἔπαινος ἢ τῆς ἀπειροκαλίας ὁ ψόγος εἰς αὐτὸν καὶ μόνον τὸν δημιουργὸν ἀπευθύνεται. Ἐπειδὴ δὲ ἡ τῆς βουλήσεως ἰσχὺς ἢ ἡ σταθερότης τῆς προαιρέσεως, ὧν ἕνεκα προσηλούμενός τις εἰς ὡρισμένα ἀξιώματα ἀποδέχεται ταῦτα ὡς σταθερὸν τῶν πράξεων αὐτοῦ κανόνα, χ α ρ α κ τ ὴ ρ κοινῶς ὀνομάζεται, ἕπεται ὅτι ἥ τε βούλησις καὶ ἡ προαίρεσις κατὰ τὴν ποιότητα τῶν ἀξιωμάτων μορφοῦνται, καὶ ὁ χαρακτὴρ αὐτὸς κατ' αὐτὰ ὁμοίως ἀποβαίνει καλὸς ἢ κακός, καὶ κατ' ἀκολουθίαν καλὴ ἢ κακὴ καὶ ἡ ὅλη εἰκὼν τοῦ βίου.

ΥΨΗΛΟΤΑΤΕ! Ὁμολογουμένως αἱ ἱεραὶ καὶ θεόπνευστοι Γραφαὶ ἐκ πάντων τῶν ἐπὶ γῆς βιβλίων παρέχουσι τὰ ἁρμοδιώτερα τῶν ὑποδειγμάτων πρὸς μόρφωσιν τῆς βουλήσεως καὶ προαιρέσεως. Τὰ δὲ ἠθικὰ ἀξιώματα, τὰ τὰς καλὰς καὶ ἀξιεπαίνους ἐφελκόμενα πράξεις, δι' ὧν, ὡς δι' ἀνθηροτάτων χρωμάτων, ὀφείλεις καὶ ΣΥ νὰ

ζωγραφήσῃς ἐπὶ τῆς ἡγεμονικῆς τοῦ ΣΟΥ βίου εἰκόνος τοὺς χαρακτῆρας ἀνδρὸς εὐκλεοῦς, ἐξ ὧν τέως ἐδιδάχθης, ἔμαθες πάντως, ὅτι καὶ ἀφθονώτερα καὶ ὑγιέστερα δύνασαι νὰ ἀρύησαι ἀπ' αὐτῶν τούτων πάλιν τῶν θεσπεσιωτάτων τῆς ἁγίας Γραφῆς βιβλίων.

Ἐκ τῆς τούτων μελέτης μέλλει ὄντως νὰ μορφωθῇ ἐν ΣΟΙ (καὶ μορφοῦται θείᾳ συνάρσει ὁσημέραι) τὸ ἡγεμονικὸν ἐκεῖνο τοῦ νοῦ κατάστημα· τὸ ὑπεροχικὸν τοῦ πνεύματος φρόνημα· τὸ ὑπὲρ τὰ ταπεινὰ τοῦ λογισμοῦ ὕψωμα· τὸ εὐσταθὲς καὶ ἑδραῖον ἐν τοῖς καλοῖς ἔρεισμα· τὸ ἄτυφον ἐν ταῖς εὐτυχίαις· τὸ ψυχαγωγικὸν ἐν ταῖς δυςπραγίαις καὶ εὔελπι· τὸ ἐλεύθερον καὶ ἀταπείνωτον καὶ ἀδούλωτον ἐν ταῖς ἀπαιτήσεσι τῆς σαρκός. Καὶ συντόμως εἰπεῖν, διὰ τῆς τῶν θείων Γραφῶν μετ' ἐπιστάσεως καὶ εὐσεβοῦς τοῦ φρονήματος μελέτης καθίστασαι ἄγαλμα ἀγλαόμορφον καὶ σκεῦος πασῶν τῶν ἀρετῶν καὶ χαρίτων ἀνάπλεων.

Διὰ ταῦτα, ΥΨΗΛΟΤΑΤΕ, τὴν παροῦσαν βίβλον, σοφὴν καὶ γλαφυρωτάτην ἑρμηνείαν περιέχουσαν μεγά-

λου καὶ κρατίστου μέρους τῆς θείας Γραφῆς, τίνι ποτὲ ἄλλῳ ἢ ΣΟΙ ἠδυνάμην ἐγὼ νὰ ἀφιερώσω πρεπωδέστερον; Ἀλλ' εἰς τοῦτο κινοῦσί με καὶ ἄλλαι ἀφορμαί, ἰσχυραὶ ἐπίσης, ὡς νομίζω, καὶ εὔλογοι, ὧν τὰς μέν, καίπερ σφόδρα ἐπ' αὐταῖς ἐγκαλλωπιζόμενος, διέρχομαι· τὰς δὲ εὔκαιρον ἡγοῦμαι καὶ ἀπαραίτητον ἵνα μὴ παρασιωπήσω. Καὶ πρῶτον· ὁ τῆς βίβλου ταύτης Συγγραφεύς, πολὺ διὰ παιδείαν καὶ ἀρετὴν τὸν καθ' ὃν ἤκμασεν αἰῶνα τιμήσας, ἠξιοῦτο τῆς τοῦ Βασιλέως Ἀλεξίου Α' τοῦ Κομνηνοῦ εὐνοίας καὶ οἰκειότητος. Δεύτερον· ὑψηλῷ βασιλικῷ κελεύσματι εἰς σύνταξιν αὐτῆς παρωρμήθη. Τρίτον· βασιλικοῖς ὁμοίως ἀναλώμασιν αὕτη εἰς πλεῖστα ἀντίγραφα ἐπολλαπλασιάσθη, ἵνα ὅ,τι πλείστοις ὠφέλιμος καταστῇ. Καὶ τέταρτον· ὅτι καὶ ὅτε τὸ πρῶτον αὐτῆς μέρος ἐξεδόθη παρὰ Γερμανοῦ ἀνδρός, ἐπὶ παιδείᾳ λίαν ὀνομαστοῦ, δι' αὐτὸ δὴ τοῦτο προσεφωνήθη τῷ Βασιλικῷ τῆς Σαξωνίας Πρίγκιπι, ὅτι Βασιλικὴν εἶχε τὴν ἀρχὴν καὶ καταγωγήν.

Τί δ' ἄρα; τὸ τοσαύταις βασιλικαῖς χάρισι σεμνυνό-

μενον φιλοπόνημα, νῦν, ὅτε δι' ἐμοῦ ἐκ τοῦ βυθοῦ ἀνελκύεται τῆς λήθης, καὶ μετὰ ὀκτὼ ὁλοκλήρους αἰῶνας ἐξανατέλλει διὰ τῆς τυπογραφίας εἰς φῶς πρὸς πλήρωσιν πόθου διακαοῦς πολλῶν ἀξιαγάστων ἀνδρῶν, δὲν δικαιοῦται ἵνα προςδράμῃ ὑπὸ τὴν σκέπην ΣΟΥ, τοῦ κατ' εὐκληρίαν εὐσεβοῦς ἐπιδόξου τῶν Ἑλλήνων Βασιλέως ;

Δέξαι λοιπὸν τοῦτο εὐμενῶς, ὦ νεαρὲ τῆς ἀναθαλλούσης Ἑλλάδος βλαστέ, καὶ ἀναλόγισαί μοι καλῶς, οἷα παρήγαγεν ἐπιστήμης ἔργα ἡ ΣΟΙ πεφιλημένη Πατρὶς Ἑλλάς, καὶ ὅτε ἤδη ἐτέλει ἐν αὐτῷ τοῦ βίου αὐτῆς τῷ μετοπώρῳ. Ἢ μᾶλλον εἰπεῖν· σκέψαι, τῇ διανοίᾳ ἐκ τούτου ἀναγόμενος, ἡλίκη τοῦ ἔαρος αὐτῆς ἡ ἀκμή, καὶ ὅση ἡ ἀναξιοπάθεια τοῦ τελευταίου αὐτῆς γήρως! Ἐπὶ ταῦτα δὲ τῶν ἀντιθέτων τούτων ἄκρων τὰ σημεῖα, ἤτοι τῆς ἀπαραμίλλου τε ἐκείνης δόξης καὶ τῆς σχετλίας καταπτώσεως τὸ ὄμμα ἐπερείδων, καὶ ἐκ τῆς παραθέσεως βαθύτερον τὰ δέοντα λοιπὸν γενέσθαι συνορῶν, νύττε καὶ κέντριζε διηνεκῶς τὴν ΣΗΝ φιλοτιμίαν πρὸς τελειοποίησιν τῶν ὄντως καλλίστων καὶ ἀρίστων προτερημάτων ΣΟΥ.

Ἡ πανσθενὴς καὶ πανθαύμαστος τῆς θείας ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ βουλή, ἧς τοὺς σκοποὺς ἡμεῖς οἱ ἄνθρωποι ἀδυνατοῦμεν ἐξιχνιάσαι, προορίσασα εἰς νέαν ἐν τῷ κόσμῳ ζωὴν τὴν Ἑλλάδα, ὑπερφυῶς ἀνεγέννησεν αὐτήν. Καὶ ἤδη, καίπερ διὰ προσκομμάτων πολλῶν ὁδεύουσα, μεγαλύνεται ὅμως, ὡς ὁρᾷς, καὶ κρατύνεται ὁσημέραι, καὶ σὺν Θεῷ τῷ Παντοδυνάμῳ τὴν πρέπουσαν αὖθις καθέξει μεταξὺ τῶν ἐλευθέρων ἐν τῷ κόσμῳ ἐθνῶν θέσιν. ΣΟΝ δέ μοι καθῆκον νόμιζε τὸ συμμεγαλύνεσθαι καὶ συνυψοῦσθαι, ὅπως ἀπὸ κοινοῦ ἐναρμονίως βαίνητε εἰς πρόοδον. Καὶ καθὼς τὸ ὄνομά ΣΟΥ καὶ ἁπλῶς προφερόμενον μυρίους ἐπὶ μυρίοις ἐξεγείρει παρὰ τοῖς Ἕλλησι στοχασμούς, οὕτω καὶ τὸ πρόσωπόν ΣΟΥ καταγλαϊζέτωσαν ἀρεταὶ τοιαῦταί τε καὶ τοσαῦται, ὅπως καταστῇ τὸ ἴνδαλμα τῆς ἐκείνων ἀγάπης καὶ ἀφοσιώσεως.

Κατορθοῖς δὲ τοῦτο, ΥΨΗΛΟΤΑΤΕ, πρώτιστα μὲν καὶ μάλιστα, ὅταν τῆς ἀμωμήτου ἡμῶν Μητρὸς Ἐκκλησίας τὰ ἱερὰ δόγματα καὶ τὰς ἀποστολικὰς παρα-

δόσεις μετὰ διαθέσεως εἰλικρινοῦς, εὐθύτητος γνώμης καὶ πίστεως ἀδιστάκτου καὶ στέργῃς καὶ ἀποδέχησαι. Εἶτα μετὰ τοῦτο, ὅταν τῶν ἐνδόξων ἀνδρῶν τὰς μὲν πράξεις ἐπισταμένως διαμελετᾷς, τὰ δὲ μαθήματα ἐπιμελῶς εἰς τὴν ψυχὴν ἀποθησαυρίζῃς, τὴν δὲ ὑστεροφημίαν ἐπαξίως θαυμάζῃς, καὶ σπουδάζῃς ἐνδελεχῶς, ὅπως ἀποβῇς ἐκείνων μιμητής τε καὶ ἐφάμιλλος. Ὅταν τῆς ἐν ἀνέσει καὶ ῥᾳστώνῃ διαγωγῆς προκρίνῃς πάντοτε τὴν ἐν σπουδαίοις καὶ καματηροῖς καὶ ἀτρύτοις πόνοις ἐπωφελῆ καὶ δραστηρίαν ἐργασίαν, καλῶς εἰδώς, ὅτι οὐδὲν κλέος παραμένει χρόνον μακρόν, ἐὰν μὴ ἐπὶ συνεχῶν καὶ ἀκαμάτων στηρίζηται πόνων. « Τα πόνῳ κτηθέντα, λέγει ὁ » μέγας Βασίλειος, ἀγαπᾶται· ὧν δὲ ῥᾳδία ἡ κτῆσις, » τούτων οὐκ ἀσφαλὴς ἡ ἀπόλαυσις ». Ὅταν τῆς ἐν περιφανείᾳ καὶ ἐξωτερικῇ λαμπρότητι ἐφημέρου δόξης προτιμᾷς τὴν διὰ τῶν καλῶν καὶ ὄντως ἀξιεπαίνων κατορθωμάτων παραμόνιμον τιμὴν καὶ ὑπόληψιν. Ὅταν τέλος διεκδικῇς ἐνθέρμως τὴν δικαιοσύνην, τὴν ἀλήθειαν καὶ τὴν ἀθῳότητα. Καὶ ἰδιάζουσι μὲν ταῦτα καὶ τὰ τοιαῦτα

παντὶ ἀνθρώπῳ κοινῶς· διότι κοινὴ ἡ φύσις, κοινά τε τῆς ἠθικῆς τὰ παραγγέλματα καὶ κοινῆς τῆς προφυλακῆς καὶ ἐπιμελείας δεόμενα. Ἀλλ' εὖ οἶδα ὅτι κατ' ἐξαίρετον τρόπον καὶ λόγον ἐπιβάλλονται ὡς καθήκοντα ἀπαράβατα τοῖς περιβεβλημένοις τὴν λαμπηδόνα τῆς δόξης τῆς βασιλικῆς, δι' ἧς πάντα τὰ καλά τε καὶ τίμια εἰς ὕψος αἰρόμενα καὶ περίβλεπτα καὶ περιβόητα καθιστάμενα, πολλοὺς ἕλκουσι τοὺς μιμητάς.

Ἀσκούμενος λοιπὸν ἐν τούτοις, ὡς δεῖ, πέπεισο, ὅτι σὺν τῇ ὑποκαρδίῳ τῶν Ἑλλήνων στοργῇ καὶ τὴν ἐξ ὕψους ἀντίληψιν ἕξεις ἀρωγὸν ἀπροσμάχητον.

Ζῴης δέ μοι ἐπὶ μήκιστον, καὶ μηδέν ΣΕ ποτε τῆς φθονερᾶς Νεμέσεως βάλοι βέλος.

Ἐν Ἀθήναις, τῇ α΄ Σεπτεμβρίου 1886.

ΤΗΣ ΕΥΣΕΒΕΣΤΑΤΗΣ ΥΜΩΝ ΥΨΗΛΟΤΗΤΟΣ εὐχέτης καὶ πρὸς Θεὸν ἱκέτης διάπυρος

† *Ὁ Ἀρχιεπίσκοπος πρῴην Πατρῶν καὶ Ἠλείας*
ΝΙΚΗΦΟΡΟΣ Ο ΚΑΛΟΓΕΡΑΣ

ΟΜΟΙΟΤΥΠΟΝ ΤΟΥ ΚΩΔΙΚΟΣ

ἐξ οὗ ἡ ἔκδοσις.

[illegible]

[illegible]

[illegible]

ΠΡΟΛΟΓΟΣ

Τὸ παρὸν πόνημα ἐπὶ ὀκτὼ ὁλοκλήρους αἰῶνας ἐν ταῖς Βιβλιοθήκαις χειρόγραφον κείμενόν τε καὶ κρυπτόμενον κάλλος ἦν, οὕτως εἰπεῖν, ἄποπτον, πλοῦτος ἀνόνητος καὶ θησαυρὸς ἀπὸ πολλοῦ μάτην καὶ ποθούμενος καὶ ζητούμενος. Ἀλλ' ἤδη θείᾳ συνάρσει εἰς φῶς διὰ τῆς τυπογραφίας ἐξανατέλλον καὶ εἰς κοινὴν χρῆσιν προκῦπτον εὐλόγως ἐφέλκεται τὴν περιεργίαν τῶν εὐμούσων καὶ φιλομαθῶν. Ἐπειδὴ δὲ ἐν πάσῃ πρωτοφανεῖ μάλιστα παλαιοῦ ἔργου ἐκδόσει ἀπαραίτητοί εἰσιν αἱ εἰςαγωγικαὶ προδιατριβαί, προτάσσομεν καὶ ἡμεῖς τῆς βίβλου αὐτοσχεδιάσματά τινα, κατὰ τὸ ἐνὸν τοῖς ἐντευξομένοις χαριζόμενοι.

Ὅτε ἡ ἑλληνικὴ αὐτοκρατορία κατελύθη ὑπὸ τῶν Τούρκων, καὶ ἡ Κωνσταντινούπολις ἑάλω, παντοδαπῶν συμφορῶν νέφη πάσαις ταῖς ἑλληνικαῖς χώραις ἐπέπεσον. Οἱ ἱεροὶ ναοὶ ἐβεβηλοῦντο· αἱ πόλεις καὶ αἱ κῶμαι ἠρημοῦντο· αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι κατηργοῦντο· ἡ ἐμπορία καὶ ὅσα εἰς ὄλβον καὶ βίου ἡμέρωσιν συνέτεινον, ἐξηφανίζοντο· ὁ παλαιὸς τῶν Ἑλλήνων πολιτισμὸς ἐθάπτετο ὑπὸ τὰ ἐρείπια τῆς πεσούσης αὐτοκρατορίας καὶ τοῦ ἑλληνικοῦ λαοῦ ἄλλοι μὲν εἰς δουλείαν ἀπήχθησαν καὶ δίκην κτηνῶν διεπράθησαν, ἄλλοι δὲ εἰς ἐξωμοσίαν τῆς ἁγιωτάτης πίστεως πολυειδῶς ἐβιάσθησαν, ἀναρίθμητοι δὲ ἔργον μαχαίρας ἐγένοντο. Συνελόντι δ' εἰπεῖν, αἱ φρικωδέσταται Ἐριννύες κατωρχοῦντο νῦν ἀδεῶς ἐν τῇ τῶν Χαρίτων χώρᾳ, καὶ οὐδὲν τῆς φυγῆς σωστικώτερον ὑπελείπετο. Καὶ ἔφευγον ὄντως προτροπάδην ὅσοι ἠδύναντο, οὐδενὸς ἄλλου ἀλλ' ἢ σωτηρίας ἁπλῆς τῇ φυγῇ τυχεῖν ἐπιποθοῦντες. Ἐν τοῖς φυγάσι κατελέγοντο καὶ πλεῖστοι λογάδες ἄνδρες, τῆς ἑλληνικῆς σοφίας καὶ ἐπιστήμης μύσται θεσπέσιοι καὶ τῶν λόγων ἐρασταὶ ἀκραιφνέστατοι. Οἷς μετὰ τὸ ναυάγιον μέλημα ἐγένετο διακαὲς τὸ περισῶσαι ἐκ τῶν τιμαλφεστέρων τῆς

ναυαγησάσης πατρίδος συντριμμάτων ὅ,τι ἂν συγχωρήσειεν ἡ περίστασις. Ἦσαν δ' αὐτοῖς τοιαῦτα τὰ μνήμης ἀϊδίου καὶ κλέους ἀλήκτου δημιουργήματα τῆς ἑλληνικῆς εὐφυίας τε καὶ φιλοπονίας. Καὶ δὴ οἱ περίπυστοι ναυαγοὶ περιπαθῶς ταῦτα περιπτυξάμενοι ἄλλοι μὲν ἀλλαχοῦ διεσπάρησαν, οἱ δὲ πλεῖστοι εἰς τὴν φιλόμουσον τῆς Ἰταλίας ἐπεραιώθησαν χώραν. Ἐκεῖ ἄσυλον εὑρόντες ἵδρυσαν ταῖς φυγαδευθείσαις Μούσαις, ἀποτροπιαζομέναις φύσει τῆς τυραννίδος τὴν ειδεχθεστάτην μορφήν, ἱερὰ ἐνδιαιτήματα. Καὶ γὰρ ἕκαστος αὐτῶν εἴτε πρὸς πορισμὸν τῶν χρειωδεστέρων τοῦ βίου, εἴτε διὰ τὴν πρὸς τὰς μαθήσεις στοργὴν καὶ τὴν πρὸς τὰς μελέτας ἕξιν, εἴτε ὅπως ἀνακουφίζῃ τὸ ἐπὶ τῇ στερήσει τῆς πατρῴας γῆς ἄλγος, κατέστησεν ἀληθῶς τὸν ἑαυτοῦ οἰκίσκον ἑστίαν καὶ πρυτανεῖον λόγων καὶ ἐμύει ἀλλοθρόους τῆς ἑλληνικῆς σοφίας τὰ μυστήρια. Ἤδη τὸ πρῶτον δι' αὐτῶν ἐγένετο τοῖς Ἑσπερίοις καταληπτὴ ἡ τῇ ἑλληνικῇ γλώσσῃ συμπεφυκυῖα ἁρμονικὴ χάρις καὶ πλαστικὴ δύναμις, δι' ὧν τὰ μὲν ὑποκείμενα τῆς ἀνθυφεστώσης φύσεως λαμβάνουσιν ἐπιχαρίτως ψυχήν, αἱ δὲ ἀφῃρημέναι τῆς φιλοσοφίας ἰδέαι ἀγαλματῶδες σῶμα. Τύχῃ δὲ ἀγαθῇ, συνέβη κατ' ἐκείνους τοὺς χρόνους καὶ τῆς τυπογραφίας ἡ ἀνακάλυψις· ἐξ οὗ τὰ χειρόγραφα τῶν ἑλλήνων Συγγραφέων, τῶν τε καθ' ἡμᾶς καὶ τῶν θύραθεν, ἃ οἱ ἐλλόγιμοι φυγάδες περιέσωσαν, εἰς μυριάδας ἀντιτύπων ἐπολλαπλασιάζοντο καὶ ἀνὰ πάσας τῆς Ἑσπερίας τὰς χώρας ἐξηπλοῦντο. Τοῦτο τί ἄλλο εἶχεν ἄν τις καλέσαι ἢ ἶριδα μετὰ τὸν κατακλυσμόν; Οὕτω, φιλομαθέστατε ἀναγνῶστα, ἡ τοῦ Θεοῦ ἀνεξιχνίαστος καὶ ἀνεξερεύνητος βουλή τε καὶ πρόνοια ἐκ τῆς καταστροφῆς τῆς Ἀνατολῆς κάλλιστον παρεσκεύαζε τῇ Δύσει δῶρον. Ἐκ γὰρ τῆς ἀκτινοβολήσεως τῶν ἰδεῶν τῶν σοφῶν τῆς Ἑλλάδος ὁ μὲν ζόφος ὁ μεσαιωνικὸς διεσκεδάσθη, νέα δ' ἔκτοτε ἀνέτειλεν ἐποχή, ἡ τῆς *Ἀναγεννήσεως* (α).

(α) Ὁ περιώνυμος βρεταννὸς ἱστορικὸς Γίββων, ὁ ἐνιαχοῦ τῆς ἑαυτοῦ ἱστορίας πικρότερον τοῦ δέοντος τοῦ τε λαοῦ καὶ τῶν ἀρχόντων τοῦ Βυζαντίου Κράτους καθαπτόμενος; γράφει· «Der Türken Waffen beschleunigten die Flucht der Musen; aber » zittern müssen wir bei dem Gedanken, dass Griechenland mit seinen Schu» len und Büchersammlungen, hätte überwältigt werden können, ehe Europa » aus der Flut der Barbarei hervorgegangen war; dass der Saame der Wis» senschaften von den Winden hätte zerstreut werden können, ehe Italiens » Boden zu seiner Aufnahme zubereitet war». Τουτέστι· «τὰ ὅπλα τῶν Τούρκων » ἐπετάχυναν ἀναντιρρήτως τῶν Μουσῶν τὴν φυγήν. Ἀλλ' ἡμεῖς κατ' ἀνάγκην φρικιῶ-

Ἐν τοῖς δοκιμωτέροις τῶν τῆς ἐκκλησιαστικῆς τῶν Ἑλλήνων φιλολογίας συγγραμμάτων, ὅσα κατὰ τὰ πρῶτα τῆς εὑρέσεως τῆς τυπογραφίας ἔτη ἐξετυπώθησαν, καὶ κατόπιν αὖθις ἐν ἀλλεπαλλήλοις ἐκδόσεσι πολλαχοῦ ἀνεφάνησαν, εὑρίσκομεν καὶ τὰ τοῦ ἡμετέρου ΕΥΘΥΜΙΟΥ, τοῦ ἐπονομαζομένου ΖΙΓΑΒΗΝΟΥ. Ἀλλὰ περὶ τούτων μὲν καὶ ὕστερον ὁ λόγος. Ἐνταῦθα δὲ νῦν εὔκαιρον ἡγούμεθα εἰς τὰ τοῦ βίου αὐτοῦ ἐνδιατρίψαι, ὅσον αἱ δεδομέναι πηγαὶ ἐπὶ τοῦ παρόντος ἐπιτρέπουσιν.

ΕΥΘΥΜΙΟΣ ὁ ΖΙΓΑΒΗΝΟΣ ἐγεννήθη πιθανῶς περὶ τὴν ἐνδεκάτην ἑκατονταετηρίδα μεσοῦσαν. Ἤκμαζε δὲ ἐπὶ αὐτοκράτορος Βυζαντίου Ἀλεξίου Α' τοῦ Κομνηνοῦ, καί, ὡς φαίνεται, ἐκείνου τελευτήσαντος, τὸ ζῆν αὐτῷ ἐπεξετάθη ἔτι. Ἀνηγορεύθη δὲ ὁ Ἀλέξιος αὐτοκράτωρ τῷ 1081, καὶ βασιλεύσας ἔτη ἑπτὰ καὶ τριάκοντα ἐτελεύτα τὸν βίον τῷ 1118. Ἡ δὲ περιᾳδομένη μακρὰ καὶ ἄπλαστος κατὰ τὸν βίον φιλία τοῦ ἡμετέρου Εὐθυμίου πρὸς τὸν περιώνυμον τοῦ Ὁμήρου ὑπομνηματιστὴν καὶ κλεινὸν τῆς Θεσσαλονίκης ἀρχιεπίσκοπον Εὐστάθιον, ὡς συνταράσσουσα ἀμφοτέρων τὸν τῆς βιώσεως χρόνον, πάντη πάντως ἀστήρικτος ἐκληπτέα καὶ ἀνυπόστατος. Οὐκ ἄσκοπον δ' ὅλως, ἴσως οὐδ' ἄμουσον, ὡς ἐν παρόδῳ, ἐπεξελθεῖν καὶ τοὺς λόγους, ἐξ ὧν προὔκυψε τὸ πλαστὸν τοῦτο, ἀλλὰ χαρίεν ἄλλως ἐπεισόδιον τοῦ βίου τῶν διασημοτάτων τούτων τοῦ μεταγενεστέρου Ἑλληνισμοῦ ἀνδρῶν.

Μέχρις ἡμῶν περιεσώθη γλαφυρά τις μονῳδία, ἥτις παρ' Εὐθυμίου μέν τινος ἐν Κωνσταντινουπόλει ἐπὶ τῷ τάφῳ τοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης Εὐσταθίου μετ' ὀλίγας ἀπὸ τῆς ταφῆς αὐτοῦ ἡμέρας ἀπαγγελθεῖσα, καὶ ὡς ἔργον γνήσιον τοῦ ἡμετέρου Εὐθυμίου ἡμαρτημένως θεωρηθεῖσα, τοῖς τούτου συνήθως συγγράμμασι συνεξεδίδοτο (α). Ἐν αὐτῇ μετὰ πάθους ἐκδηλοῦται ἡ τοῦ ὁμιλοῦντος πρὸς

» μὲν φανταζόμενοι τὴν μὲν Ἑλλάδα σὺν ταῖς Σχολαῖς αὐτῆς καὶ ταῖς Βιβλιοθήκαις ὑποδουλωθεῖσαν, πρὶν ἢ ἐξέλθῃ ἡ Εὐρώπη ἐκ τοῦ κλύδωνος τοῦ βαρβαρισμοῦ, τὰ δὲ τῶν » ἐπιστημῶν σπέρματα ὑπὸ τοῦ χειμῶνος ἐξαφανισθέντα, πρὶν ἢ τὸ τῆς Ἰταλίας ἔδαφος » πρὸς ὑποδοχὴν αὐτῶν παρασκευασθῇ». (Τόμ. ΙΓ', σελ. 277 κατὰ τὴν γερμανικὴν μετάφρασιν. Ἐκδ. Βιέννης 1792).— (α) Αὕτη ἐπιγράφεται οὕτω· *Μονῳδία τοῦ σοφωτάτου κυρίου Εὐθυμίου ἀναγνωσθεῖσα ἐπὶ τῷ τάφῳ τοῦ ἁγιωτάτου Θεσσαλονίκης κυρίου Εὐσταθίου μετὰ τινας ἡμέρας τῆς αὐτοῦ τελευτῆς.*

τὸν ἄρτι τετελευτηκότα στοργή, καὶ τῆς εἰλικρινοῦς φιλίας δείγματα ἀναφέρονται αἱ τούτου πρὸς ἐκεῖνον ἐπιστολαί, φακέλλους ὅλους, κατὰ τὸν λέγοντα, ἀπαρτίζουσαι (α). Ἐκ τούτου τοίνυν ἡ εὔπλαστος φαντασία τοὺς κρατίστους καὶ ἐπισημοτάτους τῶν θείων Γραφῶν καὶ τῶν ὁμηρικῶν Ἐπῶν ὑπομνηματιστὰς ἐπιχαρίτως παρέστησεν ὡς ξυνωρίδα σεμνὴν καὶ θεσπεσίαν ἐν ἱερῷ φιλίας δεσμῷ ὁδεύουσαν τοῦ βίου τὸ στάδιον. Πλὴν ἀλλ' ἐξ ἀκριβεστέρας τοῦ χρόνου ἐρεύνης ἡ ὑπόληψις ἐξελέγχεται ἀπᾴδουσα ὅλως πρὸς τὴν ἀλήθειαν. Ὁ Εὐθύμιος ἐγένετο τῷ βασιλεῖ Ἀλεξίῳ γνωστὸς μεθ' ἓν ἀπὸ τῆς βασιλείας αὐτοῦ ἔτος, ἤτοι περὶ τὸ 1083, ὡς ὁ λόγος ἐφεξῆς δείξει σαφέστερον. Ὅτι δὲ τότε οὐ πάνυ που νέος τὴν ἡλικίαν ἐτύγχανεν ὤν, ἀλλ' ἤδη καθεστηκώς, ἴσως δὲ καὶ προβεβηκώς, ἐκ τῆς ἀνατεθείσης αὐτῷ παρὰ τοῦ βασιλέως ἐντολῆς φανερὸν (β). Ἀλλὰ καὶ δοθέντος, ὅτι ὁ χρόνος τοῦ βίου ἐπεξετάθη τῷ Εὐθυμίῳ μέχρι τοῦ 1120, ἢ ἐπὶ μίαν ἔτι, ἤ, τὸ μεῖζον, δύο ἐνιαυτῶν δεκάδας, πάλιν οὗτος τοῦ Εὐσταθίου προετελεύτα, ἐν ἔτει 1194 τὸν βίον μεταλλάξαντος κατὰ τὰς μᾶλλον διηκριβωμένας γνώμας. Ὥστε ἡ μονῳδία ἐκείνη ἄλλῳ τινὶ Εὐθυμίῳ ἀποδοτέα ἐξάπαντος, μεταγενεστέρῳ τοῦ ἡμετέρου, ὅς πάντως καί ἐστιν ὁ τῆς θεσσαλικῆς πόλεως Ὑπάτης (Νέων Πατρῶν τότε καλουμένης) ἐπίσκοπος, πρὸς ὃν καὶ δύο τοῦ Εὐσταθίου φέρονται ἐπιστολαί.

Καὶ ταῦτα περὶ τοῦ καθ' ὃν ὁ Εὐθύμιος ἤκμασε χρόνου.

Περὶ δὲ τοῦ τίνες αὐτοῦ οἱ γεννήτορες καὶ ἡ πατρίς, ἐν οἵοις διέτριψε παιδευτηρίοις καὶ παρὰ τίσιν ἐξεπαιδεύθη διδασκάλοις ἡμεῖς μὲν ἐπὶ τοῦ παρόντος ἀκριβῶς εἰπεῖν οὐκ ἔχομεν, παρ' εἰδότος δὲ σφόδρα μαθεῖν ἐφιέμεθα. Ἄλλως δὲ οἱ τοῦ ἤθους καὶ τοῦ πνεύματος αὐτοῦ χαρακτῆρες ἀποτυποῦνται ἡμῖν ἐναργῶς λίαν ἐν τοῖς περισωθεῖσι τῶν ἔργων αὐτοῦ, ἐξ ὧν μετ' ἀσφαλείας τεκμαιρόμεθα, ὅτι καὶ φύσεως ἔτυχε κατ' εὐκληρίαν ὁ ἀνὴρ γενναίας καὶ νοῦν περὶ τὰς μαθήσεις ἔλαχε δεξιὸν καὶ ἐπιμελείᾳ ἐχρήσατο συντόνῳ, ὧν ἕνεκα καλοὺς καὶ ἀφθόνους συνεκομίσατο τοὺς καρπούς. Ὅθεν ταχέως ὤφθη τῆς μὲν γραμματικῆς εἰς ἄκρον ἐληλακώς, τῆς δὲ ῥητορικῆς μελέτην καὶ τρι-

(α) «Παρ' ἐμοὶ δὲ ἄρα καὶ φάκελλοι πολλοὶ τῶν ἐπιστολῶν, σοφίαν τε πολλὴν ἐμπε- » φορτισμένοι καὶ κακίαν ἅπασαν στηλιτεύοντες». — (β) Ἀνν. Κομν. Ἀλεξιάδ. βιβλ. » ΙΕ', σελ. 1176, ἔκδ. Migne. «Καὶ γὰρ μοναχόν τινα Ζιγαδηνὸν καλούμενον . . . » μεταπεμψάμενος (ὁ βασιλεὺς Ἀλέξιος) ἐπέταξεν ἁπάσας τὰς αἱρέσεις ἐκθέσθαι ἑκάστην » ἰδίᾳ, καὶ αὐτὴν δὴ τῶν Βογομίλων τὴν αἵρεσιν».

6ὴν οὐκ ἀγεννῆ πεποιηκώς, τῆς δὲ θεολογίας πάντων τῶν αὐτῷ συγχρόνων εἰδημονέστερος. Τὰ δὲ φυσικά τε ταῦτα καὶ ἐπίκτητα προτερήματα περίπυστον, ὡς εἰκός, κατέστησαν αὐτὸν πανταχοῦ καὶ περιλάλητον. Καὶ δὴ ἡ περὶ αὐτῶν φήμη ἐπιφοιτήσασα καὶ εἰς τὸν περιφανῆ οἶκον τοῦ Καίσαρος Ἀνδρονίκου, τοῦ τὴν σειρὰν τοῦ γένους εἰς τοὺς Δούκας ἐκείνους ἀναφέροντος, οὗ ἡ θυγάτηρ Εἰρήνη σύζυγος τοῦ βασιλέως Ἀλεξίου ἐγένετο, γνώριμον ἐν αὐτῷ τὸν ἡμέτερον Εὐθύμιον ἐποίησεν. Καθ᾽ ἃ δ᾽ ἡ κλεινὴ Ἄννα ἱστορεῖ, ἐν τῷ οἴκῳ τούτῳ ὁ Ζιγαβηνὸς κατέστη γνωστὸς καὶ τῷ ἑαυτῆς πατρὶ Ἀλεξίῳ τῷ αὐτοκράτορι, ὃς τῆς περὶ τοὺς λόγους δεινότητος αὐτοῦ ἐκ τοῦ σύνεγγυς πεῖραν λαβών, ἀεὶ εἶχε δι᾽ εὐνοίας (α). Ἐνταῦθα τοῦ λόγου γενόμενοι, κατὰ νοῦν λαβόντες ἔνθεν μὲν τὴν ἐν μαθήσεσιν ὑπεροχὴν τοῦ ἀνδρὸς καὶ τὴν πρὸς αὐτὸν φιλίαν καὶ εὔνοιαν τῶν κρατούντων, ἑτέρωθεν δὲ τὴν σταθερὰν αὐτοῦ καθ᾽ ἅπαντα τὸν βίον ἐν τῇ τῶν ἁπλῶν μοναχῶν τάξει ἐγκαρτέρησιν, ἐπειγόμεθα ἐπευφημίσαι αὐτῷ μάλιστα χαρακτῆρος ἐπαινετὴν εὐστάθειαν καὶ ἐπιστήμης ζῆλον διακαέστατον. Καὶ γὰρ ἐκ τῶν εἰρημένων διδασκόμεθα σαφῶς, ὅτι ὁ Εὐθύμιος τὴν ἐν ἡσυχίᾳ περὶ τοὺς λόγους διατριβήν, ἧς καρπὸς τά τε ἄλλα καὶ τὸ μέγα τοῦτο καὶ ἡμῖν λίαν προσφιλὲς εἰς τὴν καινὴν Διαθήκην ὑπόμνημα, ὑπερτέραν ἡγεῖτο τῶν ἐν βαθμοῖς ἐκκλησιαστικοῖς τε καὶ πολιτικοῖς ὑπεροχῶν, οἷς τῶν αὐτῷ συγχρόνων οἱ πλεῖστοι σεμνύνειν ἑαυτοὺς παντὶ τρόπῳ ἐσπούδαζον. Καὶ πῶς ἂν ἄλλως εἶχεν ὁ ἀνὴρ μνήμην ἀοίδιμον ἐπὶ παιδείᾳ καταλιπεῖν, ὅτε οἱ εἰς τὰς μελέτας ἐνδελεχῶς καὶ μετ᾽ ἀμετεωρίστου τοῦ νοῦ ἐγκύπτοντες καὶ ἐρωτικῶς ταῖς θεσπεσίαις Μούσαις προσομιλοῦντες, αὐτοὶ καὶ μόνοι εἰς τὰ τῆς ἐπιστήμης ἄδυτα εἰσάγονται;

Ὁ Εὐθύμιος, καίπερ ἀνὴρ ἐλλόγιμός τε καὶ περίβλεπτος γενόμενος, ὅμως ὡς μοναχὸς συνῳδὰ τοῖς τὰ τῆς μοναχικῆς πολιτείας διέπουσι νόμοις ὤφειλεν ἀνήκειν ἑνί τινι τῶν Μοναστηρίων. Τοιοῦτο δ᾽ ἐξελέξατο τὸ κατὰ τὴν Κωνσταντινούπολιν τῆς Περιβλέπτου, ὃ ἡ

(α) Ἀλεξιάδ. βιβλ. ΙΕ΄, σελ. 1176. «Καὶ γὰρ μοναχόν τινα Ζιγαδηνὸν καλούμενον »γνωστὸν μὲν τῇ δεσποίνῃ καὶ πρὸς μητρὸς ἐμῇ μάμμῃ, καὶ πᾶσι τοῖς τοῦ ἱεροῦ κατα»λόγου, γραμματικῆς δὲ εἰς ἄκρον ἐληλακότα καὶ ῥητορικῆς οὐκ ἀμελέτητον ὄντα. καὶ »τὸ δόγμα ὡς οὐκ ἄλλος τις ἐπιστάμενον, τοῦτον ὁ αὐτοκράτωρ μεταπεμψάμενος κἑξ.».

Κομνηνὴ Ἄννα ἀποκαλεῖ περιώνυμον (α). Ἔκειτο δὲ τοῦτο κατὰ τὴν συνοικίαν, τὴν πάλαι μὲν Ψάμμαθα καλουμένην, νῦν δὲ Ψωμαθεῖα. Παρὰ δὲ τῶν Τούρκων ὀνομάζεται «Σουλοὺ Μαναστὴρ» (Ὑδάτων Μονή). Ὅτι δὲ συγκατελέγετο τῇ χορείᾳ τῆς ἀδελφότητος τοῦ Μοναστηρίου τούτου ὁ Εὐθύμιος μαρτυρεῖται ἔκ τινος τῶν συγγραμμάτων αὐτοῦ, οὑτωςὶν ἐπιγεγραμμένου· «*Στηλιτευτικὸν* τῆς αἱρέσεως » τῶν Βογομίλων . . . Εὐθυμίου μοναχοῦ, *τοῦ ἀπὸ τῆς σεβασμίας Μο-* » *νῆς τῆς Περιβλέπτου*». Δέον δ' ἐνταῦθα εἰπεῖν ὅτι τοῦ συγγράμματος τούτου μικρόν τι ἀπόσπασμα, ἄρτι ἀνακαλυφθέν, κατακεχώρισται ἐν ἀρχῇ τοῦ ΡΛΑ' Τόμου τῆς ἐν Παρισίοις ἐκδόσεως τῶν Ἑλλήνων Πατέρων ὑπὸ Μιγνίου. Εἰ τὸ ὅλον τοῦ πονήματος ἀνευρίσκετο καὶ ἐξεδίδοτο, πολλὰ πάντως σκοτεινὰ τοῦ βίου τοῦ Συγγραφέως μέρη περιαυγασθῆναι ἔμελλον. Ἀλλὰ καὶ τὸ ἤδη ἐκδοθὲν ἀποσπασμάτιον περισπούδαστον ἡμῖν ἐστι καὶ ἀσπάσιον, ἐφ' ᾧ χάριτας ἔχομεν τῷ εὑρόντι τε καὶ ἐκδόντι. Ἐξ αὐτοῦ γὰρ μανθάνομεν, ὅτι ὁ Εὐθύμιος ἀπεδήμησεν ἐκ Κωνσταντινουπόλεως εἰς Ἱεροσόλυμα χάριν προςκυνήσεως τῶν ἱερῶν Τόπων· ὅτι ὁδοιπορῶν εὗρε κατὰ τύχην συνοδίτην Βογόμιλόν τινα, σχῆμα φέροντα μοναχοῦ, παρ' οὗ πρῶτον ἤδη καὶ ἤκουσε περὶ βογομιλικῆς αἱρέσεως, ὡς καὶ περί τινων παρ' αὐτῆς πρεσβευομένων δογμάτων, καὶ ὅτι ἐπανακάμψας ἐκ τῆς ἁγίας Γῆς ἐν τῷ αὐτῷ πάλιν τῆς Περιβλέπτου Μοναστηρίῳ διέτριβεν (β). Ἔτι πρὸς τούτοις καὶ τὸν χρόνον, καθ' ὃν ὁ Ζιγαβηνὸς τὴν εἰς τοὺς ἱεροὺς Τόπους πορείαν ἐπορεύετο, ἐπ' ἀκριβὲς ὡς ἔγγιστα δίδωσιν ἡμῖν ὁρίσαι τὸ εἰρημένον ἀποσπασμάτιον. Τῆς μὲν γὰρ Κομνηνῆς Ἄννης λεγούσης ὅτι ὁ αὐτοκράτωρ Ἀλέξιος, τὸ πρῶτον τῆς ἑαυτοῦ βασιλείας διανύων ἔτος τοὺς αἱρετικοὺς Βογομίλους ἀνεκάλυψε (γ), τοῦ δὲ Ζιγαβηνοῦ ἐκλαβόντος τὸ τυχαῖον ἐκεῖνο τοῦ αἱρετικοῦ συνάντημα ὡς κατὰ θείαν νεῦσιν καὶ πρόνοιαν αὐτῷ γεγονός, ἵνα ἐξε-

---

(α) Ἀλεξιάδ. βιβλ. Γ', ἐν ἀρχῇ.— (β) Στηλιτευτ. «Ἐκ τῆς ἀποδημίας τῶν Ἱεροσολύμων ἐπανελθὼν ἐν τῷ εὐαγεῖ Μοναστηρίῳ τῆς Περιβλέπτου εὗρον τὸν ταπεινόν » μου μαθητὴν κἑξ.».— (γ) Ἀλεξιάδ. βιβλ. ΙΕ', σελ. 1168. «Μετὰ ταῦτα τοῦ ἔτους » διιππεύοντος τῆς βασιλείας αὐτοῦ μέγιστον ἐπεγείρεται νέφος αἱρετικῶν . . . μήπω » πρότερον ἐγνωσμένον τῇ Ἐκκλησίᾳ . . . Τοῦτο τὸ ἔθνος (τῶν Βογομίλων) τοιοῦτον » ὂν δυςφορώτατον, ὥςπερ ὄφιν ἐμφωλεύοντα, τῇ χειᾷ ἐπῳδῶν ἴυγξιν ἀπορρήτοις ὁ ἐμὸς » πατὴρ εἰς φῶς ἐξεκαλέσατο ».

γείρῃ αὐτοῦ τὴν προςοχήν (α), εἰκότως συμπεραίνομεν, ὅτι ἡ πορεία αὕτη συνέβη περὶ τὸ 1080. Ἔστι δ' ὁμοίως εἰκάσαι, ὅτι αὐτὸς πρῶτος ἐξιχνίασέ τε τὸ ὑπονεμόμενον αἱρετικὸν μίασμα καὶ κατεφώρασεν. Ἐπανελθὼν γὰρ ἐξ Ἱεροσολύμων εἰς τὴν τῆς Περιβλέπτου Μονὴν εὗρεν ἐν αὐτῇ ἕνα τινὰ τῶν ἑαυτοῦ μαθητῶν, ἰδιώτην ὄντα, ὡς αὐτὸς λέγει, καὶ ἀγράμματον, ὃς συναρπασθεὶς ἐν τῷ μεταξὺ τοῖς τῶν Βογομίλων φρονήμασι «μηδόλως Θεὸν ἐν οὐρανοῖς ἐπίστευεν, ἀλλὰ » τὸν ἄρχοντα τοῦ κόσμου τούτου, ἤτοι τὸν Σατανᾶν». Δι' αὐτοῦ δὲ οὐ μόνον τὰς ὑπονοίας, ἃς καθ' ὁδὸν εἶχε λαβών, ἐπεβεβαίωσεν, ἀλλὰ καὶ πληροφορίας σαφεῖς περὶ τῆς αἱρέσεως ἔσχεν (β).

Ποιούμενος δ', ὥςπερ εἴρηται, ἐν τῷ τῆς Περιβλέπτου Μοναστηρίῳ τὰς διατριβὰς ὁ Εὐθύμιος, οὐ μόνον αὐτὸς πάσῃ δυνάμει λόγῳ τε καὶ ἔργῳ ἠμύνετο ὑπὲρ τῆς ἀληθείας, ἀλλὰ καὶ τῶν ἐν αὐτῷ μοναχῶν ἐν τούτῳ δὴ τῷ ἀγῶνι ἑδραῖον ἀπέφαινε τὸ φρόνημα ὑπὲρ

(α) Στηλιτευτ. «Τὸ δὲ τοῦ τοιούτου κυνὸς (οὕτως ἀποκαλεῖ τὸν συνοδοιποροῦντα » αὐτῷ αἱρετικὸν Βογόμιλον ὁ Εὐθύμιος, ὡς ἀρνούμενον τὸ τῆς ἀναστάσεως τῶν νε» κρῶν δόγμα), συνάντημα ἐκ θείας οἰκονομίας συνέβη εἰς ἐμὲ γενέσθαι, πρὸς τὸ διεγεῖ» ραί μου τὸν νοῦν εἰς ἀκρίβειαν καὶ προςοχὴν τῶν τοιούτων ἀσεβῶν». — (β) Αὐτόθ. « Ὁ μαθητής μου, εὐνοϊκῶς ὥςπερ διακείμενος πρός με καὶ τὸ ἀγαθὸν δῆθεν, ὅπερ » μεμάθηκεν εἰς ὠφέλειαν αὐτοῦ, ὡς ὑπελάμβανεν ὁ ἄθλιος, βουλόμενος κἀμέ, ὡς ἐξ » ἀγάπης, τοῦτο διδάξαι, ἵνα μὴ ἄμοιρος καταληφθῶ τῆς πρὸς σωτηρίαν φερούσης » ὁδοῦ, ὡς ὑπενόει, τὰ τῆς εὐσεβείας χάριν ὠφελείας μου βλάσφημα ῥήματα ἐπιμε» λῶς ἀνεδίδασκέ με, ὅσα παρ' αὐτῶν μεμάθηκεν. Ἐγὼ δὲ τούτων ἀκούσας, καὶ τὴν » πλάνην, ἣν ὑπέστη συνείς, διεγηγερμένον ἔχων τὸν νοῦν εἰς ταῦτα ἐκ τῆς τοῦ κακοῦ » συνοδίτου διαλέξεως, καὶ χαριεντιζόμενον προςωπεῖον αὐτῷ ὑποδείξας, τοὺς διδασκά» λους ἐκείνης παρεκάλουν αὐτὸν ἐπιμελῶς ὑποδεῖξαί μοι, ὡς κρείττονος ὠφελείας λέγων » παρ' αὐτῶν ἀμφότεροι ἐπιτευξώμεθα· σὲ γάρ, μήπω τὴν τοιαύτην διδασκαλίαν ἀκριβῶς » διεγνωκότα, διδάσκαλον ἔχειν ταύτης ἀδύνατον. Καὶ ὅς, μηδὲν περὶ τούτου ἀναβαλό» μενος, χαίρων χαίροντας αὐτοὺς ὡς μέγα τι καὶ θεῖον δώρημα ἐμοὶ τούτους προσέφε» ρεν, ἐν τῇ τοιαύτῃ Μονῇ τότε αὐτοὺς ὑπάρχοντας. Ἐγὼ δὲ καὶ εἰς αὐτοὺς τὴν ὑπόκρι» σιν μὴ παραιτησάμενος, πατέρας ἐκάλουν καὶ διδασκάλους τοὺς ἀσεβεῖς καὶ ἀπατεῶ» νας· ἄλλως γὰρ οὐκ εἶχον πῶς διαγνῶναι τὰ τῆς ἀσεβείας αὐτῶν μυστήρια. Ἡμέρας δέ » τινας ἐν τῷ κελλίῳ μου ἔχων αὐτοὺς διελεγόμην... Τούτους γοῦν, οὓς εὗρον, τέσσαρας » ἀσεβεῖς διδασκάλους ἐν τῇ προδηλωθείσῃ Μονῇ τῆς Περιβλέπτου φανερώσας, καὶ χωρι» σθέντας ἀπ' ἀλλήλων ἰδίᾳ ἕκαστον αὐτῶν φανερῶς ἡμῖν ἐξειπεῖν κατηνάγκασα. Ὁ πρῶ» τος οὖν αὐτῶν ἐρωτηθεὶς πόθεν τούτῳ ἡ τῶν Γραφῶν μάθησις, καὶ πῶς εἰς διδασκα» λίαν προβάλλεται ἃ ὕστερον μὴ πιστεύειν προτρέπεται τοὺς μαθητὰς αὐτοῦ, ἔφη· ὅτι » ἄλλως ἐξαπατῆσαι Χριστιανὸν οὐ δυνάμεθα, εἰμὴ μοναχικὸν σχῆμα ὑποκριθῶμεν καὶ » Χριστιανοὺς ἑαυτοὺς ὀνομάσωμεν καὶ τὰ τῶν Χριστιανῶν πάντα ποιοῦντες φαινώμεθα » καὶ τὰ τῆς θείας Γραφῆς εἰς διδασκαλίαν προθῶμεν».

τῆς Ἐκκλησίας καὶ κατὰ τῆς αἱρέσεως. Καὶ τοσοῦτον παρ' αὐτοῖς ἐκέκτητο τὸ κῦρος, ὥςτε καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ, ἐν ὅσῳ τῆς δεινῆς βογομιλικῆς αἱρέσεως τὰ σπέρματα διετηροῦντο, οἱ μοναχοὶ οὗτοι τὸ αὐτὸ πάντοτε διετέλουν ἔχοντες πνεῦμα καὶ φρόνημα (α). Καὶ ὥςπερ ἄρα ἐν παλαιοτέροις καιροῖς οἱ ἐλλόγιμοι καὶ σεβάσμιοι μοναχοὶ τοῦ ἐν Κωνσταντινουπόλει Μοναστηρίου τοῦ Στουδίου ἐρρωμένως πάνυ ἐπὶ μακρὰ ἔτη ταῖς παραφόροις τε ἅμα καὶ παραλόγοις τῶν Εἰκονομάχων ὁρμαῖς ἀντιστάντες ἔνθερμοι τοῦ Κράτους οὐχ ἧττον ἢ τῆς Ὀρθοδοξίας πρόμαχοι ἀνεδείχθησαν, οὕτως ἤδη οἱ τοῦ τῆς Περιβλέπτου ἐναντίον τῆς μυσαρᾶς τῶν Βογομίλων αἱρέσεως.

Ἀνήγειρε δὲ τὸ Μοναστήριον τοῦτο (ἵνα καὶ τὰ περὶ αὐτοῦ μὴ ὅλως σιγῇ παραδράμωμεν), μεγαλοπρεπέστατον πρῶτος ὁ ἐκ τοῦ τῶν Ἀργυρῶν γένους καταγόμενος αὐτοκράτωρ Ῥωμανός, ὁ ἀπὸ τοῦ ἔτους 1029—1034 ἐν Βυζαντίῳ βασιλεύσας (β), ὃς τοσαύτας δαπάνας κατέβαλε, καὶ τοσοῦτον πολυτελῶς αὐτὸ καθωραΐσεν, ὥςτε, κατὰ τὸν ἱστορικὸν Σκυλίτσην, τὸν ἐπὶ τὸ ὑπερβολικώτερον ἄλλως φι-

---

(α) Οὕτως, ὡς ἐν παραδείγματι, ὁ Κωνσταντινουπόλεως Πατριάρχης Μιχαήλ, ὁ ἐπικληθεὶς Ὀξείτης, ἐν ἔτει 1145, ὅτε πάντως ὁ ἡμέτερος Εὐθύμιος εἶχε μεταλλάξας τὸ ζῆν, συνοδικῷ ψηφίσματι μοναχόν τινα, Νήφωνα ὀνομαζόμενον, τὰ τῆς βογομιλικῆς πλάνης νοσοῦντα, ἐν τῇ τῆς Περιβλέπτου Μονῇ ἔγκλειστον καταστήσας τοῖς προϊσταμένοις αὐτῆς παραγγέλλει τάδε· «Τούτου χάριν ἄχρις ἀκριβεστέρας τῶν περὶ αὐτοῦ » (τοῦ Νήφωνος) ἡμῖν ἀκουσθέντων ἐρεύνης καὶ ἐξετάσεως ἀπαχθῆναι μὲν τοῦτον ἐν τῇ » σεβασμίᾳ τῆς Περιβλέπτου Μονῇ προσετάξαμεν· παραγγελίαν δὲ γενέσθαι πρός τε τὸν » εὐλαβέστατον καθηγούμενον, τὸν οἰκονόμον καὶ τοὺς λοιποὺς μοναχούς, ὥςτε ἔν τινι » τῶν ἐντὸς τῆς Μονῆς κελλίων ἡσυχάζειν αὐτὸν ἀπρόϊτον τοῖς ἐκτὸς τυγχάνοντα πᾶσι, » παρ' ἑνὸς δὲ καὶ μόνου διακονητοῦ καθυπηρετούμενον, καὶ μηδενὶ ἔχοντα ἐπ' ἀδείας » προςομιλεῖν μήτε τῶν λαϊκῶν μήτε τῶν ἐκκλησιαστικῶν, ἀλλὰ μηδ' αὐτῶν τῶν ἐν τῇ » Μονῇ μοναχῶν· ἀλλὰ μηδὲ διὰ γραφῆς ἢ διδάσκειν ἢ καὶ πρός τινας ἐπιστέλλειν, ἢ » δι' ἑαυτοῦ ἢ δι' ἑτέρου· ἀλλ' ἐν ἡσυχίᾳ καθήμενον, ὡς δεδήλωται . . . ἐκείνοις καὶ » μόνοις πρὸς ἀνάγνωσιν κεχρῆσθαι βιβλίοις, οἷς ἂν ἡ Μετριότης ἡμῶν ἐπιτάξειε· τῶν » δὲ λοιπῶν τελείως ἀπέχεσθαι». Ὅρ. Σύντ. ἱερῶν Καν. ὑπὸ Ῥάλλη καὶ Ποτλῆ, Τόμ. Ε΄, σελ. 88.— (β) Κωνσταντ. Μανασσ. Σύνοψ. Χρον. στίχ. 6058.

« Καὶ Ῥωμανὸς ἐγκάθηται τοῖς βασιλείοις θρόνοις,
» Ἀνὴρ σοφός, θεοσεβής, ἐμμελετῶν τοῖς θείοις,
» Καὶ βίβλοις χαίρων τὰ πολλὰ καὶ στάσεσι παννύχοις.
» Ὅς ἄγαν μεγαλοπρεπῶς τῇ Θεοτόκῳ Κόρῃ
» Ἀνεδομήσατο Μονήν, ᾗ Περίβλεπτος κλῆσις ».

λοῦντα ἀφηγεῖσθαι τὰ πράγματα, οὐ μικρῶς τὸ ὑπήκοον συνέτριψεν (α). Μετ' αὐτὸν δέ, ἓξ καὶ τεσσαράκοντα ἐνιαυτῶν παρελθόντων, ἀνεκαίνισεν αὐτὸ ὁ αὐτοκράτωρ Νικηφόρος ὁ Βοτανειάτης, καὶ δὴ οὕτως, ὥςτε δεύτερος αὐτοῦ ἐπωνομάσθη κτίτωρ. Διὸ καὶ τὸ μοναχικὸν σχῆμα ἐν αὐτῷ ἐδέξατο, καὶ τελευτήσας ἐν αὐτῷ ὁμοίως ἐτάφη (β). Κατὰ ῥητὴν δὲ αὐλικὴν διατύπωσιν οἱ κατὰ καιροὺς βασιλεῖς τῇ ἐνιαυσίῳ ἡμέρᾳ τῶν Εἰςοδίων τῆς Θεοτόκου ὤφειλον ἐπισκέπτεσθαι τὸ Μοναστήριον τῆς Περιβλέπτου καὶ ἐκκλησιάζεσθαι ἐν τῷ αὐτόθι ναῷ, σεμνυνομένῳ τῇ μνήμῃ τῆς ἑορτῆς ταύτης (γ).

Ἐν τοῖς κατ' αὐτὸ καὶ τοῦτο ἔτι μὴ παραδραμεῖν ἴσως ἄξιον· ὅτι ἐν τῇ τῆς Κωνσταντινουπόλεως ἁλώσει καὶ μετ' αὐτὴν ὁ ἱερὸς τοῦ Μοναστηρίου τούτου ναὸς οὐ μόνον τὴν καταστροφὴν διέφυγεν, ἀλλὰ καὶ τὴν εἰς μωαμεθανικὸν τέμενος μετατροπήν· τοῦθ' ὅπερ δυσὶν ἢ τρισὶν ἄλλοις τῶν χριστιανικῶν τῆς βασιλευούσης ναῶν κατ' ἐξαίρεσιν συνέβη. Ὅθεν καὶ μέχρι τοῦ ἔτους 1782, ὅτε οὗτος δεινὴν ἐκ πυρκαϊᾶς ὑπέστη συμφοράν, διετηροῦντο ἐντὸς αὐτοῦ αἱ τοῦ ἱδρυτοῦ Ῥωμανοῦ τοῦ βασιλέως εἰκόνες, ἐκ ψηφίδων τετεχνουργημέναι (δ).

Τοσαῦτα τοίνυν ἡμεῖς γε ἐπὶ τοῦ παρόντος ὅσον εἰς βιογραφίαν καθόλου τοῦ ἡμετέρου Ζιγαβηνοῦ εἰπεῖν ἔχομεν (ε). Τὰ δὲ εἰς αὐτόν,

---

(α) Σελ. 729, ἔκδ. Migne. «Ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὸν οἶκον τοῦ Τριανταφύλλου » ἐξωνησάμενος εἰς Μοναστήριον μετεσκεύασεν ἐπ' ὀνόματι τῆς Δεσποίνης ἡμῶν Θεοτό» κου, μηδεμιᾶς πολυτελείας φεισάμενος, συντρίψας μέν τοι προφάσει ταύτῃ οὐ μικρῶς » τὸ ὑπήκοον καὶ κακώσας ἔν τε ταῖς τῶν λίθων καὶ τῶν ἄλλων εἰδῶν διακομιδαῖς ».— (β) Ζωναρ. Χρον. βιβλ. ΙΗ', σελ 296. ἔκδ. Migne. «Εἰς τὴν τῆς Περιβλέπτου Μονὴν » ἀπελθὼν (ὁ βασιλεὺς Νικηφόρος ὁ Βοτανειάτης), ἧς ἐκεῖνος μετὰ τὸν κατὰ τοὺς Ἀργυ» ροὺς Ῥωμανὸν ἐκεῖνον τὸν αὐτοκράτορα κτίτωρ δεύτερος ἐχρημάτισε, κείρεται τὴν τρίχα » κἑξ.» —(γ) Κωδ. Κουροπαλ. Περὶ Ὀφφικ. κεφ. ΙΕ'. «Κατὰ τὴν τῶν Εἰςοδίων τῆς » Θεοτόκου μνήμην ἀπέρχεται ὁ βασιλεὺς εἰς τὴν τῆς Περιβλέπτου σεβασμίαν Μονήν». — (δ) Πρβλ. Ἀ. Πασπάτη, Βυζαντ. Μελέτ. σελ. 400 ἐν Κωνσταντινουπ. 1877. Ἄλλως ὅμως, ἴσως ἐκ παραδρομῆς, ἀφηγεῖται τὰ κατὰ τὰς ψηφιδώδεις ἐκείνας τοιχογραφίας ὁ ἀοίδιμος Πατριάρχης Κωνστάντιος ὁ ἀπὸ Σιναίου, οὑτωσὶ λέγων· «Ἔνδοθεν τοῦ ναοῦ πρὸς » δυσμὰς ἐβλέπετο πρὸ τῆς πυρπολήσεως τούτου, τῆς πρὸ τοῦ 1782 ἔτους συμβάσης, Μι» χαὴλ ὁ Παλαιολόγος μετὰ τῆς Αὐγούστης Θεοδώρας, καὶ ἐν μέσῳ ἀμφοτέρων ὁ ἐξ αὐ» τῶν γεννηθεὶς βασιλόπαις Κωνσταντῖνος». Πρβλ. Περιγρ. Κωνσταντινουπ. σελ. 92.— (ε) Πληρέστερον ἡ τοῦ βίου αὐτοῦ εἰκὼν φωτισθήσεται πάντως ἐκ τῶν ἐν ταῖς Βιβλιοθήκαις τῆς Ἑσπερίας ὑπαρχουσῶν χειρογράφων αὐτοῦ ἐπιστολῶν (περὶ ὧν ὅρ. Fabric. Biblioth. Græc. Vol. VIII, p. 341, ἔκδ. Hamburgi), ὅταν ποτὲ αὗται ἐκδοθῶσιν.

ὡς εἰς συγγραφέα, εἰδικώτερον ἀφορῶντα, τῇ βογομιλικῇ αἱρέσει, τῇ τοῦ Αὐτοκράτορος Ἀλεξίου πρὸς αὐτὴν διαγωγῇ τε καὶ στάσει καὶ τῇ τῆς Ἐκκλησίας συμπεριφορᾷ πολυτρόπως συμπεπλεγμένα τε καὶ συνεξυφασμένα ὄντα, μονομερῶς καὶ καθ' ἑαυτὰ νοηθῆναί τε καὶ ἐξακριβωθῆναι σχεδὸν ἀδύνατον. Διὸ ἡ συναφὴς τούτων ἀφήγησίς τε καὶ ἔκθεσις ἐπιβάλλεται ἡμῖν οἱονεὶ ἀπαραίτητος ὅρος. Ἄλλως τε δὲ καὶ τῶν περὶ λόγους ὁπωςδήποτε ἀσχολουμένων οὐδείς, ὡς νομίζομεν, ἐστὶν ὁ μὴ συνομολογῶν, ὅτι τῶν παλαιῶν Συγγραφέων τὰ εἰς ἡμᾶς περιελθόντα ἔργα τότε μόνον καὶ νοοῦνται ὀρθῶς καὶ ἐκτιμῶνται προςηκόντως, ὅταν τὰ κράτιστα τῶν περιστατικῶν τοῦ καθ' ὃν ἔζησαν αἰῶνος ἐρευνηθῶσι καλῶς.

Ἀλέξιος Α' ὁ Κομνηνὸς παρὰ πάντων τῶν ἱστορικῶν ὁμοφώνως τάσσεται ἐν τοῖς δοκιμωτέροις τῶν ἐν Βυζαντίῳ βασιλευσάντων. Παρ' αὐτοῦ ἐξεδόθησαν νόμοι καλοί τε καὶ εὐεργετικοί, εἰς πάντας τοὺς τῆς διοικήσεως κλάδους ἀφορῶντες. Καὶ ἡ μὲν ἐμπορία, προστασίας τυχοῦσα ἰσχυρᾶς, κατέστη ἤδη ἀνθηροτέρα ἢ πρότερον· ταῖς δὲ τέχναις ἐχορηγήθη ἐμψύχωσις ἱκανή· τῶν δὲ μαθήσεων καὶ τῶν γραμμάτων οὐ μικρὰν ἐποιεῖτο ὁ βασιλεὺς οὗτος τὴν φροντίδα. Ἡ δὲ κρίσις ἱστορικοῦ τινος, συγχρόνου τῷ Ἀλεξίῳ, καθ' ἣν οὐχ ὡς ἔδει ἐτίμα τοὺς λόγους (α), δόσεώς τινος πικρίας ἡμῖν γε οὐκ ἄμοιρος οὖσα φαίνεται· διότι τὸν ἐν λόγοις καὶ συλλόγοις ἀνδρῶν πεπαιδευμένων τὴν ἑαυτοῦ ἐκθρεψάμενον θυγατέρα οὐκ ἄν τις εἶχε μετὰ λόγου καλέσαι τῶν λόγων καὶ τῶν λογίων καταφρονητήν. Ἄλλως τε δὲ καὶ αὐτὸς οὗτος ὁ ἱστορικός, σφαλέντα, ἐπανορθοῖ τρόπον τινὰ ἑαυτὸν ἐν οἷς περί τε τῆς Κομνηνῆς Ἄννης λέγει (β) καὶ περὶ τῶν σχολείων, τῶν ἱδρυθέντων παρὰ τοῦ αὐτοῦ αὐτοκράτορος (γ). Ὁμοίως δὲ καὶ τὰ τοῦ στόλου, ἀμελῶς ἤδη πρότερον διακείμενα, ἐβελτιώθησαν· καὶ τὰ τοῦ

(α) Ζωναρ. Χρον. βιβλ. ΙΗ', σελ. 325. «Λόγους οὐχ ὡς ἔδει τιμῶν (ὁ Ἀλέξιος), » τέως δέ γε τιμῶν».— (β) Αὐτόθ. «Ἡ Ἄννα τῆς ἐν λόγοις παιδείας ἀντείχετο, καὶ τὴν » γλῶτταν εἶχεν ἀκριβῶς ἀττικίζουσαν, καὶ τὸν νοῦν πρὸς ὕψος θεωρημάτων ὀξύτατον... » προςετετήκει γὰρ ταῖς βίβλοις καὶ λογίοις ἀνδράσι, καὶ οὐ παρέργως ὡμίλει αὐτοῖς». —(γ) Αὐτόθ. σελ. 308. Καὶ Ἀλεξιάδ. βιβλ. ΙΕ', σελ. 1165. «Καὶ ἔστιν ἰδεῖν καὶ Λα» τῖνον ἐνταῦθα (ἐν τῷ Διδασκαλείῳ) παιδοτριβούμενον, καὶ Σκύθην ἑλληνίζοντα, καὶ » Ῥωμαῖον τὰ τῶν Ἑλλήνων συγγράμματα μεταχειριζόμενον, καὶ τὸν ἀγράμματον » Ἕλληνα ὀρθῶς ἑλληνίζοντα».

στρατοῦ μάλιστα ἰδιαζούσης ἔτυχον προνοίας· καὶ γὰρ ὁ βασιλεὺς οὗτος εἶχεν ἀφ' ἑαυτοῦ καινὸν παρατάξεως σχῆμα ἐπινοήσας, καὶ τοὺς στρατιώτας ἐπιμελῶς κατ' αὐτὸ ἐξεπαίδευεν (α). Ὢν δὲ καὶ περὶ τὰ πολεμικὰ μαχιμώτατος, ἐν τοῖς πλείστοις τῶν κατὰ Φράγκων, Τούρκων καὶ Σκυθῶν πολέμων ἀνεδείχθη εὐτυχής.

Οὐχ ἧττον δέ, καθ' ἡμᾶς, βασιλεῖ πρέπουσα ἦν αὐτοῦ καὶ ἡ ἕξις εἰς τὸ ἐγκύπτειν συντόνως μελέταις θεολογικαῖς· ὧν τῶν πρὸ αὐτοῦ ἐν Βυζαντίῳ βασιλευσάντων οἱ πλεῖστοι, εἴτε τελέως παραμελοῦντες, εἴτε ὁδοῦ πάρεργον ἡγούμενοι, κακῶς ποιοῦντες, ἠρκοῦντο, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, εἰς ἀτελεῖς καὶ στοιχειώδεις τῆς χριστιανικῆς θρησκείας γνώσεις. Ἀλλ' ὁ Ἀλέξιος, καίπερ μυρίων πραγμάτων ἀνθολκαῖς ἑκάστοτε περισπώμενος, ὅμως ἐν ὥραις τακταῖς ταῖς θείαις ἐσχόλαζε Γραφαῖς, καὶ ἀνδράσι συνδιέτριβεν ἐλλογίμοις (β). Ὅτι δὲ παρὰ τὸ θεοφιλὲς καὶ πολιτικὸν ἦν ἅμα τὸ ῥυθμίζειν ἑαυτὸν καὶ κατὰ τοῦτο ταῖς περιστάσεσιν, ἐντεῦθεν δῆλον. Τὸ γὰρ πανταχόθεν ὑπὸ παντοίων ἐχθρῶν καταπολεμούμενον καὶ δονούμενον Κράτος ἐδεῖτο μάλιστα ὁμονοίας ἐσωτερικῆς, ἣν ἄρδην εἰώθασιν ἀνατρέπειν αἱ θρησκευτικαὶ πρὸ πάντων διχοστασίαι καὶ ἔριδες. Τοῦτο μὴ ἀγνοῶν ὁ αὐτοκράτωρ, ἔτι δὲ καὶ ὑπ' αὐτῶν τῶν πραγμάτων ἀναγκαζόμενος ἐσπούδαζε, φιλότιμος ἄλλως ὤν, ἵνα ἔχῃ ἑαυτὸν καὶ κατὰ τοῦτο τὸ μέρος ἐφωδιασμένον γνώσεσι καὶ ἰδέαις θεολογικαῖς οὐ ταῖς κοιναῖς. Εἰ δέ τι καὶ τὸ ἄτοπον ἐποίει μὴ ἀπαξιῶν καὶ προσωπικῶς συζητεῖν τοῖς εἰς τὰ δόγματα τῆς Ἐκκλησίας νεωτερίζουσιν, ἢ τὰ τῶν αἱρέσεων νοσοῦσι, καὶ θρησκευτικὰ ἴδια συστήματα συγκροτεῖν σπουδάζουσιν, οὓς ὡς ἄντικρυς τὰ τοῦ Κράτους θεμέλια ὑποσκάπτοντας εὐλόγως ἐξελάμβανεν, ἡμεῖς γε οὐκ οἴδαμεν. Διὸ καὶ τῷ Ζιγαβηνῷ ἡδέως συνευδοκοῦμεν, δὶς παρευρεθέντι ἐν τοιαύταις πρὸς τοιούτους συζητήσεσι τοῦ αὐτοκράτορος καὶ ἀγασθέντι αὐτοῦ, καὶ ὥς τι ἀξιόλογον παρασημειωσαμένῳ τήν τε περὶ τὰ θεολογικὰ αὐτοῦ τριβὴν καὶ τὴν ἄλλην εὐχέρειαν, μεθ' ἧς ἤτοι κατέβαλλεν αὐτοὺς ἢ παρή-

---

(α) Ἀλεξιάδ. ΙΕ', σελ. 1128.— (β) Ζιγαβην. ἐν Δογμ. Πανοπλ. ἐν ἀρχῇ. « Καιροὺς ἀποταξάμενος (ὁ Ἀλέξιος) τῇ μελέτῃ τῶν θεοπνεύστων Γραφῶν, ὅτε καὶ μικρὰν ἐκεχειρίαν ἦγεν ἀπὸ τῶν δημοσίων καὶ κοινωφελῶν φροντίδων, ἀναγνώσει φιλοπόνῳ συντόνως ἑαυτὸν ἐπεδίδου, συναιρομένους ἔχων τοὺς παρατυχόντας τῶν ἐλλογίμων, ὧν πολλῶν καὶ καλῶν εὐπορεῖν εἴωθεν ἀεὶ τὰ βασίλεια ».

νει ἢ μετέπειθε περὶ ἐπιστροφῆς εἰς τοὺς κόλπους τῆς Ἐκκλησίας (α).

Ὁμοίως πρὸς ἐπαναγωγὴν εἰς τὴν πρὸς τὴν Ἐκκλησίαν ἕνωσιν τῶν ἀνὰ τὴν Θρᾴκην διεσπαρμένων Παυλικιάνων, ἢ Παυλοϊωάννων ὀρθότερον, ὁ τρόπος οὗτος τῆς ἐνεργείας αὐτοῦ ἐκ τῶν ἀποτελεσμάτων πολιτικώτατός τε ἐδείχθη καὶ ὠφελιμώτατος. Καὶ γὰρ μετὰ στρατείας ἐπιμόχθους ἀναψυχῆς χάριν διατρίϐων περὶ τὴν Φιλιππούπολιν, τοὺς τοιούτους, ὄντας τῷ πλήθει πολλούς, καὶ ἰδίας ἀποτελοῦντας θρησκευτικὰς ὁμάδας, συντόνῳ τῇ σπουδῇ ἐσπούδαζε, καὶ δὴ καὶ αὐτοπροςώπως, ἵνα συνάψῃ τῇ Ἐκκλησίᾳ· τοῦθ᾽ ὅπερ κατὰ τὸ πλεῖστον καὶ κατώρθωσεν (ϐ).

Ἀλλ᾽ ἔτι ἐντονωτέραν τὴν ἀξιόλογον ταύτην τοῦ αὐτοκράτορος Ἀλεξίου διάθεσιν ὁρῶμεν ἐκδηλουμένην ἐν ᾧ προςηνέχθη τρόπῳ πρὸς τὴν ἄρτι ἀναφανεῖσαν τῶν Βογομίλων αἵρεσιν, φοϐερὰν οὖσαν καὶ ἐπικίνδυνον. Πλὴν περὶ ταύτης ὁ λόγος εὐθὺς παρακατιών. Ἐνταῦθα δὲ παρεκβατικώτερον εἰρήσθω, ὅτι ἄλλως περὶ τούτου δοκεῖ πολυμαθεῖ τινι τῶν ἀλλογενῶν, ἀνεστραμμένως πασῶν καὶ τῶν πράξεων καὶ τῶν ἕξεων τῶν Βυζαντίων ἀντιλαμϐανομένῳ. Οὔλλμαννος καλεῖται ὁ ἀνήρ, καὶ ἐν τοῖς θεολόγοις οὐκ ἄσημος κρίνεται. Ὅς τὸν μὲν Ἀλέξιον, ὡς κατατριϐόμενον δῆθεν περὶ τὰ θεολογικὰ καὶ σφοδρῶς καταδιώκοντα τὴν βογομιλικὴν πλάνην, μέμφεται· τοῦ δὲ ἡμετέρου Εὐθυμίου, ἐπαινοῦντος αὐτὸν ἐπὶ τούτῳ, δεινότερον καθάπτεται. Λέγει γὰρ ἐπὶ λέξει· « Ἀλλ᾽ ὅ,τι τῷ αὐτοκράτορι τούτῳ ἐλαχίστην περι-
» ποιεῖ τιμήν, ὅ ἐστιν ἡ ἀπρεπὴς αὐτοῦ εἰς δογματικὰς ἔριδας τάσις
» καὶ ἡ πρὸς διωγμοὺς ῥοπή, τοῦτο πρὸ πάντων παρὰ τοῦ Εὐθυμίου
» ἐξαίρεται· καὶ γὰρ γνωστὸν πῶς ὁ Ἀλέξιος προςηνέχθη πρὸς τοὺς

(α) Αὐτόθ. « Ἔνθεν τοι καὶ τὴν γλῶτταν ταῖς παρατρίψεσι τῶν τοιούτων λόγων ἀκο-
» νηθεὶς ἀμφίστομος ἀπετελέσθη μάχαιρα κατὰ τῶν βλασφήμων δογμάτων καὶ διδαγμά-
» των, καὶ πέλεκυς κόπτων πέτραν, τὸ τῆς Γραφῆς εἰπεῖν, τὴν σκληρὰν καὶ πεπωρωμέ-
» νην ἀναισθησίαν τῶν θεομάχων, ὡς αὐτὸς ἐγὼ δὶς παρατυχὼν διαλεγομένῳ κατενόησα,
» καὶ παρεσημειωσάμην ». — (ϐ) Ζωναρ. αὐτόθ. ΙΗʹ, σελ. 316. « Περὶ τὴν Φιλιππού-
» πολιν ὁ Ἀλέξιος σκηνωσάμενος, ἐκεῖ τὸν ἐαρινόν τε καιρὸν καὶ τὸν θέρειον ἤδη δὲ καὶ
» πολὺ τοῦ μετοπώρου διέτριϐεν. Καὶ ἦν ἔργον αὐτῷ τῆς ἐκεῖσε διατριϐῆς ἡ μετὰ τῶν
» Μανιχαίων διάλεξις, οὓς Παυλικιάνους ἡ δημώδης ὀνομάζει φωνή (πολὺ γὰρ τοῦτο τὸ
» γένος ἐν τῇ χώρᾳ ταύτῃ κατῴκισται, τοῦ βασιλέως Ἰωάννου τοῦ Τσιμισκῆ μεταγα-
» γόντος ἐκ τῆς Ἑῴας αὐτὸ κἀν ταύτῃ ἐγκατοικίσαντος)· οἷς διαλεγόμενος πολλοὺς πρὸς
» τὴν ὀρθόδοξον πίστιν μετήνεγκεν ».

» τότε αἱρετικούς, καὶ ἰδίως τοὺς Βογομίλους· δι' οἵας ἀγεννοῦς ἀπά-
» της αὐτοὺς συνέλαβε, καὶ μεθ' οἵας ἀντιχριστιανικῆς σκληρότητος
» ἐτιμώρησεν. Ἄρα ὅ ὁ Εὐθύμιος ἀναφέρει ὡς μέγαν αὐτοῦ ἔπαινον,
» ἤτοι ὅτι ὁ Αὐτοκράτωρ Ἀλέξιος, μὴ ἀρκούμενος τῇ στοιχειώδει ὁμο-
» λογίᾳ τῆς πίστεως, παντοιοτρόπως ἐσπούδασεν ἵνα συλλέξῃ τε καὶ
» συναρμολογήσῃ τὰ δόγματα τῆς Ὀρθοδοξίας, καὶ ὅτι περὶ οὐδὲν(;)
» ἄλλο ἐφιλοτιμεῖτο τοσοῦτον, ὅσον περὶ τὸ καταθλίβειν τὰς αἱρέσεις,
» τοῦτο τοῖς ὠσὶν ἡμῶν ἠχεῖ ὡς εἰρωνεία (!) σχεδόν» (α).

Καὶ ταῦτα μὲν ὁ Οὔλλμαννος, ὅς αὖθις ἡμῖν συναντήσει προϊόντος τοῦ λόγου, τῇ μακρᾷ συνηθείᾳ τῶν πλείστων κατὰ τὴν Ἑσπερίαν λογίων πιστῶς ἑπόμενος. Τὸ δ' ἀληθὲς εἰπεῖν, ὁ Ἀλέξιος ἐν τῇ περὶ ἧς ὁ λόγος αἱρέσει ἀνατρεπτικοὺς καὶ ἀνοσίους ἀνακαλύψας σκοπούς, οὔτε ἀδρανὴς οὔτε ἀδιάφορος διέμεινεν, ὥςπερ καὶ ἔδει· ἀλλὰ πρὸς καιρὸν πάντα τὰ ἄλλα δεύτερα ἡγησάμενος ἑαυτὸν ὅλως ἐπὶ ταύτης συνεκέντρου (β).

Ἤδη δ' ὥρα καὶ τὰ κατὰ τὴν βογομιλικὴν ἐκθέσθαι αἵρεσιν, μεγάλως τε συνταράξασαν τότε τὰς συνειδήσεις τῶν ἀνθρώπων καὶ αἰτίαν τὸ πλεῖστον καθ' ἡμᾶς γενομένην τούτου δὴ τοῦ ζιγαβηνείου φιλοπονήματος. Ἀπὸ τῆς ἐπὶ τὸν θρόνον ἀναβάσεως τοῦ Ἀλεξίου οὐ μακρὸς παρῆλθε χρόνος, ὅτε ἐν τῇ βασιλευούσῃ καὶ κατὰ τὰς ἐπαρχίας τοῦ Κράτους διεθρυλεῖτο ὅτι φοβερὰ τεκταίνεται συνωμοσία, τὴν ἀνατροπὴν βυσσοδομοῦσα τῶν θρησκευτικῶν καθεστώτων. Οἱ βυσσοδομοῦντες ἐλέγετο ὅτι ἦσαν τέως ἀγνώστου αἱρέσεως ὀπαδοί, οἵτινες ἔπειτα ἐκλήθησαν Βογόμιλοι, ἐκ τοῦ *Βόγος* καὶ *μίλος*, ἃ ἐν τῇ τῶν Βουλγάρων γλώσσῃ σημαίνοντα *Θεὸς* καὶ *ἐλέησον*, τὸν παρὰ Θεοῦ ἠλεημένον ὑποδηλοῦσιν (γ). Ἡ αἵρεσις αὕτη διαπλουμένη ἐπιτηδείως πλείστους ὁσημέραι προςεκτᾶτο θιασώτας οὐ μόνον ἐκ τοῦ κοινοῦ ὄχλου, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἐπιφανῶν τάξεως (δ). Τὸ δὲ ὀλε-

---

(α) Ullmann Nicolaus von Methone, Euthymius Zigabenus und Nicetas Choniates, oder die dogmatische Entwikelung der griechishen Kirche im zwölften Jahrhundert. Ἐν τῷ περιοδ. Stud. und Kritik, 1831, σελ. 667.— (β) Ἀλεξιάδ. βιβλ. ΙΕ', σελ. 1169. «Ἀπάρτι τὸ πολὺ τῆς τῶν ἑσπερίων καὶ ἑῴων ἀποθέμε» νος φροντίδος πρὸς τὸ πνευματικώτερον ἑαυτὸν ἐπέτεινεν ».— (γ) Εὐθ. Ζιγαβ. Δογμ. Πανοπλ. τίτλ. ΚΖ'. «*Βόγον* μὲν ἡ τῶν Βουλγάρων γλῶσσα καλεῖ τὸν Θεόν, *μίλον* δὲ » τὸ ἐλέησον. Εἴη δ' ἂν Βογόμιλος κατ' αὐτοὺς ὁ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισπώμενος » — (δ) Ἀλεξιάδ. ΙΕ', σ. 1176. « Καὶ ἐνεβόθυνε τὸ κακὸν τῆς αἱρέσεως καὶ εἰς οἰκίας με» γίστας ».

θριώτερον· τὸ ταύτης μίασμα διεδίδοτο καὶ παρὰ ταῖς γυναιξί· διότι ὁ τῆς αἱρέσεως ἀρχηγέτης ἐν τοῖς πιστοτέροις τῶν μαθητῶν αὐτοῦ κατελέγετο καὶ γύναια παμπόνηρα καὶ διεφθαρμένα, ἵνα δι' αὐτῶν ἡ αἱρετικὴ αὐτοῦ διδασκαλία ἐπινέμηται εὐχερῶς τὰς ἁπαλωτέρας ψυχάς (α). Ὠνομάζετο δὲ οὗτος Βασίλειος· καὶ ἦν, ὡς ἔοικε, τὸ γένος Βούλγαρος, μοναχὸς τὴν τάξιν, ἰατρὸς τὸ ἐπάγγελμα. Ὡς πρὸς δὲ τὴν ἔξω ἰδέαν τὸ μὲν πρόσωπον εἶχε κατεσκληκός, τὴν δὲ ὑπήνην ψιλήν, τὴν δὲ ἡλικίαν εὐμήκη (β). Καὶ οἷα μὲν τὰ τὴν αἵρεσιν συγκροτοῦντα δόγματα δηλώσει ὁ λόγος ἐφεξῆς. Ἀλλ' ἐκ τῶν πρακτικῶν αὐτῆς παραγγελμάτων καὶ τῶν ἠθικῶν ἀξιωμάτων, καθ' ἃ τῶν Βογομίλων τὸ ἦθος καὶ ἡ πρὸς τοὺς Ὀρθοδόξους σχέσις ἐρρυθμίζετο, ἔστιν ἐναργῶς καταμαθεῖν τὰς αἰτίας, δι' ἃς ἥ τε πολιτικὴ καὶ ἡ ἐκκλησιαστικὴ ἀρχὴ ἐκαυτηρίασαν αὐτήν, ἅμα ἀναφανεῖσαν, ὡς κακὸν κινδυνῶδες καὶ ἀπαίσιον. Ἐν τοῖς τοιούτοις δὲ τῆς αἱρέσεως ἀξιώμασι τὸ μᾶλλον ἐναργῶς τὸ πρακτικὸν αὐτῆς χαρακτηρίζον μέρος ἐστὶ τὸ «τρόπῳ σώθητε», ὃ ὁ αἱρεσιάρχης Βασίλειος τοῖς ἑαυτοῦ μαθηταῖς, ὡς τοῦ Χριστοῦ ἐντολὴν παρεδίδου, ἐν τῷ κατ' αὐτόν, ὡς διετείνετο, Εὐαγγελίῳ εὑρισκομένην. Ἐδήλου δὲ τὸ ἔνταλμα ὅτι πάντες οἱ Βογόμιλοι κρύφα μὲν ὤφειλον τῆς ὀρθοδοξίας τὰ δόγματα διαβάλλειν καὶ τῇ Ἐκκλησίᾳ ὄλεθρον ὑπομονεύειν· δημοσίᾳ δὲ ὅμως τὴν τῶν Ὀρθοδόξων πίστιν ὑποκρίνεσθαι ἵνα σώζωνται ἐκ τοῦ κινδύνου τοῦ φανεροῦσθαι. Κατ' αὐτὸ δὲ τοῦτο πάλιν οἱ Βογόμιλοι ἀγαστόν τι καὶ μέγα κατόρθωμα ὑπελάμβανον καὶ τὸ περικαλύπτειν τὸ ἔνδον φρόνημα, φαῦλον ὂν καὶ κακόηθες, σεμνότητι ἐπιπλάστῳ. Ὅθεν ἀπέβησαν πανουργότατοι τὸν χαρακτῆρα καὶ ὑποκριτικώτατοι (γ). Τοῦθ' ὅπερ ἐξηγεῖ καὶ τὸ ἄλλως παράδοξον ἀληθῶς καὶ δύσπιστον ὃ πάντες οἱ περὶ τῆς αἱρέσεως ταύτης λόγον ποιούμενοι ἱστορικοὶ ἀναφέρουσιν·

(α) Αὐτόθ. «Δώδεκα μὲν ἔχων μαθητάς, οὓς ἀποστόλους ὠνόμαζε, συνεφελκόμενος » δὲ καὶ μαθητρίας τινὰ γύναια κακοήθη καὶ παμπόνηρα, ἐφήπλωσε τὴν κακίαν ἁπανταχοῦ ».— (β) Αὐτόθ. σελ. 1169.— (γ) Ζιγαβ. Στηλιτ. «Οἱ δόλιοι μέσον ἡμῶν πε» ριπατοῦντες καὶ συναναστρεφόμενοι ἐν ὑποκρίσει φαίνονται τὰ ἡμέτερα πάντα φρονοῦν» τες».—Γερμανοῦ Πατρ. Κ/πόλεως Λόγ. εἰς τὴν ἀναστήλωσιν τῶν εἰκόνων. « Πολλοὶ » (Βογόμιλοι) ἀρτίως περιπατοῦσι καὶ τὰς οἰκίας εἰσδύουσιν ἐν σκότει διαπορευόμενοι, » καὶ σχήματι εὐλαβείας πολλοὺς συναρπάζουσι· σκοτεινόμορφοι γὰρ ὄντες διάβολοι, εἰς » ἀγγέλους φωτὸς μετασχηματίζονται ».— Ἀλεξιάδ. σελ. 1168. « Καὶ ἐσκυθρώπακεν ὁ » Βογόμιλος, καὶ μέχρι ῥινὸς σκέπεται, καὶ κεκυφὼς βαδίζει, καὶ ὑποψιθυρίζει τὸ στόμα, » τἄνδοθι δὲ λύκος ἐστὶν ἀκάθεκτος ».

ὅτι δηλαδὴ ἐπὶ πεντηκονταετηρίδα ὅλην διηπλοῦτο τοὺς πάντας λανθάνουσα (α).

Ὁ τοίνυν Ἀλέξιος τὰ κατ' αὐτὴν παρ' ἀξιοπίστων ἀκούσας κατεθορυβήθη, ὡς εἰκός. Ὢν δ' ἄλλως ῥέκτης, καὶ περὶ τὰ ἐκκλησιαστικὰ ἡδέως ἀσχολούμενος, μετὰ συντόνου τῆς σπουδῆς ἐπελάβετο τῆς ἀκριβεστέρας τῶν κατ' αὐτὴν ἐρεύνης. Ὅθεν πάραυτα τῷ τούτου προστάγματι ἀναζητηθέντες τινές, ἐπὶ τῇ αἱρέσει ταύτῃ ὑπόπτους ἑαυτοὺς παρασχόντες, ὡδηγοῦντο εἰς τὰ ἀνάκτορα. Πάντες δ' ἐκεῖ ἀνακριθέντες κατήγγελλον ὁμοφώνως τὸν Βασίλειον ὡς τῆς μὲν αἱρέσεως πρωτοστάτην, ἑαυτῶν δὲ διδάσκαλον. Εἷς δέ τις, Διλβάτιος τοὔνομα, ἐπεὶ ἐρωτώμενος οὐκ ἤθελεν ὁμολογεῖν, αἰκίαις παραδοθεὶς οὐ μόνον τὸν εἰρημένον Βασίλειον ὡμολόγησεν, ἀλλὰ καὶ οὓς ἐκεῖνος εἶχε προχειρίσας δώδεκα Ἀποστόλους. Ἐρεύνης δὲ ἐπιμελοῦς γενομένης καὶ ζητήσεως, εὑρέθη οὗτος, καὶ εἰς Κωνσταντινούπολιν μετενεχθείς, παρέστη ἐνώπιον τοῦ αὐτοκράτορος· ὅς τὸ τῆς ἁπλῆς ἀνακρίσεως ἀνίκανον νομίσας εἰς τὸ ἀνιχνεῦσαι αὐτοῦ τἀληθῆ δόγματά τε καὶ φρονήματα, ἄλλον τινὰ ἐμεθοδεύθη τρόπον πρὸς ἀσφαλεστέραν ἐπιτυχίαν τοῦ τέλους· ὅ ἐστιν ἔγνω πᾶσαν αὐτῷ προσήνειαν ἐνδείξασθαι καὶ ἀφοσίωσιν. Ὥστε ὑπεξανέστη τοῦ θρόνου, ἅμα αὐτοῦ εἰσελθόντος, ἐκάθισέ τε παρ' ἑαυτῷ καὶ τραπέζης ἠξίωσε κοινωνῆσαι τῆς αὐτῆς. Ἐξυμνῶν δὲ εἶτα αὐτοῦ τὰς ἀρετάς, προσελιπάρει καὶ ἐδέετο, ἵνα φανερώσῃ καὶ αὐτῷ, σφόδρα ἐφιεμένῳ μαθητῇ αὐτοῦ γενέσθαι, τὰ παρ' αὐτοῦ εἰσηγούμενα. Ὁ δὲ Βασίλειος τὸ κατ' ἀρχὰς μὲν ἐσχηματίζετό τε καὶ ἀπεπήδα πρὸς τὰ λεγόμενα. Χαυνωθεὶς ὅμως τοῖς ἐπαίνοις ἤρξατο ἀφηγεῖσθαι ἀναφανδὸν τῆς ἑαυτοῦ αἱρέσεως τὰ δόγματα. Τούτων δ' οὕτως ἀποκαλυφθέντων, καὶ παρὰ βασιλικοῦ γραμματέως, ὄπισθεν τῆς σκηνῆς κρυπτομένου, ἀπογραφέντων, τὸ μὲν παραπέτασμα, ᾧ ἐπίτηδες τὸ δωμάτιον ἀπετειχίζετο, αἴρεται· συγκαλοῦνται δὲ πάραυτα καὶ ἐμφανίζονται ἡ Σύγκλητος καὶ ὁ Πατριάρχης (Νικόλαος ἦν οὗτος ὁ Γραμματικὸς) μετὰ τῶν ἐγκρίτων τοῦ ἱεροῦ Κλήρου, ἐν οἷς καὶ ὁ Ζιγαβηνὸς παρῆν. Ὁ γραμματεὺς τότε ἀναγινώσκει εἰς ἐπήκοον πάντων τὰ γραφέντα. Μεθ' ὃ τὸν αἱρεσιάρχην

(α) Δογμ. Πανοπλ. ΚΖ'. κδ'. «Ἐν πλείοσι τῶν τεσσαράκοντα ἐτῶν».— Ζωναρ. Χρον. βιβλ. ΙΗ', σελ. 305. «Ἐν ἔτεσι μὲν πεντεκαίδεκα τὰ τῆς πλάνης μαθὼν (ὁ Βα» σίλειος) ὀλέθρια δόγματα· ἐν δὲ δυσὶ καὶ πεντήκοντα διδάξας αὐτὰ κἑξ.».

Βασίλειον, παρόντα καὶ τοῦτον, γυμνῇ ἤδη τῇ κεφαλῇ τὰ οἰκεῖα δόγματα ὑπερασπίζοντα, πάσῃ οἱᾳδήποτε τιμωρίᾳ πρόθυμον ἑαυτὸν παρασχεῖν τε διαβεβαιούμενον καὶ οὐδένα κἂν λόγον περὶ μεταμελείας ἀκοῦσαι ἀνεχόμενον, ἀπήγαγον εἴς τινα πλησίον τῶν ἀνακτόρων οἰκίσκον, ἄρτι δι' αὐτὸν κατασκευασθέντα. Ἐκεῖθεν ὁ αὐτοκράτωρ ἐκάλει αὐτὸν συνεχῶς παρ' ἑαυτῷ καὶ παντοίαις παραινέσεσιν ἐπειρᾶτο μετατρέψαι αὐτοῦ τὸ φρόνημα. Ἀλλ' ἀπέβη ἀδύνατον.

Ἐν τῷ μεταξὺ χρόνῳ περιεζητοῦντο πανταχοῦ καὶ συνελαμβάνοντο τοῦ Βασιλείου οἱ ὀπαδοί. Ἀνευρέθησαν δὲ καὶ οἱ δώδεκα αὐτοῦ ἀπόστολοι, οὓς πάντας ὁμοίως ὁ αὐτοκράτωρ μεταπεμψάμενος ἀπεπειρᾶτο καὶ τούτων τῆς γνώμης. Καὶ οἱ μὲν ἀντεποιοῦντο διαρρήδην τῆς αἱρέσεως καὶ ἐλευθέρως ἑαυτοὺς τοῦ Βασιλείου εἶναι μαθητὰς καὶ συμμύστας ὡμολόγουν καὶ οὐκ ἀπέκρυπτον. Οἱ δὲ πρὸς τοὺς ἐλέγχοντας ἀνθίσταντο ἰσχυρῶς καὶ ἀπέπτυον τὴν αἵρεσιν δημοσίᾳ. Ὁ οὖν αὐτοκράτωρ, ἵνα οἱ ὄντως αἱρετικοὶ διακριθῶσι τῶν μὴ τοιούτων, ἐπινοεῖται τόνδε τὸν τρόπον. Προσετάξατο ἵνα ἀναφθῶσι δύο κάμινοι, καὶ σταυρὸς παρὰ τῇ μιᾷ ἐμπαγῇ. Καὶ ὅσοι ὡς βογομιλίζοντες κατηγγέλθησαν, οὐκ ἦσαν δὲ τοιοῦτοι, πρὸς ταύτην ὤφειλον προσχωρῆσαι· διότι ἔλεγε «βέλτιον Χριστιανοὺς αὐτοὺς ὄντας ἀποθανεῖν, » ἢ ζῶντας, ὡς Βογομίλους, διώκεσθαι, καὶ τὰς τῶν πολλῶν τύπτειν » συνειδήσεις» (α). Οἱ δὲ τῆς αἱρέσεως ἀληθῶς ἀντεχόμενοι πρὸς τὴν ἑτέραν ἔμελλον ἐμβληθῆναι. Ὅθεν ἐν ἡμέρᾳ τακτῇ περὶ τὰς καιομένας καμίνους περιειστήκει πλῆθος πολύ. Τῶν δὲ ὑποδίκων τοῖς μὲν τὸ ἄφυκτον τοῦ πράγματος ὁρῶσι καὶ πρὸς τὴν τοῦ σταυροῦ κάμινον σπεύδουσιν, ὡς συκοφαντουμένοις, ἀνηγγέλθη ἡ χάρις τοῦ αὐτοκράτορος, καὶ ἀπελύθησαν. Ὅσοι δὲ πρὸς τὴν ἑτέραν ἐχώρουν, ὡς ὄντως αἱρετικοὶ διακριθέντες, οὐ κατεκάησαν μέν, καθείρχθησαν δὲ ὅμως. Ἐξ αὐτῶν ὁ αὐτοκράτωρ ἄλλους μὲν παρ' ἑαυτῷ καθ' ἑκάστην καλῶν παρήνει, ἵνα ἀποπτύσωσι τὴν μυσαρὰν αἵρεσιν· πρὸς ἄλλους δὲ ἔπεμπε λογάδας τοῦ ἱεροῦ Κλήρου διδάξοντας τῆς ὀρθοδοξίας τὰ δόγματα. Καὶ οἱ μὲν εἰλικρινῶς μετανοήσαντες ἠλευθερώθησαν, οἱ δὲ ἀμετάτρεπτοι τὴν γνώμην διαμείναντες, δαψιλῆ ἔχοντες τὴν χορηγίαν τροφῆς καὶ ἐνδυμάτων, ἐν ταῖς φυλακαῖς κρατούμενοι ἀπέθανον. Ὁ δὲ αἱρεσιάρχης Βασίλειος, πρὸς ὃν πολλὰ πολλάκις ὁ αὐτοκράτωρ

(α) Ἀλεξιάδ. βιβλ. ΙΕ', σελ. 1178.

προςωμίλησεν, ἄκαμπτος ἐν τῇ πλάνῃ διατελέσας, κατεκρίθη εἰς τὸν διὰ πυρὸς θάνατον. Ὅθεν ἐν τῷ τῆς πόλεως ἱπποδρόμῳ, πλήθους παρεστῶτος πολλοῦ, ἐν οἷς καὶ Βογόμιλοι, μεγάλη ἥφθη πυρὰ καὶ οὐ μακρὰν αὐτῆς ἐνεπάγη σταυρός. Σκοπὸς δὲ τοῦ αὐτοκράτορος ἦν, ἵνα ὁ κατάδικος, τῇ τῆς πυρᾶς πτοηθεὶς θέᾳ, ἀντὶ τοῦ χωρῆσαι εἰς τὴν φλεγομένην κάμινον, προβῇ μᾶλλον εἰς τὸν σταυρόν, καὶ οὕτως ἀπαλλάξῃ αὐτὸν τοῦ θανάτου. Ἀλλ᾽ ὁ Βασίλειος, πεποιθὼς ὅτι ἄγγελοι αὐτὸν ἐξαρπάσουσιν ἐκ μέσου τοῦ πυρός,κατεγέλα καὶ κατεφρόνει τῆς ἀπειλῆς. Διὸ καὶ ὑπέψαλλε τὸ δαυϊδικόν· «πρὸς σὲ δὲ » οὐκ ἐγγιεῖ, πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις» (α). Ὅτε ὅμως προςήγγισε τῇ φλεγομένῃ καὶ βροντώσῃ φλογί, ἤρξατο ἀποδειλιᾶν καὶ θορυβεῖσθαι· ἔστρεφε δὲ τῇδε κἀκεῖσε τὰς ὄψεις συνεχῶς, ἐκρότει τὰς χεῖρας καὶ ἐπάτασσε τὸν μηρόν. Πλὴν ἀλλὰ πάλιν συνῆλθε, καὶ ἔστη ἀκίνητος. Ἐπεὶ δὲ αἱ τερατολογίαι αὐτοῦ ἐφέροντο διὰ τοῦ στόματος τοῦ ὄχλου, οἱ δήμιοι, φοβηθέντες, μήπως οἱ περὶ αὐτὸν δαίμονες ἀλώβητον αὐτὸν τηρήσωσιν ἐκ τοῦ μέσου τοσαύτης φλογός, ὀρθὸν ἔκριναν ἵνα ποιήσωσι προηγουμένως δοκιμασίαν τινά. Ὅθεν ἔρριψαν εἰς τὸ μέσον τῆς πυρᾶς τὸν μανδύαν αὐτοῦ. Καὶ ὁ μὲν Βασίλειος φαντασιοκοπῶν ἔλεγεν ὅτι βλέπει αὐτὸν εἰς τὸν ἀέρα ἀνυψούμενον· οἱ δὲ δήμιοι, κατανοήσαντες ὅτι ἐγένετο τῆς φλογὸς παρανάλωμα, ἀπέωσαν καὶ αὐτὸν παρευθὺς εἰς αὐτήν, ὑποστάντα ὁμοίως τὴν αὐτὴν τύχην.

Καὶ τοιοῦτο τὸ τέλος, ὃ ἐδέξαντο τὰ κατὰ τὸν αἱρεσιάρχην Βασίλειον καὶ τοὺς κορυφαίους τῶν ὀπαδῶν αὐτοῦ (ϐ).

(α) Ψαλμ. ϟ′, 8.— (ϐ) Ἐκ τῶν ἀνωτέρω εἰρημένων ἀφορμὴν λαμβάνοντες σημειωτέον ἐνταῦθα ἡγούμεθα τοῦτο δὴ τὸ συνεχῶς μὲν λεγόμενόν τε καὶ ἐπαναλαμβανόμενον, ἀλλὰ καὶ συνεχῶς, ὡς μὴ ὤφελε, τῇ λήθῃ παραδιδόμενον· ὅτι δηλαδὴ τὰ καθ᾽ οἱανδήποτε ἱστορικὴν περίοδον συμβάντα ἀντιπαραβάλλειν ἀεὶ χρὴ τοῖς τῶν συγχρόνων αἰσθήμασι καὶ φρονήμασι, καὶ μὴ τῷ καθ᾽ ἡμᾶς πήχει μετρεῖν· ἤ, ὥςπερ ὁ Πλούταρχος (ἐν Συγκρ. Σόλων. καὶ Ποπλικ.) σοφώτατα παραινεῖ, «δεῖ πρὸς τοὺς ὑποκειμένους καιροὺς »τὰς πράξεις θεωρεῖν». Διότι οὕτω καὶ μόνον οὕτως ἐπὶ τὴν ἱστορουμένην ἐποχὴν τῇ διανοίᾳ φερόμενοι θεώμεθα ἀπροκατάληπτοι τὴν εἰκόνα τοῦ βίου τῶν τότε ἀνθρώπων, κατανοοῦμεν καλῶς τὰ κινοῦντα αὐτοὺς ἐλατήρια καὶ τὰ πάθη καὶ δικάζομεν τὰς πράξεις εὐστόχως καὶ ἐπιεικῶς. Ἄλλως, τῶν πάντων ἀνεστραμμένως ἀντιλαμβανόμενοι, οὐδὲν ἐκ τοῦ παρελθόντος ὑγιὲς δίδαγμα ἀρυόμεθα εἰς διόρθωσιν ἢ καλλίονα ῥύθμισιν τῶν καθ᾽ ἡμᾶς. Ταῦτα ὡς ἐν παρόδῳ.

Μετὰ τὰ εἰρημένα φέρε ἴδωμεν νῦν καὶ τὰ τῆς καινοφανοῦς τότε αἱρετικῆς πλάνης δόγματα.

Ἡ βογομιλικὴ αἵρεσις, καθόλου εἰπεῖν, κρᾶμα ἦν καὶ συμπίλημα ἐξ ἄλλων τε ποικιλομόρφων αἱρετικῶν στοιχείων ἐσχηματισμένη καὶ μάλιστα ἐκ δογμάτων τῶν παλαιῶν Μασσαλιανῶν ἢ Εὐχητῶν, ἐκ θεωριῶν τῶν Γνωστικῶν καὶ ἐκ κακοδοξιῶν τῆς Εἰκονομαχίας. Ὡς τοιαύτη δὲ οὔτε ἤρθη ποτὲ ἀφ' ἑαυτῆς εἰς αὐτόβουλον ἐξέτασιν τῶν χριστιανικῶν δογμάτων, οὔτε εἰς ὑψηλὴν θεολογικὴν συζήτησιν ἀφορμήν τινα παρέσχεν, οὔτε εἰς πληρέστερον καθορισμὸν δόγματός τινος συνετέλεσε τὸ παράπαν. Πρὸς οἷον δ' ἀπ' ἀρχῆς ἔτεινε πρακτικὸν σκοπόν, ἤτοι τὴν ἀνατροπὴν πάσης ἐκκλησιαστικῆς εὐταξίας ἔν τε δόγματι, πολιτεύματι καὶ λατρείᾳ, πρὸς τοῦτον τὸν ἑαυτῆς διεμόρφωσε χαρακτῆρα.

Οἱ Βογόμιλοι ἐπίστευον εἰς τὰ τρία τῆς μακαρίας Τριάδος πρόσωπα ἁπλῶς ἐν προσχήματι ἀπάτης τῶν ἁπλουστέρων· καὶ γὰρ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα προσῆπτον τῷ Πατρὶ ὡς ἁπλᾶς αὐτοῦ κλήσεις, κατὰ Σαβέλλιον.

Δισχυρίζοντο ὅτι οὐ μόνον κατ' ὄναρ, ἀλλὰ καὶ καθ' ὕπαρ σωματικοῖς ὀφθαλμοῖς ἔβλεπον τὸν μὲν Πατέρα ὡς γέροντα βαθυγένειον, τὸν δὲ Υἱὸν ὡς ὑπηνήτην ἄνδρα, τὸ δὲ Πνεῦμα ὡς λειοπρόσωπον νεανίαν. Ἔτι ἐδόξαζον ὅτι ὁ Πατήρ, εἰς ὃν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἀνελύθησαν αὖθις, ἀπὸ τοῦ πεντακισχιλιοστοῦ καὶ πεντακοσιοστοῦ ἔτους χρηματίσας ἐπὶ τρία καὶ τριάκοντα ἔτη τριτοπρόσωπος, πάλιν ἐγένετο μονοπρόσωπος. Καὶ ἦν ἀσώματος μέν, ἀνθρωπόμορφος δ' ὅμως. Ἄχρι δὲ τοῦ πεντακισχιλιοστοῦ πεντακοσιοστοῦ ἔτους οὔτε Υἱὸς οὔτε Πνεῦμα ὑπῆρχεν. Τὴν δὲ ἀρχήν, ὡς καὶ τὸ ὄνομα, ἔκτοτε ἔλαβον. Καὶ ὁ μὲν Πατὴρ ἐγέννησε τὸν Υἱόν· ὁ δὲ Υἱὸς τὸ ἅγιον Πνεῦμα· τοῦτο δὲ ἐγέννησε πνευματικῶς τὸν προδότην Ἰούδαν καὶ τοὺς ἕνδεκα Ἀποστόλους. Τὴν τελευταίαν ταύτην δόξαν, ἄλλοθεν σφετερισθέντες οἱ Βογόμιλοι, ἐστήριζον ἐπὶ τοῦ χωρίου α', 2 τοῦ εὐαγγελιστοῦ Ματθαίου.

Ὁ παρὰ τοῦ Σωτῆρος ἐν τῷ Εὐαγγελίῳ ὀνομασθεὶς Σατανᾶς ἦν καὶ αὐτός, κατ' αὐτούς, Υἱὸς τοῦ Πατρός, καὶ μάλιστα τοῦ Υἱοῦ καὶ Λόγου ἰσχυρότερος, ἅτε πρεσβύτερος. Τοῦτον προσηγόρευον οἱ Βογόμιλοι Σαταναήλ, καὶ ἐξελάμβανον μετὰ τὸν Πατέρα δεύτερον, τὴν αὐτὴν αὐτῷ μορφὴν καὶ στολὴν περικείμενον καὶ τῆς μετ' αὐτὸν τι-

μῆς ἀξιούμενον. Ὑφ' ἧς ὅμως ἐπαρθεὶς αὐτός τε ἐμελέτησεν ἀποστασίαν καὶ τὰς ἄλλας λειτουργικὰς δυνάμεις παρέπεισεν, ἵνα, ἀποστατήσασαι, κουφισθῶσι τοῦ βάρους τῆς λειτουργίας. Ἀλλ' ὁ Θεὸς τὴν ἐπιβουλὴν νοήσας ἔρριψε πάντας αὐτοὺς ἄνωθεν. Εἰς βεβαίωσιν δὲ τῆς δόξης ταύτης παρῆγον τὴν ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ (ις', 1) παραβολὴν τοῦ οἰκονόμου τῆς ἀδικίας.

Ῥιφθεὶς οὖν ὁ Σαταναὴλ ἀπὸ τοῦ οὐρανοῦ καὶ μὴ δυνάμενος ἐφιζάνειν τοῖς ὕδασι (διότι ἡ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος) σώζων ἔτι τὴν θείαν μορφὴν καὶ τὴν δημιουργικὴν δύναμιν, συνεκάλεσε τὰς συγκαταπεσούσας Δυνάμεις. Θάρσος δ' αὐταῖς ἐμβαλὼν εἶπεν· ἐπειδὴ τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ Θεὸς ἐποίησε, ποιήσω κἀγώ, ὡς δεύτερος Θεός, δεύτερον οὐρανὸν καὶ πάντα τὰ ἄλλα, ἅπερ διακοσμήσω τῇ αὐτῇ τάξει. Οὕτω δὲ ἐδημιούργησε τὴν γῆν, ἣν καλλωπίσας, ὡς ἡ τῆς Γενέσεως διέξεισι βίβλος, ἀπεκλήρωσεν ὡς οἰκητήριον ἑαυτῷ καὶ ταῖς ἀποστατικαῖς Δυνάμεσιν. Εἶτα πλάσας τὸ τοῦ Ἀδὰμ σῶμα ἀπὸ γῆς, ὕδατι φυραθείσης, ἔστησεν ὀρθόν. Ἀφ' οὗ καταρρεύσασά τις νοτὶς ἐπὶ τὸν δεξιὸν πόδα καὶ ἑλικοειδῶς διὰ τοῦ μεγάλου δακτύλου χυθεῖσα σχῆμα ὄφεως ἀπετέλεσεν. Τότε ὁ Σαταναὴλ ἀθροίσας τὸ ἐν αὐτῷ πνεῦμα ἐνέπνευσε ζωὴν τῷ οὕτω πλασθέντι ἀνθρωπίνῳ σώματι. Ἀλλὰ τὸ ἐξ αὐτοῦ πνεῦμα διὰ χαυνότητα καταρρυὲν ἐπὶ τὸν δεξιὸν ὁμοίως πόδα καὶ διὰ τοῦ μεγάλου δακτύλου χυθὲν εἰς τὴν ἑλικοειδῆ ῥανίδα κατέπεσεν, ἥτις παραυτίκα ζωοποιηθεῖσα καὶ τοῦ δακτύλου ἀποτμηθεῖσα γέγονεν ὄφις καὶ εἵρπυσε· διὰ τοῦτο φρόνιμος καὶ νουνεχὴς ὁ ὄφις, ὅτι κατέστη αὐτῷ ψυχὴ τὸ τοῦ Σαταναὴλ ἐμφύσημα. Ἀλλ' ὁ νέος οὗτος δημιουργὸς γνοὺς ὅτι μάτην πονεῖ, διεπρεσβεύσατο πρὸς τὸν ἀγαθὸν Πατέρα καὶ παρεκάλεσεν, ἵνα πέμψῃ αὐτὸς πνοήν, ἐπαγγειλάμενος ὅτι ἐὰν ὁ ἄνθρωπος ζωοποιηθῇ, κοινὸς ἔσται καὶ ἀπὸ τοῦ γένους αὐτοῦ πληρωθήσονται οἱ ἐν τῷ οὐρανῷ τόποι τῶν ἀπορριφθέντων ἀγγέλων. Ὁ δὲ Θεός, ὡς ἀγαθός, ἐπινεύσας ἐνεφύσησε τῷ παρὰ τοῦ Σαταναὴλ πλασθέντι πνεῦμα ζωῆς, καὶ παρευθὺς ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν καὶ τὸ σῶμα λαμπρύνουσαν. Εἶτα καὶ ἡ Εὔα ἐκ τοῦ πρώτου ποιηθεῖσα ἀνθρώπου ἐφαιδρύνθη ταῖς ἴσαις λαμπρότησιν. Πλὴν ὁ Σαταναὴλ ἐκ φθόνου μεταμεληθείς, ἐκινήθη πρὸς ἐπιβουλὴν τοῦ ἰδίου πλάσματος. Ὅθεν εἰσδὺς εἰς τὰ ἔγκατα τοῦ ὄφεως καὶ δι' αὐτοῦ τὴν Εὔαν ἐξαπατήσας συνευρέθη αὐτῇ καὶ κατέστησεν ἔγκυον, ἵνα, τὸ σπέρμα αὐτοῦ, προλαβόν, κατακυριεύσῃ

τοῦ ἀδαμιαίου σπέρματος. Ἡ Εὔα τοίνυν ἐκ τοῦ Σαταναὴλ ἔτεκε τὸν Κάϊν καὶ τὴν δίδυμον αὐτοῦ ἀδελφὴν Καλωμενὰ λεγομένην. Ὁ δὲ Ἀδὰμ ζηλοτυπήσας συνῆλθε καὶ αὐτὸς τῇ Εὔᾳ καὶ ἐγέννησε τὸν Ἄβελ, ὃν ὁ Κάϊν ἐφόνευσε· διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης λέγει ὅτι ὁ Κάϊν ἐκ τοῦ πονηροῦ ἦν (Α' Ἰωάνν. γ', 12). Ἀλλὰ τοῦ Σαταναήλ, ἀσελγῶς συμφθαρέντος τῇ Εὔᾳ διὰ μέσου τοῦ ὄφεως, ἀφῃρέθη ἡ θεία στολή, ἡ δημιουργικὴ δύναμις καὶ ἡ τοῦ Θεοῦ προςηγορία. Οὕτω δὲ κατέστη δυςειδής τε καὶ σκοτεινός. Ἀλλ' ὁ ἀγαθὸς Πατὴρ στήσας μέχρι τούτου τὴν ὀργὴν ἀφῆκεν αὐτὸν κοσμοκράτορα καὶ κύριον ὧν οὗτος ἐδημιούργησε κτισμάτων, ἐκ τοῦ οὐρανοῦ πεσών. Ἅπασαν σχεδὸν τὴν ἀνωτέρω θεωρίαν παρέλαβον προφανῶς οἱ Βογόμιλοι ἐκ τοῦ Γνωστικοῦ Σατουρνίνου (α).

Τοῖς δὲ Μανιχαίοις ἑπόμενοι, ἠθέτουν πάσας τὰς μωσαϊκὰς βίβλους, ὡς κατ' ἐπίνοιαν γραφείσας τοῦ Σατανᾶ, καὶ τοὺς ἐν αὐταῖς ἀναφερομένους θεοσεβεῖς καὶ δικαίους ἄνδρας ἀπεκήρυττον. Ἐκ τῶν λοιπῶν τῆς παλαιᾶς Διαθήκης βίβλων ἀπεδέχοντο τὸ Ψαλτήριον καὶ τὸ Ἑκκαιδεκαπρόφητον. Ἐκ δὲ τῆς Καινῆς πάντα ἀνεξαιρέτως τὰ βιβλία.

Τὰ δὲ περὶ τῆς ἐνσάρκου οἰκονομίας οὑτωςὶν ἐτερατολόγουν οἱ Βογόμιλοι. Οἱ ἄνθρωποι πικρῶς τυραννούμενοι ὑπὸ τῶν δαιμόνων μόλις ὀλίγοι τῆς τοῦ Πατρὸς μερίδος ἐγένοντο, καὶ ἀνέβαινον εἰς τὴν τῶν ἀγγέλων τάξιν. Ἦσαν δ' οὗτοι οἱ ἀναφερόμενοι ἐν ταῖς γενεαλογίαις τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου καὶ τοῦ κατὰ Λουκᾶν. Ὀψὲ δέ ποτε ὁ Πατὴρ τοῦτο γνοὺς καὶ κατελεήσας τὸ ἴδιον ἐμφύσημα, ἤτοι τὴν τοῦ ἀνθρώπου ψυχήν, οὕτως ἀθλίως πάσχουσαν, ἐξηρεύξατο ἐν τῷ πεντακιςχιλιοστῷ πεντακοσιοστῷ ἔτει τῆς ἑαυτοῦ καρδίας τὸν Λόγον, ἤτοι τὸν Υἱόν. Ὁ δὲ ἦν Μιχαὴλ ὁ ἀρχάγγελος, ὅς, καθὸ μὲν τῶν ἄλλων ἀγγέλων θειότερος, ἐκλήθη Ἄγγελος· καθὸ δὲ πᾶσαν νόσον ἰώμενος, Ἰησοῦς· καθὸ δὲ τῇ σαρκὶ χρισθείς, Χριστός. Ὅτε δ' ἄνωθεν κατῆλθεν, εἰςέδυ διὰ τοῦ δεξιοῦ ὠτὸς εἰς τὴν γαστέρα τῆς Παρθένου, ἥτις οὔτε τὴν εἴςοδον, οὔτε τὴν ἔξοδον αὐτοῦ γνοῦσα, εὗρεν ἁπλῶς αὐτὸν ἐν τῷ σπηλαίῳ κείμενον ἐσπαργανωμένον. Ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἐποίησε καὶ ἐδίδαξε τὰ ἐν τοῖς Εὐαγγελίοις γεγραμμένα· καὶ ἐσταυρώθη καὶ ἀπέθανεν. Πλὴν τὰ πάντα κατὰ φαντασίαν.

(α) Πρβλ. Εἰρην. Ἔλεγχ. καὶ ἀνατρ. Βίβλ. Α', κεφ. ΚΔ'. Καὶ Ἐπιφάν. Κατὰ Αἱρέσ. ΚΓ'.

Ὅτε δὲ ἀπέρριψε τὸ ἀνθρώπειον προςωπεῖον καὶ ἀνέστη, τότε κατεξουσίασε τοῦ ἀποστάτου Σαταναήλ, ὅν βαρεῖ κλοιῷ δήσας ἐν τῷ ταρτάρῳ κατέκλεισεν. Περιελὼν δὲ καὶ ἐκ τοῦ ὀνόματος αὐτοῦ τὸ ἤλ, ὡς ἀγγελικόν, ἀφῆκεν αὐτὸν τοῦ λοιποῦ ὀνομάζεσθαι Σατανᾶν. Οὕτω δὲ πληρώσας τὴν ἀνατεθεῖσαν αὐτῷ διακονίαν ἐξῆλθε πάλιν ὅθεν εἰςῆλθεν εἰς τὸν Πατέρα ἀναλυθείς.

Σημειωτέον ὅτι καὶ τῶν δοξῶν τούτων τὰ πλεῖστα ἐκ τῶν Μανιχαίων ἐσυλήθησαν.

Τὸ δὲ βάπτισμα οἱ Βογόμιλοι τελέως μὲν οὐ κατήργουν, ἐτέλουν ὅμως καθ' ὅλως ἴδιον καὶ καινοφανῆ τρόπον. Καὶ δὴ τῆς εἰςόδου παντὸς προςηλύτου εἰς τὴν αἱρετικὴν αὐτῶν παρασυναγωγὴν τάδε προηγοῦντο. Πρῶτον μὲν ὡρίζετο αὐτῷ καιρὸς ἀνάλογος εἰς ἐξομολόγησιν καὶ ἁγνείαν καὶ σύντονον προσευχήν. Ἔπειτα δὲ ἐπιτιθέμενοι τῇ κεφαλῇ αὐτοῦ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ἐπεκαλοῦντο τὸ παρ' αὐτοῖς ἅγιον Πνεῦμα, καὶ ἐπῇδον τὸ «Πάτερ ἡμῶν κέξ.». Μετὰ δὲ τὸ τοιοῦτο οἱονεὶ βάπτισμα ἀπεκλήρουν αὖθις καιρὸν εἰς ἀκριβεστέραν ἀγωγὴν καὶ πολιτείαν ἐγκρατεστέραν. Εἶτα καὶ μαρτυρίαν ἀπῄτουν, εἰ ταῦτα ὁ προςήλυτος ἐφύλαξε, καὶ εἰ διηγωνίσατο ὑπὲρ τῆς αἱρέσεως πρὸς σπουδαίους. Τούτου δὲ παρ' ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν μαρτυρουμένου, ὁ προςήλυτος εἰςήγετο εἰς τὴν θρυλουμένην τελείωσιν. Ἐτελεῖτο δ' αὕτη ὧδε. Στήσαντες αὐτὸν πρὸς ἀνατολὰς ἐπετίθεσαν αὖθις τῇ κεφαλῇ αὐτοῦ τὸ Εὐαγγέλιον, οἱ δὲ παριστάμενοι ἄνδρες τε ὁμοίως καὶ γυναῖκες τὰς ἑαυτῶν χεῖρας τῇ αὐτοῦ κεφαλῇ ἐπιτιθέμενοι ᾖδον εὐχαριστήριόν τινα πρὸς τὸν Θεὸν ὕμνον ἐπὶ τῷ ὅτι ὁ μυηθεὶς τὰ παραδοθέντα ἐτήρησεν.

Τὴν δὲ ἱερὰν μυσταγωγίαν οἱ αἱρετικοὶ οὗτοι οὐκ ἐδέχοντο, ἀπέρριπτον δ' ὅλως καὶ τὴν θείαν Μετάληψιν, ἣν ἐκάλουν θυσίαν τῶν ἐν τοῖς ναοῖς τῶν Ὀρθοδόξων οἰκούντων δαιμόνων. Εἰς βεβαίωσιν δὲ τούτου ἔφερον τὴν ἑξῆς τοῦ προφήτου Ἡσαίου ῥῆσιν· «οἱ ἑτοιμάζοντες τῇ τύχῃ » τράπεζαν, καὶ πληροῦντες τῷ δαίμονι κέρασμα » (ξέ, 11). Προσέτι ἐφρόνουν ὅτι ὁ ἐν τῇ Κυριακῇ προσευχῇ ἀναφερόμενος ἄρτος, «τὸν ἄρ» τον ἡμῶν τὸν ἐπιούσιον », οὗτος ἦν ὁ τῆς Κοινωνίας. Ὁμοίως τὴν ἐν τῷ Εὐαγγελίῳ διαθήκην « τοῦτο τὸ ποτήριον, ἡ καινὴ Διαθήκη» (Λουκ. κβ', 20) ὑπελάμβανον ὡς ποτήριον τῆς Κοινωνίας.

Ἔτι ἔλεγον ὅτι ἐκτὸς τῶν παρὰ τῷ Ματθαίῳ καὶ Λουκᾷ γενεαλογηθέντων μόνον τοὺς ἑκκαίδεκα Προφήτας, τοὺς Ἀποστόλους καὶ

τοὺς Μάρτυρας δεῖ τιμᾶν· τοὺς δὲ ἁγίους ἱεράρχας καταφρονεῖν, ὡς εἰδωλολάτρας διὰ τὴν τῶν σεπτῶν εἰκόνων προςκύνησιν. Πρὸ πάντων δὲ ἀπηχθάνοντο τὸν Βασίλειον, τὸν Γρηγόριον καὶ τὸν Χρυσόστομον, ὄν, Φρυσόστομον κακοφημοῦντες, ἰδιαίτατα ἐμίσουν, ὡς παραφθείραντα, κατ' αὐτούς, τὰ νοήματα τῶν θείων Γραφῶν. Ἀλλ' εἰ καὶ τοὺς ἱεράρχας κατεφρόνουν, ὑπεκρίνοντο ὅτι τιμῶσιν αὐτῶν τὰ λείψανα, διότι, κατ' αὐτούς, οἱ δαίμονες, οἱ διδάξαντες αὐτοὺς ἔτι ζῶντας, παρέμενον τοῖς τάφοις αὐτῶν καὶ ἐτερατούργουν, ἵνα τοὺς ἀνοήτους ἐξαπατῶντες πείθωσι τιμᾶν αὐτοὺς ὡς ἁγίους.

Μιμούμενοι δὲ τοὺς Μασαλιανοὺς ἐφρόνουν ὅτι μόνον ἀπ' αὐτῶν οἱ δαίμονες ἔφευγον ὡςεὶ τόξου βολήν· ἑκάστῳ δὲ τῶν Ὀρθοδόξων ἐνῴκει εἷς δαίμων, ὁ κατὰ μὲν τὸν βίον διδάσκων αὐτοὺς τὰ πονηρά, μετὰ θάνατον δὲ παραμένων τῷ τάφῳ αὐτῶν καὶ ἐν τῇ κοινῇ κρίσει συγκολαζόμενος αὐτοῖς· ἐν δὲ τοῖς ἱεροῖς τῶν Ὀρθοδόξων ναοῖς ἀνὰ εἷς οἰκεῖ δαίμων· αὐτὸς δὲ ὁ κορυφαῖος αὐτῶν Σατανᾶς, ὁ ἐν τῷ τῶν Ἱεροσολύμων ναῷ πρότερον ἐνδιατρίβων, μετὰ τὴν τούτου καταστροφὴν ὡς ἰδίαν κατοικίαν τὸν μέγαν καὶ πάγκαλον τῆς ἁγίας Σοφίας ναὸν ἐξελέξατο.

Ὡςαύτως ἐτερατολόγουν, ὅτι ὅσοις ἂν ἐκ τῶν Βογομίλων ἐνοικήσοι τὸ παρ' αὐτοῖς ἅγιον Πνεῦμα, πάντας ὁμοίως ἀναδείκνυσι θεοτόκους, ὡς βαστάζοντας τὸν Λόγον καὶ γεννῶντας αὐτὸν διὰ τὸ διδάσκειν ἑτέρους. Ὅθεν καὶ ηὔχουν ἐπὶ τούτῳ οἱ θεομανεῖς γεννάδαι, καὶ τὴν Θεοτόκον μηδὲν αὐτῶν πλέον ἔχειν ὑπελάμβανον.

Κυρίως δὲ προςευχὴν τὴν Κυριακὴν ὠνόμαζον, καὶ ταύτην μόνην προςηύχοντο ἑπτάκις μὲν τῆς ἡμέρας, πεντάκις δὲ τῆς νυκτός. Τὸ δὲ τῆς ὑμνολογίας τῆς Ἐκκλησίας σύστημα τελέως κατήργουν, βαττολογίαν αὐτὸ ἡγούμενοι.

Ἐν τῇ κοινῇ ἀναστάσει, ἔλεγον, μόνον τὸ πνεῦμα, τὴν ἄφθαρτον τοῦ Χριστοῦ στολὴν ἐνδυόμενον, ἀνίσταται· οὐχὶ δὲ μετὰ τοῦ σώματος, ὃ εἰς κόνιν διαλύεται καὶ τέφραν.

Ταῦτά τε καὶ τοιαῦτα περίπου τὰ δόγματα καὶ διδάγματα, ὅσα οἱ Βογόμιλοι ἐκ παντοδαπῶν, ὡς εἴρηται, αἱρέσεων συλλεξάμενοι εἰς τὸ οἰκεῖον προςήρμοσαν σύστημα (α). Τῆς δὲ στρεβλῆς αὐτῶν δια-

(α) Ὅρ. Δογματ. Πανοπλ. Τίτλ. ΚΖ'.

νοίας τὰ γνήσια ἀποκυήματα, ἐν οἷς τὸ ἴδιον αἱρετικὸν κατασκεύασμα χαρακτηρίζεται, εἰσὶν αἱ παράλογοι ἀλληγορίαι καὶ αὐθαίρετοι ἑρμηνεῖαι τῶν θείων Γραφῶν. Οἱ Βογόμιλοι τὴν Ἐκκλησίαν, ἧς τὴν ἀνατροπὴν ἐμελέτων, διέβαλλον συστηματικῶς ὡς μιαρὰν καὶ διεφθαρμένην· ἐν ᾧ τὴν παρασυναγωγὴν αὐτῶν ὡς τὴν ἀληθῆ καὶ ἁγνὴν Ἐκκλησίαν ἐπεφήμιζον. Ὅθεν, τοῦτο στηρίξαι βουλόμενοι, πάντα τὰ ἐν τοῖς τῶν θείων Γραφῶν βιβλίοις, τοῖς ὡς θεοπνεύστοις παρ' αὐτῶν ἀναγνωριζομένοις, ἀναφερόμενα περὶ ἀσεβῶν καὶ ἁμαρτωλῶν εἴτε προςώπων εἴτε πράξεων προςῆπτον τοῖς Ὀρθοδόξοις. Ὅσα δ' αὖ πάλιν περὶ ἀνδρῶν ἱερῶν καὶ ἔργων θεοφιλῶν ἱστοροῦνται, ταῦτα εἷλκον πρὸς ἑαυτούς. Τοῦ τοιούτου βογομιλικοῦ πολεμικοῦ τρόπου παρατιθέμεθα ὧδέ τινα παραδείγματα.

Βηθλεέμ, τὸν λόγον ἀλληγοροῦντες, ὠνόμαζον τὴν παρασυναγωγὴν αὐτῶν· διότι ἐν ἑαυτοῖς ἐγεννήθη ὁ Χριστός, ἤτοι ὁ τοῦ Θεοῦ Λόγος, ὁ τὴν ἀλήθειαν τῆς πίστεως κηρύττων. Ἡρῴδην δὲ ἀπεκάλουν τὴν ὀρθόδοξον Ἐκκλησίαν, ὡς πειρωμένην ἀνελεῖν τὸν παρὰ τοῖς Βογομίλοις γεννηθέντα Λόγον.

Τὸ εὐαγγελικὸν ῥητὸν «καὶ καταλιπὼν ὁ Ἰησοῦς τὴν Ναζαρέτ, » ἐλθὼν κατῴκησεν εἰς Καπερναούμ» (Ματθ. ϛ', 13), οὑτωσὶν ἡρμήνευον· τὸ Ναζαρὲτ τοὺς Ὀρθοδόξους δηλοῖ· τὸ δὲ Καπερναοὺμ τοὺς Βογομίλους, παρ' οἷς ὁ Χριστός, τὴν ἐκφαυλωθεῖσαν ὀρθόδοξον Ἐκκλησίαν καταλιπών, οἰκεῖ.

Ὑποδήματα τοῦ Χριστοῦ ἔλεγον τὰ ὑποδείγματα τῶν σημείων, ἃ ὁ βαπτιστὴς Ἰωάννης οὐκ ἠδύνατο βαστάσαι, ὡς μὴ δυνάμενος τοιαῦτα καὶ αὐτὸς πρᾶξαι. Πτύον δὲ τοῦ Χριστοῦ τὸν εὐαγγελικὸν λόγον, ὡς ἀποπτυσθέντα διὰ τοῦ στόματος αὐτοῦ. Ἅλωνα μὲν τοὺς Χριστιανούς, ὡς ἄλλους καὶ ἄλλους. Καὶ σῖτον τὴν ἑαυτῶν πίστιν, ὡς καθαράν τε καὶ τρόφιμον. Ἄχυρον δὲ τὴν τῶν Ὀρθοδόξων, ὡς ἄχρηστον καὶ πυρὸς ἀξίαν.

Τοὺς μακαρισμοὺς πάντας διεβεβαιοῦντο οἱ Βογόμιλοι ὅτι ὁ Χριστὸς εἶπε περὶ αὐτῶν μόνον· οὕς, πτωχοὺς ὄντας τῷ πνεύματι καὶ πενθοῦντας καὶ διψῶντας τὴν δικαιοσύνην, ἅλας τῆς γῆς καὶ φῶς τοῦ κόσμου ἐκάλεσεν.

Οἱ ἐν τῷ χωρίῳ τοῦ εὐαγγελιστοῦ Ματθαίου (έ, 20) ἀναφερόμενοι Γραμματεῖς καὶ Φαρισαῖοι ὑπεδήλουν τοὺς ἱερεῖς καὶ διδασκάλους τῆς Ἐκκλησίας, ὡς τὴν γραμματικὴν ἀσκοῦντας παίδευσιν καὶ ἐπ' αὐτῇ

μεγαλαυχοῦντας· ὧν οἱ Βογόμιλοι ὑπερτέρουν, ὡς ἀληθέστερα διδάσκοντες, πολιτείαν τε ἀκριβεστέραν μετερχόμενοι καὶ κρεωφαγίας, τυροῦ, ᾠῶν καὶ γάμου ἀπεχόμενοι.

Τοῦ αὐτοῦ δ' Εὐαγγελιστοῦ τὸ χωρίον (ς΄, 6) «μὴ δότε τὸ ἅγιον » τοῖς κυσί, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ἡμῶν ἔμπροσθεν τῶν χοί» ρων» ἡρμήνευον ὡς ἑξῆς· ἅγιον ἦν ἡ κατ' αὐτοὺς ἁπλουστέρα πίστις· μαργαρῖται τὰ μυστικώτερα τῆς πλάνης αὐτῶν δόγματα· κύνες δὲ καὶ χοῖροι οἱ εὐσεβέστεροι τῶν Ὀρθοδόξων, ὡς ὄντες εἰδωλολάτραι. Ὅθεν κατὰ ταῦτα οἱ Βογόμιλοι πᾶν μέλος τῆς Ἐκκλησίας, εἰς τὴν αἱρετικὴν αὐτῶν προςερχόμενον κοινωνίαν, ἐδέχοντο ὥςπερ κύνα καὶ χοῖρον· ὧν τὴν ταπεινοτέραν ταύτην δὴ φύσιν νηστείᾳ καὶ προςευχῇ πρότερον ἀφανίσαντες, τότε ἐβάπτιζον· κατόπιν κατὰ μικρὸν προκόπτοντι ἐνεπίστευον αὐτῷ τὸ κατ' αὐτοὺς ἅγιον καὶ τοὺς μαργαρίτας.

Ἱστορήσαντες δ' οὕτω τὰ περὶ τῆς ἀρχῆς, τοῦ σκοποῦ καὶ τῆς διδασκαλίας τῆς αἱρέσεως ταύτης, ἀκόλουθον δ' ἂν εἴη διὰ βραχέων διελθεῖν καὶ τὰ μέχρι τῆς τελείας αὐτῆς (παρά γε τοῖς Ἕλλησιν) ἐξαφανίσεως, ὅπως πλήρη τε καὶ σαφῆ ἔχῃ ὁ ἀναγνώστης αὐτῆς τὴν εἰκόνα.

Τοῦ αἱρεσιάρχου Βασιλείου τὸν διὰ πυρὸς θάνατον ὑποστάντος, καὶ τῶν κορυφαίων τῶν μαθητῶν αὐτοῦ καθειρχθέντων, ὡς προδεδήλωται, πάντες οἱ ἑκασταχοῦ τοῦ Κράτους διεσπαρμένοι Βογόμιλοι ἀνεζητοῦντο συντόνως. Ὁ Εὐθύμιος, ὁ τὰς βουλὰς καὶ ἐνεργείας τοῦ αὐτοκράτορος κατὰ τῶν αἱρετικῶν τούτων εἰδώς, ἐν βεβαιότητι σχεδὸν ἀποφαίνεται περὶ τῆς ἐν βραχεῖ τελείας ἀπ' αὐτῶν καθάρσεως τοῦ ἀγροῦ τῆς εὐσεβείας (α). Καὶ ἦν ὄντως ἡ περὶ τούτου σπουδὴ τοῦ Ἀλεξίου τοιαύτη, ὥςτε, τῶν ὀπαδῶν τῆς αἱρέσεως ἀνευρεθέντων, παντοιοτρόπως τιμωρηθέντων, ἢ καὶ διὰ διδασκαλίας καὶ παραινέσεως σωφρονισθέντων, καὶ τὰ τῆς αἱρέσεως δόγματα ἀποπτυσάντων, οὐ μόνον ἀπεσβέσθη ἡ ἀπειλητικὴ τοῦ κακοῦ πρόοδος, ἀλλὰ

(α) Δογμ. Πανοπλ. τίτλ. ΚΖ΄, νβ΄. «Τῶν μερῶν αὐτοῦ (τοῦ τῆς αἱρέσεως δράκοντος) » καὶ μελῶν τὰ καιριώτερα μὲν συνείληπται, τὰ δὲ μέλλει, τὰ δὲ προαγγέλλεται καθ' ἑ» κάστην. Καὶ τρεφόμεθα χρησταῖς ἐλπίσιν, ὡς οὐδὲ τὸ οὐραῖον ἐκφεύξεται τὴν ἐμμελῆ » τοῦ θεοσυνεργήτου βασιλέως ἔρευναν καὶ κατεσπουδασμένην ἀναζήτησιν, μεγάλαις φρον» τίσι κατατεινομένου παντὶ τρόπῳ πάντας αὐτοὺς εἴσω σαγήνης λαβεῖν, καὶ καθαρὰ ζι» ζανίων ἀποφῆναι τῆς εὐσεβείας τὰ λήϊα».

καὶ πᾶν αὐτοῦ ἴχνος εἰς τὸν μετέπειτα χρόνον παρὰ τοῖς Ἕλλησι γοῦν ἐξηλείφετο ἄν, εἰ μὴ τὴν τούτου λύμην μετεδίδου ἡ παρ' αὐτοῦ βαθύτερον μιανθεῖσα τῶν μοναχῶν τάξις· διότι, καθὰ πληροφοροῦσιν ἡμᾶς αἱ περισωθεῖσαι ἱστορικαὶ εἰδήσεις, παρὰ τοῖς μοναχοῖς εὗρε τελευταῖον ἡ αἵρεσις αὕτη καταφυγὴν καὶ ὑποστήριξιν.

Βασιλεύοντος τοῦ υἱοῦ τοῦ Ἀλεξίου Ἰωάννου, τοῦ καὶ Καλοϊωάννου δι' ἀρετὴν κληθέντος (1118-1143), εὑρέθησαν ἔν τισι τῶν μοναστηρίων συγγράμματα Κωνσταντίνου τινὸς Χρυσομάλλου τοὔνομα βογομιλικῶν βλασφημιῶν ἀνάμεστα (α). Ἀλλ' ἅμα τούτου γνωστοῦ τῇ Ἐκκλησίᾳ γενομένου, ὁ τότε πατριάρχης Λέων, ὁ ἐπικαλούμενος Στυππῆς, πράξει συνοδικῇ (1140) τά τε βιβλία καὶ τὸν συγγραφέα τῷ ἀναθέματι καθυπέβαλεν.

Μικρὸν δὲ μετὰ ταῦτα ἐπὶ τῆς πατριαρχείας Μιχαὴλ τοῦ ἐπιλεγομένου Ὀξείτου, ἐν ἔτει 1143 πατριάρχου Κωνσταντινουπόλεως γενομένου, ἀνεφάνησαν αὖθις, ὡςαύτως διὰ μοναχῶν, ἀσθενῆ τινα τῆς βογομολικῆς αἱρέσεως σκιρτήματα. Μοναχός τις, Νήφων ὀνομαζόμενος, καὶ δύο ἐπίσκοποι Λεόντιος καὶ Κλήμης, τῷ μητροπολίτῃ Τυάνων ὑποκείμενοι, διεθρυλήθησαν ὡς αὐτοί τε φρονοῦντες καὶ τοὺς ἄλλους τὰ τῶν Βογομίλων διδάσκοντες. Τὰ κατ' αὐτῶν ἐκδοθέντα δύο συνοδικὰ τῆς Ἐκκλησίας ψηφίσματα, ἤ, ὡς τότε ἐκαλοῦντο, σημειώματα, εὐτυχῶς μέχρις ἡμῶν περισωθέντα, ἱκανὰ περὶ τῆς τότε καταστάσεως τῆς αἱρέσεως ἡμᾶς διδάσκουσιν. Καὶ οἱ μὲν λόγοι τῆς τῶν δύο ἐπισκόπων καταδίκης ἦσαν ὅτι ἐδίδασκον τοὺς ἄνδρας ἀπέχεσθαι τῆς τῶν νομίμων γυναικῶν συνουσίας, ἔτι δὲ κρέατος, καὶ γάλακτος, καὶ ἰχθύος, καὶ οἴνου, ἄχρι χρόνων τριῶν· μετὰ δὲ ταῦτα παντελῶς ἀποκριμάτιστον ἔλεγον τὴν τούτων ἀπόλαυσιν· ὅτι ἐκήρυττον μηδένα σῴζεσθαι, κἂν πᾶσαν ἀρετὴν διαπράξηται, εἰ μὴ μοναχὸς γένηται, κτλ. Ὁ δὲ μοναχὸς Νήφων, ἐνώπιον τοῦ Πατριάρχου καὶ τῆς Συνόδου βογομιλικῶς τῷ Θεῷ τῶν Ἑβραίων ἀνάθεμα εἰπὼν (β),

---

(α) Λέοντ. Στυππ. σημείωμ. Α'. (Ὅρα Σύντ. ἱερῶν καν. Τόμ. Ε', σελ. 76). «Ἀνεμάθομεν ἀνερευνήσαντες μίαν μὲν εἶναι βίβλον (δηλονότι τοῦ αἱρετικοῦ Χρυσομάλλου) παρὰ Πέτρῳ τινὶ μονάζοντι ἐπὶ τῇ τοῦ ἁγίου Ἀθηνογένους προςκαθημένῳ μονῇ· ἑτέραν δὲ πάλιν τὴν παρὰ τῶν δηλωθέντων μοναχῶν, τῶν τὰ περὶ τούτου προςαγγειλάντων προςαχθεῖσαν ἡμῖν, ἣν καὶ ἀναλαβέσθαι ἐξεῖπον ἀπὸ τοῦ ἐν τῇ τοῦ Γηροκομείου μονῇ μονάζοντος».— (β) Αὐτόθ. σελ. 91. Πρβλ. καὶ Ἰωάνν. Κίνναμ. Ἱστ. Β', β'.

καρεὶς τὸν πώγωνα περιωρίσθη ἐν τῷ τῆς Περιβλέπτου Μοναστηρίῳ.

Ἐν τούτοις παρατηρήσεως ἄξια καὶ τὰ εἰς τὴν τῶν εἰρημένων καταγγελίαν ἀφορῶντα. Οἱ τὸν μοναχὸν Νήφωνα πρὸς τὸν πατριάρχην καταγγείλαντες ἦσαν χωρικοὶ Παντυχηνοί (α). Ὁμοίως δὲ καὶ τῶν ἐπισκόπων Λεοντίου καὶ Κλήμεντος, ὡς βογομιλιστῶν, κατεμήνυσεν ἅπας ὁ λαὸς τῆς μητροπόλεως Τυάνων (β). Ἐκ τούτων δὲ ὑποδηλοῦται, ὅτι τῇ βογομιλικῇ αἱρέσει ὁ λαὸς ἀπηχθάνετο. Ἀλλ' ἐκ τοῦ ἐφεξῆς περιστατικοῦ ἔτι ἐναργέστερον ἡ πρὸς αὐτὴν ἀπέχθεια καθορᾶται. Ὁ τὸν πώγωνα καρεὶς καὶ ὑπερόριος καταστὰς μοναχὸς Νήφων, χάριν εὑρὼν παρὰ τῷ Πατριάρχῃ Κοσμᾷ τῷ Ἀττικῷ (1146), τῷ τοῦ Μιχαὴλ τοῦ Ὀξείτου διαδόχῳ, ἀνεκλήθη παρ' αὐτοῦ ἐκ τῆς ἐξορίας. Ἀλλ' αὐτὸ καὶ μόνον ἤρκεσεν, ἵνα τὸν Πατριάρχην τοῦτον, ἄνδρα ἀγαστὸν ἄλλως ὄντα καὶ σοφόν, τοσοῦτον διαβάλῃ παρὰ τῷ λαῷ καὶ τοῖς ἄρχουσιν, ὥςτε ἔκπτωτον τοῦ θρόνου γενέσθαι (γ).

Οὕτω τοίνυν ἡ τῶν Βογομίλων αἵρεσις παρὰ μὲν τοῦ πλήθους μισουμένη, παρὰ δὲ τῶν πολιτικῶν καὶ ἐκκλησιαστικῶν ἀρχῶν συντόνως καταδιωκομένη, ὁσημέραι περιεστέλλετο κατά τε ἀριθμὸν καὶ δύναμιν. Φαίνεται δ' ὅμως ὅτι τὰ τῆς περιστολῆς στοιχεῖα παρά γε ταῖς ἑλληνικαῖς κοινωνίαις ἔφερεν ἡ αἵρεσις αὕτη ἐν ἑαυτῇ· διότι πλὴν τῶν ἤδη γνωστῶν αὐτῆς δογμάτων, ἀξιωμάτων καὶ ἐθίμων, ἀρχῆθεν εἶχεν ἢ βαθμηδὸν προςέλαβε, καὶ ἄλλα τοιαῦτα, πρὸς ἃ αἱ κοινωνικαὶ παρὰ τοῖς Ἕλλησιν ἕξεις καὶ αἱ θρησκευτικαὶ καὶ ἠθικαὶ διαθέσεις σφοδρῶς ἀντεμάχοντο (δ). Ὅθεν παρ' αὐτοῖς μέν, ὥς τι φυτὸν

(α) Αὐτόθ. σελ. 90. Σημείωμ. Α'. « Ὅσα ἀνηγγέλη ἡμῖν περὶ τούτου (τοῦ Νήφω- » νος) παρὰ τοῦ ἱερέως τῆς Μεγάλης Ἐκκλησίας Θωμᾶ καὶ *Παντυχηνῶν χωριτῶν*. —(β) Αὐτόθ. σελ. 86. Σημείωμ. Β'. « Τὸ δὲ ἔγγραφον ἦν μὲν ἐκτεθειμένον, ὥςπερ « ἐφαίνετο ἀπὸ τῶν ἐκφερομένων αὐτῷ σιγνογραφιῶν, παρὰ τῶν κληρικῶν καὶ ἀρχόν- » των καὶ οἰκητόρων ἁπλῶς τῆς μητροπόλεως Τυάνων ».— (γ) Ἰωάνν. Κίνναμ. Ἱστ. Β', β'.— (δ) Ἐν χειρογράφῳ χαρτίνῳ κώδικι σχήματος 4ου, ἐν τῇ κατὰ Ἄθω ἱερᾷ Μονῇ Λαύρᾳ εὑρισκομένῳ, οὗ τὸ περιεχόμενον συλλογὴ διαφόρων ζητημάτων, ὑπάρχει καὶ περικοπὴ ἐκ τῆς Δογματικῆς Πανοπλίας, ὡς αὕτη ἔχει ἐν ταῖς ἐκδόσεσιν. Ἐν τέλει τῆς περικοπῆς ταύτης ὁ τὴν συλλογὴν ποιησάμενος, ζήσας, ὡς αὐτὸς μὲν λέγει, ἐν Κωνσταντινουπόλει, κατὰ δὲ τὴν ἡμετέραν κρίσιν περὶ τὴν ιδ' ἢ ιε' ἑκατονταετηρίδα, προςτίθησιν ὡς ἐξ ἑαυτοῦ τάδε, ἀνέκδοτα τέως·

« Ἤκουσταί μοι περὶ τούτων τῶν τριςκαταράτων (τῶν Βογομίλων) ὅτι ποιοῦσι ξένην » καὶ ἀπόρρητον αἰσχρουργίαν· καὶ ἢ ἀπέκρυψεν αὐτὴν ὁ ἐρωτώμενος παρὰ τοῦ βασι- » λέως ἢ μετέπειτα ἐφεῦραν αὐτὴν οἱ τούτου μαθηταί. Ποιοῦσι δὲ οὕτως· συνουσιάζεται

ἐπείςακτον καὶ ὀθνεῖον, ταχέως ἀπομαρανθὲν ἐξέλιπεν. Μετεφυτεύθη δὲ εἰς τοὺς Σλαύους, παρ' οἷς, ἅτε γνήσιον προϊόν, εὐδοκιμήσασα, ἐπὶ μακροὺς ἐπέζησε χρόνους, μέχρις οὗ ἄλλαις σλαυϊκαῖς αἱρέσεσι μιγεῖσα συνεχωνεύθη.

Ἐκ τῶν εἰρημένων δῆλον ὅτι ἡ τῶν Βογομίλων αἵρεσις κατὰ μὲν τὸ δόγμα συμπίλημα ἦν καὶ ὀνθύλευμα κακοδοξιῶν παντοδαπῶν καὶ ποικίλων· ὃ δὲ ἴδιον εἶχε, τοῦτο προήρχετο ἐκ προβεβουλευμένης παραφθορᾶς καὶ διαστροφῆς τοῦ τε νοήματος καὶ τοῦ γράμματος τῶν θείων Γραφῶν, καὶ μάλιστα τῆς καινῆς Διαθήκης. Καὶ ἠδύνατό τις εἰπεῖν ὅτι τοῦ παλαιοῦ ἀποφθέγματος ἡ ἀλήθεια «κακὸν οὐδὲν ἄμικτον » καλῷ » οὐδέποτ' ἴσως τοσοῦτον σαφῶς ἐξεδηλώθη, ὅσον ἐν τῇ περιστάσει τῇ προκειμένῃ. Διότι πρὸς ἀπαλλαγὴν τῶν ἐκ τῆς αἱρετικῆς λύμης τυχὸν ἐπηρεασθέντων, καὶ ἔτι μᾶλλον πρὸς μείζονα ἀσφάλειαν καὶ ἑδραίωσιν ἐν τῇ ὀρθοδόξῳ πίστει τοῦ εὐσεβοῦς πληρώματος ἀπαραίτητον, ὡς εἰκός, ἐνομίσθη ἡ τῶν θείων Γραφῶν σαφεστάτη ἑρμηνεία καὶ ἐξήγησις. Οὕτω τοίνυν ἐκ τῆς φοβερᾶς ἐκείνης ζάλης καὶ συνταράξεως, ὡς γαληνιαῖα εἰρήνης σύμβολα, ἀνεφάνησαν τότε σχεδὸν συγχρόνως δύο μεγάλων ἑρμηνευτῶν ἑρμηνευτικὰ συγγράμματα, κλέος καὶ δόξαν ἄφθιτον τῷ καθ' ὃν ἐγράφησαν αἰῶνι περιποιοῦντα. Εἰσὶ δὲ ταῦτα τὰ τοῦ σοφοῦ ἀρχιεπισκόπου Ἀχριδῶν ἢ Βουλγαρίας Θεοφυλάκτου (α), καὶ τὰ τοῦ ἡμετέρου Ζιγαβηνοῦ, ὅς, εἰρήσθω, ὑπερ-

---

» ὁ πάππος αὐτῶν μὲ παρθένον, καὶ συλλαμβάνει ἡ παρθένος καὶ τίκτει. Ὅταν δὲ γένηται τριῶν ἐτῶν τὸ παιδὶ συνάσσονται ὅλοι εἰς τὴν μιαρὰν συναγωγὴν αὐτῶν, καὶ καθεσθέντες ὡς ἐν χορῷ θέτουν εἰς τὴν μέσην αὐτῶν ν(δ)οχεῖον· ἵσταται τὸ παιδί. Αὐτοὶ δὲ οἱ τριςάθλιοι κρατεῖ ὁ καθεὶς εἰς τὴν ἀριστερὰν χεῖρα τίποτε ὀπωρικὸν καὶ εἰς τὴν δεξιὰν σουβλήν· καὶ λαλεῖ ὁ πρῶτος τὸ παιδί, καὶ ὑπάγει εἰς ἐκεῖνον διὰ νὰ δώσῃ αὐτῷ ὀπωρικόν· αὐτὸς δὲ ὁ τριςάθλιος κεντᾷ αὐτὸ μὲ τὸ σουβλήν. Εἶτα τὸ λαλεῖ ἄλλος, καὶ ποιεῖ τὰ ὅμοια, καὶ καθ' ἑξῆς ὅλοι, ἕως οὗ τελευτήσει. Εἶθ' οὕτως τὸ ποιοῦσι πυρίκαυστον καὶ συνάσσουν τὸ αἷμα καὶ τὴν τούτου κόνιν καὶ ποιοῦν αὐτὰ ζύμην καὶ χρῶνται ταῦτα εἰς ἁγιασμὸν οἱ τριςάθλιοι. Ὢ τῆς ἀνοίας αὐτῶν καὶ τερατοποιίας, ἃς ποιοῦσιν οἱ ἀλιτήριοι καὶ μεμιασμένοι. Ποῖος Σατανᾶς τοὺς ἐδίδαξε νὰ ποιῶσι τοιαύτην ἀνοησίαν, ἀπορῶ καὶ ἐξίσταμαι· ἔφριξαν γάρ μου αἱ τρίχες ἐπὶ τοιαύτην τερατοποιίαν ». —(α) Θεοφύλακτος, ὁ τοῖς πᾶσι διὰ τὴν ἑρμηνείαν εἰς τὴν καινὴν Διαθήκην γνωστός, ἐχρημάτισε διδάσκαλος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, υἱοῦ Καίσαρος Μιχαὴλ τοῦ Δούκα, τοῦ ἀπὸ τοῦ ἔτους 1071 - 1078 βασιλεύσαντος, καὶ τῆς τούτου γυναικός, βασιλίσσης Μαρίας, ἧς τῇ προτροπῇ καὶ τὸ εἰρημένον πόνημα συνεγράψατο, ὡς

ηκόντισεν ἐκεῖνον, ἀκριβέστερός τε περὶ τὴν ἐξήγησιν τῶν γραφικῶν λέξεων δειχθεὶς νηφαλιώτερός τε περὶ τὴν ἑρμηνείαν τῶν νοημάτων καὶ γλαφυρώτερος, ἔτι δὲ καὶ πλατυντικώτερος. Ἀλλὰ περὶ τοῦ Ζιγαβηνείου εἰς τὴν καινὴν Διαθήκην ὑπομνήματος, ὃ ἤδη θείᾳ συνάρσει συμπληροῦται δι' ἡμῶν, διαληψόμεθα παρακατιόντες ἐκτενέστερον. Νῦν δὲ ἐνταῦθα οὐκ ἄκαιρον ἴσως, ἵνα ῥηθῶσί τινα καὶ περὶ τῆς πολυθρυλήτου Δογματικῆς Πανοπλίας, ὡς καὶ περὶ τοῦ Ὑπομνήματος αὐτοῦ εἰς τοὺς Ψαλμούς, πρὸς δεῖξιν τῆς πλήρους καὶ ὁλικῆς ἐπιστημονικῆς τοῦ ἀνδρὸς ἐνεργείας.

ΔΟΓΜΑΤΙΚΗ ΠΑΝΟΠΛΙΑ

Ὁ αὐτοκράτωρ Ἀλέξιος ἀφορμὴν ἐκ τῆς βογομιλικῆς συνταράξεως λαβὼν ἠβουλήθη χάριν τῶν ἑαυτοῦ ὑπηκόων καὶ τῶν διαδεξομένων αὐτὸν βασιλέων καταρτίσαι πόνημά τι ἀμυντικὸν ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶσιν (α). Ὅθεν ἐξ ἰδίας τε μελέτης καὶ τῇ συνδρομῇ πεπαιδευμένων ἀνδρῶν ἀπηνθίσατο ἐκ τοῦ λειμῶνος τῶν συγγραφῶν τῶν διασημοτέρων τῆς Ἐκκλησίας διδασκάλων ὅσα εἰς ὑπεράσπισιν τῶν ὀρθοδόξων δογμάτων κατὰ τῶν αἱρετιζόντων πρόσφορα ἔκρινεν. Συλλεξάμενος δὲ παρέδωκε τῷ ἡμετέρῳ Εὐθυμίῳ, ἵνα συναρμολογήσῃ κατὰ τάξιν τὴν προσήκουσαν. «Καὶ δή, λέγει κατὰ λέξιν οὗτος, τὰ » δόγματα τῶν μακαρίων Πατέρων καὶ προμάχων τῆς ὀρθῆς πίστεως » διὰ τῶν τοῦ παρόντος καιροῦ σοφῶν καὶ πολυπείρων ἀνδρῶν ἐκλε» ξάμενος (ὁ Ἀλέξιος) καὶ συναγαγὼν *ἐμοὶ τὴν συνθήκην τούτων ἐπέ» τρεψε, καὶ τάξιν ἐπιθεῖναι τούτοις καὶ διεσκεμμένην ἁρμονίαν καὶ » λελογισμένην οἰκονομίαν ἐκέλευσεν*» (β). Οὕτως ἄρα συνέστη τὸ πασίγνωστον τοῦτο πόνημα. Ὅτι δὲ τοῦτο ἐκτὸς τοῦ προοιμίου καὶ ἄλ-

---

αὐτός λέγει ἐν τῷ προοιμίῳ. Προχειρισθεὶς δ' εἶτα περὶ τὸ ἔτος 1078 Ἀχριδῶν ἢ Βουλγαρίας ἀρχιεπίσκοπος, ἀπεβίωσεν ἐν ἔτει 1108 κατὰ τὰς πιθανωτέρας γνώμας. Ὅτι δὲ τὰ τοῦ Θεοφυλάκτου εἰς τὴν καινὴν Διαθήκην ὑπομνήματα ἦσαν ἤδη προεκδεδομένα, ὅτε ὁ ἡμέτερος Εὐθύμιος ἐξεπόνει τὰ ἑαυτοῦ (ὁ Εὐθύμιος ἐπεξέτεινε τὸ ζῆν μέχρι τοῦ 1120 καὶ ἐπέκεινα, ὡς ἔοικε), καὶ ὅτι καὶ ταῦτα εἶχεν ἐν ὄψει, ἐκ πλείστων ὅσων τεκμηρίων φανερώτατον παντὶ τῷ βουλομένῳ ἀμφότερα τὰ ἔργα συγκρῖναι πρὸς ἄλληλα.—(α) Δογμ. Πανοπλ. ἐν ἀρχῇ. « Ἵνα δὲ καὶ μετ' αὐτὸν οἱ βασιλεύοντες ἐνάγωνται πρὸς τὴν μίμη» σιν, ἐσκέψατο μάλα συνετῶς ἔγγραφον αὐτοῖς τε καὶ πᾶσι τοῖς ὑπηκόοις καταλιπεῖν τὴν » τῶν δογματικῶν ὅπλων παρασκευήν ».— (β) Αὐτόθ.

λων ἐπιεικῶς ὀλίγων μερῶν οὐκ ἐλογογράφησεν ὁ Εὐθύμιος, πᾶς τις, νομίζομεν, ὀφείλει ἀποδέξασθαι ἀδιστάκτως, ὅτε αὐτὸς οὗτος ὁμολογεῖ τοῦτο διαρρήδην καὶ κατ' ἐπανάληψιν.

Ἀλλ' ἔστιν ᾧ ἄλλως πως περί τε τούτου καὶ τῆς ἀξίας τῆς Πανοπλίας κρίνειν παρίσταται. Τίς δ' οὗτος; αὐτὸς πάλιν ὁ καὶ ἀνωτέρω μνημονευθεὶς Οὔλλμαννος· ὅστις τὸ μὲν βλέμμα ὑγιὲς ἔχων, πλὴν μυωπάζων καθ' ὑπόκρισιν, διεῖδεν ὅτι πατὴρ τῆς βίβλου ἐστὶν οὐχ ὁ Ἀλέξιος, ἀλλ' ὁ Εὐθύμιος· τῇ δὲ τῶν γνώσεων πληθώρᾳ βαρύτατος εἶναι δοκῶν καὶ πολυτελέστατος, τοσοῦτον ἐλαφρὸν αὐτὸ ἐξέλαβεν, ὥςτε γαύρως ἀπολακτίζει ὡς παιδικὸν ἄντικρυς ἄθυρμα. Καὶ συγγνώμη, εἰ, ὑπὲρ τὰ ἐσκαμμένα πως, τὸ τῆς παροιμίας, ἀποπηδῶντες, ἐπὶ μικρὸν παρακολουθῆσαι μέλλομεν ταῖς περὶ τούτων κρίσεσιν αὐτοῦ.

Ἡ ἐλλόγιμος Ἄννα, ἧς τὴν ἀμφιλαφῆ καὶ βαθεῖαν παιδείαν ἐξαιρετικῶς τιμᾷ καὶ θαυμάζει ὁ καλὸς Οὔλλμαννος, καλεῖ τὸν Ζιγαβηνὸν «γραμματικῆς εἰς ἄκρον ἐληλακότα, καὶ ῥητορικῆς οὐκ ἀμελέτη» τον ὄντα, καὶ τὸ δόγμα ὡς οὐκ ἄλλος τις ἐπιστάμενον» (α). Οὗτος δὴ μάλιστα ὁ τελευταῖος τῆς Ἄννης πρὸς τὸν Ζιγαβηνὸν ἔπαινος παρώξυνε τὸν ἄνδρα ἐπὶ τοσοῦτον, ὥςτε ἀνενδοιάστως ἀνεκήρυξεν αὐτὸν ὡς τῶν ἱερῶν δογμάτων οὐδ' ἐπιπολῆς, οὐδ' ἄκρῳ δακτύλῳ, οὐδ' ἐν χρῷ, τὸ τοῦ λόγου, ἀψάμενον. Καὶ οὐδ' εἰς τοῦτο ἁπλῶς ἠρκέσθη. Ἀλλ' ἐξ αὐτοῦ ὁ εὐφάνταστος οὗτος θεολόγος καὶ τὴν καθόλου τότε ἀνατολικὴν ὀρθόδοξον Ἐκκλησίαν καὶ ἐφαντάσθη καὶ παρέστησεν ὡς κατατρυχομένην θεολογικῆς παιδείας λιμῷ, οὐκ οἴδαμεν ὅσῳ· ἰδοὺ ἐν μεταφράσει οἱ λόγοι αὐτοῦ· «Ὁ Ζιγαβηνὸς μεγάλην » παρὰ τοῖς συγχρόνοις ἐκέκτητο φήμην, ὡς τῶν ἱερῶν δογμάτων δι« δάσκαλος· διότι οὐ μόνον παρὰ τοῦ αὐτοκράτορος Ἀλεξίου *ἔλαβε » τὴν ἐντολὴν τοῦ συναρμολογῆσαι* πολεμικόν τι τῶν δογμάτων σύ» στημα, ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ αὐτοκράτορος τούτου θυγάτηρ, ἡ πε» παιδευμένη Ἄννα, χαρακτηρίζει αὐτὸν ὡς τέλειον γραμματικὸν » καὶ ῥήτορα, καὶ ἐξυμνεῖ, ὡς ὑπὲρ πάντας τὰ δόγματα ἐπιστάμενον. » Ἀλλ' ὁ ἔπαινος οὗτος *ἐναργεστάτη* ὄντως ἐστὶν *ἀπόδειξις* (!) τῆς » θεολογικῆς *πτωχείας* (!) τῆς ἑλληνικῆς Ἐκκλησίας ἐπὶ Ζιγαβηνοῦ. » Τοσοῦτον εὔωνον τὴν τοῦ δογματικοῦ θεολόγου φήμην, ὥςπερ οὗ» τος, πάνυ ὀλίγοι, καὶ ἴσως οὐδεὶς ἐκτήσατο. Ἀπίστευτον ὄντως τὸ

(α) Ἀλεξιάδ. βιβλ. ΙΕ', σελ. 1175.

» πρᾶγμα τοῖς μὴ ἰδίοις ὀφθαλμοῖς ἑαυτοὺς πληροφορήσασιν. Καὶ ὅμως » οὐδὲν ἧττον ἢ χειρωνακτικὸς αὐτόχρημα ὑπῆρξεν ὁ τρόπος, δι' οὗ » ἐνήργησεν ὁ Εὐθύμιος, ἵνα τὸ ὄνομα αὐτοῦ μέχρι τῆς σήμερον μνη- » μονεύηται ἐν τῇ τῆς Δογματικῆς ἱστορίᾳ (α). Πολυμαθὴς ὑπῆρξε » πάντως ὁ ἀνήρ. Ἀλλὰ τὸ βρῖθος τῆς διανοίας καὶ τὸ ἐταστικὸν τοῦ » πνεύματος οὐκ ἰδιάζουσιν αὐτῷ. Ἡ δὲ τῶν ἰδιοτήτων τούτων στέ- » ρησις οὐδαμοῦ γίνεται τοσοῦτον καταφανής, *ὅσον ἐν τοῖς δογματι-* » *τικοῖς αὐτοῦ συγγράμμασιν* » (β).

Οὕτως ἐν ὀλίγαις γραμμάτων σειραῖς ὁ εὐτυχὴς Οὔλλμαννος, ὡς διὰ μαγικῆς τινος ῥάβδου, κατώρθωσεν ἵνα παραστήσῃ τὸν μέγαν Ἑρμηνευτὴν μονονοὺ γυμνὸν πάσης δογμάτων ἰδέας. Ἀπέδειξε δηλαδὴ ὁ ἀνὴρ ταχυδακτυλουργικῷ, οὕτως εἰπεῖν, τῷ τρόπῳ οὐχ ὅπερ ἔδει, ἀλλ' ὅπερ ἐβούλετο δεῖξαι. Καὶ τίς μὲν ἡ τῆς Δογματικῆς Πανοπλίας ἀξία, τοῦτο ἄλλου καὶ τόπου καὶ χρόνου ζήτημα. Ὁ δὲ καλὸς Οὔλλμαννος ἐξ ὅσων εἶπε φανερὸς γίνεται ὅτι τὴν οἵαν δήποτ' οὖν ταύτην συγγραφὴν τίθησι πρὸ τῶν ὀξυδερκῶν αὐτοῦ ὀφθαλμῶν, ὡς καθαρῶς ζιγαβήνειον ἔργον. Τοῦτο δηλοῦσιν ἃ νεανικῶς μᾶλλον ἢ πικρῶς λέγει· « ἡ ἐπιπολαιότης αὐτοῦ (τοῦ Ζιγαβηνοῦ) καὶ ἐλα- » φρότης οὐδαμοῦ καθίστανται τοσοῦτον καταφανεῖς, ὅσον ἐν τοῖς » δογματικοῖς αὐτοῦ συγγράμμασι »· διότι, ἐκτὸς τῆς Πανοπλίας, ἄλλο τοιοῦτο δογματικὸν τοῦ Ζιγαβηνοῦ πόνημα, καὶ εἴ που διεσώθη, οὐκ εἶδε τέως τὸ τῆς δημοσιότητος φῶς. Πῶς ἄρα ὁ τηλικοῦτος τὴν ἔμφασιν ἐπικριτὴς εἰς τοσοῦτο παχυλὸν περιέπεσε λάθος; Ζητητέον τοῦτο.

Ἡ Κομνηνὴ Ἄννα, ἡ τὰ κατὰ τὴν βίβλον ταύτην (ὡς οὖσαν τοῦ ἑαυτῆς πατρὸς ἔργον) τῇ ἱστορίᾳ παραδοῦσα, γράφει ὅτι ὁ αὐτοκράτωρ « μοναχόν τινα, Ζιγαδηνὸν καλούμενον, μεταπεμψάμενος ἐπέτα- » ξεν ἁπάσας τὰς αἱρέσεις ἐκθέσθαι ἑκάστην ἰδίᾳ, καὶ ἐφ' ἑκάστῳ τὰς » τῶν ἁγίων Πατέρων ἀνατροπὰς ἐγγράψασθαι . . . Ταύτην τὴν βί- » βλον Δογματικὴν Πανοπλίαν ὁ αὐτοκράτωρ ὠνόμασεν » (γ). Ταῦτα

(α) Aber in der That war es nicht viel mehr als blosse Fingerthätigkeit, wodurch Euthymius bewirkt hat, dass man seinen Namen bis auf den heutigen Tag in der Geschichte der Dogmatik nennt — (β) Ὅρ. Theolog. Stud. und Kritiken 1883, σ. 664. Ἡ αὐτόθι τοῦ Οὐλλμάννου πραγματεία ἐπιγράφεται, Die dogmatische Entwickelung der griech. Kirche im zwölften Jahrhundert. —(γ) Ἀλεξιάδ. βιβλ. ΙΕ', σελ. 1176.

ἀφηγουμένη ἡ κλεινὴ ἱστοριογράφος, παντί που δῆλον, ὅτι οὐ πάνυ ὡρισμένως τὸν συλλογέα διαστέλλει τοῦ συναρμολογητοῦ. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ῥητῶς παρ' αὐτῆς σημειούμενον, ὅτι τὴν ἐπιγραφὴν ἐπὶ τῆς βίβλου ἔθηκεν ὁ αὐτοκράτωρ, εἰς τοὐναντίον προφανῶς ἄγει τὸν ἀναγνώστην συμπέρασμα· ὅτι δηλαδὴ τοῦτο καὶ μόνον ἦν ὃ ὁ βασιλεὺς εἰς τὰ τῆς βίβλου συνεισήνεγκε· τοῦ δὲ ὅλου ἔργου πατὴρ ἐγένετο ὁ Εὐθύμιος (α). Εἰ λοιπὸν ἐκ τῶν ῥημάτων τούτων τῆς Ἄννης παρεπλανᾶτο, ὡς ἄλλοι, καὶ ὁ Οὔλλμαννος, τάχα ἦν αὐτῷ τῆς διαβολῆς ἡ ἄγνοια πρόφασις, καὶ ταῖς κρίσεσιν αὐτοῦ ἰδίαζεν ἂν τὸ ἐξ ἀγνοίας τραχὺ καὶ φορτικόν, ἀλλ' οὐ τὸ λοίδορον καὶ ὑβριστικὸν ἐκ προθέσεως. Ἀλλ' ὁ ἀνὴρ οὐδὲ ἐπιτιμᾷ οὐδὲ δυςφημεῖ οὐδὲ σκώπτει ἐκ παρανοήσεως, ἀλλὰ σοφιζόμενος ὑποκρίνεται ἄγνοιαν. Τοῦτο καὶ ἡμεῖς καὶ πᾶς ἄλλος ἐξάπαντος ὑπονοεῖ ἐκ τῶν ἑξῆς λόγων, τῶν περιεχομένων ἐν ᾧ ἀνωτέρω παρενεβάλομεν τοῦ πονηματίου αὐτοῦ χωρίῳ· « ὁ Ζιγαβηνὸς παρὰ τοῦ αὐτοκράτορος Ἀλε» ξίου ἔλαβε τὴν ἐντολὴν *ἵνα τακτοποιήσῃ* (!) πολεμικόν τι τῶν δογ» μάτων σύστημα » (β). Ὥςτε πρὸς αὐτὸν καὶ τοὺς κατ' αὐτὸν ἐν γνώσει ὑπηχοῦντας τὸ κοινὸν μισοβυζάντιον ᾆσμα, πᾶσα μὲν συζήτησις περιττή· εὐχῆς δὲ μᾶλλον χρεία, ἵνα αὐτὴ τέλος πάντων ἡ ἀλλοιωθεῖσα ἤδη ἐκκλησιαστικὴ καὶ πολιτικὴ τῆς Ἀνατολῆς κατάστασις διδάξῃ τοὺς τῆς Ἑσπερίας σοφοὺς τὴν ἐπαινετὴν παλινῳδίαν, ἐπ' ἰδίῳ τε ἀγαθῷ καὶ τῆς ἱερᾶς ἐλευθερίας.

Ἀλλ' ἐάσαντας τὰ τοῦ Οὐλλμάννου ἔχειν, ὡς δὴ καὶ ἔχουσιν, ἀνοιστέον τὸν λόγον ἐπὶ τὸ προκείμενον.

Ἡ τοίνυν Δογματικὴ Πανοπλία, ἐκ τῶν συγγραφῶν τῶν παλαιῶν καὶ διασήμων τῆς Ἐκκλησίας διδασκάλων ἀπηνθισμένη, ὡς εἴρηται, σκοπὸν προὐτίθετο τὴν ἀνατροπὴν καὶ τὸν ἔλεγχον τῶν ἐπικρατεστέρων αἱρέσεων, ὅσαι τότε μᾶλλον ἢ ἧττον κατελυμαίνοντο τὴν Ἐκ-

(α) Ἐκ τούτου τοῦ χωρίου τῆς συγγραφῆς τῆς Ἄννης ἄλλοι τε πολλοὶ καὶ ὁ σοφὸς F. Matthaei παραπλανηθεὶς ἔγραψεν (ἐν Τόμ. Ε', σ. 141 τῆς κριτικῆς ἐκδόσ. τοῦ κειμένου τῆς καινῆς Διαθ. Rigae. 1782)· « Ipse tamen hunc locum reperi in Panoplia » Euthymii Zigabeni, qui temporibus Alexii Comneni vixit et ex ejus man» dato istum librum ex scriptoribus ecclesiasticis contra haereticos collegit. —(β) Τὰ αὐτὰ παραδόξως ἐπαναλαμβάνει ὁ Οὔλλμαννος πλατύτερον καὶ ἐν σελ. 668 τῆς ῆς ἀνωτέρω ἐμνήσθημεν διατριβῆς αὐτοῦ.

κλησίαν (α). Διήρηται δὲ τὸ ὅλον σύνταγμα εἰς τίτλους ΚΗ', ὧν ὁ ΙΒ', ΙΓ' καὶ ΚΗ' διὰ τοῦτο μάλιστα σημειωτέοι· ὅτι ἐν ταῖς διαφόροις κατὰ καιροὺς ἐκδόσεσι τοῦ πονήματος νῦν μὲν παρελείποντο, νῦν δὲ συμπεριελαμβάνοντο, ἀναλόγως τοῦ τῆς ἐκδόσεως τόπου. Ἐξεδόθη δὲ τὸ πρῶτον ἡ Πανοπλία ἐν μόνῃ λατινικῇ μεταφράσει τῷ 1555 ὑπὸ Πέτρου Φραγκίσκου Ζίνου ἐν Βενετίᾳ. Εὐθὺς δὲ κατόπιν τῷ 1556 ἀνετυπώθη ἐν Λουγδούνῳ. Εἶτα τῷ 1570 ἐν Παρισίοις. Μετὰ ταῦτα πάλιν ἐν Λουγδούνῳ τῷ 1677, καὶ κατεχωρίσθη ἐν τῷ ΙΕ' τόμῳ τῆς Βιβλιοθήκης τῶν Πατέρων. Ἐν πάσαις ταύταις ταῖς ἐκδόσεσιν οἱ τίτλοι ΙΒ' καὶ ΙΓ', ὡς τὰς παπικὰς στηλιτεύοντες καινοτομίας, παρελείφθησαν.

Ἄλλη τῆς Δογματικῆς Πανοπλίας ἔκδοσις ἐν μόνῳ τῷ πρωτοτύπῳ ἑλληνικῷ κειμένῳ ἐγένετο ἐν ἔτει 1710 ἐν Τεργοβύστῳ τῆς Βλαχίας ὑπὸ τοῦ μητροπολίτου Δρύστρας Ἀθανασίου, ὃς καὶ ἀφιέρωσεν αὐτὴν τῷ υἱῷ τοῦ τότε τῆς Βλαχίας ἡγεμονεύοντος Ἰωάννου Κωνσταντίου Μπραγιωβάννου Στεφάνῳ Βοεβόδᾳ. Καὶ συμπεριέλαβε μὲν ὁ ἀοίδιμος ἐκδότης ἐν αὐτῇ τοὺς τέως ἐξοστρακιζομένους τίτλους ΙΒ' καὶ ΙΓ', ὠβέλισεν ὅμως καὶ αὐτὸς τὸν ΚΗ'. Αἰτία δὲ τούτου ὑπῆρξεν ὁ τῶν δυναστευόντων Μουσουλμάνων φόβος· καὶ γὰρ ἐν τῷ τίτλῳ τούτῳ περιείχετο ἀνασκευὴ τῆς τοῦ Μωάμεθ δυςσεβείας καὶ πλάνης. Τέλος, τό τε ἑλληνικὸν κείμενον πλῆρες καὶ τὴν λατινικὴν αὐτοῦ μετάφρασιν ἐξέδωκεν ἐν Παρισίοις τῷ 1865 ὁ Μίγνιος καὶ κατέταξεν ἐν τῷ ΡΛ' τόμῳ τῆς Πατρολογίας τῶν Ἑλλήνων Πατέρων τῆς Ἐκκλησίας.

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ

Ὁ Εὐθύμιος πλὴν τῆς Καινῆς ὑπεμνηματισεν, ὡς φαίνεται, καὶ ἅπασαν τὴν παλαιὰν Διαθήκην. Ἀλλ' ἐκ τῶν εἰς αὐτὴν ὑπομνημάτων τὰ μὲν ἐν χειρογράφοις κατὰ διαφόρους τῆς Ἑσπερίας Βιβλιοθήκαις σωζόμενά εἰσι τὰ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων καὶ εἰς ἄλλα

(α) Δογμ. Πανοπλ. ἐν ἀρχῇ. «Ἐκτεθήσονται δὲ τάξει τινὶ κατὰ τοὺς χρόνους αἱ τῶν » ἄλλων, ὡς ἐν ἐκλογῇ, κακῶν ἐπιλεγεῖσαι αἱρέσεις, τὰς ἀνατροπὰς ἑπομένας ἔχουσαι... » Τὰς μὲν οὖν παλαιοτέρας, ὡς πρὸ πολλοῦ σεσηπυίας καὶ πάντη διαφθαρείσας παρεδρά- » μομεν· τὰς ἐπισημοτέρας δέ, καὶ ὧν εἰ καὶ ἡ φλὸξ ἀπεμαράνθη, παραλυποῦντες ἔτι » τὴν Ἐκκλησίαν οἱ ἄνθρακες, ταύτας ἐστήσαμεν σκοποὺς εἰς τὸ βάλλεσθαι καὶ κατα- » τοξεύεσθαι».

τινὰ τῶν κρινομένων κανονικῶν βιβλίων (α), τὰ δὲ ἤδη ἐκδεδομένα οἱ ΡΝ' Ψαλμοί.

Τὸ εἰς τοὺς Ψαλμοὺς λαμπρὸν ὑπόμνημα ἐξεδόθη τὸ πρῶτον ἐν Οὐηρώνῃ (Verona) τῷ 1530 ὑπὸ Σαύλου ἐπισκόπου Βρουγῶν (Brugatenses) ἐν μόνῃ τῇ λατινικῇ μεταφράσει. Τῇ πρώτῃ ταύτῃ ἐκδόσει ἐπηκολούθησε δευτέρα, ἡ ἐν Παρισίοις τῷ 1730. Τρίτη, ἡ αὐτόθι πάλιν τὸ δεύτερον ἐν ἔτει 1760. Τετάρτη, ἡ ἐν Λουγδούνῳ μετ' οὐ πολύ, ἥτις καὶ ἀπετέλεσε τὸν ΙΘ' Τόμον τῆς μεγάλης τῶν Πατέρων Βιβλιοθήκης. Ἡ ἀλλεπάλληλος αὕτη τοῦ πονήματος ἀνατύπωσις φανερὸν ὅτι ἐμαρτύρει τὴν ὡς ἐκ τῆς σπουδαιότητος ἀρίστην αὐτοῦ παρὰ τοῖς λογίοις ὑποδοχήν. Ὅθεν καὶ ὁ ἐλλόγιμος Bongiovanni ἐκ τούτου κυρίως παροτρυνθείς, ὡς αὐτὸς λέγει, ἐπεχείρησεν ἐν Βενετίᾳ τῷ 1763 νέαν μὲν αὐτοῦ ἔκδοσιν, πληρεστέραν δ' ὅμως τῶν μέχρι τοῦδε καὶ τελειοτέραν, ὡς περιέχουσαν σὺν τῇ λατινικῇ μεταφράσει καὶ τὸ πρωτότυπον τοῦ Συγγραφέως κείμενον (β). Ὧδε σημειωτέον, ὅτι ἐκ ταύτης ἐγένετο ἡ εἰς τὴν ἡμετέραν ἁπλῆν διάλεκτον παράφρασις τῆς ἑρμηνείας τῶν Ψαλμῶν παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει Νικοδήμου τοῦ Ἁγιορείτου, ἐκτυπωθεῖσα ἐν Κωνσταντινουπόλει τῷ 1819. Ἐκ δὲ τῶν κατόπιν ἀναφανεισῶν μνημονευτέα μάλιστα ἡ τελευταία ἐν Παρισίοις τῷ 1864 γενομένη ὑπὸ Μιγνίου (γ).

(α) Ὅρ. Fabric. Biblioth. Graec. Vol. VIII, p. 341. Περὶ δὲ ἄλλων τινῶν τῷ Εὐθυμίῳ πεπονημένων ἔργων, ἀνεκδότων ἔτι ἐν διαφόροις Βιβλιοθήκαις κειμένων, ἐπραγματεύσατο ὁ Νικόλαος Φογγίνιος (Fogginius), οὗ τὴν πραγματείαν ἔπιθι ἐν τῇ ὑπὸ τοῦ Μιγνίου ἐκδοθείσῃ Πατρολογίᾳ Τόμ. ΡΚΗ', σ. 22.— (β) Ant. Bongiovanni, in oper. Theophyl. «Plures enim ante hanc ejus operis editiones Latinae » prodierunt; altera Veronae, altera Venetiis, Parisiis aliae, aliae aliis in » locis. Quid hoc sibi vult? Id opus nimirum esse longe optimum atque prae» stantissimum; ni enim tale esset, placere tantopere non potuisset, idque » semper, et omnis, et ubique».— (γ) Ὅρ. Τόμ. ΡΚΗ' τῆς Πατρολ. τῶν Ἑλλήνων Πατέρων. Ἰστέον δ' ὅτι ἐκ τῶν ἤδη ἀνευρεθέντων ὑπομνημάτων τοῦ Εὐθυμίου εἰς τὰς τῶν Ἀποστόλων ἐπιστολὰς γίνεται δῆλον, ὅτι τὴν τῶν Ψαλμῶν ἐξήγησιν, πάντως δὲ καὶ τὴν τῶν ἄλλων τῆς παλαιᾶς Διαθήκης βιβλίων, προεπεξειργάσθη τῆς ἐξηγήσεως τῆς καινῆς Διαθήκης. Οὕτως ἀναγινώσκομεν ἐν τῇ τέως ἀνεκδότῳ ἑρμηνείᾳ εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν (β', 8)· «ταυτὶ δὲ καὶ πάντα τὰ ῥητά, εἰ καὶ περὶ τῆς κοινῆς » ἀνθρωπότητος εἴρηται, ὡς ἐν τῇ ἐξηγήσει τῆς βίβλου τῶν Ψαλμῶν κατὰ λέξιν ἀκρι» βῶς ἡρμήνευται· ἀλλ' ὅμως κἑξ.».

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΑ ΤΕΣΣΑΡΑ ΕΥΑΓΓΕΛΙΑ

Ἐκ τῶν περισωθέντων συγγραμμάτων τοῦ Εὐθυμίου τοῦτο κυρίως ἐστίν, ὅ (συμπληρούμενον ἤδη τῷ μείζονι καί, δὸς εἰπεῖν, οὐσιωδεστέρῳ μέρει) αὐτοῦ μὲν ἀείμνηστον τὴν φήμην κατέλιπε, τὴν δὲ σύγχρονον αὐτῷ Ἐκκλησίαν ἐκλέϊσεν (α).

Τὸ κάλλος τοῦ λόγου καὶ ἡ σύγκρατος γλυκύτητι λαμπρότης, τὸ ἐκλελεγμένον καὶ ἐπιμεμελημένον τῆς φράσεως, ἡ ἐξαίρετος ἐκλογὴ καὶ ἀποθησαύρισις τῶν ὡραιοτέρων πορισμάτων τῆς παλαιοτέρας ἐξηγητικῆς ἐπιστήμης, ἡ πανταχοῦ ἐκδηλουμένη φιλοκαλία καὶ ἡ ἄλλη ἀξιόλογος οἰκονομία ἔπεισαν τοὺς περὶ αὐτοῦ ὁπωςδήποτε λόγον ποιησαμένους, ὅτι τὸ ἔργον πεφιλοπόνηται τῷ Συγγραφεῖ ἐξ ὑψηλοῦ βασιλικοῦ κελεύσματος (β). Ὡς βασιλικῆς φιλοτιμίας σπούδασμα ἐξέλαβεν αὐτὸ καὶ ὁ πρῶτος αὐτοῦ ἐν τῷ ἑλληνικῷ πρωτοτύπῳ ἐκδότης Φριδερῖκος ὁ Ματθαίου. Ὅς ὅμως, ἐπεὶ τὸ προοίμιον, ἔνθα ἦν τῷ Συγγραφεῖ ὁ ἁρμόδιος τῆς τοιαύτης ὑπομνήσεως τόπος, ἀπώλετο, τῷ διστακτικῷ ἴσως τὸ ὁριστικὸν τῆς ἑαυτοῦ γνώμης ἐκόλασεν. Καὶ γὰρ λέγει· «ἴσως τὴν σύνταξιν τοῦ πονήματος τούτου, ὥςπερ καὶ τῆς » Πανοπλίας, ἀνεδέξατο ὁ Εὐθύμιος προσταγῇ τοῦ αὐτοκράτορος » Ἀλεξίου, πλείους ἔχων γραφεῖς, μισθουμένους αὐτοκρατορικοῖς » ἀναλώμασιν » (γ).

(α) Herzog Real-Encyklop. ἐν λ. Theophylakt. «Denn als Erklärer des » Neuen Testaments ist Theophylakt derjenige, welcher neben Oekumenios » und dem etwas späteren Euthymius die Ehre der griechischen Theologie im » Mittelalter und deren grosse Vorzüge vor der gleichzeitigen lateinischen ge»wahrt und aufrecht erhalten hat». Ὅ ἐστιν· « ὁ Θεοφύλακτός ἐστιν ἐκεῖνος, ὅςτις, » ὡς ἐξηγητὴς τῆς καινῆς Διαθήκης, μετὰ τοῦ Οἰκουμενίου καὶ τοῦ κατά τι μεταγενεστέρου » Εὐθυμίου συνετήρησε καὶ διέσωσε τήν τε τιμὴν τῆς ἑλληνικῆς Θεολογίας κατὰ τοὺς μέ» σους αἰῶνας καὶ τὴν μεγάλην αὐτῆς ὑπεροχὴν ἀπέναντι τῆς συγχρόνου λατινικῆς». — (β) Ἐκ τῶν ἡμετέρων ὅρ. Μελέτ. Ἀθην. Ἐκκλ. ἱστορ. Τόμ. Γ', σελ. 14. «Εὐθύμιος ὁ » Ζυγαδηνός, ἀνὴρ ἐν λόγοις παιδείας διάσημος. . . Ἔγραψε γλαφυρώτατα σχόλια εἰς » τὴν θείαν Γραφὴν *κατὰ προσταγὴν Ἀλεξίου τοῦ Κομνηνοῦ*, τοῦ αὐτοκράτορος». Καὶ Θ. Φαρμακ. ἐν τοῖς Προλεγ. τῆς Ἑρμ. εἰς τὴν καινὴν Διαθήκην Τόμ. Α', σελ. ιδ'. —(γ) Frid. Matth. praefac. p. 5. « Forte hunc laborem etiam, sicuti Pano» pliam, jubente Alexio Comneno suscepit, ac plures scribas imperatoriis » impensis conductos habuit ». Ἡ δὲ γνώμη αὕτη ἐπιρρώννυται, καθ' ἡμᾶς, ἔτι μᾶλλον καὶ ἐκ τούτου, ὅτι, ὥςπερ ἡ Δογματικὴ Πανοπλία, οὕτω καὶ τὸ παρὸν πόνημα σκοπὸν κύριον εἶχεν, ἵνα τὸ εὐσεβὲς πλήρωμα προφυλάξῃ ἀπὸ τῆς αἱρετικῆς λύμης ἀνε-

Καὶ ὄντως· ὁ Εὐθύμιος ὢν κατὰ τὰ ἄλλα ἄριστα σεγκεκροτημένος, καὶ τὴν τοῦ νοῦ ὀξύτητα σὺν τῇ τῆς κρίσεως λεπτότητι, ὧν ἡ ἐξηγητικὴ μάλιστα ἐπιστήμη δεῖται, ἐκ φύσεως λαχών, ἐβασάνιζε καλῶς τό τε πνεῦμα καὶ τὸ γράμμα τῶν ἱερῶν Συγγραφέων· παρέβαλλεν ἐσπουδασμένως τὰς γνώμας πάντων ἐν γένει τῶν ἐπὶ ἐξηγητικῇ δεινότητι ὀνομαστῶν· ἐδέχετο εὐστόχως τὴν τούτων ὀρθοτέραν, καὶ προςετίθει καταλλήλως τὰ τῆς ἰδίας ἐρεύνης ἀξιόλογα πορίσματα. Πηγαὶ δ' εἰδικώτερον, ἐξ ὧν ἤντλει, ἦσαν αὐτῷ τὰ τοῦ Διδύμου, Σευήρου, Κυρίλλου Ἀλεξανδρείας, Θεοδωρήτου, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, Νείλου τοῦ Ὁμολογητοῦ, Φωτίου, Οἰκουμενίου καὶ τοῦ συνακμάζοντος Θεοφυλάκτου συγγράμματα. Ἀλλὰ κατ' ἐξοχὴν ἠρύετο ἐκ τῶν Ὁμιλιῶν τοῦ ἱεροῦ Χρυσοστόμου. Καὶ ἀνακαλύπτει μὲν τοῦτο πᾶς ἕκαστος ἐξ ἁπλῆς ἀντιπαραβολῆς· ἀνομολογεῖ δὲ ῥητῶς πολλαχοῦ καὶ αὐτὸς ὁ Συγγραφεύς, ὅς καὶ ἐν τῇ μετωπίδι αὐτῇ τοῦ μεγάλου τούτου συγγράμματος ἀποκαλεῖ ταπεινοφρόνως ἑαυτὸν ἐρανιστὴν καὶ οὐχὶ συγγραφέα. Πλὴν ἐξέστω εἰπεῖν ὅτι τοῦτο λέγει μᾶλλον ἐξ ὑψωτικῆς ἐπιστημονικῆς μετριοπαθείας, ἥτις ἦν παρὰ τοῖς παλαιοῖς τῶν Συγγραφέων μάλα ζηλούμενον. Καὶ γὰρ ὁ Ζιγαβηνὸς ἐν τῷ πονήματι τούτῳ καταδήλως

πηρέαστον. Καὶ γὰρ ἡ βογομιλικὴ αἵρεσις, τότε μάλιστα λυσσῶσα καὶ ἀφραίνουσα, ἐστήριζεν ἑαυτὴν ἐπὶ δοξῶν, ἃς ἐπορίζετο ἐκ προβεβουλευμένης παραφθορᾶς καὶ διαστροφῆς τοῦ τε νοήματος καὶ τοῦ γράμματος τῶν θείων Γραφῶν, καὶ μάλιστα τῆς καινῆς Διαθήκης,ὡς ἀνωτέρω διείληπται. Εἰ δὲ καὶ οὐδαμοῦ τοῦ πολυτόμου τούτου συγγράμματος ἀναφέρει ῥητῶς τοὺς Βογομίλους ὁ Συγγραφεύς, ἀλλ' ὅμως πολλαχοῦ αὐτοὺς σαφῶς ὑπαινίσσεται. Οὕτω τὰς γραφικὰς ἑρμηνεύων λέξεις «υἱοθεσίαν ἀπεκδεχόμενοι, » τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν» (Ῥωμ. η', 23), λέγει· «τὴν ἀπὸ τῶν παθῶν » καὶ τῆς φθορᾶς λύτρωσιν αὐτοῦ. Ἡ μὲν γὰρ ἐνταῦθα υἱοθεσία διαπίπτει πολλάκις· » πολλοὶ γὰρ υἱοθετηθέντες *γεγόνασι κύνες*». Τὸ δὲ ***κύνες***, ὅτι εἰς τοὺς Βογομίλους ἀφορᾷ, ὡς τὴν τῶν σωμάτων ἀρνουμένους ἀνάστασιν, προδεδήλωται (ὅρ. ἀνωτ. σελ. λϐ'). Ἀλλαχοῦ δ' ὁμοίως μὴ ὀνομάζων αὐτοὺς ἀναιρεῖ αὐτῶν τὰ δόγματα· ὡς λ. χ. ἐν τῇ ἑρμηνείᾳ τῶν ἀποστολικῶν λόγων· «ἀνασταυροῦντες ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ» (Ἑβρ. ϛ', 4), ἔνθα σημειοῦται· «ἄρα ὁ ἀναβαπτιζόμενος ἀνασταυροῖ τὸν Χριστὸν δι' » ἑαυτοῦ ἢ ἐφ' ἑαυτῷ καί, ὡς πάλιν βαπτιζόμενος, εἰςάγει ὅτι πάλιν ὁ Χριστὸς ἐσταυ- » ρώθη. Ὥςπερ οὖν ἅπαξ, ἀλλ' οὐ δεύτερον ἐσταυρώθη ὁ Χριστός, οὕτως ἅπαξ, ἀλλ' οὐ » δεύτερον χρὴ βαπτίζεσθαι». Δέδεικται δ' ἐν τοῖς ἔμπροσθεν, ὅτι οἱ Βογόμιλοι καθυπέβαλλον εἰς ἀναβαπτισμὸν τοὺς Ὀρθοδόξους (ὅρ. ἀνωτ. σελ. λά). Ἐκ τούτων ἄρα καὶ ἐξ ἄλλων παραπλησίων βέβαιον σχεδὸν καθίσταται, ὅτι ἡ αἵρεσις αὕτη ἐγένετο αἰτία τῷ μὲν αὐτοκράτορι Ἀλεξίῳ εἰς προτροπήν, τῷ δὲ Ζιγαβηνῷ Εὐθυμίῳ, εὐνοουμένῳ αὐτῷ ἄλλως ὄντι καὶ οἰκείῳ, εἰς ἀναδοχὴν τῆς τοῦ ἔργου τούτου συντελέσεως.

πλεῖσθ' ὅσα ἐξ ἑαυτοῦ συνεισήνεγκεν. Ἀπὸ δὲ τῶν Ὁμιλιῶν τοῦ Χρυσοστόμου διὰ μακρᾶς καὶ κοπώδους ἐργασίας τοὺς πλατειασμοὺς συμπτύξας καὶ τὰς σχοινοτενεῖς καὶ ἐκτὸς τοῦ προκειμένου παρεκβάσεις εἴτε ὅλως παραδραμὼν εἴτε συμμέτρως περικόψας, ἀπηνθίσατο τὰ εἰς κατάληψιν μόνον τοῦ νοήματος καὶ τοῦ γράμματος τοῦ Γραφικοῦ κειμένου συντελοῦντα. Ὥστε ἐν τῷ δικαιοτάτῳ μέτρῳ ἡ ἠκριβολογημένη ἀπάρτισις τῆς κατὰ ἀδιάσπαστον συνοχὴν ἐξηγήσεως τῆς καινῆς Διαθήκης ὡς ἴδιον κρίνεται ἔργον καὶ κατόρθωμα.

Ταῦτα τοίνυν τὰ τοῦ Εὐθυμίου εἰς τὰ τέσσαρα Εὐαγγέλια ὑπομνήματα, χειρόγραφα ἐν τῇ Βιβλιοθήκῃ τοῦ κατὰ τὸ βασίλειον τῆς Καστέλλης ἐν Ἱσπανίᾳ Κοινοβίου τῆς Θεοτόκου κείμενα, ἤχθησαν εἰς φῶς ἐν μόνῃ λατινικῇ μεταφράσει παρ' Ἰωάννου Ἐντενίου τῷ 1544 ἐν τῇ πόλει Λωβήττῳ (Lovan) (α). Ὁ ἐκδότης, ὁ καὶ μεταφράσας, τὸ κατ' ἀρχὰς μὲν ἐξέλαβέ τε καὶ ἐδημοσίευσε ταῦτα ὡς ἔργα τοῦ Οἰκουμενίου, εὑρών, ὡς φαίνεται, τὸν κώδικα ἤτοι παρεφθαρμένην ἢ καὶ ὅλως ἀποκεκομμένην τὴν πρώτην σελίδα ἔχοντα, ὅπου συνήθως ἡ τοῦ Συγγραφέως κλῆσις ἐπιγράφεται. Κατόπιν ὅμως μετ' ἐπιστασίας μείζονος ἐγκύψας καὶ τὸ οἰκεῖον ἁμάρτημα συνειδώς, ἐπηνωρθώσατο (β). Ἡ λατινικὴ αὕτη ἔκδοσις, ᾗ ἐπισυνῆψεν ὁ μεταφράσας καὶ κατάλογον, τὰς διαφορὰς δεικνύοντα τοῦ κατὰ Ζιγαβηνὸν κειμένου τῶν ἱερῶν Εὐαγγελίων ἐν συγκρίσει πρὸς τὰ τότε αὐθεντικώτερα τῶν τῆς καινῆς Διαθήκης ἀντιγράφων (γ), ἐπανελήφθη πολλάκις πολλαχοῦ. Οὕτως ἐν Παρισίοις τῷ 1647. Αὐτόθι αὖθις τῷ 1660. Καὶ πάλιν τῷ 1702. Ἐν δὲ τῇ ἐν Λουγδούνῳ ἐκδοθείσῃ Βιβλιοθήκῃ τῶν Πατέρων συνεπλήρωσε τὸν ΙΘ' Τόμον.

Ἅπασαι αὗται τῆς βίβλου αἱ ἐκδόσεις, καίπερ ἐν μόνῃ τῇ λατινικῇ τοῦ Ἐντενίου μεταφράσει γενόμεναι, τί ἄλλο προφανῶς ἐδήλουν, ἢ ὅτι λίαν ἀσμένως αὐτὴν τὸ τῶν λογίων κοινὸν ὑπεδέξατο; Τὸ δὲ

(α) Fabric. Biblioth. Graec. Vol. VII, pag. 474. Hamburg, 1727. «Hoc eximium opus (Commentarius Euthymii Zigabeni in quatuor Evangelia) nec dum Graece lucem vidit, licet id affirment viri docti, Caveus, Elias du Pin, atque alii. Latine e praeclaro Codice Bibl. Coenobii Deipare Virginis Cuadalupensis Ord. D. Hieronymi in regno Casttellae, transtulit, I. Hentenius . . . cujus versio prodiit primum Lovan 1544».— (β) Henten. Admonitio de auctore horum Commentariorum ex editione Lovaniensi 1544. fol. — (γ) Ὅρ. F. Matth. Comment. Zigab. ect. Vol. I, p. 91.

χαρακτηριστικώτερον, ὅτι, εἰ καὶ πάνυ βραχὺς παρερρύη ὁ μεταξὺ χρόνος, ἀπὸ τῆς τελευταίας δηλονότι αὐτῆς ἐκδόσεως μέχρις οὗ ὁ σοφὸς Φριδερῖκος ὁ Ματθαίου ἔγνω παρασκευάσαι τὴν ἐν τῷ πρωτοτύπῳ ἑλληνικῷ κειμένῳ δημοσίευσιν, ἡ ἀνεύρεσις καὶ ἑνός τινος ἀντιτύπου ὑπῆρξεν αὐτῷ ἀδύνατον. Διὸ εὐλόγως ἐπαπορῶν ὁ ἀνὴρ λέγει ἐπὶ λέξει· «παράδοξόν τι ἀληθῶς συνέβη, ἵνα μεταξὺ τοσούτων τοῦ » Ἐντενίου ἐκδόσεων τῆς λατινικῆς μεταφράσεως μήτε μία κἂν εὐ» ρεθῇ. Ἐπὶ δώδεκα ὅλα ἔτη μάτην ἐζήτουν καὶ ἓν μόνον ἀντίτυπον. » Τελευταῖον δ' ἔμαθον, ὅτι καὶ ἄλλοι μεταξὺ τῶν σπανίων κατατάτ» τουσι τὴν βίβλον» (α). Ἀποτυχὼν δ' οὕτω τοῦ σκοποῦ καὶ μὴ ἔχων ἄλλως ἑαυτῷ τὴν βίβλον πορίσασθαι, ἐτράπη πρὸς τοὺς φιλοβίβλους καὶ τὰς δημοσίας Βιβλιοθήκας. Καὶ ἐκ τούτων μὲν ἐπήρκεσεν αὐτῷ ἡ τῆς Λιψίας, ἐξ ἐκείνων δὲ ὁ αὐλικὸς τοῦ βασιλέως τῆς μεγάλης Βρεταννίας Σύμβουλος Ἑύνιος (β).

Καὶ παρώτρυνε μὲν εἰς νέαν τῆς βίβλου ἔκδοσιν τὸν ἐλλογιμώτατον Φριδερῖκον τὸν Ματθαίου ἡ σπάνις, ἢ μᾶλλον ἡ παντελὴς τῆς λατινικῆς ἐκδόσεως ἔλλειψις, ἀλλ' οὐχ ἧττον παρώρμα αὐτὸν εἰς τοῦτο καὶ ὁ τῶν πεπαιδευμένων ἀνδρῶν ὁμόφωνος ἔπαινος πρός τε τὰ ὑπομνήματα ταῦτα καὶ τὸν συγγραφέα αὐτῶν Εὐθύμιον. Ὁ πολυμαθέστατος Φαβρίκιος ἐν τῇ περιωνύμῳ Ἑλληνικῇ αὐτοῦ Βιβλιοθήκῃ τὸ ἔργον τοῦτο καλεῖ «*ἐξαίρετον*» (eximium opus) (γ). Φίλιππος ὁ Λαββέος, ἀνὴρ ἐς τὰ μάλιστα λόγιος ὤν, κρίνας αὐτὸς μετ' ἐπαίνου τὸ πόνημα καὶ διακαῆ τὴν εὐχὴν ἐκφράσας ἵνα ἐκδοθείη τοῦτο μετὰ καὶ τοῦ πρωτοτύπου ἑλληνικοῦ κειμένου (δ), παρεισάγει εἶτα καὶ ἄλλων κρατίστων ἀνδρῶν κρίσεις κατακυρούσας τὴν ἑαυτοῦ. «Ὁ Συγγραφεὺς οὗτος (ὁ Ζιγαβηνὸς Εὐθύμιος), λέγει, παρὰ

(α) F. Matth. Αὐτόθ. p. 4.— (β) Αὐτόθ. « In principio hujus editionis ergo » usus sum Tomo XIX Bibliothecae maximae Lugdunensis 1677, quem mihi » ex bibliotheca Amplissimi Senatus Lipsiensis commodaverat Perillustris » MÜLLERUS, Serenissimo Saxoniae Electori a Consiliis Bellicis Secre» tioribus, Civitatisque Lipsiensis Consul HEYNIUS etiam, Angustissimo » Magnae Britanniae Regi a Consiliis Aulicis, Vir Perillustris, ad me trans» misit editionem, ut arbitror, principem, Louaniensem 1544 ».— (γ) Vol. VII, p. 474. Hamburg. 1727.— (δ) Phil. Labbe, Dissert. de Scriptor. Eccles. Vol. I, pag. 312. «Quisquam ne erit, qui haec et quae praeterea dicuntur » latere Mss. in Bibliothecis doctissimi interpretis monimenta, tantam or» nate et Graece simul ac Latine evulget »?

» μὲν τοῦ Σίξτου Σενένσου καλεῖται τῶν Γραφῶν *ἐξηγητὴς ἀκριβής*, » παρὰ δὲ τοῦ Καρδινάλεως Βαρωνίου *ἑρμηνευτὴς αὐτῶν ἐπιτυχέστατος*, » παρὰ δὲ τοῦ Ἰωάννου Μαλδονάτου εἰς τὸ τηρεῖν τὴν κυριολεξίαν » *ἱκανώτατος*» (α).

Τούτοις δὲ (ἵνα παραλίπωμεν ἄλλους τε καὶ τοὺς ἐπὶ κριτικῇ δυνάμει πεφημισμένους Ἐρνέστιον (ϐ) καὶ Νοισσέλτιον (γ), τὰ αὐτὰ καὶ οἱ προειρημένοι λέγοντας), προστεθείσθω μάλιστα ὁ Γαλάτης Ῥιχάρδος Σίμων, ὃν ἄλλοι τε τῶν λογίων καὶ αὐτὸς ὁ ἐν πάσῃ σχεδὸν ἰδέᾳ λόγου εὐδοκιμώτατος καὶ ὑπέροχος Εὐγένιος ὡς τὸν ὕπατον τῶν κριτικῶν τοῦ κειμένου τῆς καινῆς Διαθήκης ἡμῖν συνίστησιν (δ). Οὗτος ἐν τῇ κριτικῇ αὐτοῦ ἱστορίᾳ τῶν ἀξιολογωτέρων τῆς καινῆς Διαθήκης ὑπομνηματιστῶν (ε) τὸ ζιγαϐήνειον τοῦτο ἔργον μᾶλλον τῶν ἄλλων φιλοκρινήσας (εἶχε γὰρ ἀνὰ χεῖρας δύο τούτου χειρόγραφα ἐν τῇ βασιλικῇ τῶν Παρισίων Βιϐλιοθήκῃ κείμενα), καὶ τὴν ἀξίαν αὐτοῦ καὶ ὑπεροχὴν ἐν τοῖς τοῦ τοιούτου εἴδους πονήμασι δι' ἀποχρώντων λόγων καταδείξας, ἐγένετο Φριδερίκου τοῦ Ματθαίου ἡ κυριωτέρα εἰς τὴν τοῦ πρωτοτύπου ἔκδοσιν ἀφορμὴ (ϛ). Προὔργου δ' ἂν εἴη καὶ τὴν ὅλην τοῦ κριτικοῦ πραγματείαν μεταγλωττίσαι τε καὶ καταχωρίσαι ἐνταῦθα, ὡς πολὺ τὸ κῦρος ἔχουσαν.

« Ὀλίγοι, λέγει, τῶν Ἑλλήνων ὑπομνηματιστῶν ἡρμήνευσαν τὸ τῶν Εὐαγγελίων κείμενον μετὰ τοσαύτης ἀκριβείας, μεθ' ὅσης ὁ κοινῶς Εὐθύμιος ὀνομαζόμενος. Ὁ ἔλλην οὗτος Συγγραφεύς, περὶ τὴν ἐξακρίϐωσιν τῶν κυρίων σημασιῶν τῶν λέξεων προς-

---

(α) Αὐτόθ. «Hic autor a Sixto Senensi diligens scripturarum expositor, a » Cardinale Baronio accuratissimus earundem interpres, a Ioanne Maldo- » nato in observandis verborum proprietatibus diligentissimus appellatur ». —(ϐ) Augustus Ernestius, in institutione interp. N. Test. Pars II, Cap. IX, § 24 — (γ) Augustus Noesselt, de Catenis Patrum Graecorum. Halae ad Salam. 1762. 4. pag. 23.— (δ) Ὅρ. Fragmenta epistolae Eugenii Archiepiscopi, παρὰ F. Matthaei N. Test. Vol. V, p. LVI, ἐκδ. Rigae 1782. «Editio- » nes. . . Simonis ipse, quo nescio, an quis accuratius observationes criti- » cas, tum textus ipsius, tum versionum N. T. instituit». Ἤτοι· «Αἱ ἐκδόσεις » . . . τοῦ Σίμωνος ἐκείνου, οὗ κριτικὰς παρατηρήσεις εἴς τε τὸ κείμενον αὐτὸ καὶ εἰς » τὰς μεταφράσεις τῆς καινῆς Διαθήκης ἀγνοῶ εἴ τις ἄλλος ἀκριβέστερον ἐποίησεν». — (ε) Richard Simon, Histoire Critique des principaux Commentateurs du Nouveau Testament à Rotterdam chez Reinier. Leers. 1693. 4.— (ϛ) Matth. Comment. ect. ἐν τοῖς Προλεγομ. σελ. 3. « Ut autem hos commentarios ede- » rem, in primis me permoverunt tot doctissimorum virorum, maximeque » Richardi Simonii, de iis judicia ; deinde summa hujus libelli raritas ».

εκτικώτατος, ἐξερευνᾷ μετὰ πολλῆς τῆς ἐπιμελείας τήν τε κατὰ γράμμα ἔννοιαν καὶ τὴν κυριολεξίαν » . . .

» Φαίνεται, ὅτι ἡ σοφὴ αὕτη τῶν Εὐαγγελίων ἐξήγησις ἀπεδόθη τῷ Θεοφυλάκτῳ· καὶ γὰρ ἐν πολλοῖς οἱ δύο οὗτοι συγγραφεῖς καὶ ἐν αὐταῖς ταῖς φράσεσιν οὕτω πρὸς ἀλλήλους συμφωνοῦσιν, ὡςεὶ ἀλλήλους ἀντέγραψαν. Ἀλλ' ὅμως ὁ Εὐθύμιός ἐστι τοῦ Θεοφυλάκτου κριτικώτερός τε καὶ ἀκριβέστερος, ἅτε ὀλιγώτερον τοῦ κειμένου ἀπομακρυνόμενος καὶ πλείονας ἐπισυνάπτων σημειώσεις, ὡς ἐκ τῶν ἑξῆς σαφῶς δείκνυται ».

» Ἐν τῷ τέλει τοῦ προλόγου τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου λέγει, ὅτι Ματθαῖος ὁ πρῶτος ἐν τοῖς Εὐαγγελισταῖς, τὸ κατ' αὐτὸν Εὐαγγέλιον ἐδημοσίευσε μετὰ ὀκτὼ ἀπὸ τῆς τοῦ Ἰησοῦ Χριστοῦ ἀναλήψεως ἔτη, καὶ ὅτι ἔγραψε τοῦτο ἑβραϊστὶ πρὸς τοὺς νεοφωτίστους Ἰουδαίους, « ὕστερον δὲ μεθηρμηνεύθη πρὸς τὴν ἡμετέραν διάλεκτον ». Ταῦτα ἀναφέρει καὶ ὁ Θεοφύλακτος, ἀλλ' οὐ μετὰ τῆς αὐτῆς ἀκριβείας. Καὶ γὰρ σὺν ἄλλοις λέγει· « μετέφρασε δὲ τοῦτο ὁ Ἰωάννης ἀπὸ τῆς ἑβραΐδος γλώττης εἰς τὴν ἑλληνίδα, ὡς » λέγουσιν ». Οὐδεμιᾶς ὅμως οὔσης περὶ τούτου βεβαιότητος, καλῶς ποιῶν ὁ Εὐθύμιος ἐξεφράσθη ἀορίστως ».

» Τὸ ῥῆμα « παραδειγματίσαι » (Ματθ. α', 19), ὃ ἐν τῇ ἡμετέρᾳ Βουλγάτᾳ traducere μεθηρμήνευται, δηλοῖ καταμηνύειν τινὸς ἐπ' ἐγκλήματι εἰς τὸ δικαστήριον. « Πα» ραδειγματίσαι δὲ ἐλέγετο, ὅταν ἀνὴρ παρὰ τὸ συνέδριον ἦγε τὴν ὑποπτευομένην καὶ » κατηγόρει ταύτης, καὶ οὕτως αὐτὴν φανερῶς ἀπέλυεν ἀπὸ τῆς οἰκίας αὐτοῦ » (Ζιγαβ. ἐν λ.). Τοῦτ' αὐτὸ λέγει καὶ ὁ Χρυσόστομος· «ἐκπομπεύειν καὶ εἰς δικαστήριον ἄγειν» (α).

» Οἱ Ἰουδαῖοι ἰσχυριζόμενοι ὅτι τὸ παρὰ τοῦ Ματθαίου (β', 15) ἀναφερόμενον χωρίον τοῦ προφήτου Ὠσηέ· « ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου » δηλοῖ τὴν ἐπάνοδον αὐτῶν ἐκ τῆς Αἰγύπτου, ἀντιτάσσουσι τοῖς Χριστιανοῖς, ὅτι ὁ Εὐαγγελιστὴς διέστρεψε πρὸς ἴδιον τέλος τὴν προφητείαν. Ἀλλ' ὁ Εὐθύμιος ἀποκρίνεται διὰ παραδειγμάτων λέγων (ἐν λ.) « ὅτι καὶ τοῦτο προφητείας νόμος ἐστί, τὸ πολλάκις ῥηθῆναι μὲν ἐπ' ἄλλων, » πληρωθῆναι δὲ ἐφ' ἑτέρων ».

» Παρατηρεῖ μετὰ κρίσεως ὅτι τὸ « ἐν ταῖς ἡμέραις ἐκείναις » (Ματθ. γ', 1), οὐδαμῶς χρόνου συνέχειαν δηλοῖ· διότι πολύ ἐστι τὸ μεταξὺ τῶν ἀναφερομένων καὶ τῶν προηγουμένων παρεμπῖπτον χρονικὸν διάστημα. « Ἔθος ἐστὶ τῇ Γραφῇ τὸ « ἐν ταῖς » ἡμέραις ἐκείναις » ἀκολούθως (β) λέγειν, ἐφ' οὗ ἂν θελήσῃ χρόνου, δηλούσῃ μόνον τὸν » καιρὸν ἐκεῖνον, ἐν ᾧ γέγονεν, ἃ διηγήσασθαι βούλεται, καθάπερ καὶ νῦν ὁ Εὐαγγελι» στὴς ἐποίησε, τὰ ἐν μέσῳ παραδραμών ». Τοῦτ' αὐτὸ σημειοῦται καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ χωρίου· « τότε προςηνέχθη αὐτῷ δαιμονιζόμενος » (Ματθ. ιβ', 22). Ὅπερ δέον ἡμᾶς ἔχειν κατὰ νοῦν, ἵνα μὴ ζητῶμεν ἐν ταῖς συγγραφαῖς τῶν Εὐαγγελιστῶν καὶ τῶν Ἀποστόλων συνέχειαν, ὅπου οὐδεμία ὑπάρχει· καὶ γὰρ καὶ οὗτοι, ὥςπερ οἱ τῆς παλαιᾶς Διαθήκης συγγραφεῖς, πολλὰ συνῆψαν ἀσχέτως πρὸς τὴν τάξιν τοῦ χρόνου ».

» Τὸ « εἰς μετάνοιαν » (Ματθ. γ', 11) ἡρμήνευσε « διὰ τὴν μετάνοιαν », ἐπιφέρων· » ἐξομολογουμένους γὰρ αὐτούς, ἤγουν μετανοοῦντας, ἐβάπτιζεν ». Ὡς ὁ Θεοφύλακτος, οὕτω καὶ ὁ Εὐθύμιος οὐκ ἀνέγνω (ἐν τῷ αὐτῷ τοῦ Ματθαίου χωρίῳ) « καὶ πυρί ». Διὸ

(α) Vol. VII, p. 53. A. Quod Nicetas etiam reperit in Caten. Corderii, p. 22. —(β) Φριδ. ὁ Ματθ. ἐν τοῖς δυσὶ κώδιξι τῆς Μόσχας ἀνέγνω *ἀκωλύτως* καὶ ἐτήρησε τὴν γραφὴν ταύτην ἐν τῷ κειμένῳ. Ἐπειδὴ ὅμως οὐκ εὐωδοῦτο τὸ νόημα, ὑπεσημειώσατο· « mihi in mentem veniebat *ἀπολύτως* ». Ταῦτα ἐπανέλαβε καὶ ὁ Φαρμακίδης ἐν τῇ ἑαυτοῦ ἐκδόσει. Ἀλλ' ἡ ὀρθὴ γραφή ἐστι προδήλως « ἀκολούθως » κατὰ τοὺς παρισιανοὺς κώδικας, οὓς εἶχεν ἐν ὄψει ὁ Ῥιχάρδος Σίμων. Σ. Μ.

προςτίθησιν, ὅτι ἡ γραφὴ αὕτη μόνον παρὰ Λουκᾷ ἀπαντᾷ (γ', 16). Καὶ ὅμως ἐν ἀμφοτέροις τοῖς χειρογράφοις τῆς βασιλικῆς Βιβλιοθήκης κεῖται σχόλιον, ἐν ᾧ ἀναγινώσκεται, ὅτι ἡ προςθήκη «ἐν πυρὶ» σημαίνει τὴν δαψιλεστέραν χάριν. Καὶ ὁ Ἐντένιος ἀνέγνω τὸ σχόλιον τοῦτο ἐν τῷ ἀντιγράφῳ αὐτοῦ. Ἀλλ' οἱ Ἕλληνες διχογνωμονοῦσι περὶ τῆς γραφῆς ταύτης».

» Ἐν τῷ κεφ. δ', 15 τοῦ Ματθαίου εὑρίσκων ὁ Εὐθύμιος μεγάλας δυςχερείας περὶ τὴν ἑρμηνείαν τοῦ ῥητοῦ τοῦ Ἡσαΐου «γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ κτλ.», ὃ περιληπτικῶς καὶ μάλιστα ἄνευ τοῦ τηρῆσαι τὴν τῶν λέξεων τάξιν ἀναφέρει ὁ Εὐαγγελιστὴς οὗτος, ἀνατρέχει εἰς αὐτὸν τὸν Προφήτην καὶ προστίθησι τὴν ἑξῆς παρατήρησιν, εἰς πολλὰ καὶ ἄλλα τῶν ἐν τῇ καινῇ Διαθήκῃ χωρίων τῆς παλαιᾶς Γραφῆς ἐφαρμοζομένην. « Εἰ δὲ μὴ ἀκέραια τὰ προφητικὰ τέθεικε ῥητά, μὴ θαυμάσῃς· χρὴ γὰρ καθολικῶς γινώ» σκειν, ὅτι οἱ Εὐαγγελισταὶ ποτὲ μὲν ἀκεραίως τῶν ῥητῶν ἀπομνημονεύουσι, ποτὲ δὲ » ἀποτέμνουσιν αὐτά, ποτὲ δὲ τὴν μὲν τῶν ῥητῶν διάνοιαν ὁλόκληρον ἀποσώζουσι, λέ» ξεις δέ τινας ἀπαρατηρήτως ὑπαλλάττουσιν, ὅτε οὐδέν τι μέλλοι τῷ λόγῳ τοῦτο λυ» μαίνεσθαι ».

» Ἐν κεφ. η', 26 τοῦ Ματθαίου ἑρμηνεύων τὴν λέξιν «ἐπετίμησε» λέγει ὅτι σημαίνει «ἐπέταξε», καὶ οὐχὶ κατὰ τὴν γραμματικὴν σημασίαν ἐπέπληξε· τοῦθ' ὅπερ συμφωνεῖ πρὸς τὴν Βουλγάταν. Τὸ αὐτὸ δὲ σημειοῦται καὶ ἐν κεφ. ιϐ', 16 περὶ τῆς αὐτῆς λέξεως, μεταπεφρασμένης ἐν τῇ Βουλγάτᾳ praecepit».

» Ἐν τῷ αὐτῷ Εὐαγγελίῳ ι', 2, ἔνθα ὁ Πέτρος προςαγορεύεται πρῶτος τῶν Ἀποστόλων, λέγει, ὅτι ὁ Εὐαγγελιστὴς ἔταξεν αὐτὸν ὑπεράνω τῶν ἄλλων « οὐ μόνον ὡς » πρεσβύτερον Ἀνδρέου τοῦ ἀδελφοῦ αὐτοῦ, ἀλλὰ καὶ ὡς ἁπάντων διαφορώτερον ἐπὶ » σταθερότητι » καὶ ὅτι τούτου ἕνεκα ὁ Ἰησοῦς Χριστὸς καλέσας αὐτὸν Πέτρον προςέθηκεν «ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν» (Ματθ. ιϛ', 18).

» Ἑρμηνεύων ὁ Εὐθύμιος τὰς λέξεις « Κύριός ἐστι τοῦ σαββάτου ὁ Υἱός τοῦ ἀν» θρώπου » (Ματθ. ιϐ', 8), ἐκφέρει γνώμην μελέτης ἀξίαν. Διότι λέγων, ὅτι ὁ Μάρκος, » ὅςτις ὁμοίως ἀναφέρει τὴν ἀπάντησιν ταύτην τοῦ Κυρίου ἡμῶν πρὸς τοὺς Ἰουδαίους, ἐπισυνάπτει καὶ ἑτέραν, παρὰ Ματθαίῳ μὴ ὑπάρχουσαν, προστίθησιν· « οὐ χρὴ θαυμά» ζειν, εἰ τὰ μὲν οὗτος ὁ Εὐαγγελιστὴς προστίθησι, τὰ δὲ ἐκεῖνος παραλιμπάνει. Καὶ γὰρ » οὐχ ἅμα τῷ λέγειν τὸν Χριστὸν ἔγραψαν (α) τὰ Εὐαγγέλια, ἵνα καὶ πάντων ὁμοῦ τῶν » αὐτοῦ λόγων ἀναμνημονεύειν (ϐ) ἔχοιεν· ἀλλὰ μετὰ πολλοὺς ὕστερον ἐνιαυτούς· καὶ εἰ» κός, ἀνθρώπους ὄντας αὐτούς, ἐπιλαθέσθαι τινά (γ). Καὶ ταύτην ἔχε τὴν λύσιν ἐπὶ τῶν » τοιούτων προσθηκῶν τε καὶ παραλείψεων. Πολλάκις δὲ καὶ διὰ συντομίαν τινά τινες » παρελίμπανον, ἔστι δ' ὅτε καὶ ὡς οὐκ ἀναγκαῖα». Ἐν τῇ παρατηρήσει ταύτῃ τοῦ Εὐ» θυμίου μεγάλη περικλείεται σκέψεων ἔκτασις».

Ὁ σοφὸς οὗτος ἐξηγητὴς εἰς τὸ «πολλοὶ Προφῆται» (Ματθ. ιγ', 17) ἐσημειώσατο, ὅτι τὸ « πολλοὶ » δύναται νοηθῆναι περὶ πάντων ἐν γένει τῶν Προφητῶν· καὶ γὰρ ἡ λέξις «πολλοὶ» κεῖται πολλάκις ἐν τῇ καινῇ Διαθήκῃ ἀντὶ «πάντες». Πιστοῦται δὲ τοῦτο παραδείγμασι διαφόροις. Τὴν δὲ παρατήρησιν ταύτην ἐπαναλαμβάνει καὶ ἐν ἄλλοις πολλῷ σπουδαιοτέροις χωρίοις, ὡς ἐν τῷ « ὁ Υἱός τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ » διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν» (Ματθ. κ', 28). Ἔνθα σημειοῦται « πολλοὺς δὲ νῦν τοὺς πάντας λέγει· πολλάκις γὰρ ἡ Γραφὴ «πολλοὺς» τοὺς

(α) Ὁ F. M. ἀνέγνω· «ἔγραφον». Ἀλλ' ἡ κατ' ἀόριστον γραφή, ὡς ὁ Ῥιχάρδος ἀνέγνω, ἁρμόζει μᾶλλον τῇ ἐννοίᾳ τοῦ λόγου. Σ. Μ.— (ϐ) Παρὰ F. M. καὶ Φαρμακ. «ἀπομνημονεύειν». Σ. Μ.— (γ) Παρὰ F. M. καὶ Φαρμακ. « τινῶν ». Σ. Μ.

» πάντας φησίν· ὑπὲρ πάντων γὰρ ἔδωκε τὴν ψυχὴν αὐτοῦ, καὶ πάντας ἐλυτρώσατο, εἰ » καὶ πολλοὶ θέλοντες ἐνέμειναν τῇ δουλείᾳ». Καὶ ἐν τῷ «τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς » καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον» (Ματθ. κϛ', 28)· ὅπου ὁμοίως σημειοῦται ὅτι ἐν τῇ παλαιᾷ Διαθήκῃ τὸ αἷμα τοῦ ἀμνοῦ ἐχύνετο ὑπὲρ τῶν Ἰουδαίων μόνων, τὸ δὲ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ χύνεται ὑπὲρ πάντων καθόλου τῶν ἀνθρώπων· «πολλοὺς» γὰρ τοὺς πάντας ἐνταῦθα λέγει» (α). Ὡς πρὸς δὲ τὰς ἐν τῷ αὐτῷ τοῦ Ματθαίου χωρίῳ λέξεις «εἰς ἄφεσιν ἁμαρτιῶν» παρατηρεῖ ὁ Εὐθύμιος τάδε· «Ὥςπερ οὖν » ἡ παλαιὰ Διαθήκη θύματα καὶ αἵματα εἶχεν, οὕτως ἄρα καὶ ἡ Καινὴ τὸ σῶμα καὶ τὸ » αἷμα τοῦ Δεσπότου. Οὐκ εἶπε δὲ ὅτι ταῦτά εἰσι σύμβολα τοῦ σώματός μου καὶ τοῦ αἵ» ματός μου, ἀλλ' ὅτι ταῦτά εἰσιν αὐτὸ τὸ σῶμά μου καὶ αὐτὸ τὸ αἷμά μου. Λοιπὸν οὖν » χρὴ μὴ πρὸς τὴν φύσιν τῶν προκειμένων ὁρᾶν, ἀλλὰ πρὸς τὴν δύναμιν αὐτῶν· ὥσπερ » γὰρ ὑπερφυῶς ἐθέωσε τὴν προςληφθεῖσαν σάρκα, οὕτως ἀπορρήτως μεταποιεῖ καὶ » ταῦτα εἰς αὐτὸ τὸ ζωοποιὸν αὐτοῦ σῶμα καὶ εἰς αὐτὸ τὸ τίμιον αὐτοῦ αἷμα καὶ εἰς » τὴν χάριν αὐτοῦ». Ἐν δὲ τῷ περισελιδίῳ τοῦ ἐξιστορουμένου χειρογράφου τοῦ Βασιλέως, ἀριθμὸν φέροντος 2401, σημειοῦται $\frac{\rho}{\omega}$, ἤτοι, ὡς ἀνωτέρω ἡρμηνεύσαμεν, «ὡραῖον νόημα».

« Ἔτι ἐκτενέστερον διαλέγεται ὁ Εὐθύμιος περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας, σαφηνίζων τὸ ἐδάφιον 35 τοῦ αὐτοῦ κεφαλαίου (Ματθ. κε'). « Καὶ ἡμεῖς τοίνυν (β) πειθώ» μεθα πανταχοῦ τῷ Θεῷ, καὶ μὴ ἀντιλέγωμεν· καὶ εἰ τὸ παρ' αὐτοῦ λεγόμενον ἐναντίον » εἶναι δοκεῖ τοῖς ἡμετέροις λογισμοῖς καὶ ταῖς ὄψεσι, καὶ ἔστω καὶ λογισμῶν καὶ ὄψεων » κυριώτερος ὁ λόγος αὐτοῦ. Οὕτω καὶ ἐπὶ τῶν φρικτῶν μυστηρίων ποιῶμεν, μὴ τὰ προ» κείμενα μόνον βλέποντες, ἀλλὰ τοῖς λόγοις τοῦ Δεσπότου πειθόμενοι. Καὶ ἐπειδή, φησι, » τοῦτό ἐστι τὸ σῶμά μου, καί, τοῦτό ἐστι τὸ αἷμά μου, καὶ πειθώμεθα καὶ πιστεύωμεν. » Καὶ γὰρ καὶ ἐπὶ τοῦ βαπτίσματος αἰσθητὸν μὲν τὸ ὕδωρ, ἀλλὰ νοητὸν τὸ δῶρον, ἡ » ἀναγέννησις».

« Οἱ ἐν τῷ αὐτῷ κεφαλαίῳ (κϛ', 20) λόγοι τοῦ Ματθαίου «ὀψίας δὲ γενομένης, ἀνέ» κειτο μετὰ τῶν δώδεκα» παρέσχον τῷ Συγγραφεῖ ἀφορμήν, ἵνα πραγματεύσηται περὶ θέματος καὶ ἄλλοτε συζητηθέντος παρὰ τοῖς Ἕλλησιν· ἤτοι εἰ ὁ Κύριος ἡμῶν ἑώρτασε τότε τὸ κατὰ τὸν Νόμον Πάσχα. Τινὲς τῶν Ἑλλήνων Συγγραφέων, ἐν οἷς καὶ ὁ Φιλόπονος, διισχυρίσθησαν ὅτι ὁ Κύριος τῷ ἔτει τοῦ ἑαυτοῦ θανάτου οὐκ ἐτέλεσε τὸ ἰουδαϊκὸν Πάσχα, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς Ἀλεξανδρινοῖς Χρονικοῖς καὶ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου, ἔνθα μνημονεύονται παλαιοί τινες Συγγραφεῖς, οὕτω δοξάζοντες. Ἀλλ' οἱ πλεῖστοι τῶν Ἑλλήνων ἠκολούθησαν τῷ Χρυσοστόμῳ, τὴν ἐναντίαν γνώμην ἔχοντι. Παρατηρητέον ὅμως, ὅτι ὁ Συγγραφεὺς τῶν Ἀλεξανδρινῶν Χρονικῶν στερεῖται πολλαχοῦ τῆς ἀκριβείας. Ὁ δὲ Εὐθύμιος πραγματευόμενος, ὡς καὶ ὁ Θεοφύλακτος, ἐν τῷ εἰρημένῳ χωρίῳ τὰ περὶ τούτου, καὶ ἀναφέρων τινὰς τῶν λόγων, ἐφ' οἷς ἐστηρίζοντο οἱ τῷ Χρυσοστόμῳ ἀντιδοξοῦντες, εἶχε πάντως ὑπ' ὄψει τὸν Φιλόπονον. Πρῶτος τῶν λόγων τούτων ἐστὶν «ὅτι τρισκαιδεκάτη τότε τοῦ μηνὸς ἦν· ἔδει δὲ κατὰ τὴν τεσσαρεςκαιδεκάτην τὸ » Πάσχα φαγεῖν. Καὶ ὅτι ὁ μὲν Νόμος ἑστῶτας ἐκέλευσεν (γ) ἐσθίειν τὸ Πάσχα, οὗτος » δὲ ἀνέπεσεν. Καὶ ὅτι πᾶς ἄρτος ζυμωτὸς ἐξῃρεῖτο πρὸ τῆς θυσίας, καὶ πυρὶ κατεκαίετο· » νῦν δὲ καὶ ἄρτος παράκειται καὶ διαμερίζεται. Καὶ ὅτι ὀπτὸν μόνον θέμις ἦν φαγεῖν·

(α) Παρὰ F. M. καὶ Φαρμακ. ἀντὶ τοῦ «λέγει» κεῖται «καλεῖ». Σ. Μ.—(β) Παρὰ F. M. καὶ Φαρμακ. ἀντὶ τοῦ «τοίνυν» κεῖται ἐσφαλμένως «τὸ νῦν», ὅπερ διορθωτέον. Σ. Μ.— (γ) Παρὰ F. M. καὶ Φαρμακ. «ἐκέλευεν». Σ. Μ.

» ἐνταῦθα (α) καὶ ζωμὸς παρατίθεται ». Ἐφεξῆς ὁ ἡμέτερος ἐξηγητὴς ἀπολογεῖται πρὸς ἕνα ἕκαστον τῶν λόγων τῶν ἀντιδοξούντων. Ἀλλὰ προκατειλημμένος ὢν (;) τῇ γνώμῃ τῶν ἐξηγητῶν τῆς ἑαυτοῦ Ἐκκλησίας περὶ τῆς ἡμέρας, ἐν ᾗ ἔφαγεν ὁ Ἰησοῦς Χριστὸς τὸ Πάσχα, οὐ πάνυ εὐσταθῶς ἀποφαίνεται. Ὁμολογεῖ ὅτι ὁ Κύριος ἡμῶν προέλαβε τὸν καιρὸν τοῦ Πάσχα μιᾷ ἡμέρᾳ· διότι ἐγίνωσκεν ὅτι οἱ Ἰουδαῖοι ἔμελλον ἀποκτεῖναι αὐτὸν τῇ δεκάτῃ τετάρτῃ. Ὅθεν εἰκὸς ἦν θυσιασθῆναι τὸν ἀληθινὸν ἀμνὸν κατὰ τὴν ἡμέραν τῆς θυσίας τοῦ τυπικοῦ ἀμνοῦ. Ἐκ τούτων δὲ πορίζεται, ὅτι ὁ Κύριος ἐπλήρωσε τὸ νομικὸν Πάσχα. « Οὕτω γὰρ καὶ τὸ νομικὸν ἐπλήρωσε Πάσχα, καὶ τὸ πνευματικὸν » παρέδωκεν ». Ἔτι δὲ νομίζει ὁ Εὐθύμιος, ὅτι διὰ τῶν λέξεων « ἐπιθυμίᾳ ἐπεθύμησα » τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν » (Λουκ. κϐ', 15) δείκνυται, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐπροτέρησε τὸ Ἰουδαϊκὸν Πάσχα. Ἑρμηνεύει δ' αὐτὰς οὕτω (Ματθ. κϛ', 20)· « Σπουδῇ ἐσπούδασα τὸ τοῦ ἐνιαυτοῦ τούτου Πάσχα φαγεῖν μεθ' ὑμῶν, μὴ » ἀναμείνας τὸν νενομισμένον καιρόν, ἵνα μὴ τὸ πάθος τοῦ σταυροῦ κωλύσῃ τὸν (ϐ) νο» μικὸν δεῖπνον καὶ τὸν μυστικόν ». Μετὰ ταῦτα ἐξηγούμενος τὰ περὶ τοῦ τρόπου, καθ'ὃν ἔφαγον, λέγει· «εἰκὸς πρῶτον μὲν ἑστῶτας φαγεῖν τὸ Πάσχα κατὰ τὸν Νόμον, εἶτα ἀνα» πεσεῖν καὶ δειπνεῖν. Ὁ δὲ ἄρτος καὶ ὁ ζωμὸς παρετέθησαν μετὰ τὸ φαγεῖν αὐτοὺς τὸ » Πάσχα καὶ ἀναπεσεῖν ἐν τῷ δείπνῳ· οὔπω γὰρ ἦλθεν ἡ τεσσαρεσκαιδεκάτη, καθ'ἣν » ἅπαν ζυμωτὸν ἐξηφανίζετο ». Εἶτα προστιθεὶς τὴν ἀντίρρησιν· « καὶ διὰ τί παρεσιώ» πησαν οἱ Εὐαγγελισταὶ τὴν τοῦ Πάσχα μετάληψιν ; » Ἀποκρίνεται· « διότι οὐκ ἦν » ἀναγκαῖον τὸ περὶ ταύτης εἰπεῖν. Τί γὰρ ἂν καὶ συνετέλεσε Χριστιανοῖς ἡ ταύτης διή» γησις; Διὸ ταύτην μὲν παρέδραμον· τοῖς δὲ λόγοις τοῦ μυστικοῦ δείπνου φιλοπονώ» τερον προσδιέτριψαν, ὡς ἀναγκαιότατον καὶ συνεκτικώτατον (γ) τῆς ἡμῶν πίστεως ». Ἀλλ' εἰ ἀληθὲς ἦν, ὡς βεβαιοῦσιν οἱ Ἕλληνες, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐπροτέρησε τὴν ἡμέραν τοῦ Πάσχα, νομίζω, ὅτι κατὰ τὴν ἀρχὴν ταύτην ὁ ἡμέτερος ἐξηγητὴς ἠδύνατο μᾶλλον ἀρνηθῆναι, ὅτι ἔφαγε τὸ νομικὸν Πάσχα· διότι ὁ ἀμνὸς μόνον τῇ ιδ' ἡμέρᾳ ἠσθίετο. Ἀλλ' ἐπειδὴ ὁ Χρυσόστομος μετὰ τῶν πλείστων ἐξηγητῶν Ἑλλήνων βεβαιοῦσιν ὅτι ἀείποτε ὁ Κύριος ἐπλήρου τὸν Νόμον, ὡς ὁ ἴδιος ὁμολογεῖ, ἕπεται πάντως ὅτι καὶ ἐν τῷ τελευταίῳ ἔτει ἑώρτασε τὸ Πάσχα, ὡς καὶ ἐν τοῖς προτέροις. Ὥστε περὶ τούτου οὐκ ἔχουσιν οἱ Ἕλληνες ὅ τι εἴπωσιν (!). Ἐν ᾧ κατὰ τὴν δόξαν τῶν Λατίνων καθίσταται τὸ πρᾶγμα πιθανώτερον (;). Ὄντως δὲ τοσοῦτον ἄτοπος ἐφάνη τῷ Μαλδονάτῳ ἡ γνώμη τῶν Ἑλλήνων, διισχυριζομένων, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐν τῷ τελευταίῳ ἔτει οὐκ ἔφαγε τὸ ἑβραϊκὸν Πάσχα, ὥστε περιττὴν ἔκρινε πᾶσαν αὐτῆς ἀνασκευήν, προδήλως ἐναντιουμένην τοῖς ἱστορουμένοις παρὰ τῶν Εὐαγγελιστῶν (!). « Quod cum » omnes Evangelistae tam aperte testentur eum Pascha manducassse, refu» tatione non indiget » (δ).

« Ἀλλ', ἵνα ἐπανέλθωμεν εἰς τὸν Εὐθύμιον, ὁ αὐτὸς Μαλδονᾶτος ἀποφαίνεται, ὅτι ἡ σημείωσις αὐτοῦ εἰς τὰς εὐαγγελικὰς λέξεις « οὐκ ἦλθον καλέσαι δικαίους ἀλλ' ἁμαρ» τωλοὺς εἰς μετάνοιαν » (Ματθ. θ', 13) δυσχερῶς ἀπαλλάσσεται πελαγιανισμοῦ, ἐὰν μὴ ἡ ἔκφρασις μετριασθῇ. Διότι ἐνταῦθα παρίστησι λαλοῦντα τὸν Ἰησοῦν Χριστόν, ὡς μὴ ὑπὲρ τῶν δικαίων ἐλθόντα, ἀφ' ἑαυτῶν δυναμένων σωθῆναι, ἀλλ' ὑπὲρ μόνων τῶν ἁμαρτωλῶν, μετανοίας χρείαν ἐχόντων. Καὶ ὅμως οὐκ ἔστι δυνατὸν κατηγορῆσαι τοῦ

(α) Παρὰ F. M. καὶ Φαρμακ. μετὰ τὸ « ἐνταῦθα » προστίθεται « δέ ». Σ. Μ.— (ϐ) Παρὰ F. M. καὶ Φαρμακ. «καὶ τόν». Σ. Μ.— (γ) Παρὰ F. M. καὶ Φαρμακ. «ἀναγ» καιοτάτου καὶ συνεκτικωτάτου». Σ. Μ.—(δ) Maldonat Comment. in Matth., Cap. XXVI, 20.

Εὐθυμίου ἐπὶ πελαγιανισμῷ, ὁμοῦ μετὰ καὶ τῶν ἄλλων Ἑλλήνων Πατέρων καθολικὴν τοῖς πᾶσι δοθεῖσαν χάριν παραδεχομένου, καὶ σὺν ἐκείνοις ἀναγνωρίζοντος, ὅτι ἡ τοῦ ἀνθρώπου θέλησις, ὅσον ἂν ᾖ ἀγαθὴ καὶ εὐπροαίρετος, οὐδὲν δύναται ἄνευ τῆς χάριτος κατορθῶσαι (α). Πλὴν προςτιθεὶς ὁ πολυμαθὴς οὗτος Ἰησουΐτης ὅτι οὐδόλως καταδικάζει τὸν Συγγραφέα, Ὀρθόδοξον ὄντα, εὐσεβῆ καὶ σοφόν, ἀλλὰ μόνον τὴν ἐλευθεριάζουσαν αὐτοῦ ἔκφρασιν, ἀπέδωκεν αὐτῷ δικαιοσύνην. « Quanquam, λέγει, non aucto- » rem, qui et Catholicus et pius et eruditus est, sed auctoris minus cautum » loquendi modum dammo ».

« Καὶ ἐν ἄλλοις τισὶ χωρίοις ὁ σοφὸς οὗτος ἐξηγητὴς φαίνεται πελαγιανίζων· ἀλλ' ὅμως οὐδὲν περὶ τούτων ὁ Μαλδονᾶτος εἴρηκε, νομίζων ὅτι οὐκ ἐχρῆν κρῖναι τὰ τῆς διδασκαλίας τοῦ Εὐθυμίου ἀναφορικῶς πρὸς τὴν τοῦ Αὐγουστίνου. Ἐν δὲ τῇ ἑρμηνείᾳ τῇ ἀφορώσῃ εἰς τοὺς λόγους τοῦ Ἰησοῦ Χριστοῦ « καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννή- » θη ὁ ἄνθρωπος ἐκεῖνος (ὁ Ἰούδας) » (Ματθ. κϛ', 24), λαλεῖ τὴν γλῶσσαν τῆς ἑαυτοῦ Ἐκκλησίας. « Φασὶ δέ τινες ὅτι ἀνέγκλητός ἐστι, τὸ προωρισμένον ἐπιτελέσας. » Πρὸς οὓς λέγομεν, ὅτι οὐ διότι προώριστο, διὰ τοῦτο παρέδωκεν, ἀλλὰ διότι παρέ- » δωκε, διὰ τοῦτο προώριστο, τοῦ Θεοῦ προειδότος τὸ πάντως ἀποβησόμενον· ἔμελλε » γὰρ ὄντως ἀποβῆναι τοιοῦτος οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ προαιρέσεως ».

« Ἀναπτύσσων τὸ νόημα τῶν λόγων τοῦ Ἰωάννου « ἵνα πάντες πιστεύσωσι δι' αὐ- » τοῦ » (α', 7) λέγει σὺν ἄλλοις· « Ἰωάννης μὲν ἐμαρτύρησεν, ἵνα πάντες πιστεύσωσιν· » οὐ πάντες δὲ ἐπίστευσαν· οὐκ ἐκ βίας γὰρ ἡ πίστις, ἀλλ' ἐκ προαιρέσεως ».

« Ὁμοίως ἐν τῇ ἀναπτύξει τοῦ χωρίου τοῦ αὐτοῦ Εὐαγγελιστοῦ· « ἦν τὸ φῶς τὸ ἀλη- » θινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον » (α', 9), λέγει· « εἰ δὲ » φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, πῶς τοσοῦτοι μεμενήκασιν ἀφώ- » τιστοι; τὸ μὲν εἰς αὐτὸν ἧκον πάντας φωτίζει, οἱ δὲ μένοντες ἀφώτιστοι παρὰ τὴν » ἑαυτῶν προαίρεσιν (β) πάσχουσιν. Ἡ μὲν γὰρ τοῦ φωτὸς χάρις ἡλίου δίκην ἐπὶ πάν- » τας ἁπλῶς ἐκκέχυται· οἱ δὲ μὴ θέλοντες ἀπολαῦσαι τῆς χάριτος, αὐτοὶ τοῦ μὴ φωτι- » σθῆναι αἴτιοι ».

« Ὡς πρὸς δὲ τὰ ἐν τοῖς βιβλίοις τῆς καινῆς Διαθήκης πολλὰ αἰτιολογικὰ μόρια, δι' ὧν φαίνεται καταστρεφομένη τοῦ ἀνθρώπου ἡ ἐλευθερία, ὁ Εὐθύμιος μιμούμενος τοὺς Ἕλληνας ἐξηγητὰς σημειοῦται, ὅτι ταῦτα, ἁπλῶς πρὸς δήλωσιν τοῦ μέλλοντος τιθέμενα, ὡς μὴ αἰτιολογικὰ νοητέα. Κατὰ τὴν ἔννοιαν ταύτην ἑρμηνεύων τὴν φράσιν τοῦ Ἰωάννου « ἵνα ὁ λόγος Ἡσαΐου τοῦ Προφήτου πληρωθῇ » (ιβ', 38) λέγει « κἀνταῦθα τὸ « ἵνα » » οὐκ ἔστιν αἰτιολογίας, ἀλλ' ἐκβάσεως, ἤτοι πληρώσεως τοῦ μέλλοντος ». Αὐτὸ τοῦτο ἐπαναλέγει καὶ ἐν πᾶσι τοῖς χωρίοις, ἐν οἷς ἡ αὐτὴ φράσις καὶ ἄλλαι, ταύτῃ ὅμοιαι, ἀπαντῶσιν· ὅπερ ἐπεξηγεῖ οὑτωσί· « τὰ παρὰ τῶν Προφητῶν προρρηθέντα οὐχ ὡς προρ- » ρηθέντα συνέβησαν, ἀλλ' ὡς μέλλοντα συμβῆναι προερρήθησαν ». Τὸ δὲ ἐδάφιον τοῦ αὐτοῦ Εὐαγγελιστοῦ « διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας » (ιβ', 39) ἑρμηνεύει ὡς ἑξῆς· « τὸ μὴ δύνασθαι σημαίνει τὸ μὴ βούλεσθαι, ὡς καὶ προ- » λαβόντως ἐδιδάξαμεν ». Τὰς αὐτὰς δ' ἐπιφέρει κρίσεις καὶ ἐπὶ τῶν ἀμέσως ἑπομένων λέξεων « τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν », αἵτινες ἐκ πρώτης ὄψεως φαίνονταί πως τραχεῖαι. « Ἰδίωμα καὶ τοῦτο τῆς Γραφῆς, τὸ » τὴν παραχώρησιν τοῦ Θεοῦ ὡς πρᾶξιν αὐτοῦ λέγειν· τὸ γὰρ « τετύφλωκε » καὶ τὸ

(α) Euthym. Comm. ad Matth. XXVI, 35. Verba infra vide· « οὔτε ἀνθρω- » πίνη προθυμίᾳ κατορθοῖ τι χωρὶς τῆς θείας ῥοπῆς ». — (β) Παρὰ F. M. καὶ Φαρμακ. μετὰ τὸ « προαίρεσιν » προςτίθεται « αὐτό ». Σ. Μ.

« πεπώρωκεν » ἀντὶ τοῦ παρεχώρησε τυφλωθῆναι καὶ πωρωθῆναι, ὡς ἀνιάτων· οὐδένα » γὰρ ἀνθέλκει διὰ τὸ αὐτεξούσιον ἑκάστου »· καὶ ἐπιβεβαιοῖ τὴν ὀρθὴν αὐτῶν ἑρμηνείαν διὰ παραδειγμάτων ἐκ τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης.

« Ἀδύνατον δ' ἀποβαίνει μοι ἀναγράψαι λεπτομερῶς πάντα τὰ χωρία, ἐν οἷς ὁ σοφὸς οὗτος ἑρμηνευτὴς προφυλάσσεται, ἵνα μὴ τῷ Θεῷ ἀποδοθῇ ὅ,τι ἐξ ἡμῶν καὶ μόνον προέρχεται. Μετὰ τὴν ἀκριβῆ παραβολὴν πολλῶν ὁμοῦ ἐδαφίων ἀποφαίνεται, ὅτι ταῦτα ἑρμηνεύει κατὰ τὸν τῇ Γραφῇ ἰδιάζοντα τρόπον τοῦ λέγειν, ὃν ἐδίδαξαν αὐτὸν οἱ παλαιότεροι τῶν διδασκάλων τῆς Ἐκκλησίας. Ἰδοὺ δ' ὡς ἐν παραδείγματι οἱ στοχασμοὶ αὐτοῦ πρὸς τοὺς εὐαγγελικοὺς λόγους· « ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν » αἰώνιον » (Ἰωάνν. ιζ', 2). « Ὅσον τὸ ἐπ' αὐτῷ. Εἰ δέ τινες οὔτε ἐπίστευσαν, οὔτε » ἔλαβον ζωὴν αἰώνιον, τῶν τοιούτων ἐστὶ τὸ ἔγκλημα· ὁ μὲν γὰρ Πατὴρ ηὐδόκησεν, » ἵνα πάντων ὁ Υἱὸς ἐξουσιάσῃ διὰ τῆς πίστεως, καὶ πάντες ὑπὸ τὸν ζυγὸν τῶν ἐντολῶν » αὐτοῦ γένωνται. Καὶ ὁ Υἱὸς δὲ πᾶσι διὰ τῶν Ἀποστόλων δέδωκε τὸ Εὐαγγέλιον, » τὴν θεογνωσίαν, ἥτις ἐστὶ ζωὴ αἰώνιος, ὡς πρόξενος ζωῆς αἰωνίου. Οἱ δὲ μὴ ὑποτα-» γέντες μηδὲ παραδεξάμενοι οὗτοι (α) τῆς ἑαυτῶν ἀπωλείας αἴτιοι· οὐδένα γὰρ ἄκοντα » καταναγκάζει· αἱρετὴ γὰρ ἡ ἀρετή ».

« Τέλος ἐμνημόνευσα ἐν τῇ ἀρχῇ τοῦ πονήματός μου τούτου τῶν περὶ τοῦ τελευταίου κεφαλαίου τοῦ Μάρκου, καὶ τοῦ ὀγδόου τοῦ Ἰωάννου κριτικῶν τοῦ Εὐθυμίου παρατηρήσεων, δι' ὧν δείκνυται ἡ μεγάλη τοῦ Συγγραφέως τούτου ἀκρίβεια. Ἐκεῖ ὁ Εὐθύμιος οὐ λέγει, ὥςπερ ὁ Ἑντένιος παρίστησιν αὐτὸν ἐν τῇ λατινικῇ αὐτοῦ μεταφράσει λέγοντα, ὅτι τὰ περὶ ὧν ὁ λόγος δώδεκα ἐδάφια ὑπ' οὐδενὸς τῶν ἐξηγητῶν ἡρμηνεύθησαν, ἀλλ' ὅτι, οὐδὲ ὁ Χρυσόστομος εἶπέ τι περὶ αὐτῶν. « Μηδὲ τὸν Χρυσόστομον ὅλως μνημονεῦσαι » αὐτῶν ». Οὕτως ἡμεῖς ἀναγινώσκομεν ἐν ἀμφοτέροις τοῖς χειρογράφοις τῆς Βιβλιοθήκης τοῦ Βασιλέως. Ἠδυνάμεθα δὲ ἐνταῦθα καὶ τῶν ἄλλων ἁμαρτημάτων τοῦ μεταφράσαντος μνημονεῦσαι. . . ἀλλὰ δημοσιευθήσεται ἴσως μετὰ νέας μεταφράσεως τὸ ἑλληνικὸν κείμενον ΤΗΣ ΑΡΙΣΤΗΣ ΤΑΥΤΗΣ ΕΞΗΓΗΣΕΩΣ ».

Ταῦτα ὁ ἐπὶ κριτικῇ ἐμβριθείᾳ διασημότατος Ῥιχάρδος Σίμων. Καὶ τίνες μὲν αἱ παρεμπεσοῦσαι μεταξὺ αἰτίαι, αἱ τὸν ἄνδρα κωλύσασαι τῆς, ἣν δημοσίᾳ ὑπισχνεῖτο, ἑλληνικῆς τῶν ὑπομνημάτων τούτων ἐκδόσεως, οὐκ οἴδαμεν. Ὃ δὲ γινώσκομεν, τοῦτό ἐστιν, ὅτι αἱ παρ' αὐτοῦ δημοσιευθεῖσαι εὔστοχοι περὶ αὐτῶν μελέται ἔνυξαν Φριδερίκου τοῦ Ματθαίου (ἀνδρὸς κατὰ ἀλήθειαν τῶν ἐπὶ παιδείᾳ διαπρεπόντων συγχρόνων οὐδενὸς ἱσταμένου ταπεινότερον) (β), τὸ φιλότιμον, ὥςτε εἰς πέρας ἀγαγεῖν τὸ κοινῶς ποθούμενον ἔργον, εἰς ὃ ἀληθῶς πόνους ἀτρύτους κατέβαλεν (γ).

(α) Παρὰ F. M. καὶ Φαρμακ. «αὐτοί».— (β) Ἐχρημάτισεν οὗτος πρότερον μὲν τῶν ἑλληνικῶν γραμμάτων ἐν τῷ τῆς Βυττεμβέργης Πανεπιστημίῳ Καθηγητής. Εἶτα κληθεὶς εἰς Ῥωσσίαν, τὸ κατ' ἀρχὰς μὲν ἀνέλαβε τὴν τῶν ἑλληνικῶν γραμμάτων διδασκαλίαν ἐν τῷ τῆς Μόσχας Πανεπιστημίῳ· μετέπειτα δὲ ἐγένετο τῶν ἀνὰ τὴν Ῥωσσίαν αὐτοκρατορικῶν Σχολῶν ἔφορος καὶ ἐτιμήθη τῷ ἀξιώματι τοῦ αὐλικοῦ Συμβούλου. Τὰ παρ' αὐτοῦ ἐκδοθέντα συγγράμματά εἰσι πλεῖστα καὶ μελέτης ἄξια.— (γ) Ὅρ. Herzog,

Καὶ δὴ ὁ φιλοπονώτατος ἀνήρ, πολλαχοῦ ἀναζητήσας, ἐνέτυχεν ἐν ταῖς τῆς Μόσχας Βιβλιοθήκαις δυσὶ τῶν ποθουμένων ὑπομνημάτων κώδιξιν· ὧν ὁ εἷς, ἐκ φύλλων 274 συγκείμενος, ἀνήκει τῇ Βιβλιοθήκῃ τοῦ τυπογραφείου τῆς ἱερᾶς Συνόδου τῆς Ῥωσσίας ὑπ' ἀριθ. I, εἰς 2ον. Ὁ δὲ ἕτερος, φύλλα 410 περιέχων, κατετέθειτο ἐν τῇ Βιβλιοθήκῃ τῆς αὐτῆς Συνόδου, ὑπ' ἀριθ. XLIX ὁμοίως εἰς 2ον. Ἀμφότεροι δέ εἰσιν ἐπὶ περγαμηνῆς, καί, ὡς τῷ ἐκδότῃ δοκεῖ, τῷ Συγγραφεῖ σύγχρονοι. Ἐκ τούτων τοίνυν τῶν δύο χειρογράφων, ἃ ἐπιμελῶς ἀντέβαλε καὶ πρὸς ἄλληλα καὶ πρὸς τέσσαρας λατινικὰς τοῦ αὐτοῦ συγγράμματος ἐκδόσεις, ἀπήρτισε Φριδερῖκος ὁ Ματθαίου τὴν ἑαυτοῦ ἀρίστην καὶ παρὰ πάντων ἐπαινουμένην ἔκδοσιν. Ἐκέκτητο γὰρ ὄντως ὁ ἀνὴρ σπανιωτάτην περὶ ταύτην δὴ τὴν ἐργασίαν ἕξιν καὶ ἄσκησιν. Ὁδοῦ δὲ πάρεργον καὶ τοῦτο πρὸς τιμὴν αὐτοῦ ἐνταῦθα εἰρήσθω, ὅτι ἐν ταύτῃ τῇ ἐργασίᾳ ἀριστοπόνως σχολάζοντι ἐν τῇ τῆς Μόσχας Βιβλιοθήκῃ συνέτυχεν ὁ πολὺς ἐκεῖνος Εὐγένιος, ὅτε καὶ οὗτος ἐν ἔτει 1776 πρὸς ἀναζήτησιν τῶν Ἰωσὴφ τοῦ Βρυεννίου χειρογράφων εἰς τὴν αὐτὴν ἐθάμιζε Βιβλιοθήκην. Καὶ τὸν μὲν ἀνευρεθέντα παρ' αὐτοῦ βρυέννειον κώδικα, καίπερ τηλικοῦτος ὤν, μετριοφρόνως τῇ κρίσει αὐτοῦ καθυπέβαλε· τὴν δὲ φιλοπονίαν, μεθ' ἧς τοὺς ἀρχαίους κώδικας ἀνεδίφα, καὶ τὸν ἐν αὐτοῖς κρυπτόμενον πλοῦτον ἐπὶ κοινῇ ὠφελείᾳ ἐδημοσίευεν, ἐν τοῖς προλεγομένοις τῆς ἐκδόσεως τῶν τοῦ Βρυεννίου πολλοῖς καὶ καλοῖς ὑπεξῆρεν ἐπαίνοις (α).

Real-Encyclopädi für pract. Theol. und Kirche. Band, 4. ἐν λ. Euthymius. « Das andere und wichtigere Werk, der Commentar zu den vier Evange- » lien, ist gleichfalls zuerst lateinisch herausgegeben worden. R. Simon, » später auch Ernesti und Nösselt machten auf die Wichtigkeit desselben » aufmerksam, so wie auch von J. Mill die biblischen lesarten des Com- » mentars aus einer Handschrift ausgezogen wurden. Endlich unterzog sich » Chr. F. Matthäi der grossen Mühe einer vollständigen Herausgabe und » erhöhte deren Werth durch ausführliche Prolegomena». Τουτέστι· «τὸ ἄλλο, » τὸ καὶ σπουδαιότερον τοῦ Ζιγαβηνοῦ σύγγραμμα, ἤτοι τὸ τῶν τεσσάρων Εὐαγγελίων » ὑπόμνημα, ἐξεδόθη ὁμοίως λατινιστὶ κατὰ πρῶτον. Ὁ Ῥ. Σίμων καὶ μετ' αὐτὸν ὁ » Ἐρνέστιος καὶ Νοισσέλτιος ἐπέστησαν τοῦ Κοινοῦ τὴν προσοχὴν ἐπὶ τῆς σπουδαιότη- » τος αὐτοῦ, ὅπως καὶ ὁ Ἰ. Μίλλιος, ὅςτις ἀπὸ ἑνὸς χειρογράφου ἀπήνθισε τοῦ Γραφι- » κοῦ κειμένου τὰς γραφάς, τὰς ἰδιαζούσας τῷ ὑπομνήματι. Τέλος τὸν μέγαν ἀγῶνα τῆς » πλήρους ἐκδόσεως ἀνεδέξατο ὁ Χριστιανὸς Φριδ. Ματθαίου καὶ ἐξῆρεν αὐτῆς τὴν ἀξίαν δι' ἐκτενῶν Προλεγομένων ».— (α) Τόμ. Γ', σελ. 6'. «Ἔοικε δ' ἀπογεγράφθαι » (τὸν κώδικα) κατὰ τὴν ιϛ' ἑκατονταετηρίδα τῶν ἀπὸ Χριστοῦ Σωτῆρος ἐνιαυτῶν, ἢ

Ἐξεδόθη δὲ τὸ πόνημα τοῦτο εἰς Τόμους τέσσαρας, σχήματος 8ου, ἑλληνιστὶ καὶ λατινιστὶ ἐν Λιψίᾳ τῷ 1792, καὶ προςεφωνήθη τῷ Ἐρνέστῳ Β', Πρίγκιπι τῆς Σαξωνίας. Ἠξιοῦτο γὰρ ὁ ἐκδότης, ὡς λέγει, τῆς εὐνοίας τοῦ Πρίγκιπος, ὥς ποτε ὁ Συγγραφεὺς τῆς παρ' αὐτοῦ ἐκδιδομένης βίβλου τῆς τοῦ αὐτοκράτορος Ἀλεξίου. Ἐν ἀρχῇ τῶν προλεγομένων ὁ σοφὸς Φ. Ματθαίου οὑτωςὶν ἀποφαίνεται περὶ τοῦ Συγγραφέως τοῦ ἀνὰ χεῖρας φιλοπονήματος· « μετὰ οὕτω λαμ- » πρὰς ἀνδρῶν ἀρίστων περὶ τοῦ Συγγραφέως τῶν ὑπομνημάτων τού- » των κρίσεις, ἐν αἷς ὁμολογεῖται αὐτῷ κυριολεξία, ἐπιστήμη, ἐπι- » μέλεια, ἀκρίβεια καὶ ἀγχίνοια, περιττὸν κρίνω αὐτὸς πολλὰ εἰς » ἔπαινον αὐτοῦ εἰπεῖν. Τοῦτο δὲ μόνον προστίθημι, ὅτι ὁ Συγγρα- » φεὺς οὐδεμίαν (εἰ μή που ὀλίγων τινῶν) τῶν ἱερῶν γραμμάτων λέ- » ξιν, ὅσαι ἐν τοῖς τέσσαρσιν Εὐαγγελίοις ἢ ὡς μὴ γνήσιαι ἑλληνικαί, » ἢ ὡς ἀσαφεῖς θεωροῦνται, ἠμέλησεν, ἵνα ἐξηγήσηται δι' ἄλλων » σαφεστέρων τε καὶ δοκιμωτέρων. Παρατηρεῖ εὐστοχώτατα καὶ ὑπο- » δείκνυσι τὸν εἱρμὸν τοῦ λόγου καὶ τῆς ἀφηγήσεως ἑνός τε ἑκάστου » τῶν Εὐαγγελιστῶν καὶ πλειοτέρων ὁμοῦ, καὶ αἴρει ῥᾳδίως καὶ εὐ- » χερῶς τὴν διαφωνίαν. Εἰ δὲ καὶ τῷ Χρυσοστόμῳ, τῷ κρατίστῳ » τούτῳ μεταξὺ τῶν παλαιῶν καὶ σχεδὸν μόνῳ ἑρμηνευτῇ, πολλὰ » ὀφείλει, πολλὰ δ' ὡςαύτως καὶ ἐξ ἄλλων πολλῶν ἠρύσατο (καὶ γὰρ » φαίνεται ὅτι συνεβουλεύθη πᾶσι τοῖς πρὸ αὐτοῦ ἑρμηνευταῖς), » ὅμως κατάδηλά εἰσι καὶ ὅσα ἡ ἰδία ἐπιστήμη καὶ σπουδὴ καὶ εὐ- » φυΐα συνειςήνεγκον » (α).

» καὶ Χριστιανῷ Φριδερίκῳ Ματθαίου δοκεῖ, ἀνδρὶ τῶν ἐπὶ λόγοις οὐκ ἀσήμων· τῷ » μεθ' ὅσης πλείστης σπουδῆς καὶ ἐπιμελείας τοὺς εἰρημένους κώδικας ἀναδιφῶντι καὶ » τὸν ἐν αὐτοῖς ἐναποκρυπτόμενον πλοῦτον ἐπὶ κοινῇ ὠφελείᾳ τοῖς φιλολογοῦσι δημο- » σιεύοντι ». Ὁ δὲ F. Matthaei ταύτης τῆς ἐν τῇ τῆς Μόσχας Βιβλιοθήκῃ συντυχίας μνημονεύει ἐν τῷ Ε' Τόμῳ σελ. 141 τῆς παρ' αὐτοῦ γενομένης (ἐν ἔτ. 1782) κριτικῆς ἐκδόσεως τοῦ κειμένου τῆς καινῆς Διαθήκης διὰ τῶν ἑξῆς· « Habeo hujus rei testem » *gravissimum ipsum Eugenium*, qui mecum aliquando istes Codices hic » Mosquae evolvit et orationes non nullas ineditas cum epistolis ad futuram editionem sua manu exscripsit ». Ἤτοι· « Μάρτυς τούτου μοι ἔστω αὐτὸς ὁ » σπουδαιότατος Εὐγένιος, ὅς ποτε μετ' ἐμοῦ ἐν Μόσχᾳ τούτους τοὺς κώδικας ἀνεδίφησε » καί τινας λόγους καὶ ἐπιστολὰς ἀνεκδότους ἰδίᾳ χειρὶ ἀντέγραψε πρὸς ἔκδοσιν ». Πρβλ. » καὶ τὴν ἐν τῷ Β' Τόμῳ τῆς παρούσης Συγγραφῆς μακρὰν εἰς τὴν Α' Καθολικὴν Ἐπι- στολὴν τοῦ Ἰωάννου (ε',7) ὑποσημείωσιν, τοῖς ἐνταῦθα λεγομένοις οὐκ ἄσχετον οὖσαν. —(α) Ἐν ἀρχῇ τῶν Προλεγ. « Post tot praeclara summorum virorum de ho- » rum commentariorum auctore judicia, quibus ei proprietatem sermonis,

Καὶ πάλιν ἀλλαχοῦ ὁ αὐτός· « Εἴθε ἐκδοθείη ποτὲ τὸ τοῦ Ζιγα-
» βηνοῦ Εὐθυμίου εἰς τὰς Καθολικὰς Ἐπιστολὰς ὑπόμνημα, περὶ οὗ
» ἐν τῇ ἑλληνικῇ Βιβλιοθήκῃ ποιεῖται λόγον ὁ Φαβρίκιος. Καὶ γὰρ ἐκ
» τῶν μήπω ἑλληνιστὶ ἐκδεδομένων αὐτοῦ ὑπομνημάτων εἰς τὰ τέσ-
» σαρα Εὐαγγέλια κατενόησα, ὅτι τοῦ ἀνδρὸς τούτου τὴν φιλοπο-
» νίαν, τὴν ἀκρίβειαν, τὴν παιδείαν καὶ τὴν περὶ τὴν ἑρμηνείαν τῶν
» θείων Γραφῶν γλαφυρότητα οὔτε τοῦ Ὠριγένους, οὔτε τοῦ Χρυ-
» σοστόμου, οὔτε τοῦ Θεοδωρήτου, οὔτε ἄλλου τινὸς ἐν ἐλάττονι
» προςήκει τίθεσθαι » (α).

Ἡ ἑλληνικὴ αὕτη τοῦ πρωτοτύπου ἔκδοσις, ἀπὸ πολλοῦ ἤδη χρόνου διακαῶς ποθουμένη, οἵας ἠξιώθη παρὰ τοῖς κατὰ τὴν Ἑσπερίαν λογίοις ὑποδοχῆς, μετὰ τὰ εἰρημένα ὑπονοεῖ πᾶς ἕκαστος. Ὁ δὲ ἀοίδιμος Θεόκλητος ὁ Φαρμακίδης, οὗ ὁ πρὸς τὴν πατρῴαν εὐσέβειαν ζῆλος καὶ ἡ φιλοπατρία οὐδένα τῶν τῆς καθ' ἡμᾶς γενεᾶς λανθάνουσιν, ἀνέλαβε τὴν ἀνατύπωσιν τοῦ ἔργου, καὶ ἐξέδωκε τῷ 1842 Ἀθήνησιν ἐν Τόμοις δυσίν. Καὶ τὴν μὲν λατινικὴν μετάφρασιν τῆς ἐκδόσεως Φριδερίκου τοῦ Ματθαίου παρέλιπεν, ὥςπερ καὶ ἔδει. Ἐκ δὲ τῶν σημειώσεων ἐκείνου τὰς μὲν καθαρῶς κριτικάς, ὡς ἀφορώσας ἰδίως εἰς τοὺς εἰδικώτερον περὶ τὰς τοιαύτας μελέτας καταγινομένους, ὁμοίως παρέλιπεν· ἐτήρησε δὲ μόνον τὰς τοῦ κειμένου διαλευκαινούσας τὸ νόημα, χάριν, ὡς λέγει, τοῦ παρ' ἡμῖν κοινοῦ, ὑπὲρ οὗ καὶ ἡ ἔκδοσις παρ' αὐτοῦ κυρίως ἐγένετο (β).

» doctrinam, curam, diligentiam et acumen testantur, non necesse videtur,
» ut multa in ejus laudem commemorem. Illud tantum addo, nulla, aut certe
» paucissima litterarum sacrarum vocabula, quae in quatuor Evangeliis vel
» minus graeca, vel obscura, occurrunt, ab hoc praetermissa esse, quin vo-
» cabulis magis perspicuis et probabilioribus explicarit. Nexum orationis et
» narrationum cum singulorum, tum plurium Evangelistarum, acutissime
» animadvertit ac notat: dissensum facile et subtiliter componit. Etsi autem
» multa Chrysostomo, praestantissimo inter veteres, ac pene dixerim, uni
» interpreti debet: multa item ex multis aliis hausit: omnes enim ante se
» consuluisse videtur interpretes: tamen in promtu sunt, quae ab ipsius do-
» ctrina, studio et ingenio accesserunt ».— (α) N. Testam. Vol. V, p. XXX.
» Rigae. 1782. « Utinam aliquando Euthymii Zigabeni ineditus commenta-
» rius in Epistolas Catholicas prodeat, cujus Fabricius meminit Bibl.Gr.Vol.
» VII, p. 474. Nam ex commentario graece nondum edito in quatuor Evan-
» gelistas intellexi, hujus viri operam, diligentiam, doctrinam et elegantiam
» in interpretandis litteris sacris nec Origeni, nec Chrysostomo, nec Theo-
» doreto, nec ulli alii postponendas esse ».— (β) Θ. Φαρμακ. Ἡ καινὴ Διαθήκη

Ἀλλ' ἐπεὶ ὁ ἀνὴρ παρὰ τὴν ἄλλην αὐτοῦ ἀρετὴν εὐλόγως τιμᾶται ἐκ τῶν παρ' ἡμῖν λογίων καὶ ἐπὶ κρίσει ὀρθῇ, τὸ δεῖξαι ἐνταῦθα οἵαν εἶχε γνώμην περί τε τοῦ Εὐθυμίου περί τε τῆς ἀξίας καὶ χρησιμότητος τοῦ προκειμένου συγγράμματος οὐκ ἄπο σκοποῦ, οὐδ' ἔξω τοῦ θέματος εἶναι ἡγούμεθα.

Ὁ Φαρμακίδης ἀποκαλεῖ τὸν Ζιγαβηνὸν ἄνδρα ἀληθοῦς παιδείας κάτοχον, θεολόγον ἄριστον, καὶ εἰς τὸ ἄριστον τῶν ἐξηγητῶν ἀνηγμένον (α). Ἐπικλείζει δ' αὐτόν, καὶ τὸν λαμπρότερον τῶν στεφάνων πλέκει ἀποφαινόμενος, ὅτι διὰ τοῦ στόματος αὐτοῦ λαλοῦσιν οἱ μεγάλοι τῶν ἱερῶν Γραφῶν ἑρμηνευταί (β). Καὶ τὴν μὲν ἀξίαν τοῦ ὑπομνήματος αὐτοῦ εἰς τὰ Εὐαγγέλια πορίζεται ἔνθεν μὲν ἐκ τῆς ὀρθῆς ἑρμηνείας, τῆς κυριολεξίας, τῆς σαφηνείας, τῆς πλατυτέρας τῶν ἐννοιῶν ἀναπτύξεως καὶ τῆς εὐστοχίας, μεθ' ἧς ἤτοι συμπληροῖ ἢ διορθοῖ τοὺς πρὸ αὐτοῦ ὑπομνηματιστάς (γ)· ἑτέρωθεν δὲ

Τόμ. Α', σελ. ιη'. «Ἐκ τούτων δῆλον γίνεται, ὅτι ἡ παρ' ἡμῶν γινομένη ἔκδοσις τῆς » εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείας τοῦ Εὐθυμίου εἶναι κυρίως ἁπλῆ μετατύπωσις » τοῦ πρωτοτύπου ἑλληνικοῦ κειμένου, ἐκδεδομένου ἐκ τῶν περὶ ὧν ὁ λόγος ἀνωτέρω » χειρογράφων. Ἀλλ' ἂν παρὰ τοῦ Ματθαίου ἐξεδόθη περιεργίας χάριν, διότι ἐποθεῖτο » παρὰ πολλῶν, παρ' ἡμῖν ἐκδίδεται πρὸς ὃν κυρίως ἔγραψεν ὁ μακάριος Εὐθύμιος σκο» πόν, καὶ ὑπὲρ ὧν ἔγραψεν ... Καὶ ἐκ τῶν σημειώσεων τοῦ πρώτου ἐκδότου ἐκείνας » μόνον παρεδέχθημεν, τὰς ὁποίας ἐκρίναμεν ἀναγκαίας». Καὶ ἐν σελ. ιζ'. «Πα» ρεδράμομεν δὲ τὰς ἄλλας, ὡς μηδὲν συντελούσας πρὸς ὃν κυρίως ἐκδίδονται τὰ ὑπο» μνήματα ταῦτα σκοπόν».— (α) Αὐτόθ. «Ὁ Εὐθύμιος εἶχεν ἀληθινὴν παιδείαν· ἦτον » θεολόγος ἄριστος, καὶ ἄριστα ἠσκημένος εἰς τὴν ἐξήγησιν καὶ ἑρμηνείαν τῶν ἱερῶν Γρα» φῶν, ὡς μαρτυροῦσιν αὐτὰ αὐτοῦ τὰ συγγράμματα, ἐκδεδομένα καὶ ἀνέκδοτα, καὶ ὁμο» λογοῦσι καὶ αὐτοὶ οἱ νεώτεροι».— (β) Αὐτόθ. σελ. ιθ'. «Διὰ τοῦ στόματος τοῦ Εὐ» θυμίου λαλοῦσιν οἱ μεγάλοι τῶν ἱερῶν Γραφῶν ἑρμηνευταί· οἱ Ἀθανάσιοι, οἱ Βασί» λειοι, οἱ Γρηγόριοι, οἱ Κύριλλοι, οἱ Χρυσόστομοι. Καὶ οἱ θεῖοι οὗτοι τῆς Ἐκκλησίας » Πατέρες ἔγραψαν πρὸς ἠθικὴν ὠφέλειαν ὄχι μόνον τῶν συγχρόνων αὐτῶν, ἀλλὰ καὶ » ἡμῶν τῶν νῦν ζώντων. Ἀλλὰ δὲν ἀρκεῖ μόνη ἡ καύχησις· ἀπαιτεῖται καὶ συνεχὴς τῶν » ἀθανάτων αὐτῶν συγγραμμάτων ἀνάγνωσις. Ἐκ τῶν ἑρμηνειῶν αὐτῶν μετὰ πολλῆς » ἐπιμελείας καὶ ἀκριβείας ἐρανισμένην προσφέρει ὁ μακάριος Εὐθύμιος πρὸς πάντας τὴν » εἰς τὰ τέσσαρα Εὐαγγέλια ἀρίστην ἑρμηνείαν».—(γ) Αὐτόθ. σελ. ιδ'. «Ἐρανίσατο δὲ » αὐτὴν (τὴν εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείαν) ὁ Εὐθύμιος ἐκ τῶν ἑρμηνειῶν καὶ » διαφόρων μὲν ἄλλων Πατέρων τῆς Ἐκκλησίας, ἐξαιρέτως δὲ τοῦ ἐν ἁγίοις πατρὸς » ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ὡς καὶ ὁ ἴδιος λέγει ἐν τῇ ἐπιγραφῇ τοῦ συγγράμ» ματος αὐτοῦ. Ἀλλὰ ὁ Εὐθύμιος δὲν εἶναι ἁπλοῦς ἐρανιστής· ὡς εἰς ἄκρον εἰς τὴν » ἐξήγησιν καὶ ἑρμηνείαν τῶν ἱερῶν Γραφῶν ἐξησκημένος, συνεισφέρει καὶ αὐτὸς ἀφ' » ἑαυτοῦ πολὺ μέρος, καὶ πανταχοῦ δεικνύει ἀκριβῆ Γραφικὴν γνῶσιν καὶ κρίσιν ὀρθήν. » Καὶ ποῦ μὲν διορθόνει ἄλλους ἑρμηνευτάς, ποῦ δὲ ἀναπτύσσει σαφέστερον καὶ πλατύ-

ἐκ τῆς πανδήμου ἐπικροτήσεως τῶν τε συγχρόνων τῷ Συγγραφεῖ, τῶν τε μετ' αὐτὸν καὶ τῶν νεωτέρων ἀλλογενῶν καὶ ἑτεροδόξων λογίων (α). Περὶ δὲ τῆς χρησιμότητος τῆς βίβλου καὶ τῆς σταθερᾶς πεποιθήσεως, ἣν εἶχεν εἰς τὴν ἐξ αὐτῆς προκύψουσαν ὠφέλειαν, σαφῆ τὰ ἑξῆς· «Ὅτι τὸ σύγγραμμα τοῦτο, λέγει, θέλει ὠφελήσει τὰ μέγιστα, » περὶ τούτου δὲν ἔχομεν κἀμμίαν ἀμφιβολίαν. Ἂν δὲν ἤμεθα περὶ » τούτου τόσον πεπεισμένοι, δὲν ἠθέλαμεν ἐπιχειρήσει νέαν αὐτοῦ ἔκ- » δοσιν διὰ τὰ τέκνα τῆς Ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς Ἐκκλη- » σίας» (β). Οὕτως ἐστοχάζετο ὁ ἀοίδιμος Φαρμακίδης, καὶ οἱ στοχασμοὶ αὐτοῦ ὀρθοὶ ἐκ τῶν πραγμάτων ἀνεδείχθησαν· καὶ γὰρ ἀσμένως τὸ βιβλίον, ἅμα ἐκδοθέν, ἐγένετο δεκτὸν (γ) καὶ μετὰ ζέσεως ἀνὰ πᾶσαν τὴν καθ' ἡμᾶς Ἀνατολὴν μέχρι τοῦ νῦν ἀναγινώσκεται.

Ἀλλά, μοίρᾳ δυςμενεῖ, τὸ γλαφυρώτατον καὶ πολυτιμότατον τοῦτο σύγγραμμα οὐ μόνον ἡμιτελὲς ἦν, ἢ μᾶλλον εἰπεῖν, καὶ τοῦ ἡμιτελοῦς ἀτελέστερον, ἀλλὰ καὶ καθ' ἑαυτὸ ἐν πολλοῖς ἐλλιπές τε καὶ δύςληπτον. Καὶ γὰρ ὁ Συγγραφεὺς ἐν τοῖς τῶν Εὐαγγελίων ὑπομνήμασι τινῶν μὲν ἀκροθιγῶς μόνον ἥψατο, τινὰ δὲ καὶ ὅλως παρέδραμεν, ἐν τῇ τῶν Ἐπιστολῶν ἐξηγήσει βουλόμενος περὶ αὐτῶν τὰ εἰκότα διαλαβεῖν (δ). Καὶ ὅσῳ μᾶλλον ἐτιμᾶτο, τοσούτῳ μᾶλλον ἡ συμπλήρωσις αὐτοῦ ποθεινοτέρα τε καὶ ἀναγκαιοτέρα, οἷα εἰκός, καθίστατο.

Ὁ πρῶτος αὐτοῦ ἐκδότης, ὁ φιλοπονώτατος Φριδερῖκος ὁ Ματθαίου, ἐπισφραγίζει τὰ ἀξιόλογα τῆς ἑαυτοῦ ἐκδόσεως προλεγόμενα

» τερον τὰ παρ' ἄλλοις συνεπτυγμένως ἢ ἀσαφῶς πως ἐκφρασμένα. Πανταχοῦ διὰ τῆς » ἑρμηνείας ἀναζητεῖ καὶ εὑρίσκει τὴν κυρίαν λέξιν καὶ ἐκφράζει τὴν ὀρθὴν ἔννοιαν, ὡς » δῆλον ἐκ τῆς ἀναγνώσεως αὐτοῦ τοῦ συγγράμματος ».— (α) Αὐτόθ. «Ἡ εἰς τὰ τέσ- » σαρα Εὐαγγέλια ἑρμηνεία τοῦ Εὐθυμίου ἐτιμᾶτο πολὺ παρά τε τῶν συγχρόνων αὐτοῦ » καὶ παρὰ τῶν μεταγενεστέρων, καὶ ἐπαινεῖται μεγάλως παρὰ πάντων τῶν νεωτέρων » ἀλλογενῶν καὶ ἑτεροδόξων κριτικῶν ».— (β) Αὐτόθ. σελ. ιηʹ.— (γ) Αὐτόθ. Τόμ. Γʹ, σελ. ά. «Ἡ εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνεία τοῦ Εὐθυμίου ἐξεδόθη ἤδη εἰς δύο τό- » μους καὶ ἀναγινώσκεται παρὰ πολλῶν τέκνων τῆς Ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς » Ἐκκλησίας μετὰ μεγάλης ψυχικῆς ὠφελείας ». — (δ) Ὅρ. Τόμ. Αʹ, σελ. 342, ἔκδ. Φαρμακ., ἔνθα ὁ Εὐθύμιος ἀναφορικῶς πρὸς τὸν στίχ. 3, κεφ. ιςʹ τοῦ Ματθαίου γράφει· «ἔστι δὲ καὶ ἄλλος λόγος, καθ' ὃν λέγεται *δόξα αὐτοῦ* ὁ σταυρός, ὃν ἐροῦμεν ἐν » καιρῷ τῷ προςήκοντι». Οἱ δὲ ἐκδόται Φ. Ματθ. καὶ Φαρμακ. ὑποσημειοῦνται· «ἐν τοῖς » εἰς τὰ Εὐαγγέλια ὑπομνήμασι δὲν λέγει τι τοιοῦτον ὁ Εὐθύμιος· ποῦ δὲ λέγει τοῦτο; » ἄδηλον· ἴσως ἔλεγεν αὐτὸ εἰς τὸ εἰς Ἑβρ. 6ʹ, 9 ὑπόμνημα αὐτοῦ ».

τῇ ἑπομένῃ εὐχῇ· « ἤδη οὐδὲν ἄλλο εὔχομαι ἢ ὅπως τὸ τῶν τεσσά-
» ρων Εὐαγγελίων ὑπόμνημα τοῦτο τοῦ Εὐθυμίου, τὸ παρὰ οὕτως
» ἀρίστων ἀνδρῶν συσταθέν, ἀποβῇ ὅ τι πλείστοις ὠφέλιμον· καὶ
» ὅπως ποτὲ καὶ τὰ ὑπομνήματα αὐτοῦ εἰς τὰς Ἐπιστολὰς τοῦ Ἀπο-
» στόλου Παύλου καὶ τὰς Καθολικὰς ἀνευρεθῶσι καὶ ἐκδοθῶσιν· ἐκ
» γὰρ τῆς ἀρχαιότητος οὐδὲν τέως ἔχομεν τῶν Καθολικῶν Ἐπιστολῶν
» λόγου ἄξιον ὑπόμνημα » (α). Ὁ δὲ ἀοίδιμος Φαρμακίδης, εἰς τὰς παρ' ἡμῖν ἀνάγκας καὶ τὸν πρακτικὸν μᾶλλον σκοπὸν τοῦ πονήματος ἀφορῶν, γοερώτερον ἐκτραγῳδεῖ αὐτοῦ τὸ ἡμιτελές τε καὶ ἀσυμπλήρωτον. « Ὁ Εὐθύμιος, γράφει (β), ἡρμήνευσε καὶ τὰς Ἐπιστολὰς τοῦ
» Παύλου καὶ τὰς Καθολικάς, ἀλλ' ἡ ἑρμηνεία αὕτη κρύπτεται εἰς-
» έτι εἰς τὰς βιβλιοθήκας τῆς Εὐρώπης ἀνέκδοτος. *Πόσον λυπηρὸν*
» *εἶναι εἰς ἡμᾶς ἡ στέρησις αὕτη* » ! Καὶ ὅτε δὲ ἐκ τῶν ἐνόντων συνεπλήρου τὸ τῶν τεσσάρων Εὐαγγελίων ὑπόμνημα τοῦ Εὐθυμίου διὰ τῆς τοῦ Οἰκουμενίου ἑρμηνείας εἰς τὰς Ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου καὶ τὰς Καθολικάς, ἵνα παράσχῃ τοῖς Ἕλλησι πλήρη ὁπωσδήποτε τῆς καινῆς Διαθήκης ἐξήγησιν, βαθεῖαν πάλιν τὴν θλῖψιν αὐτοῦ ἐξεδήλου ἐπὶ τῇ στερήσει τούτων δὴ τῶν ἤδη ἀγαθῇ τύχῃ ἀνευρεθέντων καὶ ἐκδιδομένων βιβλίων (γ).

Ἀλλὰ ποῦ τέλος πάντων τὰ οὕτω ποθεινὰ καὶ περισπούδαστα χειρόγραφα, κεκρυμμένα ὄντα ἀνευρέθησαν ; Τὸ ἐρώτημα τοῦτο, ἐκ τῶν προειρημένων οἴκοθεν προκῦπτον, ἀκούομεν οἱονεὶ προβαλλόμενον ἡμῖν, πρὸς ὃ ἐκ καθήκοντος ὀφείλομεν ἀπαντῆσαι.

(α) F. Matth. Comment. ect. p. 37. « Nunc nihil magis opto, quam ut hic
» Euthymii in Evangelia commentarius, ab tot clarissimis viris commenda-
» tus, quam plurimis utilitatem praestet, et ut aliquando ejusdem commen-
» tarii in Epistolas Pauli et Catholicas reperiantur et edantur. Nam in Epi-
» stolas Catholicas ex tota antiquitate nullum adhunc memoratu dignum nacti
» sumus commentarium ».— (β) Τόμ. Α', σελ. ια'.— (γ) Τόμ. Γ', σελ. η'. « Ἡ
» εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνεία τοῦ Εὐθυμίου ὑπερέχει τῆς εἰς αὐτὰ ἑρμηνείας
» τοῦ Θεοφυλάκτου, *καθὼς ἤθελεν ἀποδειχθῇ ὑπερέχουσα καὶ ἡ εἰς τὰς* ***Ἐπιστο-***
» *λὰς τοῦ Παύλου ἑρμηνεία αὐτοῦ*, ΑΝ ΗΤΟΝ ΕΚΔΕΔΟΜΕΝΗ, ***τῶν εἰς αὐτὰς***
» ***ἑρμηνειῶν τοῦ Οἰκουμενίου καὶ τοῦ Θεοφυλάκτου*** ».

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ ΚΑΙ ΤΑΣ ΚΑΘΟΛΙΚΑΣ

Νεωτέρους τὴν ἡλικίαν ὄντας καὶ ἐν τοῖς μαθητιῶσι διατελοῦντας λίαν ἡμᾶς κατέθελγεν ἡ μελέτη τῶν ὑπομνημάτων τῶν τεσσάρων Εὐαγγελίων τοῦ Ζιγαβηνοῦ καὶ πολλὴν παρεῖχεν εὐκολίαν καὶ ὠφέλειαν· γηράσκοντες δ' ἤδη, ὁπότ' ἂν τῇ βίβλῳ ἐντυγχάνωμεν, ὑπερβαλλόντως πάντοτε καὶ θελγόμεθα καὶ ὠφελούμεθα. Πολλὰ γὰρ ἀληθῶς ἔνεστιν αὐτῇ τὰ ἐπαγωγά, καὶ ἐπανθεῖ πανταχοῦ θαυμασία τῆς ἑρμηνείας ἡ χάρις. Οὕτω δ' αὐτῆς τὰς ἀρετὰς πείρᾳ ἰδίᾳ διδαχθέντες, οὐ μὴν ἀλλὰ καὶ τὰς περὶ αὐτῆς κρίσεις ἀνδρῶν κρατίστων πολλάκις ἐπαναγνόντες, ἀπὸ μέσης καρδίας καὶ αὐτοὶ ἐθλιβόμεθα κατὰ τὸ ἥμισυ καὶ ἔτι πλέον ἠκρωτηριασμένην αὐτὴν βλέποντες. Καὶ ὅτι μὲν τῷ Εὐθυμίῳ ἡρμηνευμέναι ἦσαν αἱ τοῦ Ἀποστόλου Παύλου Ἐπιστολαὶ καὶ αἱ τῶν ἄλλων Ἀποστόλων, ἤτοι αἱ Καθολικαὶ λεγόμεναι, ἀμφιβάλλειν ἡμῖν οὐδαμῶς ἐξῆν, ἀξιοπίστων ὄντων τῶν τοῦτο διαβεβαιουμένων ἀνδρῶν. Τὸ δὲ ποῦ τὰ τῶν ὑπομνημάτων τούτων χειρόγραφα κατέκειντο, τοῦτο ἦν τὸ εἰς λύσιν προβαλλόμενον αἴνιγμα. Ὅθεν ἀπό τινος χρόνου συντονώτεροι ἐπεδόθημεν εἰς ἀναζήτησιν αὐτῶν, κοινὸν ἡγούμενοι ἀγαθὸν τὴν τῆς βίβλου συμπλήρωσιν. Καὶ πολλῶν μὲν τῶν κατὰ τὴν Ἑσπερίαν Βιβλιοθηκῶν τοὺς ἐκδεδομένους τῶν χειρογράφων καταλόγους διελθόντες οὐδαμοῦ τι, εἰ μή που ὀλίγα τινὰ τῶν ζητουμένων εἴδομεν (α). Ἀποφατικὴν δ' ὁμοίως ἐλάβομεν ἀπόκρισιν καὶ παρά τινων εἰδημόνων περὶ τὰ τοιαῦτα ἀνδρῶν, πρὸς οὓς ἀπετάθημεν, πληροφορίας περὶ τοῦ προκειμένου ζητοῦντες (ϐ).

(α) Ἐν τῇ τοῦ Μονάχου Βιβλιοθήκῃ εὕρηται τοῦ παρόντος ὑπομνήματος ἡ ἐξήγησις μόνον τῆς πρὸς Ῥωμαίους καὶ τῆς Α' πρὸς Κορινθίους, ἣν καὶ Φριδερῖκος ὁ Ματθαίου ἔχων ἀνὰ χεῖρας ἐξ ἀντιγραφῆς πολλαχοῦ τῆς παρ' αὐτοῦ γενομένης κριτικῆς ἐκδόσεως τοῦ κειμένου τῆς καινῆς Διαθήκης ἀναφέρει (Wittenbergae, 1803-4, εἰς Τόμ. 3). — (ϐ) Εὐγνωμόνως καταχωρίζομεν ἐνταῦθα τὴν πρὸς τὴν ἡμετέραν ἐπιστολὴν ἀπόκρισιν τοῦ γνωστοῦ ἐπὶ παιδείᾳ ὁμογενοῦς Ἰωάννου τοῦ Βελούδου, τοῦ τῆς ἐν Βενετίᾳ Μαρκείου Βιβλιοθήκης Ἐφόρου, ἔχουσαν ὧδε· «Ἐλλόγιμε κ. Ἀρχιμανδρῖτα καὶ Καθηγητά. Ἐπι-» μελῶς ἐρευνήσας κατὰ τὴν τιμίαν ὑμῶν ἐπιστολὴν περὶ τῶν παρὰ τῆς ὑμετέρας ἐλλο-» γιμότητος ζητουμένων Εὐθυμίου τοῦ Ζιγαβηνοῦ συγγραμμάτων, οὐδὲν τούτων εὗρον. » Ἄλλα δὲ τοῦ αὐτοῦ ὑπάρχουσι γνωστὰ δὴ καὶ ὑμῖν . . . . ἐν Βενετίᾳ, τῇ 5 Νοεμ-» ϐρίου 1879».

Τέλος έγνωμεν αὐτοὶ ἀποδημῆσαι εἰς Ἰταλίαν, καὶ τῶν αὐτόθι δημοσίων καὶ ἰδιωτικῶν Βιβλιοθηκῶν ἐπισκεφθῆναι, ὅσας ἂν συγχωρήσειν ἡμῖν ἔμελλον ὁ χρόνος καὶ αἱ περιστάσεις, ἐκεῖ που κεῖσθαι ὑποτοπάζοντες τὰ ζητούμενα χειρόγραφα. Καὶ γάρ, ὡς γνωστόν, τῶν πλείστων λογίων φυγάδων Ἑλλήνων τὰ βιβλία ἐν αὐταῖς σὺν τῷ χρόνῳ συνερρύησαν. Ἐστηρίζοντο δὲ μάλιστα αἱ πρὸς εὕρεσιν τούτων ἐλπίδες ἐν τῇ τοῦ Οὐατικανοῦ Βιβλιοθήκῃ· τὸ μέν, ὅτι αὕτη πλουσιωτάτη ἐν ἑλληνικοῖς χειρογράφοις ὑπάρχει καὶ τοὺς καταλόγους αὐτῶν ἀνεκδότους ἔτι τηρεῖ· τὸ δέ, ὃ καὶ μᾶλλον ἐπερρώνυεν ἡμῶν τὴν ἐλπίδα, ὅτι Λέων ὁ Ἀλλάτιος, Ἔφορος χρηματίσας τῆς Βιβλιοθήκης ἐκείνης, ἐν τῷ συγγράμματι αὐτοῦ, οὗ ἡ ἐπιγραφὴ «De inter» stitiis ordinum apud Graecos» (σελ. 196), παρεισάγει χωρία τινὰ ἐκ τοῦ ζιγαβηνείου ὑπομνήματος εἰς τὴν Α΄ πρὸς Τιμόθεον ἐπιστολήν (α).

Ἀλλ' οἷον ἡμῖν ὑπῆρξε τὸ ἄλγος, ὅτε μετὰ ματαίαν ἀπόπειραν ἐν ἄλλαις ἄλλων ἰταλικῶν πόλεων Βιβλιοθήκαις ἀφικόμεθα περὶ μεσοῦντα Ἰούλιον τοῦ 1879 ἔτους εἰς Ῥώμην καὶ εὕρομεν τὴν τοῦ Οὐατικανοῦ Βιβλιοθήκην κεκλεισμένην καὶ μέχρις ἀρχῶν Νοεμβρίου τοῖς φιλολόγοις ἀπρόσιτον! Ἀπηλπικότες σχεδὸν τοῦ ποθουμένου, ἐθαμίζομεν τότε εἰς τὰς ἄλλας τῆς πόλεως ἐκείνης Βιβλιοθήκας, καὶ δὴ καὶ εἰς τὸ παρακείμενον τῷ Πανθέῳ Μοναστήριον τῶν Δομινικα-

---

(α) Τὰ παρ' Αὐγούστου Ἐρνέστου ἀναφερόμενα τάδε «Memorantur Codices » scripti Comment. Zigabeni in Epist. Pauli, item Catholicas» (Institutio interpr. N. Test. Pars II, Cap. IX, § 24), πάνυ γενικὰ ὄντα καὶ ἀόριστα, εἰς οὐδὲν προδήλως τῷ ἡμετέρῳ σκοπῷ συνεβάλλοντο. Ἔτι δὲ μᾶλλον ἀόριστα τὰ τοῦ πολυμαθοῦς Φαβρικίου (Biblioth. Graeca, Vol. VIII, p. 344, ἔκδ. Β΄), ὃς λόγον ποιούμενος περὶ τῶν ἤδη ἐκδιδομένων ὑπομνημάτων τοῦ Ζιγαβηνοῦ, παρεισάγει τὸν Γκέσνερον (Gessnerum) λέγοντα ἁπλῶς ὅτι, ταῦτα πάλαι σώζονται ἐν Ῥώμῃ. «Commenta» rius in Epistolas Pauli, itidem ex Chrysostomo et aliis Patribus studiose » collectus, quem Romae MS. graece servari pridem Gessnerus scripsit». Ὅσα δ' ἄλλοι μετ' αὐτοὺς εἰρήκασιν ἁπλαῖ ἦσαν ἐξ ἐκείνων ἀντιγραφαί. Ὅρ. Encyklop. der Katholisch. Theol. von Welt, 1849, ἐν λ. Euthymius. «Die Com» mentare zü den paulinischen und Katholischen Briefen sind noch nicht » gedruckt, sondern nur handschriftlich vorhanden».— Καὶ Real-Encyklop. von Herzog 1855, ὁμοίως ἐν λ. Euthymius. «Andere ezegetische Schriften » über paulinische und Katholische Briefe liegen handschriftlich, so wie » auch Briefe, eine Monodie auf den Tod des Eustathius von Thessalonich (;) » und ein Gespräch mit einem saracenischen Philosophen».

νῶν (α), ἐν ᾧ ἡ Κασανατεία λεγομένη Βιβλιοθήκη συγκεκρότηται (β). Εἰςελθόντες δὲ εἰς αὐτὴν καὶ τὸν βιβλιοφύλακα ἐρωτήσαντες, εἰ ὑπάρχουσιν ἐν τῇ Βιβλιοθήκῃ χειρόγραφα Εὐθυμίου τοῦ Ζιγαβηνοῦ, ἠκούσαμεν παρ' αὐτοῦ, ἐρευνήσαντος πρότερον τοὺς καταλόγους, ὅτι οὐδὲν τοιοῦτο εὑρίσκετο. Ἐρωτηθεὶς δ' ἐκ δευτέρου εἰ ἐν τῇ λέξει Commentaria novi Testamenti σημειοῦνται ἐν τοῖς καταλόγοις χειρόγραφα, ἀπήντησε «σημειοῦται μὲν ἕν, ἀλλ' ἀνώνυμον». Καὶ ἐδόθη ἡμῖν ὁ ὑπολαμβανόμενος ἀνώνυμος κῶδιξ. Ἀνοίξαντες δ' αὐτὸν εὕρομεν εὐθὺς ἐν ἀρχῇ τήνδε τὴν σημείωσιν ὑπὸ τὸν κατάλογον τῶν ἐν τῷ χειρογράφῳ περιεχομένων κειμένην· «Singulae (αἱ προτεταγμέναι δηλον- » ὅτι τῶν Ἀποστόλων Ἐπιστολαί) vero habentur cum expositio- » nibus Patrum Graecorum, sed precique S. Iohannis Chry- » sostomi, Collectore Euthymio Monacho Zigabeno » (γ). Ἀναδιφῶντας δ' εἶτα τὸν κώδικα οὐ μικρὰ ὑπέσαινεν ἐλπίς, ὅτι κατηντήσαμεν τέλος εἰς ἐκπλήρωσιν τοῦ πόθου, οὗ πάλαι ὠδίνομεν. Ἀλλ' ὅτε ἐβεβαιώθημεν ὅτι ταῦτα ἦσαν τὰ διακαῶς ζητούμενα, ἡ προξενηθεῖσα ἐν ἡμῖν εὐχαρίστησις, ἐπιεικῶς εἰπεῖν, τοσαύτη ἦν, ὡς εἰ πολυτίμῳ ἑρμαίῳ ἄντικρυς κατ' εὐκληρίαν περιετύχομεν.

Ἡ τῆς ἀντιγραφῆς ἄδεια ἐδόθη ἡμῖν παραχρῆμά τε καὶ φιλοφρόνως παρὰ τοῦ βιβλιοφύλακος, ὄντος μοναχοῦ πρεσβύτου τε καὶ σεβασμίου. Καὶ ἐπὶ δύο περίπου μῆνας πέντε ἑκάστης ἡμέρας ὥρας ἐσχολάζομεν τῇ ἀντιγραφῇ ἐν τῷ τῆς Βιβλιοθήκης ἀναγνωστηρίῳ. Πλὴν καὶ οὕτω μόλις κατωρθώσαμεν ἀντιγράψαι τὸ εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν ὑπόμνημα ὁλόκληρον καὶ ὑπὲρ τὸ ἥμισυ τῆς πρώτης πρὸς Κορινθίους (δ). Ἐπεὶ δ' ὁ μὲν τῶν διακοπῶν χρόνος προςήγγιζεν εἰς τὸ τέρμα, ἡμεῖς δὲ χάριν τῆς ἐν τῷ Πανεπιστημίῳ διδασκαλίας ἐπειγόμεθα ἐπανακάμψαι οἴκαδε, ἡ διὰ τῆς φωτογραφίας ἀποτύπωσις τοῦ περιεχομένου τοῦ κώδικος παρίστατο ἡμῖν ὡς τὸ μόνον τῆς ἐντελοῦς τοῦ σκοποῦ ἐπιτυχίας μέσον. Τοῦτο ἀνεκοινωσάμεθα τῷ τῆς κεντρικῆς τοῦ Βίκτωρος Ἐμμανουὴλ Βιβλιοθήκης Ἐφόρῳ. Ὁ δὲ κύριος Καστελλάνης (τοῦτο αὐτοῦ τὸ ὄνομα), ἀνὴρ τῶν

(α) Τούτου τὸ πλῆρες ὄνομα ἔχει ὧδε· «Monasterium fratrum praedicatorum » Sanctae Mariae supra Minervam». — (β) Ἡ βιβλιοθήκη αὕτη ἐκλήθη Casanatense ἀπὸ τοῦ πρώτου αὐτῆς ἱδρυτοῦ Καρδινάλεως Casanatis, περὶ τὸ αψ' ἀποβιώσαντος. — (γ) Κατὰ τὴν τοῦ βιβλιοφύλακος κρίσιν, ἡ ἀνωτέρω λατινικὴ σημείωσις ἐγράφη περὶ τὴν ιζ' ἑκατονταετηρίδα. — (δ) Ὅρ. σελ. 276 σημ. α' τοῦ παρόντος Τόμου.

ἀρίστων ἐπὶ καλοκαγαθίᾳ οὐχ ἧττον ἢ ἐπὶ παιδείᾳ, οὐ μόνον εὖ διατεθειμένος πρὸς τὸν ἡμέτερον ἐδείχθη σκοπόν, ἀλλὰ καὶ σφόδρα προθύμως πᾶσαν παρέσχεν ἀρωγήν. Οὕτω δὲ κατὰ θυμὸν ἡμῖν προέβη τὸ βούλημα. Ἐφ' ᾧ καὶ ὁ σεπτὸς ἡμῶν ἄναξ ΓΕΩΡΓΙΟΣ τῷ χρυσῷ τοῦ Σωτῆρος Σταυρῷ ἐπαξίως αὐτὸν ἐτίμησεν. Ὥςτε διὰ τῆς θαυμαστῆς φωτογραφίας κατέχομεν ἤδη καὶ πανομοιοτύπως ὃ ἀπὸ πολλοῦ τοσαύτῃ ἐπιθυμίᾳ ἐπεθυμήσαμεν.

Καὶ περὶ μὲν τῶν κατὰ τὴν εὕρεσιν τῶν ζητουμένων χειρογράφων τοσαῦτα. Ἀλλ' ἐπεὶ τοῖς τὸ πρῶτον ἐκδιδοῦσι πόνημά τι τῶν παλαιῶν εἴθισται τὰ κατὰ τὸν κώδικα περιγράφειν, ἐξ οὗ ἡ ἔκδοσις γίνεται, ἱστοροῦμεν καὶ ἡμεῖς, τῷ ἔθει τούτῳ στοιχοῦντες, ὅσα ἀρεστά τε καὶ φίλα τοῖς περιεργοτέροις καὶ εὐμουσοτέροις τῶν ἀναγνωστῶν.

Ἠρίθμηται ὁ ἡμέτερος κῶδιξ ἐν τῇ περὶ ἧς εἴρηται Βιβλιοθήκῃ ἕκτος· σχήματος δ' ἐστὶ τοῦ 2ου· κεχάρακται δὲ ἐν ἱκανῶς παχεῖ, στιλπνῷ καὶ κάλλιστα διατετηρημένῳ χάρτῃ. Τὰ ἀπαρτίζοντα αὐτὸν φύλλα εἰσὶ τετρακόσια ἓξ πρὸς τοῖς ἑξήκοντα· σώζεται δὲ πληρέστατος ἐκτὸς τῶν τεσσάρων ἢ πέντε ἐν ἀρχῇ φύλλων, ἃ ἀποκοπέντα ἀπώλοντο. Κατὰ γενικὸν σχεδὸν κανόνα ἑκάστην τοῦ κώδικος σελίδα πληροῦσι στίχοι τριάκοντα· ὧν οἱ μὲν τὸ κείμενον τῆς θείας Γραφῆς ἀποτελοῦντες γράφονται πάντοτε σχεδὸν γράμμασιν ἐρυθροῖς (ὡς καὶ ἐν τῇ μετὰ χεῖρας ἐκδόσει μείζοσι στοιχείοις ἐξετυπώθησαν), οἱ δὲ τὴν ἑρμηνείαν τοῦ Συγγραφέως, μέλασιν. Ἀλλ' οἵ τε οὗτοι κἀκεῖνοι πανταχοῦ τοῦ κώδικος τὸ αὐτὸ φέρουσι σχῆμα καὶ μέγεθος. Μετεγράφη δὲ ὑπὸ χειρὸς οὐδ' ἑαυτήν, οὐδὲ τὸν τόπον, οὐδὲ τὸ ἔτος τῆς μεταγραφῆς δηλωσάσης. Ὡς ἐκ τοῦ χαρακτῆρος ὅμως τῆς γραφῆς, ἧς ὁμοιότυπον λελιθογραφημένον δεῖγμα προςήρτηται ἐν ἀρχῇ τοῦ παρόντος Τόμου, εἰκάζομεν αὐτὸν ἀπογεγράφθαι κατὰ τὴν ιδʹ ἑκατονταετηρίδα. Κατὰ τὴν ἡμετέραν ὡσαύτως δόξαν, ὁ κῶδιξ φαίνεται μετενεχθεὶς εἰς Ἰταλίαν ἐκ τῶν Ἑλλήνων λογίων φυγάδων μετὰ τὴν Ἅλωσιν, ἢ καὶ ὀλίγῳ πρότερον ἴσως χάριν τῶν πρὸς τοὺς Λατίνους δογματικῶν συζητήσεων, τῶν πρὸς ἕνωσιν τῶν δύο Ἐκκλησιῶν μάτην γενομένων. Ἀπάρχεται δὲ οὕτως· «Ἡμᾶς λόγῳ ἀληθείας. Μὴ τοίνυν ἡ ὁμωνυ-»μία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω» (α). Συμπεραίνεται δὲ ἐν τού-

(α) Εἰσὶ ταῦτα ἐξήγησις τοῦ στίχ. 18 τοῦ Αʹ κεφ. τῆς τοῦ Ἰακώβου Ἐπιστολῆς.

τοις· «ἀμήν. Ἀληθῶς εἴη μετὰ πάντων ὑμῶν». Μεθ' ἃ ὁ περὶ τὴν ἀντιγραφὴν ἐκπονήσας, τὸ τέλος ἐπισφραγίζων τοῦ κώδικος, τάδε ὡς ἐξ ἑαυτοῦ προςτίθησι· «*Τέλος σὺν Θεῷ ἁγίῳ τοῦ παρόντος ἱερωτά-» του καὶ θεςπεσιωτάτου βιβλίου τῶν Ἐπιστολῶν Παύλου τοῦ Ἀπο-» στόλου καὶ ἑτέρων Ἀποστόλων*».

Αἱ τῶν Ἀποστόλων Ἐπιστολαὶ ἔχουσιν ἐν τῷ κώδικι τήνδε τὴν τάξιν· ἡ τοῦ Ἰακώβου. Ἡ Α' τοῦ Πέτρου καὶ μετ' αὐτὴν ἡ Β'. Ἡ Α' τοῦ Ἰωάννου, κατόπιν ἡ Β' τοῦ αὐτοῦ καὶ ἡ Γ'. Ἡ τοῦ Ἰούδα. Εἶθ' οὕτως εἰςάγεται ὁ ἀναγνώστης εἰς τὴν ἑρμηνείαν τῶν Ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου, ὧν, ὡς κοινὸν τρόπον τινὰ προοίμιον, προτάσσονται στίχοι τινὲς ἰαμβικοί (α). Κατόπιν τούτων ἀναγινώσκεται ἡ ἑπομένη σημαντικωτάτη καὶ πλείστου λόγου ἀξία ἐπιγραφή, γράμμασιν ἐρυθροῖς γεγραμμένη καὶ χειρὶ τῇ αὐτῇ· «*Ἑρμηνεία τῶν » Ἐπιστολῶν τοῦ μεγάλου Ἀποστόλου Παύλου φιλοπόνως ἐρανισθεῖσα » μάλιστα μὲν ἀπὸ τῆς ἐξηγήσεως τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάν-» νου τοῦ Χρυσοστόμου, ἔτι δὲ καὶ ἀπὸ διαφόρων ἄλλων Πατέρων, » συνειςενεγκόντος τινὰ καὶ τοῦ ταύτην ἐρανισαμένου τοῦ ΖΙΓΑΒΗ-» ΝΟΥ ΕΥΘΥΜΙΟΥ ΜΟΝΑΧΟΥ*».

Ἐνταῦθα τὰ σημειωτέα εἰσί· πρῶτον μέν, ὅτι ἡ ἐπιγραφὴ αὕτη, ἐν τῷ ἑβδομηκοστῷ πέμπτῳ φύλλῳ ἀπὸ τῆς ἐνεστώσης τοῦ χειρογράφου ἀρχῆς κειμένη, ἐπιστώσατο ἡμᾶς περὶ τοῦ ὅτι τὰ εὑρεθέντα αὐτὰ ἦσαν τὰ ζητούμενα. Δεύτερον δέ, ὅτι δι' αὐτῆς κατακυροῦται ὁμοίως ἡ αὐθεντία καὶ τῶν τέως ἐκδεδομένων ὑπομνημάτων τοῦ αὐτοῦ Συγγραφέως εἰς τὰ τέσσαρα Εὐαγγέλια. Καὶ γάρ, ὡς προδεδήλωται, ὅ τε ἱσπανικὸς κῶδιξ, ἐξ οὗ ὁ Ἐντένιος τῷ 1544 τὴν λατινικὴν μετάφρασιν τῶν εὐαγγελικῶν ὑπομνημάτων ἐξεπόνησεν, οἵ τε δύο παρισιανοὶ κώδικες, περὶ ὧν ὁ κριτικὸς Ῥιχάρδος Σίμων πραγματεύεται, καὶ οἱ δύο ἐκεῖνοι τῆς Μόσχας, ἀφ' ὧν ὁ Φριδερῖκος Ματθαίου τὴν ἑλληνικὴν ἔκδοσιν αὐτῶν κατήρτισε, πάντες οὗτοι ἀνεπίγραφοι ἦσαν, καὶ τὰ ἐν αὐτοῖς ἐξ εἰκασίας, ἀσφαλεστάτης ἄλλως, τῷ ἡμετέρῳ Εὐθυμίῳ ἀπεδίδοντο. Καὶ τρίτον, ὅτι ἡ περὶ τῆς γραφῆς τοῦ ἐπωνύμου τοῦ Συγγραφέως ἀπορία (εἰ δηλονότι *Ζυγαδηνὸν* δεῖ αὐτὸν γράφειν τε καὶ ὀνομάζειν, ἢ *Ζιγαδηνόν*, ἢ *Ζυγαβηνόν*) (β),

(α) Ὅρ. τούτους μετὰ τὸ τέλος τοῦ Προλόγου τούτου. — (β) Frid. Matth Comment. ect. p. 8. « Dubium est, utrum Zygadenus, an Zigadenus, an Ziga-

αἵρεται ἀπὸ τοῦδε, τῆς ἐπιγραφῆς διδασκούσης, ὅτι *Ζιγαβηνός* ἐστι τὸ ἀληθὲς τοῦ Εὐθυμίου παρωνύμιον. Τούτοις προςτεθείσθω καὶ τέταρτον τόδε, ὅτι ὁ κῶδίξ ἐστιν, ὡς ἔοικε, μοναδικός. Εἰκάσειε δ' ἄν τις τοῦτο ἐκ τοῦ ὅτι οὔτε ἄλλος τις τῶν προερευνησάντων ἀνήνεγκεν, ὅτι εἶδέ πού ποτε ἄλλον τοιοῦτον, οὔτε ἡμῖν συνέπεσεν ἰδεῖν ἐκτὸς ὀλίγων τινῶν μερῶν, καὶ τούτων σποραδικῶς, ἐν διαφόροις τῆς τοῦ Οὐατικανοῦ Βιβλιοθήκης χειρογράφοις. Τοιαύτην παντελῆ πανωλεθρίαν ἐπήνεγκαν καὶ τῇ εἰς πλεῖστα ἀντίγραφα πολλαπλασιασθείσῃ βίβλῳ ταύτῃ αἱ μακραὶ καὶ δειναὶ τῆς Ἑλλάδος συμφοραί!

Τῇ προειρημένῃ ἐπιγραφῇ ἕπεται ἡ ἑρμηνεία τῶν Ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου κατὰ τὴν ἑπομένην σειράν. Ἡ πρὸς Ῥωμαίους. Ἡ Α' πρὸς Κορινθίους, καὶ μετ' αὐτὴν ἡ Β'. Ἡ πρὸς Γαλάτας. Ἡ πρὸς Ἐφεσίους. Ἡ πρὸς Κολασσαεῖς. Ἡ πρὸς Φιλήμονα. Ἡ Α' πρὸς Θεσσαλονικεῖς, καὶ μετ' αὐτὴν ἡ Β'. Ἡ πρὸς Φιλιππησίους. Ἡ πρὸς Ἑβραίους. Ἡ Α' πρὸς Τιμόθεον, καὶ κατόπιν ἡ Β'. Ἡ πρὸς Τῖτον.

Ἐν τῇ τῶν Ἐπιστολῶν καθόλου κατατάξει καλὸν ἡμῖν ἔδοξε μεταλλαγάς τινας ποιήσασθαι, καίτοι πόθος ἡμῖν ἦν πιστῶς, ὡς οἷόν τε, μεταδοῦναι τὰ τοῦ κώδικος. Εἰσὶ δ' αὗται αἱ ἑξῆς· ἤτοι πρῶτον μὲν προὐτάξαμεν τὰς Ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου, καὶ δὴ κατὰ τὴν τῆς συνήθους σειρᾶς τάξιν, ἵνα συμμορφώσωμεν τὸ πόνημα πρὸς τὰ κοινῶς φερόμενα κείμενα τῆς ἁγίας Γραφῆς καὶ ἀπαλλάξωμεν τοὐντεῦθεν τῆς συγχύσεως τὸν ἀναγνώστην. Τοῦτο πρῶτον. Εἶτα, ἐπειδὴ ἐν τῷ κώδικι ἡ κατὰ κεφάλαια διαίρεσις τοῦ κειμένου γίνεται κατὰ τὸ εὐθάλειον σύστημα, καίπερ ἐκ τῆς τοῦ ἀντιγράψαντας ἀμελείας μὴ τιθεμένων ἐπὶ πάντων τῶν κεφαλαίων τῶν τῷ Εὐθαλίῳ πεπονημένων ἐπιγραφῶν, περιέστημεν ἐν ἀπορίᾳ, εἰ ἔδει ἡμᾶς τῷ παλαιῷ τούτῳ συστήματι παρακολουθῆσαι· ἢ τούτῳ τε ἅμα καὶ τῷ νεωτέρῳ, ὡς ὁ ἀοίδιμος Φαρμακίδης ἐποίησε Φριδερίκῳ τῷ Ματθαίου ἑπόμενος, ἢ μόνῳ τῷ νεωτέρῳ. Ἐπὶ πολὺ δὲ σκεψαμένοις καὶ πρὸς τὴν εὐκολίαν τῶν ἐντυγχανόντων τῇ βίβλῳ μᾶλλον ἀπιδοῦσι βέλτιον ἡμῖν ἐφάνη καταταμεῖν τὰ κεφάλαια καθ' ἣν τάξιν κοινῶς τὰ κεί-

---

» benus dictus est Euthymius. Plerisque, ut arbitror, ex his, quae diximus, » probabitur Zygadenus, quod mihi etiam interim, donec plures Codices « consulantur, placet ». Πρβλ. καὶ ἔκδ. Φαρμακ. Τόμ. Α', σελ. ιδ'.

μενα τῆς ἁγίας Γραφῆς ἔχουσιν. Ἀλλ' ἵνα μὴ πάλιν πολὺ ἀποστῶμεν τῆς πιστῆς τοῦ χειρογράφου ἀποτυπώσεως, ὑποδείκνυμεν καὶ τὴν κατὰ τὸ ἀρχαῖον σύστημα διαίρεσιν, καὶ τὰς ἐπιγραφὰς τῶν κεφαλαίων σημειούμεθα γράμμασι προςκλινέσι καὶ λεπτοτέροις. Ὅπου δὲ τοῦ κώδικος οὐχ ὑπάρχουσιν αὗται, ἐρανισάμενοι ἀπ' αὐτοῦ τοῦ Εὐθαλίου ἐπιγράφομεν (α).

Πρὸς τούτοις εἰρήσθω, ὅτι εἰς εὕρεσίν τε τῶν Συγγραφέων, οὓς συνήθως ὁ Εὐθύμιος παρειςάγει, τῷ ἀορίστῳ «τινὲς» ἢ «ἄλλως» χρώμενος, καὶ εἰς δεῖξιν τῶν συγγραμμάτων αὐτῶν, ἔνθα κεῖνται τὰ εἰς ἐξήγησιν τῶν κατὰ χώραν ἀποστολικῶν ῥητῶν σχετικὰ χωρία, οὐ μικρὰν κατεβάλομεν σπουδήν. Ἔτι δὲ καὶ ἐπεξηγηματικάς τινας ἐποιησάμεθα σημειώσεις, ὅπου, καθ' ἡμᾶς, τὸ τοῦ Συγγραφέως κείμενον εἴτε πλείονος ἐδεῖτο σαφηνείας, εἴτε καὶ ἄλλη τις χώραν εἶχεν ἐξήγησις.

Νῦν ὑπολείπεται βραχέα τινὰ εἰπεῖν καὶ περὶ τοῦ κατὰ τὸν κώδικα κειμένου τῆς θείας Γραφῆς· καὶ γὰρ καὶ κατὰ τοῦτο τὸ μέρος εὖ ἴσμεν ὅτι οὐ τὴν τυχοῦσαν ἀξίαν κέκτηται τὸ πόνημα.

Φριδερῖκος ὁ Ματθαίου, ἀνὴρ εἴπερ τις καὶ ἄλλος περὶ τὴν κριτικὴν τοῦ κειμένου τῆς καινῆς Διαθήκης πονήσας, τάδε λέγει ἐπὶ λέξει ἐν τοῖς Προλεγομένοις τῆς ἐκδόσεως τῶν ὑπομνημάτων τοῦ Ζιγαβηνοῦ εἰς τὰ τέσσαρα Εὐαγγέλια. «Εἰ καὶ εὖ οἶδα ὁπόσον ἐστὶν ἀκρι-
» βὴς καὶ πιστὸς ὁ Εὐθύμιος, ὅμως ἐνίοτε τὰ τοῦ ἱεροῦ κειμένου χω-
» ρία παραλαμβάνει οὐκ ἐξ ἱερῶν βιβλίων (ἐπισήμων δηλονότι τῆς
» καινῆς Διαθήκης κωδίκων), ἀλλ' ἐξ ὑπομνημάτων ἐξηγητῶν, περὶ
» οὐ μνείαν ἔστιν ὅτε ποιοῦμαι ἐν ταῖς παρατηρήσεσιν. Κατενόησα ἔτι
» τὸν Εὐθύμιον πρῶτον αὐτὸν λέξεις τινὰς εἰς τὸ Γραφικὸν κείμενον
» εἰςαγαγόντα, καὶ ἄλλας πάλιν, ἀλλ' ὀλιγωτέρας, παραλιπόντα.
» Κώδιξι δὲ τῶν Εὐαγγελίων μετὰ ὑπομνημάτων καὶ Σειρῶν ἐχρή-
» σατο καὶ οὗτος, ὡς ὁ Θεοφύλακτος, τοιούτοις, οἷοί εἰσιν οἱ παρ'
» ἐμοὶ ἐκ τῆς Βιβλιοθήκης τῆς Μόσχας a. d. e. g. 10, περὶ ὧν εἴ-

---

(α) Ἰστέον ὅτι κατὰ τὰς πιθανωτέρας γνώμας ὁ Εὐθάλιος οὗτος χρηματίσας μὲν πρότερον τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας διάκονος, προεχειρίσθη εἶτα Σούλκης ἐπίσκοπος. Ἤκμαζε δὲ περὶ μεσοῦσαν τὴν ε' ἑκατονταετηρίδα. Αὐτός ἐστιν ὁ καὶ πρῶτος διελὼν τῆς καινῆς Διαθήκης τὸ κείμενον εἰς στίχους καὶ κεφάλαια. Ὅρ. Πατρολ. ὑπὸ Migne. Τόμ. ΠΕ', σελ. 627.

» ρηται ἐν τοῖς τοῦ κατὰ Μάρκον Εὐαγγελίου Προλεγομένοις τῆς » ἐμῆς ἐκδόσεως τῆς καινῆς Διαθήκης. Ἐκ δὲ τοῦ Ῥιχάρδου Σί- » μωνος, τοῦ Λαμβεκίου, τοῦ Τρεσχοβίου καὶ νεωστὶ ἐκ τοῦ Ἀλτέ- » ρου κατενόησα ὅτι τοῖς ἀνωτέρω κώδιξιν ὅμοιοί εἰσιν οἱ ἐν τῇ Παρι- » σιανῇ καὶ Οὐινδοβονιανῇ (Vindobonensi) Βιβλιοθήκῃ διατηρού- » μενοι. Ὁμοίους ἔτι ἀναφέρει ὁ Βίρχιος ἐν τῇ Ἀουνίᾳ (Huniensi) » ἐκδόσει, ὡς συμπεραίνω ἔκ τινων παρ' αὐτοῦ ἐκδοθέντων σχολίων. » Ἐὰν οὖν ὁ Εὐθύμιος πρὸς τοὺς τοιούτους κώδικας ἢ πρὸς τὸν Χρυ- » σόστομον καὶ ἄλλους ὑπομνηματιστὰς συμφωνῇ, ἡ αὐθεντία αὐτοῦ » οὐδὲν ἰσχύει ἀπέναντι κωδίκων ἀκριβεστέρων » (α).

Καὶ ταῦτα μὲν περὶ τῆς σημασίας τοῦ κατὰ Ζιγαβηνὸν Γραφικοῦ κειμένου ὁ τῶν εὐαγγελικῶν αὐτοῦ ὑπομνημάτων σοφὸς ἐκδότης. Οἱ δὲ περὶ τὰς τοιαύτας μελέτας εἰδικώτερον καταγινόμενοι αὐτοὶ κρινάντων, εἰ ἡ γνώμη αὐτοῦ ὀρθῶς καὶ μετ' εὐστοχίας ἀπευθύνεται καὶ πρὸς τὸ νῦν παρ' ἡμῶν ἐκδιδόμενον κείμενον τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων. Ἡμεῖς, τὸ καθ' ἡμᾶς, ἓν μόνον τοῦτο (ἀλλὰ μετὰ σεβασμοῦ πρὸς τὴν μνήμην τοῦ ἀοιδίμου ἀνδρός) παρατηρήσεως ἄξιον κρίνομεν, ὅτι τὴν ἐξαίρετον αὐτοῦ ἔκδοσιν μεγάλως ἠδίκησεν, ἀφελὼν ἐξ αὐτῆς τὸ Γραφικὸν τοῦ Συγγραφέως κείμενον, ὃ προδήλως ἔδει ἀποτελεῖν ἀναπόσπαστον τῆς ἑρμηνείας μέρος. Καὶ τίς μὲν ἡ κινήσασα αὐτὸν εἰς τήν, οὕτως εἰπεῖν, ἀκρωτηρίασιν ταύτην τῆς βίβλου αἰτία ἐν τοῖς Προλεγομένοις ῥητῶς οὐκ ἀναφέρεται. Οὔπω δὲ ἀκριβῶς μαθεῖν ἔσχομεν καὶ εἰ τὸ κατὰ Ζιγαβηνὸν εὐαγγελικὸν κείμενον ἐν ἰδιαιτέρῳ ἐξεδόθη παρὰ τοῦ ἰδίου ἐκδότου τεύχει. Ἀλλ' ὃ ἐκ τῆς προφανοῦς ταύτης ἐλλείψεως ἐδιδάχθημεν, τόδ' ἐστίν, ὅτι ἐν τῇ ἀνὰ χεῖρας ἐκδόσει ἡ συνύπαρξις ἑρμηνείας τε καὶ κειμένου, καὶ τούτου γνησίου τε καὶ ἀπαραλλάκτου ὡς ἔχει ἐν τῷ χειρογράφῳ, τῶν ἀναγκαίων ἦν καὶ ἀπαραιτήτων. Ὃ δὴ καὶ γέγονεν. Λέξεις πρωθυστέρως (συγκριτικῶς πρὸς τὰ γνωστὰ ἡμῖν τῆς καινῆς Διαθήκης ἀντίγραφα) γεγραμμένας καὶ γραφὰς ὑπαρχούσας καὶ ἐν ἄλλοις τῶν ἀντιγράφων, εἴτε ἐκδεδομένων, εἴτε μή, διήλθομεν ἀπαρατηρήτους. Ἐκείνας δὲ μόνον, ὡς ἰδιαζούσας τῷ ἡμετέρῳ χειρογράφῳ, δι' ἀστερίσκων σημειώσασθαι ἔγνωμεν (καὶ τοῦτο κατὰ τὸ ἐνὸν τοῖς κριτικοῖς χαριζόμενοι), ὅσαι οὔτε παρὰ Χρυσοστόμῳ, Θεοδωρήτῳ, Οἰκουμενίῳ

(α) Comment. Zigab. ect. p. 3.

καὶ Θεοφυλάκτῳ εὕρηνται, οὔτε ἐν οἱῳδήτινι τῶν πολλῶν ἀνεκδότων κωδίκων, ὧν τὰς διαφόρους γραφὰς ὑποδείκνυσιν ὁ Φριδερῖκος Ματθαίου ἐν τῇ παρ' αὐτοῦ γενομένῃ κριτικῇ ἐκδόσει τοῦ κειμένου τῆς καινῆς Διαθήκης (α).

Ταῦτα τοίνυν ὅσον εἰς τὸ εἶδος ἀφορᾷ τοῦ ἤδη πρῶτον εἰς φῶς προκύπτοντος πονήματος. Εἰς δὲ χαρακτηρισμὸν τῆς ἐσωτερικῆς αὐτοῦ διαθέσεώς τε καὶ οἰκονομίας, ὡς καὶ τῆς καθόλου ἀξίας, ἰσχύουσι μὲν προφανῶς πάνθ' ὅσα τέως ἄνδρες ἐν τοῖς γράμμασι 'κράτιστοί τε καὶ διασημότατοι περὶ τοῦ προεκδεδομένου μέρους προειρήκασιν, οὐχ ὅλως δ' ἴσως καὶ τὰ ἑξῆς ἄκαιρά τε καὶ περιττά (β).

Ὁ Συγγραφεὺς ἐν τῷ μετὰ χεῖρας πονήματι δείκνυται ἰδιαζόντως φροντιστὴς τοῦ σαφοῦς, συμμετρίαν ἐν ταῖς περιόδοις φυλάττων καὶ

(α) « Novum Testamentum graece, ad codices utriusque Bibliothecae ss. » Synodi, Tabularii imperialis, atqe Universitatis, item Augustanos, Dres» denses, Goettingenses, Gothanos, Guelpherbytanos, Langeri, Monachien» ses, Lipsienses, Nicephori et Zittaviensem, adhibitis Patrum Graecorum » lectionibus, ect. Ronenburgi, 1807». Ἀφιέρωται δὲ τὸ ἔργον τῷ Αὐτοκράτορι τῆς Ῥωσσίας Ἀλεξάνδρῳ τῷ Α'. — (β) Οἱονεὶ προάγγελοι τῆς ἀρίστης ὑποδοχῆς, ἧς ἀξιωθήσεται καὶ τὸ ἤδη δημοσιευόμενον ἔργον, ἐγένοντο μέχρι τοῦδε ἄλλοι τε καὶ ὁ πεπαιδευμένος γερμανὸς Ἑρρῖκος Κοιλλίγγιος (Heinrich Koelling, Licentiat. der Theol. Superintend. ect.), ἀφορμὴν λαβὼν ἔκ τινος τοῦ παρόντος πονήματος ἐδαφίου, ὃ τῇ αἰτήσει αὐτοῦ ἀπεστείλαμεν. Ἔστι δὲ τοῦτο ἀπόσπασμα ἐκ τῆς ἐξηγήσεως τοῦ Ζιγαβηνοῦ εἰς τὴν Α' πρὸς Τιμόθεον (α', 3), ὃ ὁ ἐλλόγιμος ἀνὴρ καταχωρίσας ἐν τῇ ἐν ἔτει 1882 ἐκδοθείσῃ ἀξιολογωτάτῃ αὐτοῦ συγγραφῇ (Der erste Brief Pauli an Timotheus, auf's Neue untersucht und ausgelegt, S. 264), προτάσσει ἐξ ἑαυτοῦ τάδε· « Es liegt uns vor Allen an der Entscheidung eines griechischen Auslegers. » Auch hier sind wir in der Lage, uns auf eine Auctorität zu berufen, deren » durchlagende Bedeutung kein Kundiger verkennen darf. Es ist keine ge» ringere, als die des Euthymius Zigabenus. In dem gänzlich unbekannt ge» bliebenen Commentare des berühmten Byzantinischen Theologen zu den » neutestamentlichen Briefen, dessen Handschrift der Athenische Archiman» drit und Professor der Theologie Nicephoros Kalogeras jüngst entdeckt » hat, findet sich wörtlich folgende Bemerkung des Zigabenus ect.». Ἤτοι· « Ἀλλὰ πρὸ πάντων κείσθω εἰς μέσον ἡ γνώμη Ἕλληνός τινος ἑρμηνευτοῦ. Καὶ γὰρ » ἐνταῦθα εὖ ἔχειν δοκῶ ἐπὶ αὐθεντίας τινὸς στηριχθῆναι, ἧς τὸ κρατοῦν κῦρος οὐδενὶ » τῶν εἰδημόνων μὴ ἀναγνωρίζειν ἔξεστιν. Ἔστι δ' αὕτη οὐχ ὑποδεεστέρα τῆς τοῦ Εὐ» θυμίου Ζιγαβηνοῦ. Ἐν τοῖς μέχρι τοῦδε ὅλως ἀγνώστοις τοῦ περιωνύμου βυζαντίου » Θεολόγου ὑπομνήμασιν εἰς τὰς Ἐπιστολὰς τῆς καινῆς Διαθήκης, ἃ ἐν χειρογράφῳ πρὸ » μικροῦ ἀνεκάλυψεν ὁ ἐν Ἀθήναις Ἀρχιμανδρίτης καὶ Καθηγητὴς τῆς Θεολογίας Νι» κηφόρος Καλογερᾶς, ἀπαντᾷ κατὰ λέξιν ἡ ἑξῆς τοῦ Ζιγαβηνοῦ παρατήρησις»... Πρβλ. καὶ σελ. 11. 265.

φράσει χρώμενος ἑρμηνείᾳ τὰ μάλιστα πρεπούσῃ· πλουτεῖ ἄριστα ταῖς Γραφικαῖς μαρτυρίαις. Οἶδε τηρεῖν τοῦ ἀναγινώσκοντος τὴν διάνοιαν διεγηγερμένην διὰ τῶν συνεχῶς προβαλλομένων ἀπορημάτων, ἐφ' οἷς τὰ μάλιστα χαίρει· καὶ καθίστησιν αὐτῷ τὴν μὲν ἐκ τῆς μελέτης κόπωσιν ἀνεπαίσθητον, ἡδεῖαν δὲ τὴν ἀπόλαυσιν δι' ἣν ἐπιφέρει εὔστοχον τούτων λύσιν. Εἰς τὰ βάθη τῶν ἀποστολικῶν νοημάτων εἰςδύει οἱονεὶ ἀπόνως. Τοὺς γλωσσικοὺς αὐτῶν ἰδιωτισμοὺς ἐξηγεῖται ὀρθῶς, καὶ τὰ ὑποτεθειμένα, εἴτε εἰς τὸ δόγμα ἀνάγονται, εἴτε εἰς τὴν ἠθικὴν διδασκαλίαν, ἐκτίθησιν ἐπηκριβωμένως. Αἱ ἀσάφειαι, αἱ πολλαχοῦ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων ἀπαντῶσαι, καὶ αἱ φαινόμεναι ἐν αὐταῖς διαφωνίαι αἴρονται μετὰ πειθοῦς καὶ εὐχερείας· τοῦθ' ὅπερ οὐκ ἔχει τις εἰπεῖν, ὁπόσον καθηδύνει τὸν διεξιόντα καὶ οἵαν αὐτῷ προθυμίαν ἐμβάλλει εἰς περαιτέρω ἀνάγνωσιν. Τὰς δὲ ἐκδρομὰς καὶ παρεκβάσεις ἀποφεύγων ἐσπουδασμένως, κόρον ἀφαιρούμενος πάντα, παρέχει τῷ ἐντυγχάνοντι τὸ νόημα τοῦ κειμένου καθαρὸν καὶ ἀσύγχυτον. Τῶν δὲ ἀπομεμακρυσμένων ἤδη ἐννοιῶν τὸν εἱρμὸν συνεχίζων αὖθις ἄνευ ἐκτροπῆς καὶ ψυχρολογίας, χειραγωγεῖ ἀπλανῶς εἰς τὴν συνέχειαν τῆς ἀφηγήσεως. Κεφαλαιωδῶς δ' εἰπεῖν, ὁ Ζιγαβηνὸς ἐν τῇ ἑρμηνείᾳ τῶν τοῦ Παύλου ἰδίως Ἐπιστολῶν δείκνυται πολλῷ ἑαυτοῦ ὑπέρτερος ἢ ἐν τῇ τῶν Εὐαγγελίων.

Ἔτι δ' ἐν προοιμίοις καὶ τοῦτο σημειωτέον, ὅτι ἄλλῃ τινὶ χρῆται μεθόδῳ ἐν τῇ ἑρμηνείᾳ τῶν τοῦ Παύλου Ἐπιστολῶν, καὶ ἄλλῃ ἐν τῇ τῶν λοιπῶν Ἀποστόλων· διότι ἐν ἐκείναις μέν, ὡς ἐν ὅρῳ εἰπεῖν, διὰ τῆς ἰδίας ἀείποτε θεωρίας πρόεισι, καὶ πανταχοῦ ἰχνηλατῶν τυγχάνει τῆς λύσεως· εἰς ταύτας δὲ ἐξ ἑαυτοῦ μὲν εἰσάγει ὀλίγα, τὰ δὲ πλεῖστα ἀρύεται ἐξ ἄλλων ἑρμηνευτῶν, μηδὲν περαιτέρω αὐτὸς ἐμβαθύνων πρὸς τὴν τῆς τοῦ κειμένου ἐννοίας ἀκρίβειαν. Καὶ εἶχεν ἄν τις ἄρα τὸ μετὰ πόθου προσδοκώμενον ὑπόμνημα τοῦ Εὐθυμίου εἰς τὰς Καθολικὰς Ἐπιστολὰς κατατάξαι κατά τινα τρόπον καὶ οὐκ ἀτόπως ἐν ταῖς οὕτω δὴ καλουμέναις *Σειραῖς*. Πλὴν παρατηρητέον ὅτι, εἰ καὶ ἐν τούτῳ φαίνεται μειονεκτοῦν τὸ τοῦ Εὐθυμίου εἰς τὰς Καθολικὰς Ἐπιστολὰς ὑπόμνημα τοῦ εἰς τὰς τοῦ Ἀποστόλου Παύλου, πλεονεκτεῖ ὅμως κατά τι ἄλλο, οὐχ ἧττον σπουδαῖον, ἐφ' ᾧ ὁ Συγγραφεὺς ἀοιδίμου εὐγνωμοσύνης καθίσταται ἄξιος. Τοῦτο δ' ἐστὶν ὅτι περισώζει ἡμῖν ἐν αὐτῷ περικοπὰς ὅλας τῶν εἰς τὰς Ἐπιστολὰς ταύτας ὑπομνημάτων τῶν κρατίστων ἑρμηνευτῶν, οἷον τοῦ Χρυσοστό-

μου, τοῦ Σεβήρου, τοῦ Θεοδωρήτου, τοῦ Κυρίλλου Ἀλεξανδρείας, τοῦ Διδύμου καὶ ἄλλων οὐκ ὀλίγων, ἃ ὁ δυςμενὴς χρόνος βασκήνας ἐξηφάνισεν. Ὥςτε τοῖς τῇδε κἀκεῖσε διεσπαρμένοις, καὶ δίκην μαργαριτῶν μετὰ πλείστης ὅσης τῆς φροντίδος παρὰ πολλῶν νεωτέρων πεπαιδευμένων ἀνδρῶν περισυλλεγεῖσιν ἀποσπάσμασι τῶν ὑπομνημάτων τούτων τῶν μεγάλων τῆς ἀρχαιότητος ἑρμηνευτῶν οὐκ ὀλίγα, ἄγνωστα τέως, προςτίθενται διὰ τῆς ἐκδόσεως ταύτης καὶ πολλά, ἡμαρτημένως ἤδη ἔχοντα, διορθοῦνται.

Τέλος· ἡμεῖς, τό γ' ἐφ' ἡμῖν, καὶ πόνους κατεβάλομεν πολλούς, καὶ δαπάνας πολλῷ τῷ μέτρῳ ὑπὲρ τὰς ἡμετέρας δυνάμεις, ὅπως δῶμεν τοῖς Ἕλλησιν ὡς οἷόν τε ἀνελλιπὲς τὸ μέγα καὶ πολύκροτον τοῦτο εἰς τὴν καινὴν Διαθήκην ὑπόμνημα. Οὕτω δὲ τοῖς ὑπὸ τοῦ ἀοιδίμου Θ. Φαρμακίδου, εἰς δύο ἱκανῶς ὀγκώδεις τόμους ἀνατυπωθεῖσιν ὑπομνήμασιν Εὐθυμίου τοῦ Ζιγαβηνοῦ εἰς τὰ τέσσαρα Εὐαγγέλια, προςτίθενται τὰ παρ' ἡμῶν ἀνακαλυφθέντα εἰς τὰς Ἐπιστολὰς τῶν Ἀποστόλων, δύο ἄλλους ὀγκωδεστέρους Τόμους ἀπαρτίζοντα. Ὥςτε τὸ τετράτομον τοῦτο σύγγραμμα, παρ' οὕτω λαμπροῦ Συγγραφέως διὰ πόνου μακροῦ, μελέτης τε συντόνου καὶ φιλοτιμίας βασιλικῆς ἠσκημένον, ἔσεται τῇ μὲν ἐκκλησιαστικῇ ἡμῶν φιλολογίᾳ ἀρίζηλον περικόσμημα ἐςαεί, κλῆρος δὲ πολύτιμος καὶ θησαυρὸς ἀδαπάνητος τῇ καθ' ἡμᾶς καὶ ταῖς μεθ' ἡμᾶς γενεαῖς, ἐκ σοφῶν καὶ εὐκλεῶν προελθὸν προγόνων. Ἡμῶν δ' ἐστὶ νῦν τὸ μὴ κατολιγωρεῖν, ἀλλὰ πρόςκεισθαι ταῖς θείαις Γραφαῖς, γλαφυρωτάτην ἤδη καὶ σαφεστάτην ἐχόντων τῶν νοημάτων αὐτῶν τὴν ἀνάπτυξιν. Καὶ γάρ, κατὰ τὸν κριτικώτατον καὶ σοφώτατον Φώτιον, «τὰ ἱερὰ γράμματα ἔοικε χρυ» σίτιδι γῇ, ἥτις οὐ πᾶσιν, οὐδὲ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς φιλοπό» νως καὶ ἐπιστημόνως μεταλλεύουσι τό τε χρυσίον δόκιμον καὶ τὸ » κέρδος τῶν πόνων μεῖζον παρέχεται. Ὥςπερ οὖν πενίας οὐκ ἀπαλ» λάττεται ὁ τὴν μεταλλικὴν ψάμμον ἐν ὡραϊσμῷ ἢ παιδιᾷ ἢ κατὰ » μυκτηρισμὸν ἐπαφώμενος, οὐδὲν δὲ φιλοπονῶν οὐδ' ἀνιχνεύων τὸ » ὑπὸ ταύτης κρυπτόμενον· οὕτως οὐκ ἂν ἀγνοίας ἀπαλλαγείη, οὐδὲ » τῆς ἐχούσης τοὺς ῥαθύμους αἰτιάσεως ὁ τῷ γράμματι μόνῳ περι» φυόμενος, τὸν δὲ ἐν αὐτῷ θησαυρὸν οὐκ ἀνερευνῶν, οὐδὲ τὸ ἐν βάθει » κέρδος τῶν νοημάτων ἀναλεγόμενος· καίτοι καὶ αὐτὸ τὸ κεκρύφθαι

» τὰ θεῖα νοήματα τὸ τιμιώτατον αὐτοῖς καὶ ὑψηλὸν ἐπιμαρτύρεται, » καὶ πόθον ἐγκεντρίζει μᾶλλον ζητήσεως ταῖς ψυχαῖς, ὅσαι πρὸ τῆς » ῥᾳστώνης τὸ θεοφιλές τε καὶ φιλόπονον ἔμπροσθεν ἄγουσιν » (α).

Περὶ δὲ τῶν ἔτι ὑπολειπομένων εἰς ἐντελῆ τῆς βίϐλου συμπλήρωσιν (λείπουσι γὰρ τὸ εἰς τὰς Πράξεις ὑπόμνημα καὶ τὸ εἰς τὴν Ἀποκάλυψιν) τί καὶ εἴπωμεν; Ἔστι τις ἆρα τῆς ἀνευρέσεως αὐτῶν προςδοκία, καὶ ὑποσαίνει ἐλπίς τις ὅτι ἀρτιμελές ποτε καὶ κατὰ πάντα σῶον τὸ σῶμα τοῦ σπουδαιοτάτου τούτου πονήματος φανήσεται; Ἡμεῖς ἐπὶ τοῦ παρόντος τάδε περὶ τούτου τοῖς φιλομαθέσιν εἰπεῖν ἔχομεν. Ὁ Συγγραφεὺς ἀπροκαλύπτως συντάσσει ἑαυτὸν τοῖς μὴ δεχομένοις ὡς γνήσιον τοῦ Εὐαγγελιστοῦ Ἰωάννου ἔργον τὴν Ἀποκάλυψιν (ϐ), ἐξ οὗ εἰκάσειεν ἄν τις οὐκ ἄνευ λόγου ἀποχρῶντος, ὅτι οὐδ' ὑπεμνημάτισεν αὐτήν. Ἐὰν τοῦτο ἀληθεύῃ, ὡς δὴ καὶ φαίνεται, ὑπολείπονται μόναι αἱ Πράξεις. Ἃς ὅτι ἀφῆκεν ἀσχολιάστους ὁ πᾶσαν τὴν ἄλλην καινὴν Διαθήκην ὑπομνηματίσας Ζιγαϐηνὸς οὐδεμία, καθ' ἡμᾶς, ὑπάρχει πιθανότητος ἔνδειξις. Τὸ γὰρ ὅτι οὐδαμοῦ τοῦ πολυτόμου τούτου πονήματος δίδωσι νύξιν τινὰ περὶ τούτου οὐκ ἄγει, νομίζομεν, ἀσφαλῶς εἰς τὴν περὶ τοῦ ἐναντίου ὑπόθεσιν. Καὶ γὰρ ἐν τοῖς παροῦσι δυσὶ Τόμοις ἅπαξ μόνον (Ἑϐρ. ϐ', 8) ἀναφέρει τὸ παρ' αὐτοῦ συντεταγμένον εἰς τοὺς Ψαλμοὺς ὑπόμνημα, καίπερ πλειστάκις λαμϐάνων ἀφορμήν. Ὁμοίως δὲ καὶ ἐν τοῖς ὑπομνήμασι τῶν Εὐαγγελίων σπανιώτατα μνημονεύει τῶν τῶν Ἐπιστολῶν, ὡς καὶ τἀνάπαλιν. Πεπεισμένοι τοίνυν ὅτι καὶ ταῦτα ἐπηλυγάζονταί που τῶν Βιϐλιοθηκῶν, καὶ συντονωτέρα τις ἔρευνα δύναται ἐκ τοῦ βυθοῦ τῆς λήθης ἀνελκῦσαι, οὐ μετρίαν τέως σπουδὴν εἰς ἀναζήτησιν κατεϐάλομεν. Ἀλλὰ κατ' ἀτυχίαν καὶ ἡμῶν αἱ ἔρευναι, ὡς καὶ τῶν πρὸ ἡμῶν, ἀπέϐησαν μάταιαι. Καὶ γὰρ οὔτε ἐν τῇ τοῦ Οὐατικανοῦ Βιϐλιοθήκῃ, ἣν κατὰ τὴν δευτέραν ἡμῶν εἰς Ῥώμην ἄφιξιν ὁ Ἔφορος αὐτῆς ἐλλόγιμος καὶ πεπαιδευμένος Καρδινάλις Πίτρας μετὰ καλοκαγαθίας, οὐκ ἔχομεν εἰπεῖν ὅσης, προςιτὴν καὶ εὔχρηστον

(α) Βιϐλιοθ. ΣΚΒ', Τόμ. Γ', σελ. 792. — (ϐ) Ὅρ. Α' Κορινθ. ιε', 52. «Ἐ» σχάτην δὲ εἶπεν, ἢ ὡς μηκέτι σάλπιγγος ἠχούσης, ἢ ὡς ἑπτὰ μὲν τότε σαλπίγγων » ἠχεῖν μελλουσῶν, ὡς ἡ *λεγομένη Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου* διδάσκει».

ἡμῖν κατέστησεν (α), εὕρομέν τι τούτων, οὔτε ἐν ταῖς Βιβλιοθήκαις τῶν εὐαγῶν τοῦ Ἄθω Μοναστηρίων, ἃς πάσας σχεδὸν ἀνηρευνήσαμεν. Εἴθε τοίνυν ἄλλῳ, ἡμῶν ἢ ἐπιτυχεστέρῳ ἢ εὐτυχεστέρῳ ἰχνευτῇ, κατορθωθείη, ὃ ἡμῖν τέως ὑπῆρξεν ἀκατόρθωτον.

Ἐγράφομεν ἐν Ἀθήναις κατὰ μῆνα Ὀκτώβριον τοῦ ͵αωπϛ' Σωτηρίου ἔτους.

† *Ὁ Ἀρχιεπίσκοπος πρῴην Πατρῶν καὶ Ἠλείας*
ΝΙΚΗΦΟΡΟΣ Ο ΚΑΛΟΓΕΡΑΣ.

(α) Monsieur le Ministre,

Conformément à l'assurance que j'ai en l'honneur de donner à Votre Excellence, Mr le professeur Calogeras peut se présenter demain lundi à la bibliothèque Vaticane, et trouvera deux msts., qui répondent au but de son voyage.

Je m'estime heureux de répondre à vos désirs, et n'omettrai aucune occasion de pouvoir faciliter les études des Doctes Hellènes.

Veuillez agréer, Monsieur, l'assurance de mes respectueux dévouements.

16 Novembre 1879.

A son Excellence
M. Paparrigopoulo
Ministre de Grèce.

J. B. Card. Pitras
Bibl. de la S. E. A.

ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΥΠΟΘΕΣΙΣ ΔΙ' ΙΑΜΒΩΝ (α).

Ὁ Παῦλος ὡς αὖλος ἐκ τῶν πραγμάτων,
Ἢ γραμμάτων πέφηνε τῇ διαστάσει.
Τὸ Π γὰρ αἴρων τοῦτο γνώσῃ ῥᾳδίως,
Μάλιστα προςσχὼν οἷς βιοὺς ἦν καὶ γράφων.
Ἢ Παῦλον αὐλὸν τοῦ Παρακλήτου λέγε.
Ἆρον τὸ πρῶτον γράμμα καὶ τόνον τέλει (β)
Ἐνθείς, διαγνῷς Πνεύματος τοῦτον λύραν,
Ὡς ὄργανόν τε τῆς θείας μουσουργίας·
Ὡς δάκτυλον γὰρ τοῦτον ἡ θεία χάρις
Περικροτοῦσα καὶ δονοῦσα τὴν κτίσιν,
Εἵλκυσεν, ἐξήγειρε πρὸς εὐπιστίαν,
Δι' ἧς τὸ σωσίκοσμον ἤχησε μέλος.
Ἄπολλον, ἔρρε καὶ συνερρέτω τρίπους.
Ζήτω δὲ Παῦλος ἐκ πόλου ἄλλου (γ) τρίτου,
Θέλγων, συνέλκων πάντας εἰς τριττὸν σέβας·
Ἐπιστολῶν τούτου γὰρ ἂν δὶς ἑπτάδα
Πιστῶς διέλθοις, ζῶντα καρδίᾳ μέσῃ
Τούτου διαγνῷς καὶ λαλοῦντα τὸν λόγον,
Ὃς Χριστὸς ὁ ζῶν ἐστι τοῦ Πατρὸς Λόγος.
Ἄκουε τοίνυν τῶν Ἐπιστολῶν βάθη,
Ὕψη δὲ μᾶλλον συντομωτάτῳ λόγῳ.
Ἐπιστολὴν πρώτην δὲ πρὸς Ῥώμην γράφει,
Ὡς οἷα πρώτην Χριστὸν εἰςδεδεγμένην.
Ἡ δευτέρα πλήττει δὲ τοὺς Κορινθίους,
Ὡς πίστιν οὐ τηροῦντας ἠκριβωμένως.
Πάλιν δὲ τούτοις τοὺς ὀνειδισμοὺς γράφει,
Καὶ τὴν ἑαυτοῦ προςτιθεὶς παρουσίαν.

(α) Οἱ ἰαμβικοὶ οὗτοι στίχοι ἐν τῷ χειρογράφῳ προτάσσονται τῆς Ὑποθέσεως τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς. Τούτους εὑρίσκομεν δεδημοσιευμένους ἤδη ἐν τῇ πρώτῃ ἐκδόσει τῶν εἰς τὰς Ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου ὑπομνημάτων τοῦ Οἰκουμενίου (Verona, 1532) καὶ ἐπαναλαμβανομένους ἐν πάσαις ταῖς κατόπιν τοῦ αὐτοῦ συγγράμματος ἐκδόσεσιν. Τίς δ' ὁ τούτους ποιήσας ἄδηλον. — (β) Τὸ χειρόγρ. ἀντὶ «τέλει» φέρει «λέγε». — (γ) Ἡ ἔκδ. ἀντὶ «ἄλλου» ἔχει «λαλῶν».

Τὴν δ' αὖ τετάρτην πρὸς Γαλάτας, μὴ κόπους
Αὐτῷ παρασχεῖν ἐγχαράττει, πρὸς πλάνην (α)
Ἰουδαϊστῶν ἐκκυλισθέντας πάλιν.
Πρὸς τοὺς Ἐφεσίους δὲ καὶ Ῥώμης ἕνα
Σκοπὸν τέθεικεν, οἷα πιστοῖς ἐκ λόγων·
Τοῦτον γὰρ ἦσαν οὐδαμῶς δεδορκότες.
Ἕκτην Φιλίππων τοῖς κατοίκοις ἐγγράφει,
Πλείους ἐπαίνους τῶν Κορινθίων πλέκων,
Καύχημα τούτου καὶ στέφανον δεικνύων.
Εἰς ἑβδόμην δὲ ταῖς Κολασσαῖς μηνύει,
Ὡς εὐσεβοῦσι, πᾶσαν ἐκφεύγειν πλάνην.
Καὶ νουθετεῖν ἔγραψεν Ἀρχίππῳ πλέον.
Πρὸς Θετταλοὺς δὲ δὶς γράφων εὐφημίας,
Λόγους ἔγραψεν, ὥς τι καὶ πεπονθότας
Ἐκ συγγενῶν, καθώς περ ἐν Σιών τινες.
Πάλιν δὲ τούτοις ἣν γράφων εὐθυμίας,
Καὶ καρτερεῖν τε συμφορῶν ἀθυμίαις·
Οἷς καὶ σοφῶς ἔλεξεν αἰῶνος τέλος.
Ἑξῆς ἔγραψε τὴν πρὸς Ἑβραίους μίαν,
Φαίνων ἄμειψιν πίστεως ἐκ τῶν λόγων,
Φωνὰς Προφητῶν, πρόςθεσίν τε τῶν ὄχλων.
Ἡ πρὸς Τιμόθεον δὲ πρώτη, τὸν τρόπον
Ἀρχῆς διδάσκει καὶ τύπους Ἐκκλησίας,
Τὴν τάξιν αὐτὴν καὶ διδάσκεσθαι πόθῳ.
Αἰνεῖ δὲ τοῦτον ἡ δισσὴ (β) καὶ δεικνύει
Τὴν πίστιν ἐκ μάμμης τε καὶ μητρὸς φέρειν.
Ψέγει δὲ λοιπούς, οὐ τὸν Ὀνησιφόρον.
Τιμοθέῳ δηλοῖ δὲ φεύγειν πᾶν ῥέον,
Καὶ τὴν ἑαυτοῦ νῦν τελευτὴν μηνύει.
Τὰς αἱρέσεις φῦναι δὲ καὶ μὴ θαυμάσειν
Γράψας πρὸς αὐτὸν τοῦ πορευθῆναι τάχος·
Τὸ σπένδομαι γὰρ δεῖγμα τρανὸν τοῦ τέλους.

(α) Ἐν τῇ ἐκδόσει ἀντὶ «πρὸς πλάνην» φέρεται «πρὸς πλάτος». — (β) Ἡ ἔκδοσις ἀντὶ «δισσὴ» ἔχει «δὶς ἕξ» ὀρθότερον ἴσως· ὑπονοεῖ γὰρ τὴν Β' πρὸς Τιμόθεον, ᾗ ἕπονται ἡ πρὸς Τῖτον καὶ ἡ πρὸς Φιλήμονα.

Ἑξῆς δὲ Τίτῳ Κληρικῶν καταστάσεις
Καὶ θεσμὸν ἐκτίθησι τῆς Ἐκκλησίας.
Δέδοκτο (α) καὶ Φιλήμων τὴν δὶς ἑπτάδα,
Τὸν δοῦλον Ὀνήσιμον εἰς ἐλευθέρου
Ἐλθόντα τάξιν, καὶ μεμαρτυρηκότα,
Σκελῶν τε θλάσιν ὡς κεκαρτερηκότα
Ῥώμης ἐπ' αὐτῆς ἐν χρόνοις τοῦ Τερτύλου.
Ἐν τοῖς χρόνοις δὲ Καίσαρος Τιβερίου,
Ὧν ἦν ἀριθμὸς ἑπτὰ σὺν δὶς ἑξάδι
Παῦλος διδάσκειν ἦρκτο τοῦ κηρύγματος,
Ἕως Κλαυδίου τῶν χρόνων τρεῖς καὶ δέκα,
Ὅθ' ἡγεμὼν ἦν τῆς Ἰουδαίας Φῆλιξ,
Ὑφ' οὗ καθείρχθη Παῦλος ἐν δυσὶ χρόνοις
Ἐν Καισαρείᾳ. Καὶ πάλιν τῷ Πορκίῳ
Φήστῳ παραστὰς τοὺς ἐτασμοὺς ἦν φέρων,
Καὶ μηχανᾶται τοῦτον ἐκπεφευγέναι,
Ζητῶν ἀπελθεῖν ἔνθα Καῖσαρ τυγχάνει.
Καὶ στέλλεται τάχιστα πρὸς Ῥώμην πάλιν,
Ἣν ὁ βδελυρὸς Καῖσαρ ἐστρόβει Νέρων.
Συνῆν δὲ Παύλῳ συγγραφεὺς τῶν Πράξεων
Λουκᾶς, Ἀρίσταρχός τε σὺν προθυμίᾳ.
Τούτου μέχρι γράφει δέ. Παῦλος γὰρ δύο
Χρόνους καθεῖρκτο, καὶ πέπαυτο τοῦ γράφειν.
Καὶ Λουκᾶς αὐτὸν ἐκλέλοιπεν αὐτίκα
Σὺν Ἀριστάρχῳ, καὶ διῆγε, φεῦ! μόνος.
Ἑξῆς γράφει Παύλου δὲ πᾶν ἀθλημάτων
Εὐσέβιος κάλλιστα καὶ δρόμου χρόνον,
Καὶ πῶς ἄδειαν ἐκ Νέρωνος ἦν ἔχων,
Καὶ πῶς διδάσκων ἦν χρόνοις μέτρῳ δέκα.
Ἔκστηθι τὴν Νέρωνος ὠμὴν καρδίαν·
Ὃς οὐ μόνον δέδεικτο, φεῦ! μητροκτόνος,
Ἀλλ' οὖν μανεὶς ἀνεῖλεν Οὐκταουΐαν
Τούτου βοηθόν, συγγενεῖς τε μυρίους.
Ἔπειτα κ' αὐτοὺς μαθητὰς τοῦ Κυρίου

(α) Ἡ ἔκδ. «δέδεκτο».

Ὠμῶς ἀνελεῖν ἦρκτο θηριωδίᾳ.
Ὧ καὶ προςήχθη Παῦλος, ἦν δ' ἔχων πάλιν
Λουκᾶν σὺν αὐτῷ, καὶ νενέκρωται ξίφει,
Ὁ ζῶν ἀεί τε καὶ λαλῶν καθημέραν.
Νέρωνος ἦν δὲ τρεῖς τε καὶ δέκα χρόνος·
Ἐκ τοῦ πάθους δὲ Κυρίου χρόνοι δέκα,
Τρισσουμένων ἦν ὁ δρόμος σὺν ἑξάδι·
Ὁ μητρορραίστης καὶ γένους ἀναιρέτης (α),
Ὁ τοῦ Διός, φεῦ! τὸν τρόπον ὑπηρέτης,
Νέρων ὁ δεινὸς καὶ κατεβδελυγμένος,
Ὠμῆς λεαίνης σκύμνος ἠγριωμένος.
Κτείνας σύνευνον, εἶτα Χριστοῦ Ποιμένος
Τὸν ἄρνα, Παῦλον, γῆς ὅλης τὸν Ποιμένα
Νῦν ἐστι βρῶμα τοῦ κυνὸς τοῦ Κερβέρου.
Παῦλος τρυφᾷ, τρυφῇ δὲ ζωηφόρῳ,
Φῶς τριττὸν ἁπλοῦν ὡς ὁρῶν θεαρχίας,
Ἔπαθλον εὑρὼν τὴν ἄνω σκηπτουχίαν.
Ψυχὴ Νέρωνος ἡ τυραννικωτάτη
Κεῖται νεκρά, δύςφημος, ἠτιμωμένη,
Δεσμοῖς ἀφύκτοις εἰς ἀεὶ πεδουμένη.
Παῦλος δὲ ζῇ καὶ λαλεῖ καθημέραν,
Τὸ τοῦ Θεοῦ δὲ πρόςωπον ἐμφανῶς βλέπει.

(α) Οἱ ἐφεξῆς στίχοι, ἐν ὁμοιοκαταληξίᾳ συντεταγμένοι, ἄλλῳ τινὶ πάντως ἀνήκουσι, καὶ οὐ τῷ τοὺς ἀνωτέρω ποιήσαντος. Ἐν τῇ ἐκδόσει μεταξὺ τούτων κἀκείνων παρενείρεται τόδε τὸ δίστιχον·

« Τὴν Ἐκκάλυψιν τὴν Ἰωάννου δέχου,
« Τοῦ φῶς ἀπαστράψαντος ὡς βροντῆς γόνου ».

Ἐν τοῖς ἔτι ἀνεκδότοις τοῦ Εὐθυμίου πονήμασι καταλέγεται καὶ εἷς αὐτοῦ Λόγος ἐγκωμιαστικὸς εἰς τὸν πρῶτον τῶν Ἀθηνῶν ἐπίσκοπον ἅγιον Ἱερόθεον (α). Τὸν Λόγον τοῦτον εἴδομεν καὶ ἡμεῖς ἔν τινι τῶν χειρογράφων τῆς Βιβλιοθήκης τοῦ κατὰ τὸν Ἄθων μοναστηρίου, ὃ κέκληται τοῦ Ζωγράφου. Ἀναλογισάμενοι δὲ ἔνθεν μὲν ὅτι οὐδεμία αἰτία ἀποχρῶσα διηγόρευε τὸ διαμένειν τοῦτον ἐπὶ πλέον ἐν πυκνῷ τῷ φορυτῷ κατακείμενον, ἔνθεν δὲ ὅτι τοῦ παρὰ τῶν αὐτῷ συγχρόνων ὡς ῥητορικωτάτου ἐπαινουμένου Ζιγαβηνοῦ οὐδεὶς Λόγος ἐξῆλθε μέχρι τοῦδε διὰ τῆς τυπογραφίας εἰς φῶς, τότε μὲν ἀντεγράψαμεν, νῦν δὲ συνεκδίδομεν ἐνταῦθα. Εἰ δέ τι καὶ περὶ τοῦ χαρακτῆρος αὐτοῦ καθόλου ἐχρῆν εἰπεῖν, ὡς ἐν παρέργου μέρει εἰρήσθω ὅτι καὶ ῥητορικοῖς καλλωπίσμασι κοσμίως ἐπισεμνύνεται ὁ Λόγος, καὶ λέξεσιν ἀνθηραῖς καὶ νοήμασιν οὐ ταπεινοῖς διαπρέπει, καὶ ὅλως τὸ πανηγυρικὸν σχῆμα εὔσημον ὑπενδύεται, εἰ καὶ τὸ εὔτονον καὶ συνεσφιγμένον ἐνιαχοῦ ὑποχαλᾶται τῇ παρεισαγωγῇ περικοπῶν, παρ' ἄλλων εἰλημμένων συγγραφέων. Ἀλλ' ὁπωσδήποτε περὶ τῆς ἀξίας αὐτοῦ μηδεὶς ἡμᾶς ἀπαιτείτω γνώμην ἀποφήνασθαι, μηδὲ κριτὰς ἐπικαθεσθῆναι καὶ ἐπιγνώμονας. Διότι οἱ μή, ὡς αἱ μυῖαι, τοῖς ἕλκεσιν ἐφιζάνοντες, ἀλλ', ὡς αἱ μέλισσαι, τοῦ τῶν Μουσῶν λειμῶνος τὸ κάλλιστον ἀπανθίζοντες εὑρήσουσι καὶ ἐν τῷ Λόγῳ τούτῳ οὐκ ὀλίγα τὰ ἀνύσιμα.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΝΔΡΟΣ

ΕΥΘΥΜΙΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΖΙΓΑΔΗΝΟΥ

ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΙΣΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΙΕΡΑΡΧΗΝ ΑΘΗΝΩΝ

ΜΕΓΑΝ ΙΕΡΟΘΕΟΝ (β)

Ἱερόθεον ἐπαινέσομαι τὸν ἱερὸν τοῦ Θεοῦ ἄνθρωπον· δίκαιον γάρ. Οὐ μόνον δι' ἀξιοθέων ἔργων καθιερώθη Θεῷ, ὡς συνδραμεῖν ἀῤῥήτως τῇ κλήσει τὴν πρᾶξιν, ἀλλ' ὅτι καὶ τοῖς Θεῷ καθιερωθεῖσιν

(α) Ὁρ. Πατρολ. ἐκδ. Migne, Τόμ. ΡΚΗ', σελ. 1. «Ei (Euthymio) ascribitur »*Encomion* in S. Apostolum Hierotheum, quod nondum typis impressum »est, sed ms. servatur in Russia, ut testatur Matthaei in Notitia codd. Mo»squens. p. 114, n. 31».— (β) Ἐν ὑποσημειώσει τοῦ χειρογράφου γέγραπται τάδε· «Εὐθύμιος ὁ Ζιγαδηνὸς ἤκμαζεν ἐπὶ τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ ἐν ἔτει »1120, γνωριζόμενος ἐν τοῖς καιροῖς ἐκείνοις ὁ [ὡς] τῶν ἄλλων σοφώτερος. Αὐτὸς »γὰρ καὶ εἰς ὅλον τὸν Ψαλτῆρα θαυμαστὴν ἑρμηνείαν ἔγραψε, τὰ πλεῖστα ἐκ τῶν ἁγίων »συνερανισάμενος, καὶ τὴν Δογματικὴν Πανοπλίαν προ[σταγῇ] τοῦ αὐτοῦ βασιλέως».

ἄνωθεν αὐτόπταις καὶ ὑπηρέταις τοῦ Λόγου συνακμάσας καὶ συναναστραφείς, τῆς ἐκείνων καὶ χάριτος καὶ προεδρείας ἀπώνατο, ἴσην αὐτοῖς, ὡς διακονίαν ἐγχειρισθεὶς καὶ δόξαν ἀπενεγκάμενος. Διὰ ταῦτα δίκαιον σὺν αὐτοῖς ἀνακηρύττειν τε καὶ τιμᾶν. Ἐπεὶ γὰρ ὁμολογουμένως ἀποστολικῶς βιοὺς ἀπεβίω, εἰκότως, καὶ εἴ τις ἔπαινος ἀποστολικὸς αὐτῷ καὶ σέβας ὀφείλεται· ἴσων γὰρ πόνων ἴσα τὰ γέρα τὸ εἰκὸς ἀπαιτεῖ. Τῆς δὲ τοιαύτης ὀφειλῆς ὡς μέγα τὸ ἀνταπόδομα. Τί τοῦτο; Τῆς αὐτῆς μισθαποδοσίας ἡ ἀμοιβή. Διὸ δεῖ συνδραμεῖν προθύμως τοὺς φιλοθέους καὶ φιλεόρτους τῷ ἐκείνου τε τῆς ἀρετῆς ἀνυμνῆσαι κλέος καὶ τῶν ἐν αὐτῷ κατατρυφῆσαι καλῶν· ἐφ' ᾧ πάντοτε μέν, μάλιστα δὲ ἐπὶ τῇ σφετέρᾳ τῆς πανηγύρεως ἡμέρᾳ μεθ' ὑψηλοῦ πάντας κηρύγματος συγκαλεῖ.

Ὅθεν μὲν οὖν, κἀκ τίνων ἔφυ τοῦ ἀπ' ἀρχῆς, καὶ ὅπως καθαρῶς τραφείς τε καὶ παιδευθεὶς καὶ εἰς μέτρον τελείας ἐφθακὼς ἡλικίας εἰς τοσοῦτον ἐληλάκει περιφανείας, ὡς παρευδοκιμεῖσθαι τούτῳ δοκεῖν καὶ τοὺς ἐπὶ μέγα δόξης διενεγκόντας, ἱστορεῖ μὲν οὐδείς· ὁ δὲ λόγος ἐναργὲς ὢν ἐκμαγεῖον τῶν ἔργων, μᾶλλον δὲ τὸ βραχὺ τοῦ λόγου τμῆμα τῆς ἄκρως ἐπαινετῆς ἀποφαίνει ταῦτα μερίδος· πρὸς γὰρ τὸν τρόπον ὁ λόγος ὁρᾷ, τοῦ τρόπου δ' ἔμπαλιν ὁ λόγος εἰκών, ὡς τὸ ἐν ἑκατέροις εὐδόκιμον χαρακτηρίζειν ἑκάτερον.

Ὅτι δὲ ἐκ νηπίου κομιδῇ καλῶν ἐραστὴς ἔργων καὶ λόγων ἦν, αὐτὰ σαφηνίζει τὰ πράγματα. Ὃς ἐκ πρώτης εὐθὺς τοῦ βίου αἱρέσεως τῇ τῆς φύσεως εὐκληρίᾳ τὸ εὐγενὲς ἐπισυνάψας τοῦ τρόπου, παιδείας μὲν πάσης ἐν ἐπιστήμῃ γέγονεν, ἧς καὶ χρόνος καὶ πόνος μακρὸς συναγείρειν οἶδε τὴν γνῶσιν. Πρὸς δὲ πᾶν καλοκαγαθίας εἶδος ἐπιτηδείως ἔχων, ἐπὶ τὸ μᾶλλον προαγαγεῖν ἃ προελόμενος προσφυῶς μετῄει, πᾶσαν ὅ τι μάλιστα σπουδὴν ἔθετο, μακρὰν χαίρειν εἰπὼν ῥᾳστώνῃ καὶ ἡδονῇ, καὶ τοῖς ὅσα τὸ εὔτονον τῆς περὶ τὰ κρείττω σπουδῆς καὶ φιλοπονίας ἐκλύειν πέφυκεν. Πλείονος μὲν γὰρ οὐκ ἠνέσχετο κτήσεως τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Πᾶν δὲ περιττὸν ἀπολέσαι καλῶς ᾑρετίσατο μᾶλλον, ἢ συναπολέσθαι τούτῳ κακῶς· παρὰ γὰρ τοῖς εὖ φρονοῦσι βέλτιον ἀπολέσαι ἢ ἀπολέσθαι. Ἀπολέσαι δέ φημι τὸ εὑρεῖν· τὸ γὰρ ἀπολέσαι διὰ Θεὸν εὑρεῖν ἐστιν εἰς Θεόν, ὅ τι περ ἐν οὐρανοῖς τετίμηται μετὰ πλεονασμοῦ τεθησαυρισμένον. Τὸ δὲ μή, καθ' ὃν εἴρηται τρόπον, οἰκονομούμενον, αὐτόσε διαρρυέν, ἀπόλλυται μάτην. Καὶ ὁ μὴ οὕτως ἀπολλύναι φειδόμενος, συναπόλλυται,

ὡς αὐτὸς ὁ Σωτὴρ ἠνίξατο (καὶ ζωῆς αὐτῆς δι' αὐτὸν ἀφειδῶν, πόσῳ γε μᾶλλον ὑπαρχόντων ζημίας), εἰπών· «ὁ εὑρὼν τὴν ψυχὴν » αὐτοῦ ἀπολέσει αὐτήν, ὁ δὲ ἀπολέσας εὑρήσει» (α).

Διὸ δὲ καὶ οὗτος ἔστερξε μὲν τῶν ὧν εἶχεν ἡδέως ἀποβαλεῖν, ἕνα δὲ πλοῦτον, τὴν ἀρετήν, εἰδὼς καὶ τὸν ἑπόμενον λόγον αὐτῇ μόνου σπουδαίως ἀντείχετο· ἅπαξ γὰρ ἀναθεὶς ἑαυτὸν ἀρετῇ καὶ λόγῳ, οὐ παρέργως ἀντεποιήθη τούτων, ἀλλὰ καὶ λίαν ἀνδρικῶς καὶ γνησίως, καὶ πρό γε τοῦ λόγου, τῆς ἀρετῆς, πρὸς ἣν βλέποντες συγκατατιθέμεθα τοῖς πρὸς ἕκαστα λεγομένοις. Ὀρθῶς ἄρα προὔργου τὴν ἀρετὴν δεδοκίμακε φιλοπόνως ἀσκῆσαι, εἶτα αὖθις φιλοσοφῆσαι φιλοτίμως τὸν λόγον, εὖ μάλα συνεὶς ὡς οἱ κατὰ φιλοσοφίαν λόγοι τοὺς ἐπιεικεῖς πρότερον ἀπαιτοῦσι τρόπους καὶ τῶν ἠθῶν τὴν χρηστότητα· «εἰς γὰρ κακότεχνον ψυχὴν οὐκ εἰςελεύσεται σοφία», ἡ Σοφία φησίν (β). Οὗ δὲ χάριν καὶ πρὸ τῆς ἐν φιλοσοφίᾳ σπουδῆς πάντα μὲν ἄξια πράττειν φιλοσοφίας ᾤετο δεῖν, οὐδὲν δὲ ἀνάξιον, ὅτι μηδ' ἐξόν. Ὡς γὰρ ὁ μέλλων σεμνὴν ἀγαγέσθαι παρθένον πᾶν, ὅπερ ἀπεοικὸς ἐκείνῃ, προαπωθεῖται τρόπῳ παντί, πᾶν δὲ προςεοικὸς ἐρανιζόμενος συναγείρει, καὶ ὅ φησιν ὁ Κύριος, «λύχνον ἅπτει καὶ σαροῖ » τὴν οἰκίαν» (γ) οὐχ εὑρεῖν ἀπολωλυῖαν ζητῶν δραχμήν, ἀλλὰ τὸ τῆς συνοικήσεως φιλοκαλῶν ἐνδιαίτημα καὶ διακοσμῶν, ὡς αὐτόν τε καὶ τὴν ἐρωμένην τὴν συνοίκησιν ἀσμενίσαι· οὕτως ὁ μέγας Ἱερόθεος τῆς ἀξιεράστου φιλοσοφίας ἐρῶν, λύχνον ἧψε, τὸν διορατικώτατον νοῦν πάσης ἰλύος ἀποκαθάρας, ὥςτε βλέπειν καὶ διακρίνειν δύνασθαι ὧν τε ἅπτεσθαι καὶ ὧν ἀπέχεσθαι χρή. Καὶ τῇ τῶν κρειττόνων αἱρέσει τοσοῦτον ἑαυτὸν ἄξιον τῆς ἐκείνης σεμνοπρεπείας προητοιμάσατο καταγώγιον, ὡς αὐτήν τε τὸν οἰκεῖον ἐπιγνοῦσαν νυμφίον, κάλλει καὶ ὡραιότητι ψυχῆς διαφέροντα, περιλαβεῖν ἀσπασίως, καὶ στεφάνῃ τρυφῆς δεξιῶσθαι καὶ χαρίτων, αὐτὸν δὲ ὡςαύτως ἐκείνῃ. . . . . καὶ τὸ τῆς ᾀσματολογίας εἰκὸς εἰπεῖν· «ὅλη καλὴ εἶ ἡ πλησίον » μου· ὅλη καλή, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί» (δ). Καὶ οὕτως εὐσχημόνως τὴν πρὸς ἀλλήλους ἄχραντον ἁρμόσασθαι συνάφειαν καὶ συμβίωσιν.

Ὢ τῆς θεαρμόστου συζυγίας! Ὢ τῆς ἐπαινετῆς συμβιώσεως!

(α) Ματθ. ι', 39.— (β) Σοφ. Σολομ. ά, 4.— (γ) Λουκ. ιέ, 8.—(δ) Ἆσμ. Ἀσμ. δ', 7.

Ἀλλ' ὁπόσης ταῦτα δεῖται σπουδῆς εἰς κατόρθωσιν καὶ ὁποίων ἱδρώτων καὶ πόνων, δείκνυσι μὲν Ἰακὼβ ὁ Πατριάρχης, πολλοῖς πυκτεύσας πολυετῶς πειρασμοῖς, ὥςτε Ῥαχὴλ ἀγαγέσθαι καὶ Λείαν, ὡς Ἱερόθεος πρᾶξιν καὶ θεωρίαν, ἀγνοεῖ δὲ τῶν πεπειραμένων οὐδείς, ὅς μόνος εἰπεῖν τὰ περὶ τούτων ὡς ἔχουσι νομίζοιτ' ἂν ἱκανός· ὁ γὰρ ἀφ' ὧν ἔπαθε μαθὼν ἀξιοπιστότερος εἰς ἀπαγγελίαν, ὅτι περ τῷ ὄντι θαυμάσιον ὅσον χρῆμα καὶ ζηλωτόν. Τὸ γὰρ μὴ συγκαθελκυσθῆναι τὸν νοῦν ταῖς τῆς σαρκὸς ἐπιθυμίαις διὰ πάσης ὅσαι ἡμέραι πολιορκούσαις αἰσθήσεως καὶ θύραν ἀνοῖξαι τοῖς ἀτόποις καὶ ἀκαθέκτοις λογισμοῖς διὰ πάσης ἐγκρατείας, προσοχῆς τε καὶ καρτερίας, καὶ τὰς ἐμφυλίους τῶν παθῶν δρόσῳ καὶ ἀγάπῃ Θεοῦ ἀποσβέσαι δυνηθῆναι φλόγας, αἷς ὁ ἐντὸς ἀκροβολιζόμενος πῇ μὲν τιτρώσκεται, πῇ δὲ καταπίμπραται ἄνθρωπος.

Ἔτι γε μὴν καὶ τὸ πᾶσαν ἐγκύκλιον παίδευσιν ἀνολιγώρως μετελθεῖν καὶ φιλοσοφῆσαι, καὶ διὰ φιλοπονωτέρας μελέτης τε καὶ τριβῆς εἰς ἕξιν ἀφικέσθαι ταύτης, πόσον ἂν εἴη καὶ πόνου καὶ θαύματος; Οὐδὲ γὰρ ἀμογητὶ κατορθοῦσθαι πέφυκε ταῦτα, σπουδαῖς δὲ πλείοσιν ἐν ἀμετεωρίστῳ νοΐ, μελέταις τε καὶ ἀγρυπνίαις ἐνδελεχέσι καὶ ταῖς ἄλλαις κακοπαθείαις τε καὶ ταλαιπωρίαις· «ἐν μελέτῃ γὰρ ἐκκεκαῦσθαι πῦρ» (α). Πικράν τε τῆς παιδείας τὴν ῥίζαν εἶναι, μόχθου τε δεῖσθαι πολλοῦ καὶ μόγου, καὶ ἀνάγκη πόνον ἔχειν εὐκλείας πατέρα, τραχεῖάν τε καὶ ἀνάντη τὴν μεθ' ἱδρῶτος ἐπ' ἀρετὴν φέρουσαν οἶμον, σοφῶν διαγορεύουσι λόγοι (β), ἀσκήσει μακρᾷ καὶ πείρᾳ πολλῇ τὴν τούτων εἰληφότων γνῶσιν καὶ σύνεσιν· οἷς, εἰ καί τις ἄλλος, ὁ θεῖος παιδοτριβηθεὶς Ἱερόθεος, συναυξηθείς τε καὶ συνακμάσας, ὡς ἐνῆν μάλιστα καὶ βίῳ κατηρτίσθη καὶ λόγῳ. Βίῳ μέν, ὡς λίαν ἐλάχιστοι· λόγῳ δέ, ὡς οὐ πάνυ πολλοί. Ὥστε λόγῳ μὲν τοὺς ἐπισήμους ἐπ' ἀρετῇ, βίῳ δὲ τοὺς ἀγαθοὺς περὶ λόγους διενεγκεῖν. Ἢ λόγῳ μὲν τοὺς περὶ λόγους ἐσπουδακότας, βίῳ δὲ τοὺς ἐπ' ἀρετῇ βεβοημένους. Ἢ βίῳ καὶ λόγῳ τοὺς ἐφ' ἑκάτερον τούτων εὐδοκιμη-

---

(α) Ψαλμ. λή, 4.— (β) Ἡσίοδ. Ἔργ. καὶ Ἡμ. 287 κἑξ.

. . . .

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

κότας ὑπερβαλεῖν· ὁ μὲν γὰρ λόγος τὸν ἄληπτον ἐβεβαίου βίον, ὁ δέ γε βίος τοῦ καλλίστου λόγου ἀπόδειξις ἦν. Συνελόντι δὲ εἰπεῖν· πᾶν ἀγαθόν, ὃ καὶ πρὸς βίον καὶ πρὸς λόγον ὁρᾷ, σπουδαιότερον ἐκλεξάμενος συναγήοχεν· ὧν ὁ μὲν πόνος τῷ παρόντι βίῳ ἐγκαταλύεται, τὸ δὲ κλέος εἰς τὸ διηνεκὲς συντετήρηται. Ὡς ἀγαθῆς φρονήσεως καὶ ἀγχινοίας ἔργον ἡ ἐμπορία ἀνταλλάξασθαι προςκαίρων αἰώνια! Ἐπείπερ ὁποῖα ἂν τὰ ἐπιτηδεύματα ᾖ τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα εἶναι· ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεὴς καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως. Οὕτω τῆς θεωρίας τὴν πρᾶξιν ἐπίβασιν θέμενος, ἐπὶ τὸ ἀκρότατον, καθόσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, τοῖς ἐν ἀμφοτέροις κατήντηκεν ἕξεως. Ταῦτα τῆς Ἱεροθέου ψυχῆς πρὸ τῆς ἐν Χριστῷ τελείας πίστεως τὰ γνωρίσματα. Οὕτως ἑαυτὸν προκαθάρας ἢ τελειώσας, ἄξιον τῆς ἀμωμήτου παρεσκεύασε πίστεως, καὶ πρὸ τῆς ἀναγεννήσεως τοῦ σωτηριώδους βαπτίσματος ἑαυτὸν μορφώσας τῇ ἀληθείᾳ. Δηλοῖ δὲ ἡ βίβλος τῶν ἀποστολικῶν Πράξεων, ὅπως Διονύσιος ὁ πάνυ καί τινες σὺν αὐτῷ, τῷ θείῳ Παύλῳ μαθητευθέντες, τῆς ἀληθοῦς γεγόνασι πίστεως (α). Οὕτως (β) ἐκεῖνος ὁ Παῦλος, ὁ ἕως τρίτου οὐρανοῦ καὶ εἰς παράδεισον ἁρπαγεὶς καὶ ῥητῶν ἀκούσας ἀρρήτων, ἃ οὐκ ἐξόν, ὡς αὐτός φησιν, ἀνθρώποις λαλεῖν (γ). Οὐκ ἄκαιρον δ' ἴσως καὶ αὐτῶν ἐν ὀλίγοις παραθέσθαι τῶν ῥημάτων τὸν νοῦν.

Ὡς ὁ θεῖος Παῦλος τοῖς δεισιδαιμονεστέροις Ἀθηναίοις τὸν Κύριον Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐαγγελισάμενος, Ἐπικουρείοις τέ τισι καὶ Στωϊκοῖς συμβαλών, ξένων ἐνομίσθη δαιμονίων καταγγελεὺς εἶναι, ὑφ' ὧν ἐπὶ τὸν Ἄρειον ἀπηνέχθη Πάγον, δίκας τῆς νομισθείσης βλασφημίας τίσων· οὗ στὰς ἐν μέσῳ, τὴν θαυμασίαν ἐκείνην ἐξεφώνησε δημηγορίαν, ἀπὸ τοῦ ἐπιγεγραμμένου βωμοῦ ἀγνώστῳ Θεῷ, εὐκαίρως εἰςαγαγὼν τὴν τῆς ἀληθοῦς θεογνωσίας διδασκαλίαν, ὑφ' ἧς εἷλε τοὺς τῆς ὑπὸ Θεοῦ μωρανθείσης σοφίας τῶν ἄλλων ἐλλογιμωτέρους· οἳ καὶ κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς ἦν καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ ἕτεροι σὺν αὐτῷ. Οἶμαι δὲ καὶ πρὸ τῆς θεοπνεύστου δημηγορίας ἐκείνης πιστεῦσαι τὸν Ἱερόθεον, τῷ θείῳ καὶ αὐτὸν Παύλῳ μαθητευθέντα· οὐ γὰρ ἄν, εἰ τηνικαῦτα καὶ οὗτος μετὰ Διονυσίου πιστεύσας ἐκολλήθη τῷ Παύλῳ, παρεσιώπησεν ὁ θεῖος Λουκᾶς

(α) Πράξ. ιζ', 34. — (β) Τὸ χειρόγρ. «οὗτος». — (γ) Β' Κορινθ. ιβ', 4.

τοῦ μὴ καὶ αὐτοῦ ἐξ ὀνόματος μνημονεῦσαι, ἐπισημοτέρου τε ὄντος καὶ σοφίᾳ καὶ ἀρετῇ διαφέροντος. Εἰ δὲ καὶ οὗτος εἷς τῶν Ἀρεοπαγιτῶν ἦν, οὐκ ἔχω λέγειν, πλὴν ὅτι οἱ παρὰ Ἀθηναίοις τὰ πρῶτα φέροντες ἐδίκαζον εἰς τὴν ἐξ Ἀρείου Πάγου βουλήν. Λέγεται δὲ κληθῆναι οὕτω τὸ κατὰ τὸν Ἄρειον Πάγον δικαστήριον, Ποσειδῶνος πρὸς Ἄρεα κατὰ τοὺς παλαιοὺς μύθους δίκην εἰπόντος διὰ τὸ ὑπ' αὐτοῦ ἐν αὐτῷ τῷ τόπῳ ἀναιρεθῆναι τὸν ἴδιον υἱὸν Ἁλιρρόθιον. Ἐδίκαζον οὖν Ἀρεοπαγῖται περὶ πάντων σχεδὸν πραγμάτων καὶ παρανομημάτων. Ἀλλ' ἐν αὐτοῖς τηνικαῦτα βουλεύων ὁ Διονύσιος ἀδέκαστον ἀπέφηνε τὴν κατὰ τὸν πνευματοφόρον Παῦλον ἀληθεστάτην ψῆφον, καὶ τῇ τῶν Ἀρεοπαγιτῶν ἀνοήτῳ σεμνότητι ἐρρῶσθαι πολλὰ φράσας, τὸν ἀληθῆ καὶ πανεπίσκοπον κριτὴν ἐπέγνω Χριστόν. Καὶ ἐπιγνούς, εἴχετο τῆς ἀληθείας εὐθύς. Καὶ τελεῖται μὲν ὁ Διονύσιος σὺν Ἱεροθέῳ πάντα τὰ τῆς σωτηρίας δόγματα διὰ Παύλου τοῦ τῆς ἀληθείας κήρυκος, ἐπίσκοποί τε τῶν τηνικαῦτα πεπιστευκότων πεπίστευνται. Ὁ μέντοι θεόληπτος Διονύσιος παιδαγωγεῖται διδασκαλικῶς, ὡς αὐτός φησιν, ὑπὸ Ἱεροθέου τοῦ μεγάλου, ἀφ' οὗ λογίσασθαι χρὴ ὁπόσος ἦν τὴν σοφίαν ὁ Ἱερόθεος, τοιοῦτον ἐπιδεικνύναι μαθητὴν ἔχων. Εἰ γὰρ οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον (α), τὸ δὲ πολυμαθὲς καὶ διὰ πάσης ἧκον ἐπιστημονικῆς μεθόδου τῆς Διονυσίου παιδεύσεως ἀποκρύπτει πάντα σχεδὸν τὸν διὰ πάσης ἠγμένον παιδείας, τίνα χρὴ νομίζειν τὸν Ἱερόθεον, δι' οὗ τοιοῦτος ἀπεφάνθη ὁ Διονύσιος; Ἀλλ' ἵνα σαφέστερον τῆς ὑψηλῆς Ἱεροθέου φιλοσοφίας τὸ περιὸν γένηται, τινὰ τῶν ἐκείνου φιλοσοφηθέντων, ὅσα τῇ τοῦ θείου Διονυσίου ἐμφέρεται βίβλῳ (β), διεξελθεῖν πειρασόμεθα, ὡς γενέσθαι καταφανὲς ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα, καὶ ἐκ τῶν ὀνύχων τὸν λέοντα. «Τὸν ἔρωτα, εἴτε θεῖον εἴτε ἀγγελικὸν εἴτε νοερὸν εἴτε ψυ-
» χικὸν εἴτε φυσικὸν εἴποιμεν, ἑνωτικήν τινα καὶ συγκριτικὴν(γ) ἐννοή-
» σωμεν δύναμιν, τὰ μὲν ὑπέρτερα κινοῦσαν ἐπὶ πρόνοιαν τῶν κατα-
» δεεστέρων, τὰ δὲ ὁμόστοιχα πάλιν εἰς κοινωνικὴν ἀλληλουχίαν καὶ
» ἐπ' ἐσχάτων τὰ ὑφειμένα πρὸς τὴν τῶν κρειττόνων καὶ ὑπερκειμέ-
» νων ἐπιστροφήν».

Καὶ αὖθις· «ἐπειδὴ τοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς ἔρωτας διετάξαμεν,

---

(α) Λουκ. ϛ', 40. — (β) Περὶ θείων ὀνομ. Τόμ. Α', κεφ. Δ', § XIV, σελ. 713, ἐκδ. Migne. — (γ) Τὸ «τινὰ καὶ συγκριτικὴν» ἐν τῷ χειρογρ. οὐ κεῖται.

» ἑξῆς εἰρηκότες, ὅσαι (α) μὲν ἐκ τῶν ἐγκοσμίων (β) τε καὶ ὑπερκοσμίων » ἐρώτων γνώσεις τε καὶ δυνάμεις, ὧν (γ) ὑπερέχουσι κατὰ τὸν ἀπο- » δοθέντα τοῦ λόγου σκοπόν, αἱ τῶν νοερῶν τε καὶ νοητῶν ἐρώτων » τάξεις τε καὶ διακοσμήσεις, μεθ' οὓς οἱ ἀκατανόητοι καὶ θεῖοι τῶν » ὄντως ἐκεῖ καλῶν ἐρώτων ὑπερεστᾶσι, καὶ ἡμῖν οἰκείως ὕμνηται. » Νῦν αὖθις ἀναλαβόντες ἅπαντας εἰς τὸν ἕνα καὶ συνεπτυγμένον » ἔρωτα, καὶ πάντων αὐτῶν πατέρα συνελίξωμεν ἅμα καὶ συναγάγω- » μεν ἀπὸ τῶν πολλῶν, πρῶτον εἰς δύο συναιροῦντες αὐτῶν τὰς ἐρω- » τικὰς καθόλου δυνάμεις, ὧν ἐπικρατεῖ καὶ προκατάρχει πάντως ἡ » ἐκ τοῦ πάντων ἐπέκεινα παντὸς ἔρωτος ἄσχετος αἰτία, πρὸς ἣν (δ) » ἀνατείνεται προςφυῶς (ε) ἑκάστῳ τῶν ὄντων ὁ ἐκ τῶν ὄντων ὁλικὸς » ἔρως».

Εἶτα πρὸς τούτοις· «ἄγε δή, φησί, καὶ ταύτας πάλιν εἰς ἓν συνα- » γαγόντας εἴπωμεν, ὅτι μία τίς ἐστιν ἁπλῆ δύναμις ἡ αὐτοκινητικὴ » πρὸς ἑνωτικήν τινα κρᾶσιν ἐκ τἀγαθοῦ μέχρι τοῦ τῶν ὄντων ἐσχά- » του, καὶ ἀπ' ἐκείνου πάλιν ἑξῆς διὰ πάντων εἰς τἀγαθὸν ἐξ ἑαυ- » τῆς καὶ ἐφ' ἑαυτῆς καὶ δι' ἑαυτῆς εἰς (ς) ἑαυτὴν ἀνακυκλοῦσα » καὶ εἰς ἑαυτὴν ἀεὶ ταὐτῶς ἀνελιττομένη», καὶ ὅσα ἑξῆς φιλοσοφεῖ περὶ ἀγαθοῦ καὶ κακοῦ, καὶ ὡς τὸ κακὸν οὔτε ὄν, οὔτε ἐξ ὄντος, οὔτε ἐν τοῖς οὖσι, καὶ περὶ τοῦ δαιμονίου φίλου, καὶ εἴ τι ἕτερον, ἃ παρα- λιπεῖν διὰ τὸ μὴ πέρα τῆς συμμετρίας ἐπεκτεῖναι τὸν λόγον δεῖν ᾠή- θημεν. Πρόκειται δὲ τοῖς βουλομένοις εἰς ἔρευναν, ὥςτε κἀντεῦθεν θαυμάσαι τήν τε τοῦ λόγου τοῦ ἀνδρὸς δύναμιν, τήν τε τῶν ἐνθυμη- μάτων εὕρεσιν καὶ τὸν περὶ τῆς εὐσεβείας δογμάτων τὸ εἰλικρινές τε καὶ ἀπηκριβωμένον, καὶ ὅπως τῶν τε δυςσεβῶν Μανιχαίων καὶ τῶν ἄλλων αἱρεσιαρχῶν ἀπελέγχει τὸ μάταιον, κρατύνει δὲ καὶ διασαφεῖ, καθόσον οἷόν τε, τὰ περὶ τῆς τριαδικῆς μοναρχίας καὶ τῆς ἀνεκφρά- στου τοῦ Λόγου οἰκονομίας, περὶ ὧν φησιν αὐτὸς Διονύσιος (ζ)· «Ταῦτα » δὲ ὑμῖν τε ἐν ἄλλοις ἱκανῶς εἴρηται καὶ τῷ κλεινῷ καθηγεμόνι κατὰ » τὰς θεολογικὰς αὐτοῦ στοιχειώσεις ὕμνηται λίαν ὑπερφυῶς· ἅπερ » ἐκεῖνος εἴ τε πρὸς τὸν ἱερὸν Θεολόγον (η) παρείληφεν, εἴ τε ἐκ τῆς ἐπι-

(α) Ἡ ἐκδ. ἀντὶ «ὅσαι» ἔχει «οἷαι». — (β) Ἡ ἔκδ. «μὲν αἱ τῶν ἐγκοσμίων». — (γ) Ἡ ἔκδ. «ᾧ». — (δ) Ἡ ἔκδ. «καὶ πρὸς ἥν». — (ε) Ἡ ἔκδ. «συμφυῶς». — (ς) Τὸ «εἰς» ἐν τῇ ἐκδ. οὐ κεῖται. — (ζ) Ἐν τῷ περὶ θείων ὀνομ. κεφ. Β', § IX, σελ. 648. — (η) Ἡ ἔκδ. «πρὸς τῶν ἱερῶν θεολόγων».

» στημονικῆς τῶν λόγων (α) ἐρεύνης συνεώρακεν, ἐκ πολλῆς τῆς περὶ
» αὐτὰ γυμνασίας τε καὶ τριβῆς, εἴ τε καὶ ἔκ τινος ἐμυήθη θειοτέρας
» ἐπινοίας, οὐ μόνον μαθών, ἀλλὰ καὶ παθὼν τὰ θεῖα, κἀκ τῆς θείας(β)
» πρὸς αὐτὰ συμπαθείας, εἰ οὕτω χρὴ φάναι, πρὸς τὴν ἀδίδακτον αὐ-
» τῶν καὶ μυστικὴν ἀποτελεσθεὶς ἕνωσίν τε καὶ πίστιν. Καὶ ἵνα τὰ
» πολλὰ καὶ μακάρια θεάματα τῆς κρατίστης ἐκείνου διανοίας ἐν ἐλα-
» χίστοις παραθώμεθα, τάδε περὶ τοῦ Ἰησοῦ φησιν ἐν ταῖς συνηγμέ-
» ναις αὐτῷ θεολογικαῖς στοιχειώσεσιν ».

« Ἡ πάντων αἰτία καὶ ἀποκληρωτικὴ τοῦ Ἰησοῦ θεότης, ἡ τὰ
» μέρη τῇ ὁλότητι σύμφωνα διασώζουσα καὶ οὔτε μέρος οὔτε ὅλον
» οὖσα, καὶ ὅλον καὶ μέρος, ὡς πᾶν καὶ μέρος καὶ ὅλον ἐν ἑαυτῇ
» συνειληφυῖα καὶ ὑπερέχουσα καὶ προέχουσα, τελεία μέν ἐστιν ἐν
» τοῖς ἀτελέσιν, ὡς τελετάρχις· ἀτελὴς δὲ ἐν τοῖς τελείοις, ὡς ὑπερ-
» τελὴς καὶ προτέλειος. Εἶδος εἰδοποιὸν ἐν τοῖς ἀνειδέοις, ὡς ἰδεάρ-
» χις. Ἀνίδεος ἐν τοῖς εἴδεσιν, ὡς ὑπὲρ εἶδος. Οὐσία ταῖς ὅλαις οὐ-
» σίαις ἀχράντως ἐπιβατεύουσα, καὶ ὑπερούσιος, ἁπάσης οὐσίας ἐξῃ-
» ρημένη, τὰς ὅλας ἀρχὰς καὶ τάξεις ἀφορίζουσα, καὶ πάσης ἀρχῆς
» καὶ τάξεως ὑπεριδρυμένη. Καὶ μέτρον ἐστὶ τῶν ὄντων, καὶ αἰών,
» καὶ ὑπὲρ αἰῶνα, καὶ πρὸ αἰῶνος. Πλήρης ἐν τοῖς ἐνδεέσιν, ὑπερ-
» πλήρης ἐν τοῖς πλήρεσιν. Ἄρρητος, ἄφθεγκτος, ὑπὲρ νοῦν, ὑπὲρ
» ζωήν, ὑπὲρ οὐσίαν. Ὑπερφυῶς ἔχει τὸ ὑπερφυές, ὑπερουσίως τὸ
» ὑπερούσιον. Ὅθεν ἐπειδὴ καὶ ἕως φύσεως ὑπὸ φιλανθρωπίας ἐλή-
» λυθε, καὶ ἀληθῶς οὐσιώθη, καὶ ἀνὴρ ὁ Ὑπέρθεος ἐχρημάτισεν (ἵλεω
» δὲ εἴη πρὸς ἡμῶν τὰ ὑπὲρ νοῦν καὶ λόγον ὑμνούμενα), κἀν τούτοις
» ἔχει τὸ ὑπερφυὲς καὶ ὑπερούσιον, οὐ μόνον ᾗ ἀναλλοιώτως ἡμῖν καὶ
» ἀσυγχύτως κεκοινώνηκε, μηδὲν πεπονθὼς εἰς τὸ ὑπερπλῆρες αὐτοῦ
» πρὸς τῆς ἀφθέγκτου κενώσεως, ἀλλ' ὅτι καὶ τὸ πάντων καινῶν
» καινότατον ἐν τοῖς φυσικοῖς ἡμῶν ὑπερφυὴς ἦν, ἐν τοῖς κατ' οὐσίαν
» ὑπερούσιος, πάντα ἡμῶν (γ) ἐξ ἡμῶν ὑπὲρ ἡμᾶς ὑπερέχων ».

Τούτων μὲν οὖν ἅλις. Τί δὲ καὶ αὖθις ὁ Διονύσιος περὶ αὐτοῦ φησιν ἐν τῷ πρὸς Τιμόθεον περὶ εὐχῆς, εὐλαβείας τε καὶ συγγραφῆς θεολογικῆς κεφαλαίῳ, ὅ ἐστι κεφ. γ' περὶ θείων ὀνομάτων ; « Καὶ τοῦτο
» δὲ ἴσως ἀπολογίας ἄξιον, ὅτι τοῦ κλεινοῦ καθηγεμόνος ἡμῶν Ἱερο-

(α) Ἡ ἔκδ. « τῶν λογίων ».— (β) Ἐν τῇ ἐκδ. τὸ « θείας » οὐ κεῖται.— (γ) Ἡ ἔκδ. « πάντα τὰ ἡμῶν ».

» θέου τὰς θεολογικὰς στοιχειώσεις ὑπερφυῶς συναγαγόντος, ἡμεῖς,
» ὡς οὐχ ἱκανῶν ἐκείνων, ἄλλας τε καὶ τὴν παροῦσαν συνεγραψά-
» μεθα. Καίτοι γε, εἰ μὲν ἐκεῖνος ἐξῆς διαπραγματεύσασθαι πάσας
» τὰς θεολογικὰς πραγματείας ἠξίωσε καὶ μερικαῖς ἀνελίξεσι διῆλθεν
» ἁπάσης θεολογίας κεφάλαιον, οὐκ ἂν ἡμεῖς ἐπὶ τοσοῦτον ἢ μανίας
» ἢ σκαιότητος ἐληλύθαμεν, ὡς ἢ ὀπτικώτερον ἐκείνου καὶ θειότερον
» οἰηθῆναι ταῖς θεολογίαις ἐπιβαλεῖν, ἢ δὶς τὰ περιττῶς τὰ αὐτὰ λέ-
» γοντας (α) εἰκαιολογῆσαι, προςέτι δὲ καὶ ἀδικῆσαι καὶ διδάσκαλον,
» ὄντα καὶ φίλον, καὶ ἡμᾶς τοὺς μετὰ Παῦλον τὸν θεῖον ἐκ τῶν ἐκεί-
» νου λογίων στοιχειωθέντας, τὴν κλεινοτάτην αὐτοῦ καὶ θεωρίαν καὶ
» ἔκφανσιν ἑαυτοῖς ὑφαρπάζοντας. Ἀλλ' ἐπειδὴ τῷ ὄντι τὰ θεῖα
» πρεσβυτικῶς ὑφηγούμενος ἐκεῖνος, συνοπτικοὺς ἡμῖν ὅρους ἐξέθετο,
» καὶ ἐν ἑνὶ πολλὰ περιειληφότας, ὡς οἷόν τε ἡμῖν, καὶ ὅσοι καθ' ἡμᾶς
» διδάσκαλοι τῶν νεοτελῶν ψυχῶν, ἐγκελευόμενος ἀναπτύξαι καὶ δια-
» κρῖναι τῷ ἡμῖν συμμέτρῳ λόγῳ τὰς συνοπτικὰς καὶ ἑνιαίας τῆς νοε-
» ρωτάτης τἀνδρὸς ἐκείνου δυνάμεως συνελίξεις· καὶ πολλάκις ἡμᾶς
» καὶ αὐτὸς εἰς τοῦτο προέτρεψας, καὶ τήν γε βίβλον αὐτήν, ὡς
» ὑπεραίρουσαν, ἀνταπέσταλκας (ὅρα τὴν βίβλον τοῦ θείου Ἱεροθέου,
» τὴν σύνεσιν τοῦ ἁγίου Τιμοθέου ὑπερέχουσαν, καὶ διὰ τοῦτο ζη-
» τοῦντος αὐτῆς τὴν ἐξήγησιν), ταύτῃ τοι καὶ ἡμεῖς τὴν μέν, τὴν
» βίβλον ὡς τελείων (β) καὶ πρεσβυτικῶν διανοιῶν διδάσκαλον, τοῖς
» ὑπὲρ τοὺς πολλοὺς ἀφορίζομεν, ὥςπερ τινὰ δεύτερα λόγια καὶ τῶν
» θεοχρίστων ἀκόλουθα· τοῖς καθ' ἡμᾶς δὲ ἡμεῖς ἀναλόγως ἡμῖν τὰ
» θεῖα παραδώσομεν· εἰ γὰρ τελείων ἐστὶν ἡ στερεὰ τροφή, τὸ ταύτῃ
» ἑστιᾶν ἑτέρους ὁπόσης ἂν εἴη τελειότητος; »

« Ὀρθῶς οὖν ἡμῖν καὶ τοῦτο εἴρηται, τὸ τὴν μὲν αὐτοπτικὴν τῶν
» νοητῶν λογίων θέαν, καὶ τὴν συνοπτικὴν αὐτῶν διδασκαλίαν πρε-
» σβυτικῆς δεῖσθαι δυνάμεως· τὴν δὲ τῶν εἰς τοῦτο φερόντων λόγων
» ἐπιστήμην καὶ ἐκμάθησιν τοῖς ὑφειμένοις καθιερωταῖς καὶ ἱερωμέ-
» νοις ἁρμόζειν· καίτοι καὶ τοῦτο ἡμῖν ἐπιτετήρηται λίαν ἐμμελῶς,
» ὥςτε τοῖς τούτῳ τῷ θείῳ καθηγεμόνι κατ' ἔκφανσιν σαφῆ διηυκρι-

(α) « Λέγοντας ». Οὕτως ἡ ἔκδ. καὶ τὸ χειρόγρ. Ἀλλὰ μᾶλλον γραπτέον « λέγοντες », ἵνα ᾖ ἡ σύνταξις « οὐκ ἂν ἡμεῖς ἐληλύθαμεν ὡς ἢ ἐπιβαλεῖν ἢ εἰκαιολογῆσαι . . . . τὰ » αὐτὰ λέγοντες ». — (β) Ἀσαφῶς ἡ ἔκδοσις ἀποδίδωσι τὸ νόημα, γράφουσα « τὸν μέν, » ὡς τελείων ».

» νημένοις μηδόλως ἐγκεχειρηκέναι ποτὲ πρὸς ταυτολογίαν εἰς τὴν » αὐτὴν τοῦ προτεθέντος αὐτῷ λογίου διασάφησιν. Ἐπεὶ καὶ παρ' » αὐτοῖς τοῖς θεολήπτοις ἡμῶν ἱεράρχαις (ἡνίκα καὶ ἡμεῖς, ὡς αὐτὸς » οἶσθα, καὶ πολλοὶ τῶν ἱερῶν ἡμῶν ἀδελφῶν, ἐπὶ τὴν θέαν τοῦ » ζωαρχικοῦ καὶ θεοδόχου σώματος συνεληλύθαμεν, παρῆν δὲ καὶ ὁ » ἀδελφόθεος Ἰάκωβος καὶ Πέτρος, ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν » θεολόγων ἀκρότης, εἶτα ἐδόκει μετὰ τὴν θέαν ὑμνῆσαι τοὺς ἱεράρ- » χας ἅπαντας, ὡς ἕκαστος ἦν ἱκανός, τὴν ἀπειροδύναμον ἀγαθό- » τητα τῆς θεαρχικῆς ἀσθενείας) πάντων ἐκράτει (ὁ Ἱερόθεος δη- » λαδὴ) μετὰ τοὺς θεολόγους (ἐνταῦθα λέγει τοὺς Ἀποστόλους), ὡς » οἶσθα, τῶν ἄλλων ἱερομυστῶν, ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος » ἑαυτοῦ καὶ τὴν πρὸς τὰ ὑμνούμενα κοινωνίαν πάσχων καὶ πρὸς » πάντων, ὧν ἠκούετο καὶ ἑωρᾶτο καὶ ἐγινώσκετο καὶ οὐκ ἐγινώ- » σκετο, θεόληπτος εἶναι καὶ θεῖος ὑμνολόγος κρινόμενος ».

Αὐτάρκη καὶ ταῦτα τῆς θεοφυοῦς ἐκείνου διανοίας καὶ ὑψηλῆς ἐμφῆναι τὸ κλέος· δι' ὧν δηλοῦται σαφῶς, ὅτι καὶ τῷ θείῳ Παύλῳ καὶ τῷ μεγάλῳ Ἱεροθέῳ μαθητευθεὶς ὁ θεόληπτος Διονύσιος, δι' ἀμφοτέρων ἐμυήθη τὰ κρείττω καὶ τελεώτερα, τῆς τε οὐρανίου καὶ τῆς καθ' ἡμᾶς σοφίας, καὶ ὅτι προβεβηκότως καὶ ἐπιστημονικῶς καὶ μετὰ γηραλέας τῆς περὶ τὰ θεῖα νοήσεως (τοῦτο γὰρ βούλεται τὸ « πρε- » σβυτικῶς ὑφηγεῖσθαι ») ὁ ἱερὸς οὗτος ἔγραψεν Ἱερόθεος, καὶ ὡς τὰ τοῦδε συγγράμματα δευτέραν ἁγίαν νομιστέον Γραφήν, καὶ ὡς συμπαρῆν καὶ αὐτὸς τοῖς Ἀποστόλοις, καὶ αὐτῷ Διονυσίῳ καὶ Τιμοθέῳ, καὶ ἑτέροις πλείοσιν ἐπὶ τῇ ἐκκομιδῇ καὶ κηδείᾳ τοῦ ἱεροῦ τῆς Θεοτόκου σκήνους, καὶ ὅτι ψαλμοὺς ἐμελῴδησε τότε καί τινας ἐπιταφίους εἶπεν ᾠδάς, ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος ἑαυτοῦ, καὶ τὴν πρὸς τὰ ὑμνούμενα κοινωνίαν πάσχων, ἀπαθὲς τῷ ὄντι καὶ μακάριον πάθος· ὑφ' οὗ πάντων κρατεῖν καὶ ὑπερέχειν παρὰ πάντων τῶν συνόντων οἷα θεόληπτος καὶ θεῖος ὑμνολόγος ἐκρίνετο. Εἶτα ἑξῆς (α)· « Καὶ τί ἂν σοι περὶ τῶν ἐκεῖ θεολογηθέντων εἴποιμι (β); καὶ γὰρ εἰ » μὴ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, πολλάκις οἶδα παρὰ σοῦ καὶ μέρη » τινὰ τῶν ἐνθεαστικῶν ἐκείνων ὑμνῳδιῶν ἐπακούσας » . . . « καὶ » ἵνα (γ) τὰ ἐκεῖ μυστικὰ καὶ ὡς τοῖς πολλοῖς ἄρρητα καὶ ὡς ἐγνω-

---

(α) Αὐτόθ. ἤτοι ἐν τῷ περὶ θείων ὀνομ. κεφ. γ'.— (β) Ἡ ἔκδ. «λέγοιμι».— (γ) Ἡ ἔκδ. «ἀλλ' ἵνα».

» σμένα σοι, παραλείψωμεν, ὅτε τοῖς πολλοῖς ἐχρῆν κοινωνῆσαι καὶ » ὅσους δυνατὸν ἐπὶ τὴν καθ' ἡμᾶς ἱερογνωσίαν προςαγαγεῖν, ὅπως » ὑπερεῖχε τοὺς πολλοὺς τῶν ἱερῶν διδασκάλων καὶ χρόνου τριβῇ, » καὶ νοῦ καθαρότητι, καὶ ἀποδείξεων ἀκριβείᾳ καὶ ταῖς λοιπαῖς » ἱερολογίαις, ὥςτε οὐκ ἄν ποτε πρὸς οὕτω μέγαν ἥλιον ἀντωπεῖν » ἐνεχειρήσαμεν. Οὕτω γὰρ ἡμεῖς ἑαυτῶν συνῃσθήμεθα καὶ ἴσμεν, » ὡς οὔτε ἱκανῶς νοῆσαι τὰ νοητὰ τῶν θείων χωροῦμεν, οὔτε ὅσα » ῥητὰ τῆς θεογνωσίας ἐξειπεῖν καὶ φράσαι. Πόρρω δὲ ὄντες, ἀπο- » λειπόμεθα τῆς τῶν θείων ἀνδρῶν εἰς θεολογικὴν ἀλήθειαν ἐπιστή- » μης, ὅτι πάντως ἂν εἰς τοῦτο διὰ περισσὴν εὐλάβειαν ἐληλύθαμεν, » εἰς τὸ μηδόλως ἀκούειν ἢ λέγειν τι περὶ τῆς θείας φιλοσοφίας, εἰ » μὴ κατὰ νοῦν εἰλήφαμεν, ὡς οὐ χρὴ τῆς ἐνδεχομένης τῶν θείων » γνώσεως ἀμελεῖν. Καὶ τοῦτο ἡμᾶς ἔπεισαν οὐ μόνον αἱ κατὰ φύσιν » ἐφέσεις τῶν νοῶν ἐρωτικῶς ἀεὶ γλιχόμεναι τῆς ἐγχωρούσης τῶν ὑπερ- » φυῶν θεωρίας, ἀλλὰ καὶ αὐτὴ τῶν θείων θεσμῶν ἡ ἀρίστη διάτα- » ξις· τὰ μὲν ὑπὲρ ἡμᾶς ἀποφάσκουσα πολυπραγμονεῖν, καὶ ὡς ὑπὲρ » ἀξίαν καὶ ἀνέφικτα· πάντα δὲ ὅσα ἐν ἡμῖν ἐφίεται (α) καὶ δεδώ- » ρηται μανθάνειν, προςεχῶς ἐγκελευομένη καὶ ἑτέροις ἀγαθοειδῶς » μεταδιδόναι. Τούτοις οὖν καὶ ἡμεῖς πειθόμενοι καὶ πρὸς τὴν ἐφικτὴν » τῶν θείων εὕρεσιν μὴ ἀποκαμόντες ἢ δειλιάσαντες (β), ἀλλὰ καὶ » τοὺς μὴ δυναμένους εἰς τὰ ἡμῶν κρείττονα θεωρεῖν, ἀβοηθήτους » καταλιπεῖν οὐ καρτεροῦντες, ἐπὶ τὸ συγγράφειν ἑαυτοὺς καθήκα- » μεν, καινὸν μὲν οὐδὲν εἰςηγεῖσθαι τολμῶντες, λεπτοτέραις δὲ καὶ » ταῖς κατὰ μέρος ἑκάστου (γ) ἐξετάσεσι, τὰ συνοπτικῶς εἰρημένα » τῷ ὄντως Ἱεροθέῳ διακρίνοντες καὶ ἐκφαίνοντες».

Τί δὲ δηλοῦν καὶ ταῦτα τῷ Διονυσίῳ βούλεται; ὅτι καὶ οἱ θεῖοι νόες κατὰ φύσιν ἐφίενται τῆς ἐγχωρούσης τῶν ὑπερφυῶν θεωρίας· καὶ ὅτι τινὰ τῶν συνοπτικῶς εἰρημένων τῷ μεγάλῳ Ἱεροθέῳ τῆς κατὰ μέρος λεπτοτέρας ἑρμηνείας ἠξίωσεν. Ἐπισημαντέον δὲ ὅτι καὶ ἑτέρων αὐτοῦ πραγματειῶν πεποίηται μνήμην. Ἱκανὰ μέντοι καὶ τὰ εἰρημένα τὸ τοῦ ἀνδρὸς ἐπιστημονικόν, θεόληπτόν τε καὶ μεγαλοφυὲς παραστῆσαι, ἃ δὴ μόνα τῶν ἡμετέρων λόγων χωρὶς πρὸς ἐγκωμίου λόγον ἀρκεῖ. Ἀλλ' ἐπεί, φασί, πείθεσθαι ἄμεινον ποιεῖν ἄξιον, προς-

(α) Τὸ χειρόγρ. «ἡμῖν ἐφεῖται». — (β) Ἡ ἔκδ. «ἀποδειλιάσαντες». — (γ) Ἡ ἔκδ. «ἕκαστον».

τεθείκαμεν τοῖς ἐκείνου τὰ παρ' ἡμῶν, ὡς ῥάκους ἐπίβλημα παλαιὸν ἱματίῳ καινόν (α)· καίπερ οὐδ' ἀγνοοῦντες, ὅτι τὰ ἐκείνου καλῶς ἂν ἔχοι τιμᾶν σιωπῇ μᾶλλον ἢ λόγοις ἐπιχειρεῖν ἐπαινεῖν παντὸς λόγου μεγαληγορίας ὑπερκείμενα, ἃ καὶ τὸ θαυμάζειν ἐργῶδες, ὡς δεῖ, πολλῷ δὲ δήπου τὸ ἐπαινεῖν ἐργωδέστερον.

Εἰ γὰρ αὐτὸς Διονύσιος ὁ πολὺς τὰ θεῖα, ὁ τῶν οὐρανίων διακόσμων ὑφηγητὴς ὑπερκόσμιος καὶ θείας καὶ ἀνθρωπίνης σοφίας ἔμπλεως, τῆς αὐτῶν ἀποδεῖν ἔφη νοήσεως, Τιμόθεος δὲ ὁ ἐν ἱεραποστόλοις ἱερομάρτυς τὴν ἐμπεριειληφυῖαν ταῦτα βίβλον, ὡς τὴν αὐτοῦ νόησιν ὑπεραίρουσαν τῷ χρήσαντι (;) ἀνταπέσταλκε, τίς ἂν ἕτερος εἰ κατὰ Σωκράτη καὶ Πλάτωνα τὴν σοφίαν, ἢ Δημοσθένη ἢ Θουκυδίδην περιττῶς ἐν λόγοις νομίζοιτο, τῆς τούτων ἢ νοήσεως ἢ εὐφημίας ἀφίκοιτο; πᾶν γὰρ τὸ ἐν αὐτοῖς θεωρούμενον παντὸς ὑπέρκειται καὶ λόγου καὶ θαύματος, καὶ τό τε τῆς φύσεως μέγεθος καὶ τὸ τῆς διανοίας ὑπερφυὲς καὶ καθαρὸν τοῦ συντεταχότος παρίστησιν, ὡς, φέρ' εἰπεῖν, τὸ μετὰ κάλλους ἐνηλλαγμένον τῆς λέξεως, τὸ τῆς φράσεως εὐκρινὲς καὶ ἡδύ, τὸ λαμπρὸν τοῦ λόγου καὶ μαργαρῶδες, τὸ τῆς συνθήκης ἐντέχνως διεσκευασμένον, τὸ μετ' εὐχρηστίας ἄφθονον τῶν ἐνθυμημάτων, τὸ θεοπρεπὲς τῶν νοημάτων καὶ ὑψηλόν, τὴν μετὰ σαφηνείας σεμνότητα τῆς τριαδικῆς θεολογίας καὶ τῆς τοῦ θεοῦ Λόγου οἰκονομίας τὸ μυστηριωδῶς ἐξαγγελτικόν. Τὴν μεγαλοπρέπειαν, τὸ μέγεθος, τὸ ἀξίωμα, τὰ ἄλλα πάντα, ἃ καθὸ θεῖά τε καὶ σεβάσμια, ταῖς θεοχαράκτοις ἐκείναις ἁμιλλᾶται πλαξίν, οὐκ ἔλαττον τέρπειν τὴν ἀκοὴν ἐπιστάμενα, ὥσπερ ὠφέλιμον παρέχεσθαι τὴν διδασκαλίαν παραπλησίαν ἔχοντα τοῖς νόμοις τὴν δύναμιν. Καὶ γὰρ ἐκείνοις συμβέβηκεν οὐχ οὕτω τέρπειν τὴν ἀκοήν, ὅσῳ τῷ βίῳ λυσιτελεῖν. Καὶ ταῦτα δὲ μεγάλα μὲν εὐφραίνειν τοὺς ἐπαΐοντας δύναται, μειζόνως δὲ εὐεργετεῖν τοὺς πειθομένους κατεπαγγέλλεται. Ὥςτε μὴ τοσοῦτόν τις τὴν καλλιέπειαν θαυμαζέτω τοῦ λόγου, ὅσον τὸ ἐντεῦθεν ἀποτελούμενον θεωρείτω. Τὸν γοῦν τοσοῦτον μὲν τὴν ἀρετήν, τηλικοῦτον δὲ τὴν σοφίαν τίνι δέον παρεξετάσαι διὰ συγκρίσεως; Ἀγγέλοις; καὶ γὰρ ἀγγελικῶς ἐπολιτεύσατο μετὰ σώματος. Ἀποστόλοις; καὶ γὰρ ἀποστολικὴν ἐγχειρισθεὶς ἐκτετέλεκε λειτουργίαν. Μάρτυσι; καὶ γὰρ μεμαρτύρηκε τῇ ἀληθείᾳ καὶ λόγοις καὶ ἀγωνί-

(α) Γραπτέον ἴσως «ὡς ῥάκους ἐπίβλημα παλαιῷ ἱματίῳ καινόν».

σμασιν. Ἱεράρχαις; καὶ γὰρ ἀνεπιλήπτως ἀρχιερατεύσας, Θεῷ εὐηρέστησεν. Διδασκάλοις; ὅτι καὶ διδασκαλικὴν ὑπὲρ πλείονας μετῆλθε διακονίαν. Ἀλλ' οὐρανῷ; εἰκότως· καὶ γάρ, οἷά περ ἄστρασι, ταῖς τῶν ἀειφανῶν ἔργων καὶ λόγων ἐναγλαϊζόμενος χάρισι, δόξαν Θεοῦ διηγήσατο. Ἡλίῳ; ὅτι ταῖς ἁγιοπρεπέσι λαμπρότησι κατήστραψε τὴν ὑφήλιον. Σελήνῃ; ὅτι τῆς ἀγνοίας τὸ τεῖχος τὸ ἀλαμπὲς γνώσεως ἀληθοῦς μαρμαρυγαῖς ἐδᾳδούχησεν. Παραδείσῳ; ὅτι ταῖς διαφόροις ἀρεταῖς, οἷα πολυχρόοις ἄνθεσι, τὴν τοῦ Θεοῦ κοσμήσας εὐωδίασεν Ἐκκλησίαν. Θαλάσσῃ θεωριῶν; Ποταμῷ εἰρήνης; ὅτι ζωηρρύτων ὑδάτων θεορρημοσύνης ἐξέβλυσεν, εἰρήνην καὶ ἀγαθὰ προφητικῶς εὐαγγελισάμενος. Ὀργάνῳ μουσικῷ; Εὐήχῳ σάλπιγγι; ὅτι περ ὁ τῆς αὐτοῦ θεολογίας παναρμόνιος φθόγγος εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν ἀποστολικῶς καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τῶν ῥημάτων ἡ δύναμις.

Εἰ δὲ σκεῦος αὐτὸν καλέσομεν ἐκλογῆς, ἀληθεύσομεν· ἐβάστασε γὰρ καὶ οὗτος τὸ Χριστοῦ πανάγιον ὄνομα ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν Ἰσραήλ. Εἰ δὲ καὶ υἱὸν βροντῆς ὀνομάσομεν, καιρίως ἐροῦμεν· καὶ γὰρ καὶ οὗτος τῇ τοῦ εὐαγγελικοῦ κηρύγματος μεγαλοφωνίᾳ οὐρανίων θεωριῶν ἐβρόντησεν ἡμῖν ἀπηχήματα.

Τοσούτοις αὐτὸν στεφάνοις ἡ ἀρετὴ κατεκόσμησεν. Τοσούτων ἀγαθῶν ἰδέαις ἡ τέχνη τεχνῶν καὶ ἐπιστήμη τῶν ἐπιστημῶν κατεποίκιλεν. Τίνα οὖν πρότερον θαυμάσαι ἢ ἐπαινέσαι χρεών; ἐκ πολλῆς γὰρ τῆς εὐπορίας ἡ ἀπορία. Τὸν θεοσεβῆ; Τὸν φιλόθεον; Τὸν φιλόσοφον; Τὸν ῥήτορα; Τὸν Ἀπόστολον; Τὸν ἀρχιερέα; Τὸν ἱεροπρεπῆ συγγραφέα καὶ διδάσκαλον; ἢ τὸν πάσης δικαιοσύνης ἐργάτην καὶ ἀρετῆς; πάντα γὰρ ταῦτα, καὶ εἴ τι τούτοις ἑπόμενον συλλαβὼν ἔσχεν. Τίς οὖν ἀρκέσει λόγος τοῖς αὐτοῦ κατορθώμασιν; ἢ ποία δυνήσεται γλῶσσα τῶν ἐγκωμίων ἐφικέσθαι τῶν ἐκείνου; ὅταν γὰρ ἅπαν καλὸν συλλαβοῦσα ἔχῃ μία ψυχή, καὶ ἅπαν μεθ' ὑπερβολήν, πῶς ἄν τις περιέσεται τοῦ μεγέθους τῶν ἐγκωμίων;

Ἐγὼ δὲ τοῦτο μόνον τοῖς εἰρημένοις προσθείς, καταπαύσω τὸν λόγον, ὅτι μετὰ τοσούτων καὶ τοιούτων τῶν ἐφοδίων ἐν γήρᾳ καλῷ μετηλλαχὼς τὴν ζωήν, τῆς τῶν Πατριαρχῶν καὶ Προφητῶν, Ἀποστόλων τε καὶ Μαρτύρων καὶ πάντων τῶν δικαίων τῆς συσκηνίας τε καὶ συναυλίας ἠξίωται, τὰς ὑπὲρ ἡμῶν σὺν αὐτοῖς πρεσβείας ποιούμενος, ἀταράχως τὴν ἅλμην διαπλεῦσαι τοῦ βίου καὶ πρὸς τοὺς

γαληνοὺς καὶ ἀκύμονας ἐνορμισθῆναι λιμένας τῆς τοῦ Θεοῦ βασιλείας. Ἔχεις ἐν τούτοις, ὦ μακαριώτατε τοῦ Θεοῦ ἄνθρωπε, τὰ παρ' ἡμῶν σοι προσενηνεγμένα τῆς ἀξίας οὐ τῆς δυνάμεως ἀποδέοντα. Ἀντιπαρέχοις λοιπὸν ἡμῖν τὰ παρὰ σαυτοῦ, ὅσα δι' ἐντεύξεως παρέχειν ἰσχύς (α)· νῦν μὲν εὐεξίαν ψυχῆς καὶ σώματος, ἄφεσιν ἐπταισμένων πειρασμῶν, ἀπαλλαγὴν ἀδοκήτων καὶ τέλος ἄξιον φιλανθρωπίας ἁγίου Θεοῦ. Πρὸς δὲ τὸ μέλλον τὴν ἐκ δεξιῶν τοῦ Χριστοῦ παράστασιν ἀνεπαίσχυντον καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις καὶ μέρος· τούτων γάρ σοι τὴν κτῆσιν καὶ μετουσίαν ἡ ἀρετὴ καὶ ὁ φιλόσοφος ἐφιλοτιμήσατο βίος σὺν ἀντιλήψει Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, καὶ παρὰ πάντων εὐχαριστία, τιμή τε καὶ αἴνεσις, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Γραπτέον ἴσως αἰσχύεις».

Ἐν τῇ κατὰ τὰ Μετέωρα ἱερᾷ μονῇ τῆς Κοιμήσεως τῆς Θεοτόκου, τῇ κατ' ἐξοχὴν ἐπικαλουμένῃ «Μετέωρα», ἐνετύχομεν (τῇ 18 Ἰουλίου τοῦ ἔτους 1882) (α) χειρογράφῳ τινὶ βίβλῳ, ἧς ὁ τῆς γραφῆς χαρακτὴρ ὑπεδήλου ὅτι ἐγράφη περὶ τὴν ις' ἑκατονταετηρίδα. Ἦν δ' αὕτη ἐκ χάρτου, σχῆμα μὲν ἔχουσα τὸ τοῦ μικροῦ 8ου, περιεχόμενον δὲ πραγματείας διαφόρους, θεολογικῆς, ὡς ἐπὶ τὸ πολύ, ὕλης, ἐν αἷς καὶ τὴν ἑπομένην *Ἐξομολόγησιν* Γενναδίου ἐκείνου τοῦ Σχολαρίου, τοῦ πρώτου ἀπὸ τῆς Ἁλώσεως Πατριάρχου Κωνσταντινουπόλεως χρηματίσαντος. Ταύτην οὖν ὡς κειμήλιον πολύτιμον ὑπολαβόντες καὶ μνημεῖον χαρακτηριστικώτατον τῆς ἱστορικῆς τοῦ ἑλληνικοῦ ἔθνους πορείας ἀπὸ τῆς Ἁλώσεως τύποις νῦν ἐκδιδόντες, γηθοσύνως προςφέρομεν τοῖς Ἕλλησιν ὡς ἱερώτατον δῶρον. Καὶ ὄντως· ἐάν τις ἀναλογίσηται τὴν μεγάλην προσωπικὴν βαρύτητα τοῦ γράψαντος καὶ τὴν πολλὴν αὐτοῦ παρὰ τοῖς συγχρόνοις ἐφ' ἁγιότητι καὶ περινοίᾳ φήμην, ἔτι δὲ τὸ περιβάλλον αὐτὸν ὕπατον τῆς Πατριαρχείας καὶ Ἐθναρχείας ἀξίωμα καὶ τὰς περιστάσεις, καθ' ἅς, καὶ τὸν σκοπόν, δι' ὃν τὴν *Ἐξομολόγησιν* ἔγραψε, καὶ ἰδιαίτατα μάλιστα τὰ ἐκ τῶν ἐν αὐτῇ διατυπουμένων Ἀρχῶν ἀποτελέσματα, πεισθήσεται πάντως ὅτι τὸ νῦν πρῶτον δημοσιευόμενον ἔγγραφον ἀνήκει ἐν τοῖς τιμαλφεστέροις τῶν περισωθέντων λειψάνων τῆς προγονικῆς τῶν Ἑλλήνων κληρονομίας.

Ὡς ἔστι δ' εἰκάσαι, ἡ περὶ ἧς ὁ λόγος *Ἐξομολόγησις*, οὖσα ἐπίτηδες κατὰ τὸν συνήθη τύπον συντεταγμένη τῶν ἐκκλησιαστικῶν Εὐχῶν, προώριστο, ἵνα ἀναγινώσκηται παρὰ τῶν ὑποδουλωθέντων

(α) Τότε ἀπεστάλημεν παρὰ τῆς ἑλληνικῆς Κυβερνήσεως ἵνα περισυναγάγωμεν τὰ κατὰ τὰς Βιβλιοθήκας τῶν μονῶν τῆς ἄρτι σὺν Θεῷ ἐλευθερωθείσης Θεσσαλίας χειρόγραφα. Συλλέξαντες δὲ 1200 περίπου τοιαῦτα ὕλης τε καὶ ἀξίας διαφόρου, μετηγάγομεν εἰς Ἀθήνας. Κεῖνται δὲ νῦν ἐν τῷ τῶν χειρογράφων τμήματι τῆς Ἐθνικῆς Βιβλιοθήκης. Ἀλλ' ἐκ τῆς εἰρημένης μονῆς τῶν «Μετεώρων», εἰς ἥν, ὡς τὴν κεντρικωτέραν τε καὶ τῶν ἄλλων ἐπισημοτέραν καὶ μείζονα, σενερρύησαν τὰ χειρόγραφα πολλῶν θεσσαλικῶν μονῶν κατὰ διαφόρους καιροὺς καὶ διαφόρους αἰτίας διαλυθεισῶν, μόλις τὸ δέκατον τῶν χειρογράφων κατωρθώθη ἡμῖν λαβεῖν, ἐξ ἀντιστάσεως ἀνοήτου τῶν ἀνοήτων περιοίκων καὶ ἐξ ἀδρανείας τῶν Ἀρχῶν. Ἤδη μετ' ἄλγους πληροφορούμεθα, ὅτι τῶν ἐναπομεινάντων τὰ μὲν διηρπάγησαν, τὰ δὲ ἐκρύβησαν. Οἵα ἐθνικοῦ θησαυροῦ ἀπώλεια! . . .

Χριστιανῶν ἢ δημοσίᾳ ἐπ' ἐκκλησίᾳ, ἤ, τὸ καὶ πιθανώτερον, ἐν ταῖς κατ' ἰδίαν προσευχαῖς (α). Πλὴν εἴτε οὕτως, εἴτε ἐκείνως, ὡς ἐξηγοῦσα ἡμῖν ἐπισημότερον καὶ ὑποτυποῦσα παντὸς ἄλλου ἱστορικοῦ τῆς τότε ἐποχῆς μνημείου πιστότερον τὴν ψυχολογικὴν τοῦ ἑλληνικοῦ ἔθνους κατάστασιν μετὰ τὰς πρώτας ἀμέσως στιγμὰς τοῦ ῥαγδαίου καὶ κεραυνοβόλου ἐκείνου τῆς κατακτήσεως πλήγματος, πολλῆς καὶ ἐμβριθοῦς παρέχει μελέτης ὑπόθεσιν. Καὶ εἶχεν ἄν τις, ἐξ αὐτῆς καὶ μόνης τῆς *Ἐξομολογήσεως* τὸ ἐνδόσιμον λαβών, θαυμάσαι οὐ μόνον τὸν ἐκκλησιαστικῶς προνοητικώτατον, ἀλλὰ καὶ τὸν πολιτικῶς διορατικώτατον νοῦν τοῦ ἀνδρός, ὃν ἡ τοῦ Θεοῦ πρόνοια ἀνύψωσε τότε εἰς τὴν περιωπὴν ἐκείνην, ἵνα περισυναγάγῃ τοὺς καταπεπληγμένους καὶ ἀπεγνωσμένους Ἕλληνας, ὡς ἡ ὄρνις τοὺς νεοσσούς.

Ἀνάγκη δ' ἐνταῦθα μὴ διελθεῖν ἀπαρατήρητον ὅτι ἡ *Ἐξομολόγησις* τοῖς ἐξ ἐπιπολῆς αὐτὴν ἀναγινώσκουσι καὶ τροχάδην φανήσεται ἴσως ἢ ὡς καθαρῶς θρησκευτικὸν ἔχουσα χαρακτῆρα καὶ τοῦτον μόνον, ἢ ὡς ἐλαφρῶς καὶ ἐν παρόδῳ τοῦ φοβεροῦ ἐκείνου ἁπτομένη ἐθνικοῦ δυστυχήματος. Ἀλλ' οἱ συντονώτερον αὐτὴν μελετῶντες καὶ τῇ διανοίᾳ εἰς τὰς καθ' ἃς αὕτη ἐγράφη ἡμέρας ἀναγόμενοι, οὗτοι τὸ κατ' ἀνάγκην αὐτὴν περιβάλλον ἐκκλησιαστικὸν περικάλυμμα αἴροντες ἀνακαλύπτουσι τὸ πατριαρχικὸν πλῆκτρον κροῦον λίαν ἐντόνως τε καὶ ἐντέχνως πάσας τὰς μυχίας χορδὰς τῆς τῶν Ἑλλήνων ψυχῆς, τότε μάλιστα, εἴπερ ποτέ, ἀφῆς ἐπιτηδείας καὶ κρούσεως ψυχαγωγοῦ δεομένης. Ἡ τοῦ ὑψίστου τῶν ἐπὶ γῆς ἀγαθῶν, τῆς ἐλευθερίας, λέγω, καὶ τῆς αὐτονομίας τῆς Πατρίδος στέρησις μεθ' ἁπάντων τῶν ἀθρόως

(α) Τοὐντεῦθεν ἄπορον ἀληθῶς παντί που φανήσεται πῶς τοσαύτη ἀντιγράφων τῆς «Ἐξομολογήσεως» σπάνις. Ἡμῖν γε δοκεῖ, ὅτι τὸ ἔγγραφον, καίπερ εἰς πλείστων τὸ κατ' ἀρχὰς κυκλοφορῆσαν χεῖρας, ἕνεκεν ὅμως τοῦ οὕτως ἐπισήμως ἐκδηλουμένου ἐν αὐτῷ πάθους κατὰ τῶν κατακτητῶν Τούρκων, λίαν πρωΐμως ἤρξατο περιορίζεσθαι. Ἰστέον δ' ὅτι τοῦ αὐτοῦ Γενναδίου τοῦ Σχολαρίου ἐξεδόθη ἑλληνιστὶ καὶ λατινιστὶ τῷ 1501 ἐν Ῥώμῃ «*Εὐχὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν*» ὑπὸ Ἄλδου Μανουτίου (Aldo Manutio. Ὅρ. Πατρολ. ὑπὸ Migne, Τόμ. ΡΞ', σελ. 525), ἥτις ἀνετυπώθη καὶ ἐν τῷ τυπογραφείῳ τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως ἐν ἔτει 1799 (Ὅρ. Ἀπάνθισμα Εὐχῶν, σελ. 155). Ἡ Εὐχὴ αὕτη, κατὰ τὰ δύο τρίτα οὖσα συντομωτέρα τῆς νῦν ἐκδιδομένης «Ἐξομολογήσεως», πάσης τε τῆς δυνάμεως ἐκείνης ἔν τε λέξεσιν ἔν τε νοήμασι καὶ αἰσθήμασιν ἀμοιροῦσα καὶ ἀμυδρότατα μόλις που ὁμοιότητος ἴχνη πρὸς ἐκείνην σώζουσα, παρέχει ὑπόνοιαν, ὅτι οὐ μετὰ πολὺν ἀπὸ τῆς Ἁλώσεως χρόνον δι' αὐτῆς ἡ Ἐκκλησία ἐκ προνοίας ἀντικατέστησε τὴν πρώτην ἐθνικὴν «Ἐξομολόγησιν».

παρακολουθησάντων αὐτῇ ἀνιαρῶν, ἐγένετο, ὡς εἰκός, αἰσθαντικωτέρα τε καὶ ὀδυνηροτέρα ἅμα τῇ Ἁλώσει. Τὸ δὲ πρὸς αὐτὰς φίλτρον, κενὰς ἤδη μακαρίας καταστάσας, ἑπόμενον ἦν ἀναρριπισθῆναι ἐν ταῖς τῶν Ἑλλήνων ψυχαῖς τοσούτῳ θερμότερον, ὅσῳ χαλεπώτερα ἦσαν τὰ ἃ ἔπασχον δεινά. Ὁ δὲ Πατριάρχης ἅμα τότε καὶ Ἐθνάρχης τοῦ αἰχμαλωτισθέντος Ἔθνους καταστάς, τούτων τῶν αἰσθημάτων τοῦ Γένους διερμηνευτὴς πρὸς τὸν Θεὸν τῶν πατέρων γινόμενος, ἀποτείνει πρὸς αὐτὸν λόγους, κρουνοὺς προκαλοῦντας δακρύων καὶ συγκινοῦντας βαθύτατα καὶ τὴν ἀπαθεστέραν ψυχήν.

«*Μὴ ἐπιλάθου*, λέγει, *Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου τῆς » ταλαιπωρίας ἡμῶν, τῆς θλίψεως, τῆς πτωχείας, τῶν ἀνηκέστων » ὀδυνῶν, τῆς ἀφορήτου πικρίας. Ἐκολλήθησαν εἰς γῆν αἱ γαστέρες » ἡμῶν, ἐκπεπνεύκαμεν, διαπεφωνήκαμεν, συνετρίβημεν ὡς σκεύη κε» ραμέως ταῖς ἐπαγωγαῖς τῶν δεινῶν . . . Οἱ ταῖς διαθήκαις σου πο» λεμοῦντες (α) διήρπασαν αὐτοῖς τὴν ἐκλεκτὴν μερίδα τῶν δούλων » σου (β). Πανταχοῦ διεσπάρημεν. Ὄνειδος προκείμεθα οὐ τοῖς γεί» τοσι μόνον, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. Μυκτηρισμὸς καὶ χλευασμὸς » τοῖς κύκλῳ ἡμῶν ἐγενόμεθα. ΠΑΡΑΔΕΙΓΜΑ ΣΥΜΦΟΡΑΣ ΕΙΣ » ΤΟΝ ΑΝΘΡΩΠΙΝΟΝ ΚΑΤΕΣΤΗΜΕΝ ΒΙΟΝ!*»

Ταῦτα σχετλίως ἐνώπιον τοῦ Θεοῦ ὁ Πατριάρχης ἐκτραγῳδῶν, τὴν μὲν ὀδύνην τῶν ὑπ' αὐτὸν ἀνακουφίζει, αὐτοὺς δὲ γυμνάζει εἰς τὸ φέρειν τὰ δεινὰ τῶν καιρῶν γενναίως, ἐμμένειν τε στερρῶς ἐν τῇ πατρῴᾳ πίστει καὶ εὐσεβείᾳ καὶ ἐπ' αὐτῶν μόνον τὴν ἐλπίδα στηρίζειν τῆς ἐκ τοῦ καταποντισμοῦ διασώσεως.

Ἀλλ' ἡ ἀπερίγραπτος ἐκείνη συμφορά, ὅτι οὐκ ἐπῆλθεν αὐτόματος, ἀλλ' ἦν ἀποτέλεσμα προηγηθείσης γενικῆς τοῦ ἔθνους ἐξαχρειώσεως ἐκ τῆς ἱστορίας παντί που καὶ γνώριμον καὶ σαφές. Τὸ δὲ παρήγορον, ὅτι μετὰ τὴν ὁλοσχερῆ τῶν ἐθνικῶν δυνάμεων συντριβὴν καὶ τὴν κοινὴν αἰχμαλωσίαν κοινὴ πάντας τοὺς Ἕλληνας κατέσχε πεποίθησις, ὅτι τῆς συμφορᾶς αἰτία κυρία ὑπῆρξεν οὐ τοσοῦτον ἡ τοῦ κατακτητοῦ δύναμις, ὅσον αἱ τὸν πολιτικόν, κοινωνικὸν καὶ ἰδιωτικὸν τοῦ ἔθνους βίον κατακλύσασαι ἁμαρτίαι. Ὁ δὲ Πατριάρχης Γεννάδιος,

---

(α) Οἱ ἐπιδραμόντες Τοῦρκοι δηλαδή.— (β) Αἰνίσσεται πιθανῶς ἐνταῦθα ὁ Πατριάρχης τοὺς καὶ ἐν πάσαις μὲν ταῖς ἑλληνικαῖς χώραις, ἀλλ' ἰδίως τοὺς ἔναγχος τότε ἐν Κωνσταντινουπόλει αἰχμαλωτισθέντας κατὰ τὴν Ἅλωσιν νεανίσκους καὶ τὰς παρθένους.

ἀνὴρ σοφὸς καὶ περινούστατος, τὸ σωτήριον τοῦτο φρόνημα κρατῦναι θέλων παρὰ τοῖς Ἕλλησιν, ἀθρόον τὸ Ἔθνος καθοδηγεῖ ἐνώπιον τοῦ Θεοῦ καὶ ποιεῖ αὐτὸ ἐξομολογεῖσθαι τὰ ἴδια ἁμαρτήματα, ἐφ' οἷς κατ' ἀναπόφευκτον ἀνάγκην ἔδει οὕτω σκληρῶς τιμωρηθῆναι. «Διεφθάρημεν, ἀνακράζουσι πρὸς τὸν Θεὸν διὰ στόματος τοῦ Πατριάρχου ὁμοφώνως οἱ Ἕλληνες, διεφθάρημεν καὶ ἐβδελύχθημεν ἐν τοῖς ἡμῶν ἐπιτηδεύμασιν. Πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν... Τὰ σώματα ἡμῶν τοῖς πάθεσιν ἐξεδώκαμεν. Τὰς ψυχὰς ἡμῶν τοῖς σώμασι προσηλώσαμεν. Αἱ δεξιαὶ ἡμῶν δεξιαὶ ἀδικίας ἐγένοντο. Αἱ γλῶσσαι ἡμῶν ἐβλασφήμησαν κατὰ τῶν ἁγίων σου... Ὠμνύομεν τοῖς πλησίον αὐτοῖς, καὶ ἠθετοῦμεν. Δικαιοσύνην καὶ κρίσιν ἐβδελυξάμεθα... Οἱ Ποιμένες ἠπατῶμεν τὸν λαὸν τοῦ Θεοῦ καὶ τὰς τρίβους αὐτοῦ ἐταράττομεν, καὶ ἐν ἀρετῆς προσχήματι πονηρίαν ἐδιδάσκομεν. Οἱ Ἄρχοντες ἠπειθοῦμεν τοῖς νόμοις σου, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα... Ἁπλῶς εἰπεῖν, παρασυνεβλήθημεν».

Καὶ ἐπέπρωτο ἄρα τῷ τῶν Ἑλλήνων γένει, ἐν τῷ βυθῷ βαπτισθέντι τῶν συμφορῶν, αἰσθέσθαι πρῶτον τῆς ἧς ἔχρῃζεν ἐξαγνίσεώς τε καὶ καθάρσεως. «Νῦν, λέγει ἡ *Ἐξομολόγησις*, κατανοοῦμεν τὴν αἰσχύνην τῶν ἡμετέρων προσώπων, ὡς ἐν κατόπτροις, ταῖς συμφοραῖς, ἐν αἷς ἐπαιδεύθημεν».

Ἐνταῦθα τέλος σημειωτέον ὅτι εἰ ἡ μὲν καθαρὰ ἐξομολόγησις ἔκφανσίς ἐστι καὶ ἐκδήλωσις τῆς ἔνδον συντελεσθείσης ἐπὶ τὸ κρεῖττον τροπῆς, αὕτη δὲ πάλιν τῆς σωτηρίας καθίσταται πηγὴ καὶ ἀρχή, τὸ ἑλληνικὸν ἔθνος ἅμα τῇ Ἁλώσει στραφὲν ὅλως εἰς ἑαυτό, διαγνὸν τῶν ἰδίων ἁμαρτημάτων τὰ ἕλκη καὶ εἰς τὴν τῆς μετανοίας ὁδὸν εἰσελθόν, ἔπραξε τὴν πρώτην πρᾶξιν, ἐξ ἧς μετὰ καιροὺς ἡ νέα αὐτοῦ ἐθνικὴ ζωὴ ἐξανέτειλεν.

Καὶ ἐστέναξε μὲν ἐφ' ὁλοκλήρους αἰῶνας ἐπωδύνως διὰ τὴν προσβολὴν τῆς οἰκογενειακῆς τιμῆς· ποταμοὺς ἔχυσε δακρύων ἐπὶ τῇ ἁρπαγῇ καὶ ἐξωμοσίᾳ τῶν φιλτάτων· ἐπένθησέ τε καὶ ἐσκυθρώπασεν, ἀπογυμνωθὲν παντὸς ἀνθρωπείου δικαίου· ἐβλήθη σύσσωμον, κυριολεκτικῶς εἰπεῖν, εἰς τὸν λέβητα τοῦ μαρτυρίου· ἐτέθη ἐπὶ τοῦ τῆς βασάνου πυρός· ἐδοκίμασε πάσας τοῦ βρασμοῦ τὰς ὀδύνας· ἀλλ', ὡς ἐκ θαύματος, οὐκ ἐξηφανίσθη. Μᾶλλον δὲ εἶχεν ἄν τις εἰπεῖν, ἐξαγνισθὲν τοῖς παθήμασι καὶ καθαρθέν, ὡς χρυσὸς ἐν χωνευτηρίῳ, ἐξῆλθε νέαν ἔχον σώματος ῥώμην καὶ ψυχῆς σθένος.

Εἰ δ' ἡ πλήρης αὐτοῦ ἀποκατάστασις οὔπω συνετελέσθη καὶ νέων περιπετειῶν σειρὰ προσαναμένει αὐτό, ὡς τοῦτο προμηνύει ἡ ἐνεστῶσα τῶν πραγμάτων φορά, ἐκ τῆς μακρᾶς καὶ πικρᾶς πείρας διδαχθήτω ὅτι πρὸ πάντων ἡ τοῦ αὐτοῦ μέτρου χρῆσις, ἤτοι ἡ τῶν ἰδίων ἁμαρτημάτων ἐπισκόπησίς τε καὶ διόρθωσις, ἔσεται αὐτῷ καὶ ἐν τῷ μέλλοντι τὸ λυσιτελέστερον καὶ ἀσφαλέστερον πρὸς διάσωσιν μέσον.

Ἐὰν δέ ποτε (ὡς εἴθε γένοιτο) καθιερωθῇ ἐπισήμως ὑπὸ τοῦ ἔθνους ἡ 29η τοῦ Μαΐου μηνὸς ὡς πένθιμος ἐθνικὴ τῶν Ἑλλήνων ἑορτὴ καὶ θεσπισθῇ κατ' αὐτὴν ἡ τέλεσις ἱεροῦ μνημοσύνου ὑπὲρ τοῦ ὡς μάρτυρος τῆς χριστιανικῆς Πίστεως καὶ τῆς ἑλληνικῆς Πατρίδος ἡρωϊκῶς πεσόντος τελευταίου βασιλέως Κωνσταντίνου ἐκείνου τοῦ Παλαιολόγου, τῆς ἐπ' Ἐκκλησίαις δημοσίας ἀναγνώσεως τῆς *Ἐξομολογήσεως* ταύτης Γενναδίου τοῦ Πατριάρχου ὑψηλότερόν τε καὶ διδακτικώτερον ταῖς τε νῦν καὶ ταῖς μελλούσαις τοῦ Πανελληνίου γενεαῖς κήρυγμα φαντασθῆναι οὐ δυνάμεθα.



ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΥΡΙΟΥ ΓΕΝΝΑΔΙΟΥ

ΕΥΧΗ

ΕΙΣ ΤΟΝ ΕΝΑ ΚΑΙ ΤΡΙΣΥΠΟΣΤΑΤΟΝ ΘΕΟΝ, ΤΗΝ ΑΓΙΑΝ ΚΑΙ ΥΠΕΡΟΥΣΙΟΝ ΤΡΙΑΔΑ

ΕΝ ΕΙΔΕΙ ΕΞΟΜΟΛΟΓΗΣΕΩΣ

Κύριε ὑπεράγιε, δημιουργὲ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς πάντων ἔφορε, πάνσοφε, πάντων κυβερνῆτα, βασιλεῦ φοβερώτατε, κριτὰ δικαιότατε, Πάτερ εὐσπλαγχνότατε· ἡ ἀδιαίρετος κατὰ φύσιν Μονὰς ἐν ὑποστάσεων ἀσυγχύτῳ Τριάδι (καθὼς ἡμῖν ἀποκαλυφθῆναι εὐδόκησας καὶ ἐν τῷδε τῷ σκοτεινῷ βίῳ), νοῦ ἄναρχε, Λόγῳ ἐνυποστάτῳ καὶ Πνεύματι ζῶντι καὶ ζωτικῷ πάντων αὐτοτελῶς τελειούμενε καὶ τὴν ἀΐδιον καὶ μακαρίαν ἀνύων ἐν σεαυτῷ ζωήν· ὧν τὸν μὲν Λόγον σου ἔδωκας ἡμῖν τοῖς ἀναξίοις δούλοις σου ἐν τῇ ὑπ᾽ αὐτοῦ προςληφθείσῃ φύσει ἡμῶν σωτῆρα καὶ ἰατρὸν καὶ διδάσκαλον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεόν, τὸ δὲ Πνεῦμά σου τὸ πανάγιον ἐν εἴδει σωματικῷ καταπέμψας ἐν τοῖς δώροις τῆς χάριτος τοῦ Χριστοῦ σου τοὺς σοὺς μαθητὰς ἐβεβαίωσε, καὶ δι᾽ αὐτῶν μέχρι τοῦ νῦν τοὺς ὀρθῶς πιστεύοντας βεβαιοῖ· Θεὲ παντοκράτορ, ἀπειροδύναμε, ἄναρχε, ἀσώματε, ἀπερίληπτε, θαυμαστὲ τοῖς ὀφθαλμοῖς τῶν ἀγγέλων, φοβερὲ πᾶσι τοῖς κτίσμασί σου, ἀγαπητὲ πᾶσι τοῖς ἀγαπῶσι τὴν ζωὴν καὶ τὴν σωτηρίαν αὐτῶν· εἰς σὲ πιστεύομεν, σὲ ὁμολογοῦμεν Δεσπότην ἡμῶν καὶ Πατέρα καὶ δικαστὴν καὶ προμηθέα· εἰς σὲ ἐπερρίφημεν ἐκ κοιλίας μητρὸς ἡμῶν, σὺ εἶ ἡμῶν τροφεύς, σκεπαστὴς καὶ χορηγὸς πάντων τῶν ὑπαρχόντων ἡμῖν ἀπὸ γενέσεως μέχρι καὶ τοῦ νῦν ἀγαθῶν, καὶ ὧν ἔχομεν καὶ ὧν ἀφῃρέθημεν. Κύριε, ἐν τοῖς ὠσὶν ἡμῶν

ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργα, ἃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωζεν αὐτούς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προςώπου σου· διότι εὐδόκησας ἐν αὐτοῖς, καὶ διότι αὐτοὶ ἐποίουν τὰ θελήματά σου καὶ τὰ προςτάγματά σου ἐφύλαττον. Ἄμωμοι ἐπορεύοντο ἐν ὁδοῖς αὐτῶν, καὶ εἰργάζοντο δικαιοσύνην. Διὰ τοῦτο ἐπὶ σὲ ἤλπιζον, καὶ ἐρρύου αὐτούς. Πρὸς σὲ ἐκέκραξαν πολλάκις, καὶ ἐσώθησαν. Ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατησχύνθησαν. Ὁμοίως καὶ ἡμᾶς τοὺς παῖδας αὐτῶν ποσάκις ἔσωσας ἐκ τῶν θλιψάντων ἡμᾶς, ποσάκις τοὺς μισοῦντας ἡμᾶς κατήσχυνας; Ἐπαίδευες, καὶ πάλιν ἰῶ. Ὠργίζου, καὶ πάλιν ᾤκτειρες. Ἐνεκρουόμεθα τῷ θυμῷ σου, καὶ τῷ ἐλέει σου εὐθὺς ἐζωοποιούμεθα.

Ἀλλὰ νῦν, Κύριε, εἰς τέλος ἀπώσω καὶ κατήσχυνας. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς μισοῦντας ἡμᾶς. Οἱ ταῖς διαθήκαις σου πολεμοῦντες διήρπασαν αὐτοῖς, ὡς πρόβατα βρώσεως, τὴν ἐκλεκτὴν μερίδα τῶν δούλων σου. Πανταχοῦ διεσπάρημεν. Ὄνειδος προκείμεθα οὐ γείτοσι μόνον, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. Μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν ἐγενόμεθα. Παράδειγμα συμφορᾶς εἰς τὸν ἀνθρώπινον κατέστημεν βίον! Καὶ ἵνα τί, Κύριε, ταῦτα συνεχώρησας ἐφ' ἡμῖν; ἵνα τί ὁ θυμός σου ἐφ' ἡμᾶς ἐξεκαύθη; Ὀψὲ ἐπέγνωμεν, Κύριε, παιδευθέντες ἤδη μὲν καὶ πρότερον ἐκ τοῦ νόμου σου, ἀλλ' ἔπεσε πῦρ ἐφ' ἡμᾶς ἐπιθυμίας οὐκ ἀγαθῆς, καὶ οὐχ ἑωράκαμέν σε τὸν τῆς δικαιοσύνης Ἥλιον ἐν τοῖς νόμοις σου λάμποντα. Ἀλλὰ νῦν οἴδαμεν καλῶς καὶ ὁμολογοῦμεν δηλονότι· διότι ἐπειράξαμεν καὶ παρεπικράναμέν σε τοῖς στόμασιν ἡμῶν καὶ ταῖς γλώσσαις ἡμῶν ἐψευσάμεθά σε καὶ ἡ καρδία ἡμῶν οὐκ ἦν εὐθεῖα μετὰ σοῦ. Οὐκ ἐπιστώθημεν ἐν ταῖς διαθήκαις σου, καὶ τὰ μαρτύριά σου οὐκ ἐφυλαξάμεθα, ἀλλ' ἠθετήσαμεν, καὶ ἐστράφημεν εἰς τόξον στρεβλόν. Διεφθάρημεν καὶ ἐβδελύχθημεν ἐν τοῖς ἡμῶν ἐπιτηδεύμασιν. Πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν. Ταῖς ἑορταῖς σου ἠτιμάσαμεν. Τῆς δόξης σου κατεφρονήσαμεν. Τὰ σώματα ἡμῶν τοῖς πάθεσιν ἐξεδώκαμεν. Τὰς ψυχὰς ἡμῶν τοῖς σώμασι προςηλώσαμεν. Αἱ δεξιαὶ ἡμῶν δεξιαὶ ἀδικίας ἐγένοντο. Αἱ γλῶσσαι ἡμῶν ἐβλασφήμησαν κατὰ τῶν ἁγίων σου. Χείλη ἡμῶν δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν κακά. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Ὠμνύομεν τοῖς πλησίον

αὐτοῖς, καὶ ἠθετοῦμεν. Τὸ ἀργύριον ἡμῶν ἐπὶ τόκῳ παρείχομεν, καὶ ἐπ' ἀθῴων ἐλαμβάνομεν δῶρα. Δικαιοσύνην καὶ κρίσιν ἐβδελυξάμεθα. Οἱ ζυγοὶ ἡμῶν ἄνισοι. Τὸ ἀργύριον ἡμῶν ἀδόκιμον. Ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ ἐλογιζόμεθα ἐν ταῖς καρδίαις ἡμῶν. Οἱ Ποιμένες ἠπατῶμεν τὸν λαὸν τοῦ Θεοῦ καὶ τὰς τρίβους αὐτοῦ ἐταράττομεν, καὶ ἐν ἀρετῆς προσχήματι πονηρίαν ἐδιδάσκομεν. Οἱ ἄρχοντες ἠπειθοῦμεν τοῖς νόμοις σου, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες καὶ κρίσιν χηρῶν οὐ προςέχοντες. Ἁπλῶς εἰπεῖν, παρασυνεβλήθημεν. Σὺ δέ, Κύριε, ἐμακροθύμεις, ἠνείχου, ἔμενες, ἵνα ποιήσωμεν ὀψὲ σταφυλήν, καὶ ἡμεῖς ἀεὶ ποιοῦμεν ἀκάνθας· Θλίψεις καὶ ἀνάγκαι ἡμᾶς εὕροσαν ἀπ' αὐτοῦ ἐπὶ τελευταίᾳ δοκιμῇ ἡμῶν εἰς ἐπιστροφήν, καὶ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν. Ἔσειες τὴν γῆν, καὶ ἐτρυφῶμεν. Ἠπείλεις, καὶ οὐκ ἐφροντίζομεν. Ἐδίδασκες, καὶ οὐκ ἐβουλόμεθα συνιέναι τοῦ ἀγαθῦναι. Ἐκέλευες μετανοεῖν, καὶ οὐ προςείχομεν, οὐδ' ἐπολιτευ[όμεθα] καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται, ἀλλ' ἐν τῷ βάθει τῶν πειρασμῶν καὶ τῆς ἀπειλῆς τῆς ἐγκαταλείψεώς σου τοῖς λειψάνοις τῆς ἀναιδείας ἡμῶν ἐπεξήλθομεν, καθὼς ἐποιήσαμεν βουλὴν καὶ οὐ διὰ Κυρίου. Καὶ διὰ τοῦτο τοῖς κρημνοῖς τῆς ἀβουλίας περιεπέσομεν.

Ὁμολογοῦμεν ταῦτα, Θεέ, Βασιλεῦ οὐράνιε. Οὐκ ἀρνούμεθα. Ὁμολογοῦμεν, ὅτι ἐγενόμεθά σοι εἰς πλησμονήν, καὶ διὰ τοῦτο οὐκέτι ἀφῆκας τὰς ἁμαρτίας ἡμῶν. Καὶ ὅτε τὰς χεῖρας ἡμῶν ἐξετείναμεν πρὸς σέ, ἀπέστρεφες τοὺς ὀφθαλμούς σου ἀφ' ἡμῶν. Καὶ ὅτε ἐπληθύναμεν τὴν δέησιν πρὸς σέ, ἀπέστρεφες τοὺς ὀφθαλμούς σου ἀφ' ἡμῶν, οὔτε εἰςήκουσας, καὶ σεισμοῖς καὶ χαλάζαις ἐδείκνυές σου τὴν ἀγανάκτησιν (α). Πῶς γὰρ ἂν ἐδέξω χεῖρας αἵματος πλήρεις; Πῶς ἂν ἤκουσας χειλέων βλασφημούντων ὁμοῦ καὶ αἰνούντων σε; Πῶς

(α) Ἐκ τῶν ἀμέσως ἐφεξῆς λεγομένων « δικαίως ἐξέωσας ἡμᾶς τῆς ἐνταῦθα κληρο» νομίας ἡμῶν » εἰκότως ἄν τις τεκμαίροιτο, ὅτι διὰ μὲν τῶν λέξεων « ὅτε τὰς χεῖ» ρας ἡμῶν ἐξετείναμεν πρὸς σέ . . . Καὶ ὅτε ἐπληθύναμεν τὴν δέησιν πρὸς σέ » ὑπαινίσσεται ὁ Πατριάρχης τὰς ἐν τῷ ἐσχάτῳ ἀπελπισμῷ κατὰ τὰς ἡμέρας τῆς πολιορκίας τῆς Κωνσταντινουπόλεως γενομένας πρὸς τὸν Θεὸν ἐκτενεῖς τῶν κατοίκων δεήσεις. Διὰ δὲ τῶν « σεισμοῖς καὶ χαλάζαις » εἰκονίζει συμβολικῶς τῶν πυροβόλων τῶν πολιορκητῶν τοὺς φοβεροὺς κρότους καὶ τῶν σφαιρῶν τὰ δίκην χαλάζης καταπίπτοντα ῥύματα.

ἔμελλες φείδεσθαι τῆς τοσαύτης ἀνελπίστου καὶ ἀμετανοήτου πωρώσεως; Οὐκοῦν εὐλογητὸν εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν. Καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας.

Ἀλλὰ νῦν, Κύριε, ἐξακολουθοῦμέν σοι ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου. Καταγινώσκομεν τῆς ἀναιδείας ἡμῶν ἐκείνης. Καταρώμεθα τῶν παρακοῶν ἡμῶν καὶ τῶν ἔργων, οἷς παρωξύναμέν σου τὴν ἀγαθότητα. Νῦν ἐπιγινώσκομέν σε Πατέρα, ὅτι δικαίως ἐξέωσας ἡμᾶς τῆς ἐνταῦθα κληρονομίας ἡμῶν, ἵνα, σωφρονισθέντες, μὴ ζημιωθῶμεν τὴν ἀληθινὴν κληρονομίαν ἡμῶν τὴν μέλλουσαν. Νῦν ἐπιγινώσκομέν σε Δεσπότην ἐκ τῆς φρικώδους σου καθ' ἡμῶν ἀποφάσεως καὶ τῆς *οὐρανίου* (α) προδήλως ἁρπαγῆς τῶν ὑπαρχόντων ἡμῖν ἐκ σοῦ ἀγαθῶν, ἐφ' οἷς ἀχάριστοι ὤφθημεν. Νῦν ἐπιγινώσκομέν σου τὴν δύναμιν κατα. . . (β) ἐν ταῖς ἀνθρωπίναις ἐλπίσιν. Νῦν κατανοοῦμεν τὴν αἰσχύνην τῶν ἡμετέρων προσώπων, ὡς ἐν κατόπτροις, ταῖς συμφοραῖς, ἐν αἷς ἐπαιδεύθημεν. Οὐχ ἡ τοῦ Χριστοῦ σου πίστις ἠσθένησεν, ἀλλ' ἡμεῖς ἀσθενήσαντες ἐν αὐτῇ διεφθάρημεν, καὶ ὁ ὑπὲρ ἡμῶν γενόμενος ἄνθρωπος καὶ ὑπὲρ ἡμῶν πεπονθὼς ἀφῆκεν ἐκδότους ταῖς ἐξ ἀνθρώπων ἐπιβουλαῖς, τὴν ἀχαριστίαν οὐκ ἐνεγκών. Οὐ τὸ πατρικόν σου περὶ ἡμᾶς ἐψυχράνθη, Δέσποτα, σπλάγχνον, ἀλλ' ἡ δυςωδία τῶν ἡμετέρων ἁμαρτιῶν μέχρι καὶ εἰς αὐτὸν ἀναβᾶσα τὸν οὐρανόν, τὴν σὴν ἀπέστρεψεν ἀγαθότητα, καὶ ὅλη καθ' ἡμῶν ἡ τῆς δικαιοσύνης ἔρρεψε πλάστιγξ, μᾶλλον δὲ ὑπὲρ ἡμῶν, εἴπερ καὶ δι' ὧν παιδεύεις εὐεργετεῖς, ὁ πολυμήχανος προμηθεύς. Εἴδομέν σου τὴν δικαίαν κρίσιν, ὑπερθαύμαστε δικαστά. Εἴδομέν σου καὶ τὰ συνήθη τῶν οἰκτιρμῶν σπλάγχνα, Πάτερ ἤπιε καὶ φιλόστοργε, ὅτι μετανοοῦμεν θερμῶς ἐφ' οἷς ἐξημάρτομεν, ὅτι εἰς σὲ τὴν ἐλπίδα τείνομεν πᾶσαν, τῇ σῇ μόνῃ κηδεμονίᾳ τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα παραδίδομεν. Μὴ δὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Μὴ ἐπιλάθου τῆς ταλαιπωρίας ἡμῶν, τῆς θλίψεως, τῆς πτωχείας, τῶν ἀνηκέστων δεινῶν, τῆς ἀφορήτου πικρίας. Ἐταπεινώθησαν γὰρ εἰς χοῦν ἡμῶν αἱ ψυχαί, ἐκολλήθησαν εἰς γῆν αἱ γα-

---

(α) «Οὐρανίου (;). . . ἁρπαγῆς»· γραπτέον ἴσως «παγκοίνου προδήλως ἁρπαγῆς».— (β) Ἴσ. «καταισχυνθέντες».

στέρες ἡμῶν, ἐκπεπνεύκαμεν, διαπεφωνήκαμεν, συνετρίβημεν ὡς σκεύη κεραμέως ταῖς ἐπαγωγαῖς τῶν δεινῶν, ἀλλ' οὐκ ἐπιλανθανόμεθα τοῦ ὀνόματός σου, οὐ διαπετάννυμεν χεῖρα πρὸς Θεὸν ἀλλότριον. Εἰ τοίνυν ἐπιστρέψεις ἐφ' ἡμᾶς αὖθις ὁ συμπαθὴς Πατὴρ καὶ Δεσπότης, διασωθησοίμεθα τάχιον ἢ διαφθαρείημεν. Δὸς ἡμῖν ἄνεσιν ἐν τοῖς πειρασμοῖς, Κύριε, ὅσην ἂν βουληθείη ἡ εὐσπλαγχνία σου. Δὸς ἡμῖν ὑπομονὴν μετ' εὐχαριστίας, ἕως ἂν βούληται ἡ δικαία καὶ πανθαύμαστός σου βουλὴ ἐν τῷ σταδίῳ τούτῳ τῶν πειρασμῶν ἡμῶν δοκιμάζεσθαι, καὶ μὴ συγχωρήσῃς μέχρι τέλους τῆς ζωῆς ἐν τῷ κλύδωνι τῶν πειρασμῶν ἡμᾶς βασανίζεσθαι, ἀλλὰ τὰς ψυχὰς ἡμῶν διαφύλαξον. Ἐπανάγαγε ἡμᾶς εἰς τὴν ἀγάπην σου, καὶ ἐν ταύτῃ τὴν ἐπιθυμίαν ἡμῶν ἵδρυσον ἅπασαν. Εἰ πάντα ἐζημιώθημεν, ἀλλὰ σὲ μὴ ζημιωθείημεν, Πάτερ γλυκύτατε καὶ αἰώνιε, ἡμῶν προμηθεῦ. Εἰ τῶν προςκαίρων καλῶν ἔκρινας ἡμᾶς ἀναξίους, τοιούτους ὄντας, ἀλλὰ τῆς μελλούσης εὐδαιμονίας καὶ τῆς ἐν σοὶ εὐζωίας μὴ ἀποκλείσῃς. Ὅτι εἰ μέλλοιμεν σέ, Κύριε, ἔχειν, οὐδὲν ἀπεβάλομεν. Εἰ μέλλοιμεν ἀϊδίως ἐν σοὶ ζῆν, οὐδὲν δεινὸν ἐπεπόνθαμεν. Εἰ μέλλοιμεν τῆς πατρίδος ἐπιτυγχάνειν τῆς ἀϊδίου, οὐδὲν ἡμᾶς λυπήσει τὰ πάθη τῆς παροικίας.

Ἐπάκουσον ἡμῶν, Κύριε, ἐπάκουσον ἐν τῇ θλίψει ταύτῃ βοώντων σοι καὶ αἰρόντων χεῖρας ἡμῶν καὶ ψυχὰς πρὸς σὲ τὸν ὕψιστον Θεὸν καὶ δημιουργὸν ἡμῶν, καὶ κλινόντων τῷ κράτει σου τοὺς ἡμετέρους αὐχένας. Ναί, Κύριε, ἐπάκουσον διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τῷ ἰδίῳ αἵματι ἡμᾶς ἐξωνησαμένου, καὶ διὰ τοῦ ἁγίου σου Πνεύματος, μεθ' ὧν ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι ζῇς τε καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν τῇ Βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ ἱεροῦ μοναστηρίου τῆς Λαύρας εὕρηται ἡ ἑπομένη τοῦ αὐτοῦ Πατριάρχου Γενναδίου τοῦ Σχολαρίου ἐπιστολή, ἣν ἀπὸ τῶν Πατριαρχείων ἀπέστειλε πρός τινα Λαυριώτην μοναχὸν Ἰωακεὶμ τοὔνομα, ἐν τῷ τῆς Λαύρας διατρίβοντα μοναστηρίῳ. Τὸ χειρόγραφον, ἐν ᾧ ἡ ἐπιστολή, ἐστὶν ἐκ χάρτου, αὐτὴ δὲ ἡ ἐπιστολὴ ἀνέκδοτος μέχρι τοῦδε.

Τιμιώτατε ἐν μοναχοῖς κύριε Ἰωακείμ (α),

Ἐπειδὴ ἔλαθεν ἡμᾶς τοῦτο, καὶ οὐκ ἐγράψαμεν ἐν τῷ Πιττακίῳ (β), τῷ πρὸς τὴν Ἁγίαν Μονήν, γράφομεν τοῦτο ἰδίως καὶ οἰκειοχείρως διὰ καλλίονα ἐνθύμησιν ὑμῶν καὶ πληροφορίαν τῶν ἀδελφῶν. Ἐὰν ἔλθῃ τις ἱερομόναχος ἢ κοσμικὸς ἱερεὺς ἢ διάκονος ἀπὸ τῆς Κρήτης ἢ τῆς Πελοποννήσου ἢ τῶν ἄλλων νήσων *ἀπὸ τοῦ γένους ἡμῶν*, ἔχητε δὲ ἀμφιβολίαν τινὰ ἢ περὶ τοῦ χειροτονήσαντος αὐτόν, μή ποτε ἐφρόνει τὰ τῶν Λατίνων, ἢ περὶ αὐτοῦ τοῦ ἱερωμένου, μή ποτε συνελειτούργησεν ἢ ἐμνημόνευσέ τινα ἀπ' ἐκείνου τοῦ μέρους, ἢ ἐάν τι γινώσκητε καὶ φανερῶς, ὅμως θέλει νὰ καρτερήσῃ εἰς τὸ μοναστήριον ὁ τοιοῦτος καὶ ποιήσῃ μετάνοιαν καὶ δώσῃ ὁμολογίαν καὶ ὑπόσχεσιν, καὶ τότε δέχεσθε αὐτὸν εἰς (γ) ἱερέα καὶ συλλειτουργήσει (δ) αὐτῷ. Καὶ τοῦτο οὐ λέγομεν μόνον διὰ τὴν χρείαν τοῦ μοναστηρίου, ἀλλὰ καὶ διὰ τὴν ἀλήθειαν καὶ τὴν τάξιν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, *ὅπερ ἐποιήσαμεν καὶ ἡμεῖς εἰς τὸ Πατριαρχεῖον*· ὅτι πάντας τοὺς τοιούτους, ὅσοι ἔδωκαν ὁμολογίαν, ἐδεξάμεθα αὐτῶν τὴν μετάνοιαν, *καὶ ἠρευνήσαμεν τὸν κόσμον* (ε). Ἠκολουθήσαμεν γὰρ καὶ ἁγίας Συν-

---

(α) Ἢ Ἡγούμενος ἢ εἷς τῶν τῆς Λαύρας προϊσταμένων ἦν ὁ Ἰωακεὶμ οὗτος, ὡς φαίνεται.—(β) Χαρακτὴρ τοῦ λόγου, καθ' ὃν τὰ πιττάκια, ἤ, ὡς ἄν τις σήμερον εἴποι, τὰ τῆς ὑπηρεσίας τῶν Πατριαρχείων ἔγγραφα ἐγράφοντο, ἦν ὁ τῆς ἁπλῆς καὶ καθωμιλημένης, ἐν ᾧ καὶ ἡ ἀνωτέρω συντέτακται πατριαρχικὴ ἐπιστολή. Τοῦτο δῆλον καὶ ἐξ ὧν γράφει ὁ τῷ Γενναδίῳ σύγχρονος Ἰωσὴφ ὁ Βρυέννιος ἐν Ἐπιστολῇ ΙΖ', Τόμ. Γ', σελ. 170, ἐκδ. Εὐγενίου τοῦ Βουλγάρεως. «Ἂν γράψω, πιττακικῷ ἀφορῶν χαρακτῆρι, πολλοὺς ἔχω τοὺς τῷ ἁπλοϊκῷ ἐγκαλοῦντάς μοι».— (γ) Γραπτέον ἴσ. «ὡς». — (δ) Ἴσως «συλλειτουργεῖτε».— (ε) Ἐν τοῖς τοσούτοις δεινοῖς, τοῖς ἐν ταῖς ἐσχάταις τῆς Ἁλώσεως ἡμέραις βαθύτατα συνταράξασι τὰς ἑλληνικὰς κοινωνίας, οὐ σμικρός τις οὐδ' ἐκ τῶν ἀσημάντων ὑπῆρξε καὶ ὃν παρεσκεύασεν ὁ λεγόμενος Ὅρος τῆς ἐν Φλωρεντίᾳ ἐκείνης ψευδοσυνόδου (1439). Καὶ γὰρ δι' αὐτοῦ τὸ πολιτικῶς ἤδη κατεσπαραγμένον ἑλληνικὸν ἔθνος ἐδιχάζετο εἰς δύο θανασίμως ἀλλήλοις πολεμοῦντα θρησκευτικὰ κόμματα. Καὶ τοὺς μὲν αἰτίους τούτου (ἐκ τῶν ἡμετέρων δηλονότι), εἴτε Βησσαρίωνες οὗτοι καλοῦν-

όδους, καὶ ἐκεῖναι αἱ Σύνοδοι ἠκολούθησαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεόν· ὅτι πρὸ τοῦ πάθους αὐτοῦ ἐχειροτόνησε τὸν Ἀπόστολον Πέτρον ἐπίσκοπον καὶ ποιμένα τῆς Οἰκουμένης, εἰπὼν αὐτῷ, ὅτι «σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν » Ἐκκλησίαν, καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας μου, καὶ τὰ ἑξῆς». Ἀλλὰ ἠρνήσατο αὐτὸν ὁ Πέτρος τρεῖς ἀρνήσεις· εἶτα ἔκλαυσε, καὶ ὁ Θεὸς ἐδέξατο αὐτοῦ τὴν μετάνοιαν, καὶ τὴν χάριν τῆς ἐπισκοπῆς πάλιν αὐτῷ ἔδωκεν. Ἐὰν καί τινες ἀμαθεῖς καὶ σκληροκάρδιοι μιμῶνται μᾶλλον τοὺς Ναυατιανούς, ἀλλ᾽ ὑμεῖς μὴ τοιοῦτοι γίνεσθε, ἀλλὰ ἀκολουθήσατε ταῖς Συνόδοις καὶ τῷ Κυρίῳ καὶ ἡμῖν τοῖς ταπεινοῖς, καὶ δέχεσθε αὐτῶν τὴν ὁμολογίαν καὶ τὴν ἱερωσύνην, καὶ ὁ Κύριος μεθ᾽ ὑμῶν.

ται, εἴτε οἱονδήποτε ἄλλο ὄνομα φέρουσιν, ὡς καὶ τοὺς ὑπὲρ αὐτῶν τυχὸν συνηγοροῦντας λόγους, ἡ νήφουσα Ἱστορία κρινάτω καὶ δικασάτω. Ἡμῖν δέ, ἐκ τῆς προκειμένης ἐπιστολῆς ἐπισήμως τὰ ἐκ τοῦ Ὅρου ἐκείνου ἀναφυέντα δεινὰ καταμανθάνουσιν, ἀδύνατον μὴ κἀνταῦθα αὖθις αἰωνίαν τὴν εὐγνωμοσύνην πρὸς τὸν Πατριάρχην Γεννάδιον τὸν Σχολάριον ἀνακηρύξαι, τὸν οὕτω σοφῶς τὰ πράγματα οἰκονομήσαντα καὶ τοῦ ἐν αἰχμαλωσίᾳ ἑλληνικοῦ ἔθνους τὴν θρησκευτικὴν ἑνότητα τηρήσαντα.

Ἐν τῇ τοῦ Βατοπεδίου Βιβλιοθήκῃ ἀπόκειται χειρόγραφον τοῦ ιδ' αἰῶνος, οὗ τὸ περιεχόμενον οἱ Ψαλμοὶ τοῦ Δαυίδ. Φέρει δὲ τοῦτο ἐν τῷ τῶν χειρογράφων καταλόγῳ ἀριθ. 328. Ἐν τῇ τῆς προτελευταίας σελίδος ῳα γέγραπται ὑπὸ μεταγενεστέρας χειρὸς τὸ ἑξῆς σημείωμα περὶ τοῦ αὐτοῦ Γενναδίου τοῦ Σχολαρίου.

«Ἐν τῷ ͵ϛϡξδ' (ἀπὸ Χ. 1456), μηνὶ Μαΐῳ ιβ', ἦλθεν ὁ πανα»γιώτατος ἡμῶν Δεσπότης καὶ πρώην Πατριάρχης κὺρ Γεννάδιος ἐν »τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ μονῇ τοῦ Βατοπεδίου ἡμέρᾳ Σαββάτῳ »τῆς ἁγίας Πεντηκοστῆς» (α).


(α) Ὁ ἀπὸ ἐτῶν περὶ τὴν δημοσίευσιν διαφόρων μέχρι τοῦδε ἀνεκδότων ἔργων τῆς μεσαιωνικῆς τοῦ ἑλληνικοῦ ἔθνους ἐποχῆς φιλοπόνως καταγινόμενος κ. Σάθας γράφει (ἐν Μεσαιων. Βιβλιοθ. Τόμ. Γ', σελ. κϛ'), ὅτι ὁ Πατριάρχης Γεννάδιος, ἐν τῇ τοῦ Βατοπεδίου Μονῇ διατρίβων, ἐξεφώνησε τῇ 28 Σεπτεμβρίου τοῦ ἔτους 1456 αὐτοσχέδιον ἐπιτάφιον εἰς τὸν αὐτόθι τελευτήσαντα ἀνεψιὸν αὐτοῦ Θεόδωρον τὸν Σοφιανὸν (ἄλλον τοῦτον πάντως παρὰ τὸν κατὰ τὸ Σίναιον Ὄρος μονάζοντα Μάξιμον Σοφιανόν, πρὸς ὃν φέρεται καὶ μία τοῦ Πατριάρχου Γενναδίου ἐπιστολή. Ὅρ. Πατρολ. Τόμ. ΡΞ', σελ. 583). Ἐκ δὲ τοῦ παρ' ἡμῶν ἤδη δημοσιευομένου σημειώματος μανθάνομεν ἀκριβῶς καὶ τὴν ἡμέραν τῆς εἰς τὸ Βατοπέδιον ἀφίξεως τοῦ ἀπὸ τοῦ θρόνου παραιτηθέντος τλήμονος Πατριάρχου

ΣΗΜΕΙΩΜΑ ΕΚ ΠΑΛΑΙΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ

«Τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον ἐκηρύσσετο ἢ περιήρχετο ἐν τοῖς »ζῶσιν ἐν εἴδει ἀνθρώπου (Ματθαῖος), ἐν σχήματι βοός (Λουκᾶς), »λέοντος (Μάρκος), ἀετοῦ (Ἰωάννης)».

ΕΡΜΗΝΕΙΑ

«Καὶ γὰρ ὡς ἄνθρωπος μὲν ἐφάνη ἀληθῶς ἐπὶ τῆς γῆς ὁ ὄντως »ἀληθινὸς Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, ὡς δὲ βοῦς εἰς σφαγὴν ἐτύθη ὑπὲρ »τῆς τοῦ κόσμου σωτηρίας, ὡς δὲ λέων δυνάμει ἐκ νεκρῶν ἐγερθεὶς »ἀνέστη, καὶ ὡς ἀετὸς εἰς οὐρανοὺς ὑψωθεὶς ἀνελήφθη».



ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ

ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

ΦΙΛΟΠΟΝΩΣ ΕΡΑΝΙΣΘΕΙΣΑ

ΜΑΛΙΣΤΑ ΜΕΝ ΑΠΟ ΤΗΣ ΕΞΗΓΗΣΕΩΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΤΙ ΔΕ ΚΑΙ ΑΠΟ ΔΙΑΦΟΡΩΝ ΑΛΛΩΝ ΠΑΤΕΡΩΝ

ΣΥΝΕΙΣΕΝΕΓΚΟΝΤΟΣ ΤΙΝΑ ΚΑΙ ΤΟΥ ΤΑΥΤΗΝ ΕΡΑΝΙΣΑΜΕΝΟΥ

ΤΟΥ ΖΙΓΑΒΗΝΟΥ ΕΥΘΥΜΙΟΥ ΜΟΝΑΧΟΥ

ΥΠΟΘΕΣΙΣ

Ἀπὸ τῆς τῶν Γραφῶν ἀγνοίας ἐφύη τὰ μυρία κακά. Ἐντεῦθεν ἡ πολλὴ τῶν αἱρέσεων ἐβλάστησε λύμη· ἐντεῦθεν οἱ ἠμελημένοι βίοι· ἐντεῦθεν οἱ ἀκερδεῖς πόνοι. Ὥςπερ γὰρ οἱ τοῦ παρόντος ἐστερημένοι φωτὸς οὐκ ἂν ὀρθὰ βαδίσαιεν, οὕτως οἱ πρὸς τὴν ἀκτῖνα τῶν θείων Γραφῶν μὴ βλέποντες πολλὰ ἀναγκάζονται καὶ συνεχῶς ἁμαρτάνειν, ἅτε ἐν σκότῳ χαλεπωτάτῳ βαδίζοντες. Ὅπερ ἵνα μὴ γένηται, ἀνοίξωμεν τοὺς ὀφθαλμοὺς πρὸς τὴν λαμπηδόνα τῶν ἀποστολικῶν ῥημάτων· καὶ γὰρ ὑπὲρ τὸν ἥλιον ἔλαμψεν ἡ τοῦ Παύλου γλῶττα, καὶ τῶν ἄλλων ἁπάντων ἐπλεονέκτησε τῷ τῆς διδασκαλίας λόγῳ. Ἐπειδὴ γὰρ περισσότερον αὐτῶν ἐκοπίασε, πολλὴν καὶ τοῦ Πνεύματος ἐπεσπάσατο τὴν χάριν. Καὶ τοῦτο οὐκ ἀπὸ τῶν ἐπιστολῶν μόνον δῆλον, ἀλλὰ καὶ ἀπὸ τῶν Πράξεων. Διὸ καὶ Ἑρμῆς εἶναι ἐνομίζετο παρὰ τοῖς ἀπίστοις διὰ τὸ τοῦ λόγου κατάρχειν (α). Μέλλοντας δὲ εἰς τὴν ἐπιστολὴν κατιέναι ταύτην, ἀναγκαῖον καὶ τὸν χρόνον εἰπεῖν,

---

(α) Πράξ. ιδ', 11.

καθ' ὃν ἐγράφη. Οὐ γάρ, ὡς οἱ πολλοὶ νομίζουσι, πρὸ πασῶν τῶν ἄλλων ἐστίν· ἀλλὰ τῶν μὲν ἀπὸ Ῥώμης γραφεισῶν προτέρα πασῶν, τῶν δὲ ἄλλων ὑστέρα, εἰ καὶ μὴ πασῶν. Καὶ γὰρ αἱ πρὸς Κορινθίους ἀμφότεραι πρὸ ταύτης εἰσὶν ἀπεσταλμέναι. Καὶ τοῦτο δῆλον ἀφ' ὧν ἐν τῷ τέλει ταύτης ἔγραφεν, οὕτω λέγων· «νυνὶ δὲ πορεύομαι εἰς » Ἱερουσαλὴμ διακονεῖν τοῖς ἁγίοις. Εὐδόκησε γὰρ Μακεδονία καὶ » Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων » τῶν ἐν Ἱερουσαλήμ» (α). Ἐν δὲ τῇ πρώτῃ τῶν πρὸς Κορινθίους ἐπιστολῶν ἔλεγεν· «ἐὰν ᾖ ἄξιον τοῦ καὶ ἐμὲ πορεύεσθαι, σὺν ἐμοὶ πο-» ρεύσονται» (β). Περὶ τῶν ἀποκομιζόντων ἐκεῖσε τὰ χρήματα ταῦτα ἔλεγεν. Ὅθεν φανερὸν ὅτι ἡνίκα μὲν ἐπέστελλε Κορινθίοις, ἀμφίβολον ἦν ἡ ἀποδημία αὐτοῦ. Ὅτε δὲ Ῥωμαίοις ἔγραφε, κεκύρωτο. Τούτου δὲ ὡμολογημένου, πρόδηλον ὅτι αὕτη μετ' ἐκείνας ἐπιστολή. Καὶ ἡ πρὸς Θεσσαλονικεῖς δὲ δοκεῖ προτέρα τῆς πρὸς Κορινθίους εἶναι. Καὶ γὰρ ἐκείνοις πρότερον ἐπιστείλας, καὶ τὸν περὶ ἐλεημοσύνης πρὸς αὐτοὺς κινήσας λόγον, καὶ εἰρηκώς· «περὶ δὲ τῆς φιλαδελφίας οὐ » χρείαν ἔχομεν γράφειν ὑμῖν, αὐτοὶ γὰρ θεοδίδακτοί ἐστε εἰς τὸ ἀγα-» πᾶν ἀλλήλους· καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφούς» (γ). Εἶτα καὶ αὐτὸς ἐλθὼν πρὸς αὐτοὺς ἐν τῷ διέρχεσθαι τὴν Μακεδονίαν, τότε Κορινθίοις ἐπέστειλεν. Καὶ τοῦτο αὐτὸς δηλοῖ λέγων ἐν τῇ πρὸς αὐτοὺς δευτέρᾳ ἐπιστολῇ· «οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ » ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέ-» ρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας» (δ), ἐξ ὧν ἔδειξεν ὅτι πρῶτον ἐκείνοις ἐπέστειλεν. Τούτων μὲν οὖν ὑστέρα τῶν ἐπιστολῶν ἡ προκειμένη, τῶν δὲ ἀπὸ Ῥώμης πρώτη· οὐδέπω γὰρ ἦν τῆς Ῥωμαίων πόλεως ἐπιβάς, ἡνίκα ταύτην ἔγραφε τὴν ἐπιστολήν. Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ λέγειν· «ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι » μεταδῶ χάρισμα ὑμῖν πνευματικόν» (ε). Ἀπὸ Ῥώμης καὶ Φιλιππησίοις ἐπέστελλεν. Διό φησιν· «ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες, » καὶ μάλιστα οἱ ἐκ τῆς Καίσαρος οἰκίας» (ϛ). Καὶ Ἑβραίοις δὲ ἐκεῖθεν ὁμοίως. Διὸ καὶ λέγει· «τοὺς ἀπὸ τῆς Ἰταλίας ἀσπάζεσθαι » πάντας αὐτούς» (ζ). Καὶ τὰς πρὸς Τιμόθεον δὲ ἐπιστολὰς καὶ αὐτὰς ἀπὸ Ῥώμης ἔπεμψεν. Καὶ δῆλον ἀπὸ τοῦ ἐν τῇ πρώτῃ μὲν

(α) Ῥωμ. ιε', 26.—(β) Α' Κορινθ. ιϛ', 4.—(γ) Α' Θεσσαλ. δ', 9. 10. — (δ) Β' Κορινθ. θ', 2.—(ε) Ῥωμ. α', 2.—(ϛ) Φιλιππ. δ', 22.—(ζ) Ἑβρ. ιγ', 25.

ἐπαγγείλασθαι ἐλθεῖν πρὸς αὐτόν. Ἐπεὶ δὲ οὐκ ἐξεγένετο, δεσμήσαντος αὐτὸν τοῦ Νέρωνος, ἐπιστεῖλαι τὴν δευτέραν, ἐν ᾗ φησιν, ὅτι « ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστη-» κεν » (α). Ὅτι δὲ ἐκεῖ τὸν βίον κατέλυσε, παντί που δῆλόν ἐστιν. Ἐσχάτη δὲ πασῶν αὕτη δοκεῖ. Ἡ δὲ πρὸς Φιλήμονα ἐσχάτη μὲν καὶ αὕτη· γηράσας γὰρ ταύτην ἔγραψεν. Διὸ καὶ ἔλεγεν· « ὡς Παῦ-» λος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ » (β). Τῆς μέν τοι πρὸς Κολασσαεῖς προτέρα. Καὶ τοῦτο οὖν ἀπὸ τοῦ τέλους καταφανές. Κολασσαεῦσι γὰρ γράφων φησίν, ὅτι « Τυχικὸς πάντα » γνωρίσει ὑμῖν, ὃν ἔπεμψα σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ » ἀδελφῷ » (γ). Ὀνήσιμος δὲ οὗτος ἦν, ὑπὲρ οὗ τὴν πρὸς Φιλήμονα ἐπιστολὴν συνέθηκε πρότερον. Καὶ ὅτι οὐκ ἦν ἄλλος οὗτος ὁμώνυμος ἐκείνῳ, δῆλον ἀπὸ τοῦ Ἀρχίππου· ὃν γὰρ ἔλαβε συνεργὸν ἐν τῇ πρὸς Φιλήμονα ἐπιστολῇ τῆς ὑπὲρ Ὀνησίμου παρακλήσεως, τοῦτον, Κολασσαεῦσιν ἐπιστείλας, διεγείρει λέγων· «εἴπατε Ἀρχίππῳ, βλέπε » τὴν διακονίαν, ἣν παρέλαβες, ἵνα αὐτὴν πληροῖς » (δ). Καὶ ἡ πρὸς Τίτον δὲ προτέρα τῶν πρὸς Τιμόθεον, ἀπὸ Νικοπόλεως ἀποσταλεῖσα. Δοκεῖ δέ μοι καὶ ἡ πρὸς Γαλάτας προτέρα εἶναι τῆς πρὸς Ῥωμαίους. Εἰ δὲ καὶ ἐν τοῖς βιβλίοις ἑτέραν ἔχουσι τάξιν, θαυμαστὸν οὐδέν. Ἐπεὶ καὶ οἱ δώδεκα Προφῆται, οὐχ ὡς ἔχουσιν ἐν τῇ τάξει τῶν βιβλίων, οὕτως ἔχουσι καὶ κατὰ τοὺς χρόνους. Προετάγη μέντοι ἡ πρὸς Ῥωμαίους καὶ ὡς μείζων τῶν ἄλλων, καὶ διὰ τὸ τὴν Ῥώμην βασιλεύειν ἁπάσης πόλεως. Μηδεὶς δὲ πάρεργον τοῦτον ἡγείσθω τὸν πόνον, μηδὲ τὴν ἔρευναν περιττήν· συντελεῖ γὰρ οὐ μικρῶς ὁ τῶν ἐπιστολῶν χρόνος πρὸς τὰ ζητούμενα. Ὅταν γὰρ ἴδω Ῥωμαίοις καὶ Κολασσαεῦσιν ὑπὲρ τῶν αὐτῶν μὲν ἐπιστέλλοντα, οὐχ ὁμοίως δὲ ὑπὲρ τῶν αὐτῶν· ἀλλὰ Ῥωμαίοις μὲν μετὰ πολλῆς τῆς συγκαταβάσεως· Κολασσαεῦσι δὲ μετὰ πλείονος παρρησίας, ὡς ἐπὶ τῆς τῶν βρωμάτων παρατηρήσεως ἐποίησεν, οὐδὲν ἄλλο αἴτιον εὑρίσκω τῆς διαφορᾶς ταύτης ἢ τὸν χρόνον. Ἐν ἀρχῇ μὲν γὰρ συγκαταβαίνειν ἔδει, μετὰ δὲ ταῦτα οὐκέτι. Καὶ πολλαχοῦ δὲ τοῦτο αὐτὸν ἄν τις εὕροι ποιοῦντα. Οὕτω καὶ ἰατρὸς καὶ διδάσκαλος ποιεῖν εἰώθασιν. Οὔτε γὰρ τοῖς ἐξ ἀρχῆς νοσοῦσιν ὁ ἰατρός, καὶ τοῖς πρὸς τὸ τέλος λοιπὸν ἐλθοῦσιν· οὔτε τοῖς ἐξ ἀρχῆς μανθάνουσιν ὁ διδάσκαλος, καὶ τοῖς τῶν

(α) Τιμ. δ', 6.—(β) Φιλήμ. 9.—(γ) Κολασσ. δ', 7. —(δ) Αὐτόθι, δ', 17.

τελειοτέρων δεομένοις διδαγμάτων, ὁμοίως χρήσονται. Τοῖς μὲν οὖν ἄλλοις ἐξ αἰτίας τινὸς καὶ ὑποθέσεως κινούμενος ἐπέστειλεν. Τοῖς δὲ Ῥωμαίοις «διὰ τὴν χάριν τοῦ Θεοῦ», φησί, «τὴν δοθεῖσάν μοι εἰς » τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ» (α). Διὸ καὶ ἐν ἀρχῇ ἔλεγεν· «ὀφειλέτης εἰμί, τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ » εὐαγγελίσασθαι» (β). Διπλῇ τοίνυν ῥυθμίζει τοὺς ἄνδρας, καὶ τῇ τῶν γραμμάτων ὠφελείᾳ, καὶ τῇ τῆς παρουσίας προςδοκίᾳ. Τοιαύτη γὰρ ἡ ἁγία ψυχή. Πᾶσαν περιελάμβανε τὴν Οἰκουμένην, καὶ ἐν ἑαυτῷ περιέφερεν ἅπαντας. Καὶ ὥςπερ πάντας αὐτὸς ἀποτεκών, οὕτως ἐφίλει· μᾶλλον δὲ πατρὸς πρὸς ἅπαντας μείζονα ἐπεδείκνυτο φιλοστοργίαν. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· νικᾷ τὰς σαρκικὰς ὠδῖνας, καὶ θερμότερον ἐπιδείκνυται τὸν πόθον. Καὶ τοῦτο μάλιστα ἔστιν ἰδεῖν ἐπὶ τῆς τοῦ Παύλου ψυχῆς. Ὃς, καθάπερ πτηνός τις ὑπὸ τῆς ἀγάπης γενόμενος, ἅπαντα περιῄει συνεχῶς, οὐδαμοῦ μένων, οὐδὲ ἱστάμενος. Ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος· «Πέτρε, φιλεῖς με; ποίμαινε τὰ πρόβατά μου» (γ), καὶ τοῦτο μέγιστον ὅρον τῆς πρὸς αὐτὸν ἀγάπης ἐκφέροντος, μεθ' ὑπερβολῆς αὐτὸ διὰ παντὸς ἐπεδείκνυτο. Τοῦτον οὖν καὶ ἡμεῖς ζηλώσαντες, εἰ καὶ μὴ τὴν Οἰκουμένην, μηδὲ ἔθνη καὶ πόλεις, ἀλλὰ τὴν οἰκίαν ἕκαστος ῥυθμιζέτω τὴν ἑαυτοῦ καὶ συγγενεῖς καὶ φίλους καὶ γείτονας. Καὶ μή μοι λεγέτω τις ὅτι ἀμαθής εἰμι καὶ ἰδιώτης. Οὐδὲν ἀμαθέστερον Πέτρου, οὐδὲν ἰδιωτικώτερον Παύλου. Καὶ τοῦτο αὐτὸς ὡμολόγει, καὶ οὐκ ᾐσχύνετο λέγων· «εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' » οὐ τῇ γνώσει» (δ). Ἀλλ' ὅμως ὁ ἰδιώτης οὗτος, καὶ ὁ ἀμαθὴς ἐκεῖνος μυρίους ἐνίκησαν φιλοσόφους, μυρίους ἐπεστόμισαν ῥήτορας, ἀπὸ τῆς αὐτῶν προθυμίας καὶ τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ἐργασάμενοι» (ε).

(α) Ῥωμ. ιε', 15. — (β) Αὐτόθι, α', 14. — (γ) Ἰωάνν. κα', 15.— (δ) Β' Κορινθ. ια', 2. — (ε) Ἅπασα ἡ ἀνωτέρω ὑπόθεσις ἀπήνθισται τῷ Συγγραφεῖ ἀπὸ τῆς εἰς τὴν αὐτὴν ἐπιστολὴν ὑποθέσεως τοῦ ἱεροῦ Χρυσοστόμου. Τόμ. Θ', σελ. 391, ἔκδ. Migne, καθ' ἣν καὶ τὰς πρὸς τὰ σχετικὰ τῶν Πατέρων χωρία παραπομπὰς ἐφεξῆς ὑποδείκνυμεν.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ

Εὐαγγελικὴ διδασκαλία περί τε τῶν ἔξω χάριτος Χριστοῦ καὶ τῶν ἐν χάριτι, καὶ περὶ ἐλπίδος καὶ πολιτείας πνευματικῆς.

1. Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ,

Πανταχοῦ τῶν ἐπιστολῶν τὸ ἑαυτοῦ προτίθησιν ὄνομα, ὡς ἐκ μακροῦ τὰ γράμματα διαπεμπόμενος, καὶ κατὰ τύπον ἐπιστολῆς. Ἐν δὲ τῇ πρὸς Ἑβραίους ἀπέκρυψεν ἐπίτηδες τοῦτο. Ἐπειδὴ γὰρ ἐπαχθῶς εἶχον πρὸς αὐτόν, ἵνα μὴ ἐκ προοιμίων ἀκούσωνται (α) τοῦ ὀνόματος ἀποκλείσωσι τῷ νῷ τὴν εἴσοδον, ἐσοφίσατο διὰ τοῦ κρῦψαι τοῦτο τὴν εὔνουν ἀκρόασιν. Μετέθηκε δὲ καὶ τούτου τὸ ὄνομα ὁ Θεός, καί, Σαῦλον ὀνομαζόμενον, ἐκάλεσε Παῦλον, ἵνα μηδ᾽ ἐν τούτῳ τῶν μετονομασθέντων Ἀποστόλων ἔλαττον ἔχῃ· καὶ ἵνα πλείονος οἰκειώσεως ὑπόθεσιν λάβῃ. Ἐπεὶ δὲ πολλοὶ τρόποι δουλείας, εἷς μὲν ὁ ἀπὸ τῆς δημιουργίας, καθ᾽ ὃν ἔφη ὅτι· «τὰ σύμπαντα δοῦλα σά» (β), καὶ καὶ καθ᾽ ὃν εἴρηται ὅτι «ὁ δοῦλός μου Ναβουχοδονόσορ» (γ)· τὸ γὰρ ποίημα δοῦλον τοῦ ποιήσαντος. Ἕτερος δὲ ὁ ἀπὸ πίστεως, καθ᾽ ὃν φησιν ὅτι «ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιο» σύνῃ» (δ). Καὶ ἄλλος ὁ ἐκ πολιτείας, καθ᾽ ὃν φησιν, ὅτι «Μωϋσῆς » ὁ θεράπων μου τετελεύτηκε» (ε). Καὶ αὖθις ἕτερος ὁ δι᾽ ἐξωνήσεως, καὶ πάλιν ἄλλος ὁ δι᾽ αἰχμαλωσίας. Κατὰ πάντας τοὺς εἰρημένους τρόπους δοῦλον ἑαυτὸν ὁ Παῦλος ὁμολογεῖ, καὶ ὡς ποίημα Ἰησοῦ Χριστοῦ, καὶ ὡς δεδουλωμένον αὐτῷ ἐκ πίστεως καὶ πολιτείας, καὶ ὡς τιμῆς τοῦ τιμίου αὐτοῦ αἵματος ἠγορασμένον καὶ ὡς ἠχμαλωτισμένον ὑπ᾽ αὐτοῦ, κατὰ τὸ «ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχ» μαλωσίαν» (ϛ). Εἰπὼν δέ, «Ἰησοῦ Χριστοῦ», κάτωθεν ἀναβαίνει·

(α) Γραπτέον «ἀκούσαντες».—(β) Ψαλμ. ριη', 91.—(γ) Ἱερεμ. κε', 9.—(δ) Ῥωμ. ϛ', 17.—(ε) Ἰησ. Ναυῆ, α', 1.—(ϛ) Ψαλμ. ξζ', 19.

τὸ μὲν γὰρ τοῦ προςλήμματος μόνον τὸ ὄνομα, τὸ δὲ τοῦ προςλήμματος ἅμα καὶ τοῦ προςλαβόντος.

1. Κλητὸς Ἀπόστολος,

Κεκλημένος οὐκ εἰς πίστιν μόνον, ἀλλὰ καὶ εἰς ἀποστολήν. Καὶ τοῦτο γὰρ ἐξαίρετον ἔσχεν οὗτος, ὅτι τοὺς μὲν ἄλλους μαθητὰς ὁ Κύριος ἐκάλεσε, καὶ μαθητὰς λαβὼν οὐ καθ' ἕνα Ἀπόστολον ἐποίησεν ἢ ὠνόμασεν. Τὸν δὲ Παῦλον ὁμοῦ καὶ ἐκάλεσε καὶ ἀπέστειλε· «πορεύου » γάρ, φησίν, ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε» (α). Κέκληται δὲ καὶ διὰ τοῦ Πατρός· «ὁ ἀφορίσας με γάρ, φησίν, ἐκ κοιλίας μητρός μου, » καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλῦψαι τὸν Υἱὸν αὐτοῦ ἐν » ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσι» (β). Ναὶ μὴν καὶ διὰ τοῦ ἁγίου Πνεύματος· γέγραπται γὰρ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ὅτι εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· «ἀφορίσατε δή μοι τὸν Παῦλον » καὶ Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προκέκλημαι αὐτούς» (γ), ἵνα κἀντεῦθεν τὴν τῆς ἁγίας Τριάδος γνῶμεν ἰδιότητα καὶ κοινωνίαν τῶν ἔργων. Παρατηρητέον δὲ ὅτι μόνοις Ῥωμαίοις καὶ Κορινθίοις ἐπέστειλε τὸ «κλητὸς Ἀπόστολος». Ἐπεὶ γὰρ ἐφυσῶντο οὐ μόνον ἐπ' εὐγενείᾳ καὶ πλούτῳ καὶ σοφίᾳ, ἀλλὰ καὶ ἐπ' εὐσεβείᾳ δογμάτων, καθαιρεῖ λοιπὸν ἐκ προοιμίων τὸν τῦφον αὐτῶν, μονονουχὶ λέγων· ἐγὼ αὐτὸς ὁ διδάσκαλος ὑμῶν κληθεὶς προςῆλθον, καὶ χάριτι ἔλαβον ὅσα ἔχω μυστήρια τῆς πίστεως, διὰ τί φρονεῖτε μέγα, ὡς ἀφ' ἑαυτῶν ταῦτα κατωρθωκότες;

2. Ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ,

Πάλαι καὶ ἄνωθεν εἰς τὸ κήρυγμα τεταγμένος, ὡς καὶ ἐν τῇ πρὸς Γαλάτας εἴρηκεν· «ὁ ἀφορίσας με γάρ, φησίν, ἐκ κοιλίας μητρός » μου» (δ). Οὕτω καὶ Ἱερεμίας εἰπεῖν περὶ ἑαυτοῦ τὸν Θεὸν εἴρηκε· «πρὸ τοῦ σε ἐξελθεῖν γάρ, φησίν, ἐκ κοιλίας ἡγίακά σε, Προφήτην εἰς » ἔθνη τέθεικά σε» (ε). Ἀφορίζονται δὲ ἐκ κοιλίας μητρὸς οἱ τοιοῦτοι διὰ τὰ προεγνωσμένα μὲν τῷ Θεῷ κατορθώματα τούτων, ὕστερον δὲ διὰ πολλῆς παρασκευῆς καὶ σπουδῆς κατὰ προαίρεσιν εἰς ἔργον ἐκβαίνοντα. Ἐπεὶ δὲ πρὸς ἀλαζονικὴν καὶ πεφυσιωμένην ἔγραφε πόλιν,

---

(α) Πράξ. κβ', 21.— (β) Γαλάτ. α', 16.— (γ) Πράξ. ιγ', 2.— (δ) Γαλάτ. α', 15.— (ε) Ἱερεμ. α', 5.

δείκνυσι διὰ παντός, ὅτι θεόθεν εἰς τὸ εὐαγγελίζεσθαι κεχειροτόνηται. Ποιεῖ δὲ τοῦτο πραγματευόμενος τῇ ἐπιστολῇ τὸ ἀξιόπιστόν τε καὶ εὐπαράδεκτον. «Εὐαγγέλιον» δὲ τὸ κήρυγμα προςηγόρευσεν, ὡς πολλῶν ἀγαθῶν ὑπισχνούμενον χορηγίαν. Εὐαγγελίζεται γὰρ τὰς τοῦ Θεοῦ καταλλαγάς, τὴν τοῦ διαβόλου κατάλυσιν, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, τοῦ θανάτου τὴν παῦλαν, τὴν ἀνάστασιν τῶν νεκρῶν, τὴν ζωὴν τὴν αἰώνιον, τὴν βασιλείαν τῶν οὐρανῶν. Οὐκ ἄρα οὖν μόνος Ματθαῖος καὶ Μάρκος καὶ Λουκᾶς καὶ Ἰωάννης εὐαγγελισταί· ὥςπερ οὐδὲ οὗτος μόνος Ἀπόστολος, ἀλλὰ καὶ ἐκεῖνοι· εἰ καὶ οὗτος μὲν τοῦτο κατ' ἐξαίρετον, ἐκεῖνοι δὲ ἐκεῖνο προςηγορεύθησαν.

3. Ὃ προεπηγγείλατο διὰ τῶν Προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις,

Ἵνα μή τις καινοτομίαν ὑπολάβῃ τὸ εὐαγγελικὸν κήρυγμα, δείκνυσιν αὐτὸ πάλαι προεπηγγελμένον, διά τε Δαυῒδ «Κύριος γάρ, φησί, » δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ» (α)· διά τε Ἡσαΐου, «ὡς ὡραῖοι γάρ, φησίν, οἱ πόδες τῶν εὐαγγελιζομένων εἰ» ρήνην» (β). Εἰ δὲ μὴ ἐξ ἀρχῆς ἔδωκε, τοῦτο παρὰ τοὺς μὴ βουλομένους λαβεῖν. «Προφητῶν» δέ, φησίν, αὐτοῦ, πρὸς ἀντιδιαστολὴν τῶν ψευδοπροφητῶν καὶ εἰδωλοπροφητῶν. Τὸ μὲν οὖν «ἐν Γρα» φαῖς» παρίστησιν ὅτι οὐ μόνον ἔλεγον, ἀλλὰ καὶ ἔγραφον οἱ Προφῆται. Τὸ δὲ «ἁγίαις», ὅτι καὶ ἡ Παλαιὰ πάντοτε ἁγία καὶ θεία, καὶ ὅτι αἱ τῶν Ἑλλήνων οὐχ ἅγιαι.

3. Περὶ τοῦ Υἱοῦ αὐτοῦ,

Περὶ τούτου γὰρ διδάσκει τὸ κήρυγμα, περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, περὶ τῆς διδασκαλίας καὶ τῶν θαυμάτων αὐτοῦ.

3. Τοῦ γενομένου ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα·

Τοῦ κατὰ σάρκα καὶ κατὰ τὸ πρόςλημμα γεγονότος ἐκ τῆς Παρθένου, τῆς ἐκ σπέρματος Δαυῒδ. Τίνος δὲ χάριν οὐκ ἀπὸ τῶν ὑψηλοτέρων, ἀλλ' ἀπὸ τῶν ταπεινοτέρων ἤρξατο; διότι καὶ Ματθαῖος καὶ Μάρκος καὶ Λουκᾶς οὕτω πεποιήκασιν. Τὸν γὰρ μέλλοντα χειραγωγεῖν πρὸς τὸν οὐρανὸν κάτωθεν ἄνω χειραγωγεῖν ἀναγκαῖον. Ἐπεὶ

(α) Ψαλμ. ξζ', 12. — (β) Ἡσ. νβ', 7.

καὶ τὸ πρᾶγμα οὕτως ᾠκονομήθη. Πρῶτον γὰρ εἶδον αὐτὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, εἶτα ἐνόησαν ὅτι Θεός ἐστιν.

4. Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν·

Τί ἐστιν «ὁρισθέντος»; ἀποδειχθέντος· ἤγουν τοῦ γνωρισθέντος ὅτι ἔστιν Υἱὸς Θεοῦ ἀπὸ πολλῶν τεκμηρίων, ἀπό τε τῆς δυνάμεως τῆς ἐν τοῖς σημείοις· τοῦτο γὰρ δηλοῖ τὸ «ἐν δυνάμει»· οὐ χάριτι γάρ, ἀλλ' οἰκείᾳ δυνάμει τὰς θεοσημείας ἐνήργησεν· ἀπό τε τοῦ πνεύματος τῆς ἁγιωσύνης, δι' οὗ τὸν ἁγιασμὸν ἔδωκε τοῖς εἰς αὐτὸν πιστεύουσιν. Τοῦτο γὰρ βούλεται τὸ «κατὰ πνεῦμα ἁγιωσύνης». Θεοῦ γὰρ ἦν μόνου τὸ τοιαῦτα δῶρα χαρίζεσθαι. Ἀπό τε τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἧς αὐτὸς ἀνέστη· πρῶτος γὰρ οὗτος μόνος καὶ (α) ἑαυτὸν ἀνέστησεν.

5. Δι' οὗ ἐλάβομεν τὴν χάριν,

Ἐν ἔργῳ καὶ λόγῳ. Δῶρον γὰρ αὐτοῦ ταῦτα, καὶ οὐχ ἡμέτερον κατόρθωμα.

5. Καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ·

Παρ' αὐτοῦ γὰρ ὁμοίως ἀπεστάλημεν εἰς τὸ κήρυγμα, καὶ οὐκ ἀφ' ἑαυτῶν. Ἐλάβομεν δὲ τὴν χάριν καὶ τὴν ἀποστολὴν εἰς ὑπακοὴν πίστεως, τῆς ἐν πᾶσι τοῖς ἔθνεσιν ἐσομένης· ἤγουν εἰς τὸ ὑπακούειν ταῦτα τῇ πίστει τῇ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ. Πίστιν δὲ λέγει τὸ κήρυγμα διὰ τὴν ὄντως ἀλήθειαν. Οὐ χρὴ γὰρ πολυπραγμονεῖν γέννησιν καὶ οὐσίαν αὐτοῦ, ἀλλὰ μόνον ὑπακούειν καὶ πιστεύειν εἰς τὸ ὄνομα αὐτοῦ. «Ἐν πᾶσι δὲ τοῖς ἔθνεσιν» εἶπεν, οὐχ ὡς αὐτοῦ πᾶσι τοῖς ἔθνεσι κηρύξαντος, ἀλλὰ περὶ πάντων εἴρηκε τοῦτο τῶν Ἀποστόλων. Καὶ ἐπ' αὐτοῦ δὲ πάντως ἴδοι τις ἂν τὸν λέγοντα οὐκ ἐλεγχόμενον, ἐὰν τὴν ἑαυτοῦ προθυμίαν ἐννοήσῃ, καὶ ὁπόσον γῆς κύκλον περιέλαβεν εὐαγγελιζόμενος καὶ πανταχοῦ τρέχων.

(α) Ὁ *καὶ* θετέος μᾶλλον πρὸ τοῦ *μόνος*, ἵνα ὁ νοῦς ᾖ «πρῶτος οὗτος καὶ μόνος ἑαυτὸν κτλ».

6. Ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ,

Μεθ'ὧν ἐθνῶν ἐστε καὶ ὑμεῖς κεκλημένοι ὑπὸ Ἰησοῦ Χριστοῦ. Ἅμα μὲν οὖν ἀναμιμνήσκει τούτους τῆς εἰς αὐτοὺς εὐεργεσίας τοῦ Σωτῆρος, ἅμα δὲ καὶ καταστέλλει τὸ φύσημα τούτων. Οἱ γὰρ ὁμοίως τοῖς ἄλλοις ἔθνεσι κληθέντες, ὁμότιμοι τούτοις τοῦτο, κἂν ἐν ἄλλοις πράγμασιν ὑπερέχωσιν.

7. Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις·

Πᾶσιν ἐπίσης ἐπιστέλλω· ἐπεὶ καὶ πάντες ἐπίσης ἐστὲ κεκλημένοι εἰς ἁγιασμόν· οὐ γάρ ἐστι παρὰ Θεῷ διαστολὴ εὐγενείας καὶ δυςγενείας, δεσπότου καὶ δούλου, πλουσίου καὶ πένητος, καὶ τῶν τοιούτων, ἀλλὰ πάντων ἐπίσης δημιουργὸς ὤν, πάντων ἐπίσης θέλει τὴν σωτηρίαν. Πρῶτον δὲ τὸ «ἀγαπητοῖς», καὶ τότε τὸ «κλητοῖς»· ἐξ ἀγάπης γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεός. Χρὴ δὲ καὶ ἑτέρως γινώσκειν· ὅτι τῶν πιστῶν οἱ μὲν ἅγιοι λέγονται καὶ πίστει καὶ βίῳ· οἱ δέ, πίστει μόνον, ὡς κατὰ μόνην τὴν πίστιν ἀφωρισμένοι Θεῷ.

7. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Χάρις μέν, συνεργοῦσα πρὸς ἀρετήν· εἰρήνη δέ, συνέχουσα πρὸς ὁμόνοιαν. Ἢ καὶ ὅτι ὁ Πατὴρ τοῦ Μονογενοῦς χάριτι Πατὴρ ἡμῶν γίνεται, τῶν υἱοθετουμένων αὐτῷ διὰ τῆς τοῦ θείου βαπτίσματος ἀναγεννήσεως. Ἢ καὶ ἑτέρως· ἐπεύχεται τούτοις χάριν ἀπὸ Θεοῦ Πατρὸς κατὰ τὸν ὅρον τῶν πατέρων· χάρις γὰρ ἀπὸ τῶν πατέρων δίδοται τοῖς υἱοῖς· εἰρήνην δὲ ἀπὸ Κυρίου Ἰησοῦ Χριστοῦ τούτοις δίδωσιν. Ἢ ἐπεύχεται κατὰ τὴν ἐντολὴν αὐτοῦ, κελεύσαντος τοῖς Ἀποστόλοις, εἰςερχομένοις εἰς τὴν οἰκίαν πρῶτον εἰρήνην λέγειν τοῖς ἐν αὐτῇ (α). Καταλύσας γὰρ αὐτὸς τὸν μέγαν ἐκεῖνον πόλεμον, εἰρήνην τοῖς πιστεύουσιν ἐδωρήσατο. Ὥςπερ δὲ ὁ Πατὴρ χάριτι πατὴρ ἡμῶν, οὕτω καὶ ὁ Υἱὸς χάριτι τὸν πόλεμον καταλύσας τὴν εἰρήνην ἐδωρήσατο. Σκόπει δὲ τὴν «ἀπὸ» πρόθεσιν οὐ μόνον ἐπὶ τοῦ Πατρός, ἀλλὰ καὶ ἐπὶ τοῦ Υἱοῦ λαμβανομένην, ὅπερ ἴσον ἐστὶ τῷ « ἐκ Θεοῦ Πατρὸς » ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Ἵνα δὲ μή τις ὁμότιμον ἑαυτὸν

(α) Λουκ. ι', 5.

οἰηθείη τῷ Μονογενεῖ διὰ τὴν υἱοθεσίαν, Κύριον ἐκεῖνον ὠνόμασεν.

8. Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ (*) διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν,

Ἐξ εὐχαριστίας προοιμιάζεται. Χρὴ γὰρ ἐπὶ παντὸς λόγου καὶ πράγματος ἐξ εὐχαριστίας τῆς εἰς Θεὸν ἄρχεσθαι, οὐ μόνον ὑπὲρ τῶν ἰδίων καλῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων· τοῦτο γὰρ σημεῖον ἀγάπης. Ἰδιοποιεῖται δὲ τὸν ἁπάντων Θεόν, ἐμφαίνων τὴν εἰς αὐτὸν ἄκραν ἀγάπην. Τὸ δὲ «διὰ Ἰησοῦ Χριστοῦ» οὐκ ἐπὶ διακονίαν τέθειται κατὰ τὸν λῆρον τῶν αἱρετικῶν, ἀλλ' ἐπὶ αἰτίαν (α). Αὐτὸς γὰρ αἴτιος ἡμῖν γέγονε τῆς εἰς τὸν Πατέρα εὐχαριστίας, ὁ καὶ προςλαβόμενος ἡμᾶς καὶ τῷ ἰδίῳ αἵματι καταλλάξας πρὸς αὐτόν.

8. Ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

Εὐχαριστῶ, φησίν, ὅτι ἡ εἰς Θεὸν πίστις ὑμῶν καταγγέλλεται πανταχοῦ. Πίστιν δὲ λέγει τὴν ὑπὸ τοῦ συναποστόλου Πέτρου παραδοθεῖσαν (β).

9. Μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ Εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι·

Μάρτυρα τὸν Θεὸν καλεῖ, πείθειν βουλόμενος ἀγνώστους. Ἢ καὶ

(*) Ἐν ἄλλ. *τῷ θεῷ μου*. Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει τοῦ ἑπομένου 13 στίχου ταύτῃ τῇ γραφῇ χρῆται.— (α) Τοὺς Ἀρειανοὺς καὶ Εὐνομιανοὺς ὑπονοεῖ ἐνταῦθα ὁ Συγγραφεύς· οἵτινες μεταξὺ τῶν προθέσεων «ἐκ» καὶ «διὰ» τὴν ἑξῆς ἐποίουν διαφοράν· ἡ μὲν «ἐκ», ὡς αἰτίαν σημαίνουσα, προςήκει, ἔλεγον, τῷ Πατρί, ὄντι πάντων τῶν ὄντων πηγῇ καὶ ἀρχῇ· ἡ δὲ «διά», ὡς τὸ ὄργανον ἢ μέσον ὑποδηλοῦσα, τὸ ἔλαττον τοῦ Πατρὸς δείκνυσι καὶ ἁρμόζει τῷ Υἱῷ. Ὅρ. Βασιλ. τοῦ μεγ. περὶ ἁγ. Πνεύμ. (Τόμ. Δ', κεφ. δ', σελ. 77). Ὁ δὲ Θεοδώρητος (Τόμ. Γ', σελ. 184) ἀφορμὴν λαμβάνων ἐκ τῶν λόγων τούτων τοῦ Ἀποστόλου· «ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα» (Ῥωμ. ια', 36), ἀποφαίνεται ὧδε· «Ἔδειξε διὰ τούτων ὁ θεῖος Ἀπόστολος, ὡς οὐκ οἶδε τῆς «ἐξ οὗ» καὶ τῆς «δι' οὗ» προθέσεως διαφοράν... ἀμφοτέρας γὰρ ἐφ' ἑνὸς προσώπου τέθεικεν. Ὅπερ εἴτε τοῦ Πατρὸς εἴποιεν εἶναι οἱ τὰ Ἀρείου φρονοῦντες καὶ Εὐνομίου, εὑρήσουσι τῇ «ἐξ οὗ» καὶ τὴν «δι' οὗ» συνεζευγμένην· εἴτε τῷ Υἱῷ προςαρμόσαιεν, ὄψονται τῇ «δι' οὗ» καὶ τὴν «ἐξ οὗ» συνημμένην.— (β) Χρυσόστ. ἐν λ. (Τόμ. Θ', Ὁμιλ. β', σελ. 401) «Καί τοι γε Πέτρος ἐκήρυξεν » ἐκεῖ (ἐν Ῥώμῃ), ἀλλὰ καὶ τὰ ἐκείνου ἑαυτοῦ ἡγεῖται. Οὕτως... μεθ' ὑπερβολῆς ἁπά» σης βασκανίας ἦν καθαρός».

ἐπειδήπερ οὐδέπω τούτους ἦν ἑωρακώς, τὸν ἐμβατεύοντα ταῖς καρδίαις ποιεῖται τοῦ λόγου μάρτυρα. Τί δέ ἐστιν «ᾧ λατρεύω»; τουτέστιν ᾧ δουλεύω ἐν τῷ εὐαγγελίζεσθαι. Τοῦτο γὰρ δηλοῖ τὸ «ἐν τῷ Εὐαγγελίῳ»· δουλεύω δὲ κατὰ τὸ δοθέν μοι πνεῦμα καὶ χάρισμα. Τοῦτο γὰρ σημαίνει τὸ «ἐν τῷ πνεύματί μου». Πολλοὶ δὲ λατρείας τρόποι. Λατρεύει γάρ τις Θεῷ καὶ ἐν τῷ νηστεύειν, καὶ ἐν τῷ προσεύχεσθαι, καὶ ἐν τῷ τὰ θεῖα λόγια μελετᾶν, καί, ἁπλῶς εἰπεῖν, ἐν τῷ πληροῦν οἱανδήποτε Θεοῦ ἐντολήν, ἢ οἱονδήτι θεάρεστον ἔργον μεταχειρίζεσθαι. Ἀνωτέρω δὲ εἰπὼν τὸ Εὐαγγέλιον τοῦ Πατρὸς εἶναι, νῦν τοῦ Υἱοῦ τοῦτο λέγει· οἶδα γὰρ πάντα τὰ τοῦ Υἱοῦ τοῦ Πατρός, καὶ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ. «Πάντα γάρ, φησὶν ὁ Θεός, τὰ ἐμὰ σά ἐστι, καὶ »τὰ σὰ ἐμά» (α).

10. Πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος, εἴ πως ἤδη
11. ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς.

Δοκεῖ μὲν ἁπλῶς ἕν τι λέγειν, τέσσαρα δὲ τίθησιν· ὅτι μνημονεύει· καὶ ὅτι ἀδιαλείπτως· καὶ ὅτι ἐν ταῖς προσευχαῖς· καὶ ὅτι δεόμενος. Ἐπεὶ γὰρ εἰς τὰ ἔθνη ἀπεστάλη, ἀναγκαίως μὲν ἔχρῃζεν ἐλθεῖν πρὸς τηλικαύτην πόλιν. Καὶ ὤδινεν ἂν τὸ θεάσασθαι ταύτην, οὐκ ἠνείχετο δὲ παρὰ τὸ τῷ Θεῷ δοκοῦν ἰδεῖν. Διὸ καὶ ἱκέτευε τὸν Θεὸν εὐοδωθῆναι διὰ τοῦ θελήματος αὐτοῦ. Τὸ δὲ «ἤδη ποτὲ» δηλωτικὸν τῆς πολλῆς δεήσεως, ἀντὶ τοῦ «ὀψέποτε». Εὐοδοῦται δέ τις καὶ παρὰ τὸ θεῖον θέλημα. «Ἔστι γάρ, φησί, καὶ ἐν κακοῖς εὐοδία ἀνδρός» (β).

11. Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα τι μεταδῶ χάρισμα ὑμῖν
12. πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς·

Ἐπιποθῶ δέ, φησίν, ἰδεῖν ὑμᾶς οὐχ ἁπλῶς, ἀλλ' ἵνα τι χάρισμα πνευματικὸν ὑμῖν μεταδῶ. Χάρισμα δὲ πνευματικὸν ἐνταῦθα λέγει τὴν διδασκαλίαν καὶ κατήχησιν. Εἰπὼν μὲν οὖν ὅτι, «ἵνα μεταδῶ», ἐδήλωσεν ὅτι οὐ τὰ αὐτοῦ δίδωσιν, ἀλλ' ἅπερ ἔλαβε μεταδίδωσι. Σμικρύνων δὲ τὸ πρᾶγμα μετριάζει. Καὶ γὰρ οὐ μικρὸν τὸ στηρίξαι τούτους· εἰκὸς γὰρ αὐτοὺς ἔτι σαλεύεσθαι τῇ πίστει. Καὶ πῶς ἀνωτέρω καταγγέλλεσθαι πανταχοῦ τὴν πίστιν αὐτῶν εἶπεν; Οἶμαι, διὰ τὸ τῆς

(α) Ἰωάνν. ιζ', 10.— (β) Σειράχ, κ', 8. «Ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί».

πόλεως περιβόητον καὶ τὸ παράδοξον τοῦ πράγματος, εἰ πεπίστευκεν ἡ κρατοῦσα τῆς Οἰκουμένης κατά γε τὸ μέρος τῶν πιστευσάντων. «Πνευματικὸν» δὲ εἴρηκε, πρὸς ἀντιδιαστολὴν τῶν βιωτικῶν ἢ καὶ τῶν ἄλλων οὐ πνευματικῶν χαρισμάτων.

12. Τοῦτο δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν, διὰ τῆς ἐν ἀλ-
13. λήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ.

Εἰπὼν ὅτι, «εἰς τὸ στηριχθῆναι ὑμᾶς», ἵνα μὴ λυπήσῃ τούτους, ὡς δοκοῦντας αὐτῷ σεσαλευμένους, θεραπεύει τὸν λόγον καί φησι· τοῦτο δέ, ὅπερ ἐπιποθῶ, ἤγουν τὸ ἰδεῖν ὑμᾶς, ἐστὶν οὐδὲν ἄλλο, ἢ συμπαρακληθῆναι ἐν ὑμῖν ἐμὲ καὶ ὑμᾶς. Συμπαρακληθῆναι δὲ εἰς πίστιν ἑδραιοτέραν, ὑμῶν μέν, διὰ τῆς ἐν ἐμοὶ πίστεως στηριζομένων· ἐμοῦ δέ, διὰ τῆς ἐν ὑμῖν. Εἴρηκε δὲ τοῦτο οὐχ ὡς αὐτὸς χρήζει, ἀλλ' ἵνα μὴ λυπήσῃ, καθὼς προείρηται, καὶ τῇ κοινωνίᾳ τῆς χρείας ὑποκλέπτει τὴν ἐπιτίμησιν· εἴωθε γὰρ πολλῶν πιστῶν σύνοδος πλείονα παράκλησιν καὶ προτροπὴν εἰς πίστιν ἐργάζεσθαι.

13. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν,

Καθ' ὑπερβατὸν ἡ σύνταξις· ὅτι πολλάκις προεθυμήθην, ἠβουλήθην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν· ἤγουν κέρδος πνευματικόν, ὠφέλειαν, ἀπὸ τῆς εἰρημένης συμπαρακλήσεως, ἀλλ' ἐκωλύθην ἄχρι σήμερον. Καὶ ὅτι μὲν ἐκωλύθη λέγει, διὰ τί δέ, οὐκέτι. Οὐ γὰρ ἐξετάζει τοῦ κωλύσαντος Δεσπότου τὸ πρόσταγμα, πεπεισμένος λόγον ἔχειν τοῦτο προσήκοντα. Ζητεῖται δὲ τοῖς ἐξεταστικωτέροις ἡ τοῦ «μὲν» ἀνταπόδοσις. Πρῶτον μὲν γάρ, φησίν, «εὐχαριστῶ τῷ Θεῷ μου» καὶ τὰ ἑξῆς (α). Ἡγοῦμαι δὲ ταύτην εἶναι τὸ «οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί», καὶ τὰ ἑξῆς, μεταξὺ κειμένων τῶν αἰτιῶν καὶ κατασκευῶν.

14. Καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν Ἕλλησί τε καὶ βαρβά-
15 ροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί· οὕτω τὸ κατ'
ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

(α) Ὅρ. ἀνωτ. στίχ. 8.

Ὥςπερ καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι καὶ τὰ ἐξῆς ὀφειλέτης εἰμί, εὐαγγελίσασθαι δηλονότι. Εἰς τοῦτο γὰρ ἀπεστάλην. Οὕτω κατά τε τὸ κατ' ἐμὲ πρόθυμον ὀφειλέτης εἰμὶ καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι. Συνάψας δὲ τούτους τοῖς ἄλλοις ἔθνεσι, καταστέλλει κἀνταῦθα τὸ φρόνημα τούτων. Ὅπου γὰρ εὐγένεια πίστεως, τἆλλα πάντα καταπεφρόνηται· ταύτην γὰρ ὁ Θεὸς ἐπιζητεῖ μόνην.

16. Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ·

Οὐκ αἰσχύνην μου τοῦτο νομίζω, εἰ καὶ τοῖς ἀπίστοις δοκεῖ αἰσχύνη τῶν κηρυττόντων αὐτὸ διὰ τὸ καταγγέλλειν Θεόν, ἄνθρωπον πολλὰ ἄδοξα ὑπομείναντα. Οἶδα γὰρ τὰ τοῦ πράγματος μυστήρια. Λοιπὸν οὖν οὕτω διὰ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος πείθει κἀκείνους μὴ ἐπαισχύνεσθαι τοῦτο. Προϊὼν δὲ ἐξαίρει καὶ μεγαλύνει αὐτό.

16. Δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι,

Τοῦτο γὰρ τὸ Εὐαγγέλιόν ἐστι παντὶ τῷ πιστεύοντι δύναμις ἐκ Θεοῦ εἰς τὸ δύνασθαι σωθῆναι, δύναμις θεοδώρητος, δι' ἧς δύναται σωθῆναι.

16. Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

Τὸ «πρῶτον» ἐνταῦθα οὐ χάριτος ἐμφαίνει πλεόνασμα, ἀλλὰ τιμὴν τάξεως μόνον. Ἡ αὐτὴ μὲν γὰρ δωρεὰ τῆς σωτηρίας καὶ τούτῳ κἀκείνῳ δέδοται. Τετίμηται δὲ ὁ πιστὸς Ἰουδαῖος τῷ πρώτους Ἰουδαίους πιστεῦσαι, φημὶ δὴ τοὺς Ἀποστόλους.

17. Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται,

Ἐν τῷ Εὐαγγελίῳ φανεροῦται δικαιοσύνη Θεοῦ, ὅτι κοινῶς αὐτὸ δέδωκε πᾶσιν ἀνθρώποις, ἵνα δι' αὐτοῦ πάντες σωθῶσι καὶ μὴ μόνοι οἱ Ἰουδαῖοι. Πάντες γὰρ Θεοῦ πλάσματα, καὶ πάντες ἐλέους χρήζοντες. Ἢ καὶ ἄλλως· ἐπειδὴ εἶπεν ὅτι δύναμίς ἐστιν εἰς τὸ σώζεσθαι, ἐξαίρει τοῦτο πλέον, λέγων ὅτι καὶ δικαίους ποιεῖ τοὺς πιστεύοντας. Ἀποκαλύπτεται γάρ, φησί, καὶ φανεροῦται δικαίωσις ἐκ Θεοῦ εἰς τοὺς πιστεύοντας, γινομένη ἐν αὐτῷ, ἤγουν διὰ τοῦ ῥηθέντος Εὐαγγελίου.

17. Ἐκ πίστεως εἰς πίστιν·

Λείπει τὸ «ἄγοντι». Τὸ γὰρ Εὐαγγέλιον διὰ πίστεως παραλαμ-

βανόμενον ἄγει ἐκ πίστεως ἐλάττονος εἰς μείζονα πίστιν· ὥςτε δίχα συλλογισμῶν καὶ ἀποδείξεων πιστεύειν τοῖς μυστηρίοις. Ἢ ἐκ πίστεως τῶν παρόντων εὐεργετημάτων εἰς πίστιν τῶν μελλόντων ἀγαθῶν.

17. Καθὼς γέγραπται·

Καθὼς περὶ πίστεως γέγραπται ἐν βίβλῳ τοῦ Ἀββακούμ (α). Τί δὲ γέγραπται;

17. «Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται».

Καὶ αὐτὸς ὁ δικαιούμενος ἐκ πίστεως ἀπολαύσει τῆς αἰωνίου ζωῆς καὶ διὰ τὴν πίστιν τεύξεται τῶν τοῖς δικαίοις ἡτοιμασμένων. Θεμέλιος γὰρ δικαιοσύνης ἡ πίστις, καὶ χωρὶς ταύτης οὐκ ἔνι ζῆσαι τὴν μακαρίαν ζωήν. Εἰπὼν δὲ μεγάλα περὶ τοῦ Εὐαγγελίου, ὅτι δύναμίς ἐστιν εἰς σωτηρίαν, καὶ ὅτι δικαιοῖ, καὶ ἀπὸ τῶν χρηστοτέρων προτρέψας εἰς πίστιν αὐτοῦ, προτρέπει λοιπὸν καὶ ἀπὸ τῶν φοβερωτέρων. Καὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτως ἀπὸ τῆς τῶν ἀγαθῶν ἐπαγγελίας, ὡς ἀπὸ τοῦ φόβου τῶν λυπηρῶν εἰς ἀρετὴν ἐνάγονται. Διὰ τοῦτο καὶ ὁ Θεὸς οὐ μόνον ἐπηγγείλατο βασιλείαν, ἀλλὰ καὶ κόλασιν ἠπείλησεν. Καὶ οἱ Προφῆται δὲ τὰς διατάξεις οὕτως ἐποιοῦντο, τοῖς ἀγαθοῖς ἀναμιγνύντες τὰ φοβερά. Πρῶτον δὲ τὰ χρηστά, καὶ τότε τὰ λυπηρά. Διότι ἐκεῖνα μὲν τῆς προηγουμένης γνώμης ἐστὶ τοῦ Θεοῦ, ταῦτα δὲ τῆς τῶν ἀπειθούντων πονηρίας. Τί οὖν φησι νῦν ὁ Παῦλος;

Α'. Πρῶτον μὲν οὖν μετὰ τὸ προοίμιον, περὶ κρίσεως τῆς κατὰ ἐθνῶν τῶν μὴ φυλασσόντων τὰ νόμιμα.

18. Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων,

Ἐν ἡμέρᾳ δηλονότι κρίσεως ἀποκαλύπτεται ἡ ὀργὴ τοῦ Θεοῦ ἀπ' οὐρανοῦ, ἡ ἐπὶ πάντα ἀσεβῆ καὶ ἄδικον ἄνθρωπον, τὸν μὴ προςδραμόντα τῇ πίστει τοῦ κηρύγματος, ἄχρι τότε κρυπτομένη καὶ μὴ

(α) Ἀββακ. β', 4.

γνωριζομένη τοῖς τοιούτοις διὰ τὸ μὴ προςέχειν αὐτοὺς τοῖς περὶ ἐκείνης λόγοις.

18. Τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων,

Ἀλήθειαν μὲν λέγει τὴν ἀληθῆ περὶ Θεοῦ γνῶσιν· ἀδικίαν δὲ τὴν ἀσέβειαν, τὴν εἰδωλολατρείαν. Ἀδικοῦσι γὰρ τὸν Θεὸν οἱ τὸ σέβας αὐτοῦ τοῖς δαίμοσιν ἀπονέμοντες. «Κατέχονται» δέ, ἀντὶ τοῦ «κρύ-» πτονται καὶ κωλύονται». Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς τοιαύτης ὀργῆς.

19. Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε.

Γνωστὸν τοῦ Θεοῦ λέγει τὴν γνῶσιν τὴν περὶ τοῦ ὄντως Θεοῦ· ἔπειτα διερμηνεύει καὶ πῶς αὐτὴν αὐτοῖς ἐφανέρωσεν.

20. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται,

Ἀφ' οὗ γὰρ χρόνου ὁ ὁρατὸς ἐκτίσθη κόσμος, ἔκτοτε καὶ εἰς τὸ ἑξῆς τὰ ἀόρατα τοῦ Θεοῦ καθορᾶται. Πῶς δὲ καθορᾶται; Ἀπὸ τῶν αἰσθητῶν ποιημάτων νοούμενα. Τίς γὰρ ὁρῶν οὐρανοῦ καὶ γῆς μεγέθη καὶ κάλλη καὶ σχήματα καὶ θέσεις καὶ χρείας, καὶ τῶν ἄλλων τῶν ἐν μέσῳ τήν τε καθ' ἕκαστον εὐφυΐαν καὶ τὴν ἐξ ἁπάντων εὐαρμοστίαν καὶ συμφωνίαν εἰς ἑνὸς κόσμου συμπλήρωσιν· (ἕκαστον γὰρ καὶ κατὰ φύσιν ἔχει καλῶς, καὶ κατὰ σχέσιν τὴν πρὸς ἕτερα) οὐκ εὐθὺς ἀπὸ τῶν ποιημάτων ἀναβήσεται τῇ διανοίᾳ πρὸς τὸν ποιητὴν αὐτῶν, ὁδηγῷ πρὸς αὐτὸν τῇ τούτου ὄψει χρησάμενος; «Οἱ οὐρανοὶ » γάρ, φησί, διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ τῶν χειρῶν αὐτοῦ » ἀναγγέλλει τὸ στερέωμα» (α)· καὶ ἀλλαχοῦ δὲ πάλιν· «ἐκ γὰρ με-» γέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν » θεωρεῖται» (β). Εἶτα προςτίθησι καὶ τίνα προςηγόρευσεν ἀόρατα τοῦ Θεοῦ.

20. Ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης·

Εἰ γὰρ καὶ μὴ τὴν φύσιν αὐτοῦ κατανοοῦσιν, ἀλλὰ τέως τὴν δύ-

(α) Ψαλμ. ιη', 1. — (β) Σοφία Σολομ. ιγ', 5.

ναμιν αὐτοῦ καὶ τὴν θειότητα διαγινώσκουσιν ἀπό τε τῆς μεγαλουργίας καὶ εὐταξίας τῶν ποιημάτων αὐτοῦ, καὶ ἀπὸ τοῦ εἶναι ταῦτα φθαρτά. Οὐ γὰρ ἴσον τῷ ποιήσαντι τὸ ποιηθέν, ἀλλ' ἀσύγκριτος ἡ ὑπεροχὴ τοῦ κτίσαντος. Τῇ δυνάμει δὲ καὶ τὴν πρόνοιαν συντάττομεν.

20. Εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους.

Ἐφανέρωσε, φησίν, αὐτοῖς, ὥςτε εἶναι αὐτοὺς ἀναπολογήτους, μὴ δυναμένους καταφυγεῖν εἰς ἀπολογίαν ἀγνοίας, ἀλλ' εὐθέως καταδικαζομένους. Διὰ τί δέ; ἄκουσον.

21. Διότι, γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν·

Γνόντες αὐτὸν οὐ κατὰ τὴν φύσιν αὐτοῦ· πῶς γάρ; ἀλλὰ κατὰ τὴν ἀίδιον αὐτοῦ δύναμιν καὶ θειότητα, καθὼς ἀνωτέρω διείληπται, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἤγουν οὐχ ὡς ποιητὴν ἐσεβάσθησαν, οὐδ' ηὐχαρίστησαν ὡς συνοχεῖ καὶ προνοητῇ καὶ δι' αὐτοὺς τὰ πάντα κατασκευάσαντι.

21. Ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν,

Μάταια καὶ ἀνάξια τοῦ ἐν αὐτοῖς λόγου διελογίσαντο.

21. Καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία·

Ἡ μὴ συνιεῖσα τὸ δέον. «Καρδίαν» δὲ λέγει τὸν νοῦν.

22. Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν,

Οὐκ οἰόμενοι μόνον, ἀλλὰ καὶ λέγοντες τοῦτο καὶ κηρύττοντες. «Ἐμωράνθησαν» μωρὰ καὶ ἀνόητα περὶ Θεοῦ λογισάμενοι. Διὰ πλείονος δὲ τὴν κατηγορίαν αὐξήσας ἐπήγαγε καὶ τὸ ἔγκλημα.

23. Καὶ ἠλλάξαντο τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου,

Τί δὲ τούτου παραλογώτερον ἢ ἀνοητότερον; ἔχοντες γὰρ τὴν δόξαν τὴν περὶ Θεοῦ, λέγω δὲ τὴν περὶ αὐτοῦ ὑπόληψιν καὶ γνῶσιν, ὡς ἀνωτέρω δεδήλωται, ταύτην μὲν ἀφῆκαν προδόντες, ἀντέλαβον δὲ τὸ εἴδωλον. Τοῦτο γὰρ ὠνόμασεν εἰκόνα φθαρτοῦ ἀνθρώπου. Ἢ καὶ ἑτέρως· δόξα μὲν τοῦ Θεοῦ ποιητικὴ τὸ συνεκτικόν, τὸ προνοη-

τικόν, ἅπερ ἴδια τοῦ Θεοῦ καὶ ἐξαίρετα ὄντα, μετήνεγκαν, τό γε καὐτοῖς, εἰς τὸ εἴδωλον. Οὕτω γὰρ νοήσεις, εἰ βούλει, τὸ «καὶ ἐξηλ-»λάξαντο».

23. Καὶ πτεινῶν(*) καὶ τετραπόδων καὶ ἑρπετῶν,

Ἤρκει μὲν ἐλέγξαι τὴν ἄνοιαν αὐτῶν τὸ τοῦ ἀνθρώπου φθαρτόν. Τὸ δὲ καὶ τὴν εἰκόνα αὐτοῦ θεοποιῆσαι τῆς ἄγαν ἐστὶ παραπληξίας. Καὶ οὐδὲ μέχρι τούτου ἔστησαν, ἀλλὰ καὶ εἰς πτεινὰ [οὕτω] καὶ τετράποδα καὶ ἑρπετὰ κατηνέχθησαν, μᾶλλον δὲ καὶ εἰς τὰς τούτων εἰκόνας. Ὥςτε τὴν τιμὴν τοῦ πάντων ἀνωτάτω Θεοῦ τῷ πάντων κατωτάτῳ ἑρπετῷ περιῆψαν, μᾶλλον δὲ τῷ τούτου εἰδώλῳ.

24. Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν,

Δείκνυσιν ἐνταῦθα ὅτι ἀσέβεια γέγονεν αὐτοῖς αἰτία καὶ τῆς διαστροφῆς τῶν νόμων τῆς φύσεως. Τὸ δὲ «παρέδωκεν» ἀντὶ τοῦ «ἀφῆκε »παραληφθῆναι». Μενόντων γὰρ ἀσεβῶν καὶ ἀνιάτων, αὐτὸς μὲν ἀφῆκεν αὐτούς, ὡς ἀναξίους κηδεμονίας, παρέλαβε δὲ αὐτοὺς ὁ Σατανᾶς εἰς ἀκαθαρσίαν, ἐν τῷ τὰς καρδίας αὐτῶν ἐπιθυμεῖν αὐτῆς, περὶ ἧς ἐρεῖ προϊών.

25. Τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς.

Τὸ «ἐν ἑαυτοῖς» ἀντὶ τοῦ «μεθ' ἑαυτῶν», ἤγουν μετὰ τῶν ψυχῶν αὐτῶν. Αὐτοὶ γὰρ κυρίως αἱ ψυχαὶ διὰ τὸ ἀρχικὸν τῆς ψυχῆς. Ἢ τὸ «ἐν ἑαυτοῖς» ἀντὶ τοῦ «ἀλλήλοις», «ὑπ' ἀλλήλων». Εἰ δὲ τὰ σώματα, καὶ τὰς ψυχὰς πάντως. Ἐν γὰρ ταῖς αὐθαιρέτοις ὕβρεσι τῆς ἀκαθαρσίας προηγουμένως ἡ ψυχὴ ἀτιμᾶται καὶ καταισχύνεται.

25. Οἵτινες μετηλλάξαντο τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει,

Ἀλήθειαν μὲν τοῦ Θεοῦ λέγει τὴν ἀληθῆ γνῶσιν τοῦ Θεοῦ, ψεῦδος δὲ τὴν πλάνην. Ἢ ἀλήθειαν μὲν τοῦ Θεοῦ τὸ θεῖον ὄνομα· ἀληθῶς γὰρ τοῦ Θεοῦ ἐστι προςηγορία· ψεῦδος δὲ τὰ εἴδωλα διὰ τὸ ψευδῶς προςαγορευθῆναι ταῦτα θεούς. Ἢ ἀλήθειαν μέν, τὰ ἀληθῶς ἐπὶ Θεοῦ

(*) Ἀντὶ τῆς συνήθους γραφῆς *πετεινῶν* ἢ *πτηνῶν*.

νοεῖσθαι καὶ λέγεσθαι δυνάμενα, τὸ δημιουργικόν, τὸ συνεκτικόν, τὸ προνοητικὸν καὶ ὅσα τοιαῦτα· ψεῦδος δέ, τὰ ψευδῶς ἐπὶ τῶν εἰδώλων νοούμενα καὶ λεγόμενα παρὰ τῶν ἀσεβῶν. Ἠλλάξαντο δέ φησιν «ἐν τῷ ψεύδει»· ἤγουν πρὸς τὸ ψεῦδος, προδόντες μὲν ἐκείνην, ἀντιλαβόντες δὲ τοῦτο.

25. Καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα,

Σέβας μέν ἐστιν ἡ μετὰ πίστεως προςκύνησις τοῦ Θεοῦ, λατρεία δὲ ἡ δι' ἔργων θεραπεία. Ἢ λατρείαν τὸ σέβας ἐκάλεσεν ἐκ παραλλήλου. Εἰ δὲ καὶ τὴν δουλείαν νοήσεις, ἀλλά γε τῷ Θεῷ μόνῳ καὶ τὸ σέβας καὶ ἡ λατρεία κεχρεώστηνται κατὰ τὸν τῆς κυριολεξίας λόγον. «Κτίσιν» δὲ λέγει τὰ ἀνωτέρω ῥηθέντα καὶ τὰς εἰκόνας αὐτῶν. Τῇ μέν τοι συγκρίσει πληκτικώτερον τὸν λόγον ἐποίησεν.

25. Ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τοῦτο εἶπε, δηλῶν ὡς οὐ διὰ τοῦτό τι παρεβλάβη ὁ Θεὸς εἰς τὴν οἰκείαν δόξαν. Καὶ οὕτω γάρ ἐστιν εὐλογητὸς ἀεί· τουτέστιν εὐλογεῖσθαι δίκαιος, ὑμνεῖσθαι ἄξιος. Τὸ δὲ «ἀμὴν» τὸ «ἀληθῶς» ἑρμηνεύει. Εἶτα ἐπαναλαμβάνει τὸν προρρηθέντα λόγον καὶ σαφέστερον αὐτὸν ἐκτίθεται.

26. Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας·

Περὶ τοῦ «παρέδωκεν αὐτοὺς» προείρηται (α). Ὃ δὲ ἀνωτέρω προςηγόρευσεν «ἀκαθαρσίαν», τοῦτο νῦν «πάθη ἀτιμίας» ὠνόμασεν.

26. Αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν·

Τὴν ἐμπρόσθιον μῖξιν εἰς τὴν ὀπίσθιον. Ἢ καὶ ὅτι ἀντὶ τοῦ πάσχειν ἐποίουν, ἀρρενικῶς ἀλλήλαις ἐπακολασταίνουσαι.

27. Ὁμοίως δὲ καὶ οἱ ἄρσενες αὐτῶν, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους,

(α) Ἀνωτ., στίχ. 24.

Τὸ «ἐξεκαύθησαν» ἐπιτατικόν ἐστι καὶ δηλωτικὸν πολλῆς μανίας καὶ διακαίοντος οἴστρου.

27. Ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι,

Καὶ τὸ «κατεργαζόμενοι» μεμελετημένης ἐστὶν ἀσελγείας ἐμφαντικόν· οὐ γὰρ ἁπλῶς τοῦτο εἰργάζοντο, ἀλλὰ σπουδαίως κατειργάζοντο. Ἡ γὰρ πρόθεσις ἐπίτασίν τινα καὶ φιλονικίαν ὑποδηλοῖ. «Ἀσχημοσύνην» δὲ τὸ γινόμενον ἐκάλεσεν, ὡς αἰσχύνην τῆς φύσεως καὶ ἀνατροπὴν τῶν νόμων αὐτῆς.

27. Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.

Καὶ τὸν ἀντὶ τῆς πλάνης αὐτῶν μισθόν· ἤτοι τὸν ἀντὶ τῆς ἀσεβείας, λέγω δὲ τὴν εἰρημένην ἀτιμίαν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· τουτέστι παρ' ἑαυτῶν, παρ' ἀλλήλων. Ἐπεὶ γὰρ μετήλλαξαν τὴν ἀλήθειαν εἰς ψεῦδος, ἀκολούθως μετήλλαξαν καὶ τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. Καὶ λοιπὸν οὐ παρ' ἑτέρων, ἀλλὰ παρ' ἑαυτῶν ἠτιμάσθησαν. Γυναῖκες μὲν παρὰ γυναικῶν, παρὰ δὲ ἀρσένων ἄρσενες, «ἀπολαμβάνοντες» μισθὸν μὲν ἀσεβείας τὴν ἀρρητουργίαν τῆς φύσεως, ταύτης δὲ πάλιν τὴν ἀτιμίαν ἑαυτῶν. Μισθὸν μὲν οὖν νοήσεις τὴν ἐνταῦθα τῆς ἁμαρτίας ἐπικαρπίαν, πρόξενον οὖσαν τῆς ἐκεῖ κολάσεως. Τὸ δὲ «ἣν ἔδει» ἀντὶ τοῦ «τὴν ὀφειλομένην τοῖς τοιού» τοις». Μόνης δὲ τῆς αἰσχρουργίας ταύτης ἐμνημόνευσεν ἢ ὡς ἐπικρατούσης τότε, ἢ ὡς τῶν ἄλλων βδελυρωτέρας.

28. Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα·

Διότι οὐκ ἔκριναν, οὐδ' ᾑρετίσαντο ἐπιγνῶναι τὸν ὄντως Θεόν, εἴασε παραδοθῆναι αὐτοὺς εἰς διεφθαρμένον νοῦν, τῇ ἀποστροφῇ τοῦ Θεοῦ διαφθαρέντα. Τούτου δέ, καθάπερ ἡνιόχου, διαφθαρέντος, πάντα παρεσύρη καὶ παρετράπη.

29. Πεπληρωμένους πάσῃ ἀδικίᾳ,

Πλήρεις ὄντας ἐν πάσῃ ἀδικίᾳ, ἤγουν κακίᾳ. Ὥσπερ γὰρ δικαιοσύνην καθολικῶς τὴν καθόλου ἀρετὴν λέγομεν, οὕτω καὶ ἀδικίαν

καθολικῶς τὴν καθόλου κακίαν. Ὅταν γὰρ ἀποστροφὴ γένηται Θεοῦ, τότε ἀντεισέρχεται ὁ διάβολος, πᾶσαν ἁμαρτίαν ἐπισυρόμενος.

29. Πορνείᾳ,

Ὀνομάσας γενικῶς τὴν κακίαν, καὶ τοῖς εἴδεσιν αὐτῆς ἐπεξέρχεται. Πορνείαν δὲ νοήσεις καὶ τὴν μοιχείαν. Τῇ πράξει γὰρ καὶ τῇ παρανομίᾳ ταὐτὸν ἀμφότερα, εἰ καὶ τῇ ποιότητι τῆς ἁμαρτίας καὶ τοῖς ἐπιτιμίοις εἰσὶ διάφορα.

29. Πονηρίᾳ,

Κακούργῳ μελέτῃ καὶ παρασκευῇ κατὰ τοῦ πλησίον.

29. Πλεονεξίᾳ,

Ἐπιθυμίᾳ τοῦ πλείονος, ζημιούσῃ τὸν πέλας.

29. Κακίᾳ·

Κακώσεις τοῦ ἀδελφοῦ.

29. Μεστοὺς φθόνου,

Βασκανίας τῆς ἐπὶ τοῖς καλοῖς τοῦ πλησίον.

29. Φόνου,

Ἐκ τοῦ φθόνου γὰρ ὁ φόνος, ὡς ἐπὶ τοῦ Ἄβελ ἐδείχθη καὶ ἐπὶ τοῦ Ἰωσήφ.

29. Ἔριδος,

Ἐπιψόγου φιλονικίας.

29. Δόλου,

Ἐπιβουλῆς.

29. Κακοηθείας.

Κακοτροπίας.

30. Ψιθυριστάς,

Ὑπ᾽ ὀδόντα τοὺς παρόντας κακολογοῦντας.

30. Καταλάλους,

Διαβολεῖς τῶν ἀπόντων.

30. Θεοστυγεῖς,

Τοὺς τὸν Θεὸν μισοῦντας. Νοητέον ἐπὶ τοῦ παρόντος οὐ τοὺς τῷ Θεῷ μισουμένους· πάντες γάρ, οὓς καταλέγει, κοινῷ λόγῳ μεμίσηνται τῷ Θεῷ.

30. Ὑβριστάς,

Ἔργῳ καὶ λόγῳ διὰ θρασύτητα.

30. Ὑπερηφάνους,

Ἕτερος ὁ ὑψηλόφρων, καὶ ἕτερος ὁ ὑπερήφανος. Ὑψηλόφρων μὲν ὁ μέγα φρονῶν ἐπὶ τοῖς παροῦσιν αὐτῷ κατορθώμασι, καὶ μὴ τοῖς ταπεινοῖς συναπαγόμενος. Ὁ αὐτὸς δ' ἂν λέγοιτο καὶ πεφυσιωμένος. «Ἡ γνῶσις γάρ, φησί, φυσιοῖ(α)»· ὑπερήφανος δὲ ὁ ἐπὶ τοῖς μὴ προςιοῦσιν αὐτῷ κομπάζων καὶ ὑπὲρ ὅ ἐστι φαίνεσθαι ἐπιτηδεύων. Οὗτος δὲ λέγοιτ' ἂν καὶ τετυφωμένος. «Τετύφωται γάρ, φησί, μηδὲν » ἐπιστάμενος (ϐ)».

31. Ἀλαζόνας,

Ἀλαζών ἐστιν ὁ μὴ στοιχῶν τοῖς νενομισμένοις, ἰδίαν δὲ βαδίζων πολιτείας ὁδόν.

31. Ἐφευρετὰς κακῶν,

Τοῖς προλαϐοῦσι κακοῖς καινὰ προςεπινοοῦντας.

31. Γονεῦσιν ἀπειθεῖς,

Οὗτοι πρόδηλοι.

31. Ἀσυνέτους,

Ἀσυνειδήτους.

(α) Α' Κορινθ. η', 1. — (ϐ) Α' Τιμ. ς', 4.

31. Ἀσυνθέτους,

Ταῖς συνθήκαις μὴ ἐμμένοντας, ἃς ἂν πρός τινα συνθῶνται. Ἢ ἀπροσκολλήτους εἰς φιλίαν.

31. Ἀστόργους,

Ἀνεπιστρόφους στοργῆς.

31. Ἀσπόνδους,

Ἀδιαλλάκτους, μνησικάκους.

31. Ἀνελεήμονας.

Καὶ οὗτοι γνώριμοι.

32. Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

Δικαίωμα τοῦ Θεοῦ λέγει τὴν θείαν κρίσιν, τὴν τοῦ Θεοῦ ψῆφον. Τί δὲ τοῦτο, ὅτι τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν; Πόθεν δὲ τοῦτο ἐπιγινώσκουσιν; Ἀπὸ τῶν παρ᾽ αὐτοῖς πολιτικῶν νόμων. Εἰ γὰρ αὐτοὶ θανάτου ἀξίους κρίνουσι τοὺς τὰ τοιαῦτα πράττοντας, πολλῷ μᾶλλον ἡ θεία ψῆφος. Ἔδειξεν οὖν αὐτοὺς οὐ μόνον ἐν γνώσει ἁμαρτάνοντας, ἀλλὰ καὶ ἑτέροις εἰς τὸ ἁμαρτάνειν συμπράττοντας, ὅπερ ἐπίτασις κακίας ἐστίν· ἐπεὶ καὶ τοῦ προτέρου χεῖρον τὸ δεύτερον. Οἱ μὲν γὰρ ἁμαρτάνοντες μεθύοντες τοῖς πάθεσιν ἁμαρτάνουσιν, οἱ δὲ συνευδοκοῦντες τοῖς ἁμαρτάνουσι νήφοντες πλημμελοῦσιν. Διὸ καὶ πάσης ἀπολογίας ἐστέρηνται.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ

1. Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων·

Ἀναπολόγητος εἰς κατάκρισιν. Οὐ πρὸς τοὺς ἄρχοντας δὲ ἀποτείνεται μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχομένους. Καὶ γὰρ καὶ οἱ μὴ θρόνον δικαστικὸν ἔχοντες ὅμως τοὺς ἁμαρτάνοντας κρίνουσιν ἐν διαλέξεσι καὶ κοινοῖς συλλόγοις καὶ τῇ ψήφῳ τοῦ συνειδότος. Διὰ τί δὲ εἶ ἀναπολόγητος; ἄκουσον·

1. Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· [τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων] (*).

Ἐν γὰρ τῇ τοῦ ἁμαρτήσαντος κατακρίσει σεαυτὸν κατακρίνεις, ὅμοια ἁμαρτάνοντα. Ὧν γὰρ αἱ ἁμαρτίαι κοιναί, τούτοις καὶ αἱ κατακρίσεις κοιναί.

2. Οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ
3. τοὺς τὰ τοιαῦτα πράσσοντας. Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;

Ταῦτα πρὸς τοὺς γινώσκοντας μὲν ὅτι ἀληθῶς κατακρίνει ὁ Θεὸς τὸν ἁμαρτάνοντα, ὁμοίως δὲ καὶ αὐτοὺς ἁμαρτάνοντας, καὶ ἐν τῷ μὴ διδόναι δίκην ἐνταῦθα ἀπατῶντας ἑαυτούς, καὶ οἰομένους τὸ αὐτοὺς διαφυγεῖν τὴν κρίσιν τοῦ Θεοῦ (α). Ἢ καὶ πρὸς τὸν λογιζόμενον ὅτι, εἰ καὶ αὐτὸς ἁμαρτάνω, ἀλλ' ἐπεὶ ἄλλους κωλύω ἁμαρτάνειν, διαφεύξομαι πάντως τὴν παρὰ Θεοῦ κατάκρισιν. Ἀκούσεται γάρ· «Ἰατρέ, » θεράπευσον σεαυτόν» (ϐ).

4. Ἢ τοῦ πλούτου καὶ τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς,

---

(*) Αἱ παρεντεθειμέναι λέξεις ἄδηλον εἰ παρελείφθησαν ἐξ ἀπροσεξίας τοῦ ἀντιγραφέως ἢ παρ' αὐτοῦ τοῦ Συγγραφέως ὠβελίσθησαν ἐπίτηδες. Ἡμεῖς, ἐπὶ τοῦ παρόντος ἄλλο ἀντίγραφον πρὸς ἀντιπαραβολὴν μὴ ἔχοντες, σημειούμεθα ἁπλῶς, ὅτι λείπουσιν αὗται καὶ ἐκ τῆς ἑρμηνείας τοῦ Χρυσοστόμου. Ὅρ. Τόμ. Θ', Ὁμιλ. Ε', σελ. 424. —
(α) «Τὸ αὐτοὺς διαφυγεῖν τὴν κρίσιν τοῦ Θεοῦ» ἤτοι, τὸ κατ' αὐτοὺς διαφυγεῖν κἑξ.» —
(ϐ) Λουκ. δ', 23.

Ἢ τοῦτο μέν, ὃ εἶπον, οὐ λογίζῃ, καταφρονεῖς δὲ τῆς πολλῆς τοῦ Θεοῦ χρηστότητος, ἀνεχομένου καὶ μακροθυμοῦντος, ἵνα μετανοήσῃς;

4. Ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει;

Προτρέπεται, ἕλκει.

5. Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ,

Διὰ τὴν σκληρότητα μήτε φόβῳ καμπτομένου, μήτε χρηστότητι μαλασσομένου· καὶ διὰ τὴν ἀμετανόητόν σου ψυχὴν θησαυρίζεις αὐτὸς ἑαυτῷ καὶ ἀποτίθῃς ὀργὴν Θεοῦ, φυλαττομένην εἰς ἡμέραν ὀργῆς. «Ὀργὴν» μὲν οὖν λέγει τὴν καταδίκην, «ἡμέραν δὲ ὀργῆς» τὴν τῆς κρίσεως, ἐν ᾗ κατακριθήσονται οἱ ἁμαρτωλοί, «ἀποκάλυψιν» δὲ τὴν φανέρωσιν τῆς ὀργῆς τοῦ Θεοῦ. Καὶ ἀνωτέρω γὰρ εἴρηκεν, ὅτι «ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ᾽ οὐρανοῦ».(α) Ἢ καὶ τὴν φανέρωσιν τῶν κρυπτῶν. Ἐπεὶ γὰρ κατεχρήσω πρὸς ἀφορμὴν πλείονος ἁμαρτίας τὴν χρηστότητα τοῦ Θεοῦ, καὶ τὴν εὐεργεσίαν ὑπόθεσιν ἀγνωμοσύνης ἐποιήσω, πλείονα καὶ τὴν καταδίκην εἰργάσω. Καὶ τοῦτο γὰρ ἐμφαίνεται διὰ τῆς «θησαυρίσεως».

6. «Ὃς ἀποδώσει [ἑκάστῳ] (*) κατὰ τὰ ἔργα αὐτοῦ»·

Ἵνα μὴ πάθος καὶ ἐπιθυμίαν τὴν ὀργὴν οἰηθείη τις, τὴν δικαιοκρισίαν ἐπήγαγεν. Ὅπου γὰρ αὕτη, πάθος οὐκ ἔστιν ἐκεῖ· δαυϊδικὴ δὲ ἡ χρῆσις (β) «ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ» (γ).

7. Τοῖς μὲν καθ᾽ ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι ζωὴν αἰώνιον·

Τὸ ὑπερβατὸν οὕτως· τοῖς μὲν καθ᾽ ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ἀποδώσει· ἀπὸ κοινοῦ γὰρ τὸ «ἀποδώσει». Καθ᾽ ὑπομονὴν μὲν οὖν, ἀντὶ τοῦ «ἐν ὑπομονῇ ἔργου ἀγαθοῦ». Χρὴ γὰρ ἐγκαρτερεῖν τοῖς ἀγαθοῖς ἔργοις·

(α) α΄, 18. — (*) Ἡ παρεντεθειμένη λέξις, ὑπάρχουσα ἐν τῇ ἐξηγήσει, δηλοῖ προφανῶς ὅτι ἐξέπεσε τοῦ γραφικοῦ κειμένου ἐξ ἀμελείας τοῦ ἀντιγραφέως. — (β) Ἴσως γραπτέον «ἡ ῥῆσις». — (γ) Ψαλμ. ξα΄, 11.

ἐπίπονον γὰρ ἡ ἀρετή, καὶ φερέπονος ὁ ἐνάρετος. Ζωὴν δὲ αἰώνιον λέγει τὴν μακαρίαν, τὴν ὄντως ζωήν. Τρανῶς δὲ εἰπεῖν τὰ αἰώνια ἀγαθὰ μὴ δυνάμενος ἀπὸ τῶν δοκούντων λαμπρῶν παρ' ἡμῖν, κατὰ τὸ ἐκχωροῦν παρέστησε ταῦτα ἀπὸ τῆς δόξης, ἀπὸ τῆς τιμῆς. Ἀπὸ τῆς ἀφθαρσίας δὲ καὶ τὴν ἀνάστασιν ἐνέφηνεν· ἡ γὰρ ἀφθαρσία τῷ μὴ φθειρομένῳ προςήκει σώματι.

8. Τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή·

«Ἔρις μέν ἐστιν, ὅταν τις, ὑποπτεύων μὴ ἐλάττων φανῆναί τινος, » σπουδάζῃ ποιεῖν τι· ἐριθεία δέ, τὸ ἐξ ὧν ποιεῖ τις ἐπιδεικτικῶς ἢ » κενοδόξως παρακαλεῖσθαι καὶ ἐρεθίζειν καὶ ἄλλους εἰς τὰ ὅμοια». Ταῦτα μὲν ὁ μέγας Βασίλειος (α). Ὁ δὲ Χρυσόστομος ἐριθείαν τὴν φιλόνικον ἔνστασιν ἐπὶ τοῦ παρόντος ἡρμήνευσεν (β). Ἔστι δὲ ἡ σύνταξις οὕτως· τοῖς δὲ ἐξ ἐριθείας οὖσιν· ἤγουν τοῖς ἐν ἐριθείᾳ καὶ ἀπειθοῦσι μὲν τῷ καλῷ, τῇ ἀρετῇ, τῷ Θεῷ· πειθομένοις δὲ ἑκουσίως τῷ κακῷ, τῇ ἁμαρτίᾳ, τῷ δαίμονι, θυμὸς ἐκ Θεοῦ καὶ ὀργὴ προςέσται· κατ' ἔλλειψιν γὰρ εἴρηται· πολλὰ δὲ τοιαῦτα παρὰ τῷ Ἀποστόλῳ. Τινὲς δὲ τὸ «καὶ» παρέλκον ἐνόησαν, ἵν' εἴη· «τοῖς δὲ ἐξ ἐριθείας » ἀπειθοῦσι.» (γ). Θυμὸν δὲ καὶ ὀργὴν ἐπὶ τοῦ προκειμένου ῥητοῦ τὴν σφοδροτάτην ἀγανάκτησιν καὶ ἐπιτεταμένην κόλασιν νόησον κατὰ τὸ δαυϊδικόν· «θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν» (δ).

9. Θλῖψις καὶ στενοχωρία.

Στενοχωρία ἡ πανταχόθεν ἀπορία καὶ συνοχὴ τῶν κακῶν.

9. Ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν,

Ἔσονται ταῦτα δηλονότι. Ἢ τὸ μὲν «θυμὸς καὶ ὀργὴ» τοῖς ὀπίσω

(α) Ἐν τοῖς Κεφαλ. τῶν Ὅρων τῶν κατ' ἐπιτομήν. Ἐρώτ. ΞΕ', Τόμ. Γ', σελ. 1129. — (β) Τόμ. Θ', Ὁμιλ. Ε', σελ. 425. — (γ) Ὁ ἱερὸς Φώτιος, τοὺς στίχους 7 καὶ 8 εἰς μίαν αὐτοτελῆ περίοδον περιλαβὼν καὶ τὰ ὑπερβατὰ εἰς ὁμαλὴν τάξιν σχηματίσας, οὑτωσὶ συντάσσει· «Τοῖς καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, » δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ἀποδώσει ὁ Θεός· τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι » μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ ἀποδοθήσεται, ἢ ἔσται». Ἀμφιλόχ. Ἐρώτ. ϛγ', ιε'. — (δ) Ψαλμ. οζ', 54.

συναπτέον, τὸ δὲ «θλῖψις καὶ στενοχωρία» τοῖς ἔμπροσθεν. Διὰ δὲ τῆς ψυχῆς τὸν ὅλον ἄνθρωπον ἐδήλωσεν, ὡς ἀπὸ μέρους τὸ πᾶν. Εἰπὼν δὲ καθολικῶς ὅτι ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου κακούργου, διεῖλε τοῦτον εἴς τε Ἰουδαίους καὶ Ἕλληνας· εἰς τούτους γὰρ οἱ τότε ἄνθρωποι διῃροῦντο.

9. Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος,

Τὸ «πρῶτον» διότι οἱ πλησιέστεροι τῷ Δεσπότῃ πρῶτοι καὶ τιμωροῦνται καὶ τιμῶνται. Ἐγγύτεροι δὲ τῷ Θεῷ Ἰουδαῖοι διὰ τὴν οἰκειότητα τοῦ γένους· ὁ γὰρ πλείονος ἀπολαύσας διδασκαλίας, εἰ ἁμαρτήσει, πλείονος κολάσεως ἄξιος.

Β'. Περὶ κρίσεως τῆς κατὰ Ἰσραήλ, τοῦ μὴ φυλάσσοντος τὰ νόμιμα.

10. Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

Τοὺς πρὸ τῆς Χριστοῦ παρουσίας Ἰουδαίους καὶ Ἕλληνας λέγει νῦν, οὐ τοὺς εἰδωλολατροῦντας, ἀλλὰ τοὺς θεοσεβοῦντας· τοὺς τῷ φυσικῷ νόμῳ πειθομένους, καὶ πλὴν τῶν ἰουδαϊκῶν παρατηρήσεων πάντα τὰ πρὸς εὐσέβειαν συντείνοντα διατηροῦντας, ὁποῖος ἦν ὁ Μελχισεδέκ. Πόρρωθεν προανευρὼν τὸ μέσον Ἰουδαίου καὶ Ἕλληνος, ὅταν ὕστερον ἐν τῇ χάριτι τοῦτο ποιῇ, μὴ δόξῃ καινόν τι καὶ φορτικὸν ποιεῖν. Συνάπτει δὲ αὐτούς, ἵνα μὴ νομίζωσιν Ἰουδαῖοι ἔλαττον ἔχειν τὸν ἀκρόβυστον, εἰ καὶ θεοσεβὴς εἴη. Δόξα μὲν οὖν καὶ τιμὴ παρὰ Θεῷ. Εἰρήνη δέ, ὅτι ἐνταῦθα μὲν ὅσα ἄν τις ἔχῃ καλά, μετὰ πολέμου ἔχει, κἂν μὴ πρὸς ἕτερον, πρὸς γοῦν ἑαυτὸν διαστασιάζει πολλάκις. Ἐκεῖ δὲ πάντα γνησίαν ἔχουσι τὴν εἰρήνην. Ἰουδαίῳ δὲ πρῶτον, ὡς ἀνωτέρω δεδήλωται.

11. Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ.

Ἐπεὶ παράδοξος ὁ λόγος ἐδόκει, λογισμὸν ἐπάγει συνήγορον, ὅτι ὁ Θεὸς οὐ προσώπου λαμβάνει διαφοράν, ἀλλὰ πραγματικὴν ἐξετάζει ποιότητα. Τοῦτο δὲ εἰπών, ἐδήλωσεν ὅτι οὐκ ἐν πράγμασιν, ἀλλ' ἐν προσώποις μόνον ἡ διαφορὰ τῶν Ἰουδαίων καὶ τῶν Ἑλλήνων.

12. Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται·

Ἐνταῦθα δείκνυσι πλέον τὸν Ἰουδαῖον βαρούμενον. Ὁ μὲν γὰρ Ἕλλην ἁμαρτήσας ἀνόμως, ἤγουν χωρὶς νόμου γραπτοῦ, μὴ ἔχων νόμον παιδεύοντα, ἀνόμως καὶ ἀπολεῖται· τουτέστι χωρὶς κατακρίσεως, τῆς ἐκ τοῦ νόμου, μὴ ἔχων νόμου κατηγορίαν, ἀπὸ μόνον δὲ τῶν τῆς φύσεως λογισμῶν καταδικαζόμενος. Ὁ δὲ Ἰουδαῖος ἐννόμως ἁμαρτήσας, ἤγουν νόμον ἔχων ἐπιστάτην, διὰ νόμου κατακριθήσεται, μετὰ τῆς φύσεως καὶ τοῦ νόμου κατηγοροῦντος· ὅπερ ἐστὶ μεῖζον εἰς κόλασιν. Εἶτα καὶ ἕτερον ἐπάγει λογισμόν·

13. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται.

«Οἱ ποιηταὶ τοῦ νόμου», τοῦ πνευματικῶς νοουμένου. Καλῶς δὲ εἶπεν ὅτι, «παρὰ τῷ Θεῷ»· παρὰ γὰρ ἀνθρώποις δίκαιοι πολλάκις ὀνομάζονται. Ἀκρόασιν δὲ λέγει τὴν ψιλήν, τὴν μέχρι τῶν ὤτων. Ποίησιν δὲ τὴν φυλακὴν καὶ ἐκπλήρωσιν. Ἐπεὶ δὲ ἐδόκει παράδοξον αὖθις λέγειν (πῶς γὰρ δυνατὸν ἀκροᾶσθαι χωρὶς ποιεῖν τὰ τοῦ νόμου;), κατασκευάζει τὸν λόγον διὰ λογισμοῦ.

14. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι, νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος·

Οὐκ ἐκβάλλω τὸν νόμον, φησίν, ἀλλὰ καὶ ἐνταῦθα δικαιῶ τὰ ἔθνη. Ὅταν γὰρ οἱ ἐκ τῶν Ἑλλήνων θεοσεβεῖς, νόμον γραπτὸν μὴ ἔχοντες, φυσικοῖς λογισμοῖς μόνοις κινούμενοι τὰ τοῦ νόμου ποιῶσιν, ὅσα πρὸς εὐσέβειαν ὁρᾷ δηλαδή, χωρὶς τῶν ἰουδαϊκῶν παρατηρήσεων, ὡς ἀνωτέρω δεδήλωται· τότε πάντως οὗτοι νόμον, ὡς εἴρηται, μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος; ἑαυτοῖς νομοθετοῦνται τὰ τοῦ γραπτοῦ νόμου, καὶ τὰ τῆς νομοθεσίας εἰς ἔργον ἄγοντες.

15. Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν,

Ἔργον τοῦ νόμου τὸ προτρέπον ἐπὶ τὰ καλὰ καὶ ἀποτρέπον ἐκ τῶν κακῶν. «Γραπτὸν» δὲ ἀντὶ τοῦ «ἐγγεγραμμένον», ἐγκείμενον ταῖς ψυχαῖς αὐτῶν, ἤτοι τῇ φύσει αὐτῶν.

15. Συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως,

Ἐπιβεβαιούσης τὸ ἐγγεγράφθαι τὸ ἔργον, ὡς εἴρηται, τοῦ νόμου

τῆς συνειδήσεως αὐτῶν ἐν τῷ συνειδέναι τί μὲν τὸ ἀγαθόν, τί δὲ τὸ πονηρόν, καὶ ἐκλέξασθαι τὸ κρεῖττον. Αὐτάρκη γὰρ ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἐποίησεν ὁ Θεὸς πρὸς τὴν τῆς ἀρετῆς αἵρεσιν καὶ τὴν τῆς κακίας ἀποφυγήν.

15. Καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ ἀπολογουμένων,

Ἐνδείκνυνται δὲ τὸ εἰρημένον ἔργον τοῦ νόμου ἐγκείμενον τῇ φύσει αὐτῶν οὐ μόνον ἐν τῷ παρόντι βίῳ, ἀλλὰ καὶ ἐν ἡμέρᾳ κρίσεως. Τοῦτο γὰρ ἐννοεῖ διὰ τοῦ «καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατη- » γορούντων», τουτέστι· καὶ τότε, ὅτε μέσον τῆς ψυχῆς οἱ λογισμοὶ κατηγοροῦσιν ἀλλήλων, τῶν μὲν ἀγαθῶν κατακρινόντων τοὺς φαύλους, οὕς, ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἡ ψυχὴ ἐλογίσατο, τινῶν δὲ φαύλων καὶ ὑπὲρ ἑαυτῶν ἀπολογουμένων καί τινας αἰτίας προβαλλομένων. Διὰ γὰρ τοῦ «ἢ», τὸ σπάνιον τῶν ὑπεραπολογουμένων λογισμῶν παρεδήλωσεν. Τότε γὰρ οὐ δεῖται κατηγόρων ἄλλων ἡ ἑκάστου ψυχή. Εἶτα ἐσαφήνισε τὸν λόγον.

16. Ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων,

Τὰ κεκρυμμένα ἁμαρτήματα. Εἰ δὲ τὰ κρυπτά, πάντως καὶ τὰ φανερά.

16. Κατὰ τὸ Εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.

Ὅτε κρινεῖ τὰ κρυπτά, καθὼς ἐγὼ εὐαγγελίζομαι, καθὼς ἐγὼ κηρύττω. «Εὐαγγέλιον» δὲ τὸ καὶ περὶ τῆς κρίσεως διδάσκον ὠνόμασεν, ὡς καλὸν καὶ ὠφέλιμον ἐν τῷ φοβεῖν καὶ ἐπιστρέφειν. Τὸ δὲ ἑξῆς· ἢ ὅτε κρινεῖ ὁ Θεὸς καὶ Πατὴρ τὰ πάντα διὰ Ἰησοῦ Χριστοῦ· «τὴν » γὰρ κρίσιν, φησί, πᾶσαν δέδωκε τῷ Υἱῷ» (α)· ἢ κατὰ τὸ «διὰ » Ἰησοῦ Χριστοῦ Εὐαγγέλιόν μου» (β), τὸ διὰ τῆς τοῦ Χριστοῦ δυνάμεως εὐαγγελιζόμενον.

17. Ἴδε σὺ Ἰουδαῖος ἐπωνομάζῃ,

Τίθησι τὰ ἐφ' οἷς Ἰουδαῖοι μέγα ἐφρόνουν. Εἶτα ἐκεῖθεν αὐτοὺς ἐντρέπει. Σύ, φησίν, Ἰουδαῖος ἐπονομάζῃ. Τοῦτο δὴ τὸ μέγα παρ'

(α) Ἰωάνν. ε', 22. — (β) Ῥωμ. ιϛ', 25.

ὑμῖν καὶ τίμιον ὄνομα, καθάπερ παρ' ἡμῖν τὸ «χριστιανός». Ὅρα δὲ τὰς ἐμφάσεις. «Ἐπονομάζῃ» μέν, οὐκ εἶ δέ, μὴ πληρῶν τὸν νόμον.

17. Καὶ ἐπαναπαύῃ τῷ νόμῳ,

Ἀποδεχόμενος αὐτόν. Ἀλλ' οὐχ ὁ νόμος ἐπαναπαύεταί σοι μὴ τηροῦντι τοῦτον. Ἢ καὶ ἑτέρως· «ἐπαναπαύῃ» μὴ κάμνων περὶ τὴν ζήτησιν τῶν πρακτέων, ὡς ὁ ἔξω νόμου, ἀλλ' ἔχων αὐτὸν πάντα σοι ὑπαγορεύοντα.

17. Καὶ καυχᾶσαι ἐν Θεῷ,

Ἐν τῷ ἐκλεγῆναι παρὰ Θεοῦ καὶ προτιμηθῆναι πάντων τῶν ἐθνῶν· οὐ μὴν θεραπεύεις τὸν ἐκλεξάμενον (α).

17. Καὶ γινώσκεις τὸ θέλημα,

Τὸ τοῦ Θεοῦ· οὐ μὴν τοῦτο ποιεῖς· ὃ μείζονός ἐστι κολάσεως ἄξιον.

18. Καὶ δοκιμάζεις τὰ διαφέροντα,

Καὶ διακρίνεις τὰ διαφέροντα ἀλλήλων· οἷον καλὸν καὶ κακόν, ἀρετὴν καὶ κακίαν. Ἢ τὰ προςήκοντα τῷ ἀνθρώπῳ.

18. Κατηχούμενος ἐκ τοῦ νόμου,

Διδασκόμενος ταῦτα ἐντεῦθεν· οὐ μὴν ἐργαζόμενος αὐτά.

19. Πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν
20. σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων,

Θαρρεῖν εἶναί σε τοιοῦτον· οὐ μὴν εἶ. Τυφλοὺς δὲ λέγει, καὶ ἐν σκότει, καὶ ἄφρονας καὶ νηπίους τοὺς προςκολλωμένους τοῖς Ἰουδαίοις προςηλύτους.

20. Ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ.

Τὸ «ἔχοντα» οὐ πρὸς τὸ «πέποιθας» ἀνοιστέον· ἀλλὰ καθ' ἑαυτὸ

(α) Χρυσόστ. ἐν λ. (Τόμ. Θ', Ὁμιλ. ϛ', σελ. 432) «Ἐνταῦθα δέ μοι ἠρέμα δοκεῖ » εἰς ἀπόνοιάν τε αὐτοὺς (τοὺς Ἰουδαίους) σκώπτειν καὶ εἰς πολλὴν τὴν δοξομανίαν, » ὅτι τῷ δώρῳ τούτῳ οὐκ εἰς σωτηρίαν τὴν ἑαυτῶν, ἀλλ' εἰς τὸ τῶν ἄλλων κατεξανί» στασθαι καὶ ὑπερορᾶν κατεκέχρηντο ».

νοητέον. «Μόρφωσιν» μὲν οὖν λέγει τὴν εἰκόνα, τὸ σχῆμα· «ἀλή-» θειαν» δὲ τὴν γνῶσιν, τὴν ἀληθῆ γνῶσιν, ἤγουν τὴν εὐσέβειαν. Ἔχοντα, φησί, σχῆμα μόνον ἀληθείας καὶ γνώσεως· ἤγουν εὐσεβείας, ἀπὸ τοῦ νόμου, ἀλλ᾽ οὐκ ἀληθοῦς εὐσεβείας. Εἰπὼν δὲ τὰ πλεονεκτήματα, ἅπερ ἔσχον παρὰ τοῦ Θεοῦ, λέγει αὐτῶν καὶ τὰ ἐλαττώματα.

21. Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύτ-
22. των μὴ κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν, μοι-
χεύεις;

Παρὰ μὲν τὴν ἀρχὴν ἔλεγεν ὅτι οὐδὲν ὠφελεῖ ἡ ἀκρόασις τοῦ νόμου, ἐὰν μὴ καὶ ἡ πρᾶξις προςῇ· «οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, » φησί, δίκαιοι παρὰ τῷ Θεῷ» (α). Νυνὶ δὲ πολλῷ μᾶλλον δείκνυσιν ὅτι οὐ μόνον ἡ ἀκρόασις, ἀλλὰ καί, ὃ πλέον ἦν τῆς ἀκροάσεως, ἡ διδασκαλία, οὐδὲ αὐτὴ προστῆναι δυνήσεται, τοῦ διδάσκοντος μὴ πράσσοντος ἅπερ διδάσκει· μᾶλλον δὲ πράσσοντος ἅπερ ἀπαγορεύει. Κατ᾽ ἐρώτησιν δὲ τά τε προρρηθέντα καὶ τὰ ἑξῆς. Διὸ ἀναγνωστέον·

23. Ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;

Τοῦ νόμου βδέλυγμα μὲν τὰ εἴδωλα καλοῦντος, βδελυσσομένου δὲ καὶ τὰ τούτων χρήματα, ὡς ἀνατεθειμένα δαίμοσιν, ὁ Ἰουδαῖος τὰ εἴδωλα μὲν ἐβδελύσσετο, τὰ δὲ τούτων χρήματα ἥρπαζεν ὑπὸ φιλοχρηματίας· ὃ καὶ ἱεροσυλίαν ἐκάλεσεν· ἱερὰ γὰρ καὶ ταῦτα παρὰ τοῖς εἰδωλολάτραις ὠνομάζοντο. Ἐνέφηνε δὲ ὅτι μείζονος τιμωρίας ἄξιος ὁ ἐν γνώσει ἁμαρτάνων.

23. Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;

Ἐκαυχᾶτο γὰρ διὰ τὸν νόμον, ὡς μόνος παρὰ Θεοῦ τιμηθεὶς ἐν τῷ λαβεῖν αὐτόν. Εἰπὼν δὲ ὅτι «διὰ τῆς παραβάσεως τοῦ νόμου » τὸν Θεὸν ἀτιμάζεις», οὐ μόνον τὸν νόμον ἀτιμάζεις, ἀλλὰ καὶ τὸν δοτῆρα τούτου συνατιμάζεις, καί, βαρὺν τὸν ἔλεγχον ποιησάμενος, παράγει μάρτυρα τὸν Προφήτην, ὡςανεὶ ἔλεγεν οὐκ ἐμὸς ὁ βαρὺς οὗτος λόγος, ἀλλὰ τοῦ Ἡσαΐου.

(α) Ῥωμ. β΄, 13.

24. Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγραπται.

Ἐν Ἡσαΐᾳ δηλονότι (α). Βλέποντες γὰρ οἱ ἐξ ἐθνῶν τοὺς Ἰουδαίους κακῶς πολιτευομένους ἐβλασφήμουν εἰς τὸν Θεόν, ὡς ἢ οὐ καλῶς ἀγαπήσαντα τοὺς κακούς, ἢ οὐ προειδότα ὁποῖοί τινες ἔσονται.

25. Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς·

Ἐὰν τὰ νομικὰ παραγγέλματα φυλάσσῃς· ἐὰν οὐ κλέπτῃς, οὐ μοιχεύῃς, οὐδὲ ἱεροσυλῇς, οὐδὲ τὰ ἀπηγορευμένα ποιῇς, ὧν ἡ φυλακὴ περιτομή ἐστι νοητή τε καὶ ψυχική· ἧς τύπος καὶ ἡ αἰσθητή τε καὶ σωματική, περιτεμνούσης πᾶν εἴ τι περιττὸν καὶ ἀπόβλητον. Ὥςπερ οὖν ἡ πίστις χωρὶς ἔργων νεκρά ἐστιν (β), οὕτω καὶ ἡ περιτομὴ χωρὶς πράξεων οἰκείων ἀνόνητος.

25. Ἐὰν δὲ καὶ (*) παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν.

Ἀπώλετο παρὰ σὲ τὸν κακῶς αὐτῇ χρώμενον, καὶ ὅσον ἐπὶ τῷ παρανομεῖν οὐδὲν διαφέρεις τοῦ ἀνόμου ἀκροβύστου. Τί γὰρ ὠφελεῖ τὸ τῆς βασιλείας σύμβολον τὸν τὴν βασιλείαν οὐκ ἔχοντα;

25. Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Ἐὰν γὰρ φυσικῶς τις τὰς ἐντολὰς τοῦ νόμου τηρῇ, οὐδὲν αὐτῷ ἐμποδίσει ἡ ἀκροβυστία, ὅσον εἰς τὸ λογισθῆναι παρὰ Θεῷ ἔννομον. Ὥςπερ γὰρ τὸν παράνομον οὐδὲν ὠφελεῖ ἡ περιτομή, οὕτως ἄρα τὸν ἔννομον οὐδὲν βλάψει ἡ ἀκροβυστία· ἐκ φύσεως γὰρ αὕτη, καὶ οὐκ ἐκ προαιρέσεως.

27. Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία, τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην τοῦ νόμου.

(α) Ἡσ. νβ', 5. — (β) Ἰάκ. β', 20. — (*) Ὁ «καὶ» ἐν οὐδενὶ εὕρηται τῶν γνωστῶν μοι ἀντιγράφων, οὐδὲ παρὰ Χρυσοστόμῳ, Οἰκουμενίῳ κλ. Σὺ δέ μοι σημείωσαι αὐτοῦ τὴν σημασίαν ἐνταῦθα.

Πρότερον μεταστήσας εἰς τὴν περιτομὴν τὸν πράξεις ἔχοντα χρηστὰς ἀκρόβυστον, θεοσεβῆ μέντοι, καὶ ἐξορίσας εἰς τὴν ἀκροβυστίαν τὸν παράνομον ἐμπερίτομον, οὕτω δίδωσι τὴν νίκην τῷ τοιούτῳ ἀκροβύστῳ. Καὶ κατακρίνει, φησί, καὶ νικήσει ὁ ἐκ φύσεως ἀκρόβυστος, νομίμως βιῶν, ἢ ὁ ἐκ φύσεως τὸν νόμον πληρῶν, σὲ τὸν διὰ γραπτοῦ νόμου καὶ περιτομῆς σωματικῆς ἀχθέντα καὶ παραβαίνοντα τὸν νόμον. Εἰπὼν δὲ δύο περιτομάς, τήν τε νόμιμον καὶ σωματικὴν καὶ τὴν ἐκ προαιρέσεως καὶ ψυχικήν, ἣν ἐπιδείκνυται ὁ εὐσεβὴς ἀκρόβυστος· καὶ πάλιν δύο ἀκροβυστίας, τήν τε φυσικὴν καὶ τὴν ἐξ ἔργων, ἣν ἐπιδείκνυται ὁ παράνομος Ἰουδαῖος· εἶτα ὁρίζει τίς ὁ ὄντως Ἰουδαῖος, καὶ τίς ἡ ἀληθὴς περιτομή.

28. Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν· οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή.

Οὐχ ὁ κατὰ γένος· ἤτοι κατὰ σάρκα Ἰουδαῖος, οὗτος Ἰουδαῖος κυρίως. Δεῖ γὰρ δὶς λαμβάνειν τὸ «Ἰουδαῖος». Οὐδ' ἡ αἰσθητή· ἤτοι κατὰ σάρκα «περιτομὴ» αὕτη περιτομὴ κυρίως. Δὶς γὰρ καὶ τὴν λέξιν ταύτην ληπτέον.

29. Ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος,

Ἀλλ' ὁ νοητὸς Ἰουδαῖος, ὁ ἐξομολογούμενος Θεῷ. Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται.

29. Καὶ περιτομὴ καρδίας,

Καὶ περιτομὴ ἀληθής, ἡ τῆς καρδίας, ἡ ψυχική, πᾶν κριθὲν ἀπόβλητον περιτέμνουσα. Ὅ τε γὰρ αἰσθητὸς Ἰουδαῖος τύπος ἦν νοητοῦ, ἥ τε σωματικὴ περιτομή, τῆς ψυχικῆς

29. Ἐν πνεύματι, οὐ γράμματι.

Διὰ πνεύματος γὰρ ἁγίου οἱ ἀληθεῖς Ἰουδαῖοι περιτέμνονται τὰς ἁμαρτίας καὶ οὐ διὰ τοῦ νομικοῦ γράμματος. Τινὲς δὲ «πνεῦμα» νῦν τὴν προαίρεσιν ἐνόησαν, ὡς τὸ «ἐγεννήθη πνεῦμα ἕτερον ἐν αὐτῷ, » καὶ ἐπηκολούθησέ μοι» (α). Ὅρα δὲ ὅπως ἀποδοκιμάσας μὲν τὰ ἐν τῷ φανερῷ ἐξέβαλε τὰ σωματικὰ πάντα. Καὶ γὰρ καὶ ἡ περιτομὴ

(α) Ἀριθ. ιδ', 24.

ἐν τῷ φανερῷ, καὶ τὰ σάββατα, καὶ αἱ θυσίαι. Ἅπαντα δι' ἑνὸς ᾐνίξατο ῥήματος. Ἐγκρίνας δὲ τὴν ψυχικὴν περιτομήν, ὡδοποίησε τῇ εὐαγγελικῇ πολιτείᾳ.

29. Οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ Θεοῦ.

Τοῦ ἐν τῷ κρυπτῷ δηλονότι Ἰουδαίου, τοῦ κατὰ πνεῦμα περιτεμνομένου. Ἀόρατον γὰρ τὴν περιτομὴν ταύτην οὖσαν, μόνος ὁ τὰ κρυπτὰ βλέπων Θεὸς ἐπαινέσεται.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

Γ' Περὶ ὑπεροχῆς Ἰσραήλ, τοῦ τυγχάνοντος τῆς ἐπαγγελίας.

1. Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ὠφέλεια τῆς περιτομῆς;

Καταστέλλει τὴν τῶν Ἰουδαίων ὀφρύν, καὶ δείξας μάτην αὐτοὺς μεγαλαυχοῦντας ἐπὶ τῇ περιτομῇ καὶ τῇ τοῦ Ἰουδαίου προσηγορίᾳ, λοιπὸν ἀντιπίπτοντος ἐρώτησιν λύει, ὥσπερ τινὸς ἐρωτήσαντος· εἰ τῶν ἀλλοφύλων ἐθνῶν τινες, θεοσεβείᾳ καὶ ἀρετῇ κοσμούμενοι, οὐδὲν ἐλαττοῦνται τῶν ἐναρέτων Ἰουδαίων, μᾶλλον μὲν οὖν καὶ νικῶσι τοὺς ῥᾳθύμους Ἰουδαίους, τί περισσότερον τοῦ ἀλλοφύλου ἔχει ὁ Ἰουδαῖος; καὶ τίς ἡ τῆς περιτομῆς ὠφέλεια, καὶ διὰ τί περιτέμνεσθαι προσέταξεν ὁ Θεός; Καὶ εἶχε μὲν εἰπεῖν περὶ τῆς περιτομῆς ὅτι τύπος ἦν ἡ σωματικὴ τῆς ψυχικῆς, ὥσπερ καὶ τὰ ἄλλα τὰ νομικὰ τύποι τῶν εὐαγγελικῶν· ὡς φορτικὸν δὲ ἔτι τοῦτο παρείς, εἰς τὴν ἑτέραν ἦλθεν ἀπόκρισιν.

2. Πολύ, κατὰ πάντα τρόπον·

Πολύ, φησί, τὸ περισσὸν κατὰ πλείονας τρόπους. «Πάντα» γὰρ ἐνταῦθα τοὺς πλείονας λέγει. Εἷς μὲν οὖν τρόπος περιττότητος, ὅτι τοὺς προγόνους τῶν Ἰουδαίων ὁ Θεὸς ἐξελέξατο. Ἕτερος δέ, ὅτι τῆς τῶν Αἰγυπτίων ἠλευθέρωσε δουλείας. Ἄλλος, ὅτι περιβοήτους αὐτοὺς

διὰ τὰς παντοδαπὰς θαυματουργίας ἀπέφηνεν. Καὶ αὖθις ἄλλος, ὅτι νόμον ἔδωκε διδάσκαλον τῶν πρακτέων. Καὶ ἄλλος πάλιν, ὅτι καὶ Προφήτας αὐτοῖς ἐπέστησεν· ἃ πάντα καὶ πλείω τούτων τοῖς Ἰουδαίοις, τοῖς ἐν περιτομῇ, ἐχαρίσατο. Ἀλλ' ὁ Ἀπόστολος τἆλλα παρασιωπήσας, ὡς αἰνιχθέντα διὰ τοῦ εἰπεῖν «ὅτι κατὰ πάντα τρό-» πον» τὴν δόσιν τοῦ νόμου τίθησι, δι' οὗ ὡδηγήθησαν εἰς σωτηρίαν.

2. Πρῶτον μὲν γάρ, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ.

«Πρῶτον» τῶν ἄλλων τρόπων τῆς περιττότητος καὶ ὠφελείας· ἤγουν ἐξαίρετον, ὅτι ἐνεχειρίσθησαν τὸν νόμον. Τοῦτο γὰρ δηλοῖ τὸ «ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ»· ὅτι ἔλαβον χρησμούς, ἄνωθεν κατενεχθέντας· ὅτι ἄξιοι ἐκρίθησαν τοῦ τηλικούτου πράγματος· ὅτι ὁ Θεὸς τὰς ἐντολὰς αὐτοῦ ἐπίστευσεν αὐτοῖς, ἤγουν ἐνεχείρισεν. Διὸ καὶ ὁ Προφήτης ἔλεγεν· «ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ· τοῖς » υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ» (α). Καὶ πάλιν· « οὐκ ἐποίησεν » οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς» (ϐ). Παρέλκων δὲ ὁ «μὲν» σύνδεσμος ἐνταῦθα.

3. Τί γάρ, εἰ ἠπίστησάν τινες;

Ἵνα μή τις εἴπῃ· καὶ τίς ἡ ὠφέλεια τῆς δόσεως τοῦ νόμου, ὁπότε πολλοὶ οὐκ ἐπίστευσαν αὐτῷ, παραβαίνοντες αὐτόν, φησί· καὶ τί τοῦτο πρὸς τὸν Θεόν; αὐτὸς μὲν γὰρ τὸ αὐτοῦ πεποίηκε καὶ εὐηργέτησεν ἅπαντας, ἐγχειρίσας αὐτοῖς τὸν νόμον, οἱ δέ, μὴ πιστεύσαντες, αὐτοὶ ἑαυτοὺς ἐξέϐαλον τῆς εὐεργεσίας.

3. Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ κατήργησε;

Κατ' ἐρώτησιν ὁ λόγος. « Πίστιν δὲ τοῦ Θεοῦ » λέγει τὴν εὐεργεσίαν, τὴν διὰ τοῦ πιστεῦσαι αὐτοῖς τὸν νόμον· ἤγουν ἐγχειρίσαι. Μὴ ἐματαιοποίησε τὴν τοιαύτην δωρεὰν καὶ χάριν; Τὴν τιμὴν ταύτην μὴ εἶναι τιμὴν εἰργάσατο;

4. Μὴ γένοιτο·

Οὐμενουν.

(α) Ψαλμ. ρϐ', 7. — (ϐ) Αὐτόθ. ρμζ', 9.

4. Γενέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης (α)·

Ὃ λέγει, τοιοῦτόν ἐστιν· ὅτι καθ' ὑπόθεσιν ἔστω ὁ μὲν Θεὸς ἀληθής, ὥςπερ δὴ καὶ ἔστιν· ἠλήθευσε γὰρ ἐνταῦθα εὐεργετήσας τοὺς Ἰσραηλίτας κατὰ τὴν εἰς τοὺς προγόνους αὐτῶν ἐπαγγελίαν. Ὡμολογήσθω, φησίν, οὗτος μὲν ἀληθής, πᾶς δὲ ἄνθρωπος Ἰσραηλίτης ψεύστης. Τίθει γὰρ μή τινας, ἀλλὰ πάντας ψεύσασθαι. Ὑποθετικῶς δὲ λέγει τὸ ἀληθῶς γεγενημένον, ἵνα μή, προφανῶς πάντων καθαπτόμενος, ἐπαχθὴς δόξῃ καὶ ἀπεχθής. Πάντες δὲ ἐψεύσαντο ὑποσχόμενοι μὲν φυλάξαι τὸν νόμον, μὴ φυλάξαντες δέ.

4. Καθὼς γέγραπται· «ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, » καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε» (β).

Λείπει τὸ «δικαιοῦται», προςνοούμενον ἔξωθεν ἀπὸ τῆς γραφικῆς μαρτυρίας. Οὐ μόνον, φησίν, εἴ τινες ἠπίστησαν, ἀλλ' εἰ καὶ πάντες ἐψεύσαντο, οὐ μόνον οὐκ ἠλαττώθη ἡ τῆς εὐεργεσίας χάρις, ἀλλὰ καὶ οὕτως δικαιοῦται ὁ Θεός· ἤγουν νικᾷ, δικαιολογούμενος καὶ ἀντικρινόμενος αὐτοῖς. Δείκνυται γὰρ αὐτοῖς ἀναξίους εὐεργετῶν, καθώς, φησί, γέγραπται τάδε καὶ τάδε. Καθὼς ὁ Δαυὶδ μαρτυρεῖ, «δικαιοῦται». Καὶ ἄλλως γάρ· πρὸς τὴν τοῦ Θεοῦ ἀλήθειαν πᾶς ἄνθρωπος ψεύστης. Κυρίως γὰρ καὶ ἀληθῶς ἀληθὴς ὁ Θεός, ὡς ἄτρεπτός τε καὶ ἀναλλοίωτος καὶ ὄντως ὤν.

5. Εἰ δὲ ἀδικία (*) ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν;

Ἀντίθεσιν ἑτέραν εἰςάγει, καὶ ἄτοπον οὖσαν ταύτην ἑτέρῳ ἀτόπῳ λύει. Λεγόντων γάρ τινων, εἰ ὁ μὲν Θεὸς ἐτίμησεν ἡμᾶς τῇ δόσει τοῦ νόμου, ἡμεῖς δὲ ἠτιμάσαμεν αὐτὸν διὰ τῆς παραβάσεως, ὡς προείρηται· ἐφάνη δὲ ἐντεῦθεν μᾶλλον ἡ δικαιοσύνη αὐτοῦ, δικαιωθέντος καθ' ἡμῶν, ὅτι καὶ ἀναξίους εἰδώς, ὅμως εὐηργέτησεν, ἡμεῖς ἄρα αἴτιοι τῆς τοιαύτης τοῦ Θεοῦ δικαιοσύνης καὶ νίκης. Καὶ διὰ τί λοιπὸν ἁμαρτωλοὶ κολαζόμεθα; Ἡ μὲν οὖν ἄτοπος ἀντίθεσις αὕτη, ἣν ὁ Ἀπόστολος κατ' ἐπιτομὴν ἐξέθετο, λέγετε (γ). Εἰ δὲ ἡ ἀδικία ἡμῶν,

---

(α) Ψαλμ. ριε', 2. — (β) Ψαλμ. ν', 5. — (*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων ἔχουσιν ἡ ἀδικία. Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει οὕτω γράφει.— (γ) Ἡ περίο-

ἤγουν ἡ εἰς Θεὸν ἀτιμία, Θεοῦ δικαιοσύνην ἐργάζεται, ὥς φατε, τί ἐροῦμεν; τί συλλογισόμεθα ἆρα; ὅτι ἄδικος ὁ Θεός, ὁ κολάζων τὸν αἴτιον αὐτῷ τῆς νίκης; ὁ γὰρ ἀδίκως κολάζων ἄδικος πάντως.

5. Κατὰ ἄνθρωπον λέγω,

Εἰδὼς ἄτοπον τὸν συλλογισμὸν τοῦτον, ἐπήγαγεν, ὅτι κατὰ ἀνθρώπινον συλλογισμὸν τοῦτο λέγω, πρὸς λύσιν τῆς ἀτόπου ἀντιθέσεως. Εἰ γὰρ ἐκείνη ἀληθής, πάντως καὶ ὁ ἀκόλουθος αὐτῇ συλλογισμός. Ἐπεὶ δὲ κολάζων ὁ Θεὸς οὐκ ἄδικος, πάντως ἐκείνη ἄτοπος· οὐ γὰρ ἡμεῖς αἴτιοι αὐτῷ τῆς νίκης, ἀλλ' αὐτὸς ἑαυτῷ. Ἡμεῖς μὲν γὰρ κακοὶ περὶ αὐτόν, ἐκεῖνος δὲ ἀγαθὸς περὶ ἡμᾶς.

5. Μὴ γένοιτο·

Τὸ τὸν Θεὸν ἄδικον λέγειν.

6. Ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον;

Εἰ ἄδικός ἐστι, πῶς κρινεῖ τὸν κόσμον; ἴδιον γὰρ τοῦ κρίνειν καὶ οἷον φύσις ἡ δικαιοσύνη.

7. Εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι;

Τὸ αὐτὸ λέγει πάλιν σαφηνείας ἕνεκα. Εἰ γὰρ ὁ Θεὸς ἀληθὴς ἐδείχθη, φησί, καὶ δίκαιος· ἐξ ὧν ἐγὼ παρήκουσα (καὶ τοῦτο γέγονεν εἰς δόξαν τῆς αὐτοῦ ἀγαθότητος καὶ φιλανθρωπίας) οὐ μόνον οὐκ ὀφείλω κολάζεσθαι, ἀλλὰ καὶ εὐεργετεῖσθαι. «Ἐπερίσσευσεν» ἀντὶ τοῦ «ἐφάνη».

8. Καὶ μή, καθὼς βλασφημούμεθα,

Τί ἔτι, φησί, κολάζομαι; καὶ μὴ δογματίζηται καὶ πιστεύηται ἃ λοιδορούμεθα παρά τινων; (α). Εἶτα ἐπάγει σαφέστερον·

δος «ἡ μὲν οὖν ἄτοπος— λέγετε» εἴτε ἐκ τῆς ἡμετέρας περὶ τὴν ἀντιγραφὴν τυχὸν ἀμελείας εἴτε ἐκ τῆς τοῦ χειρογράφου πλημμελοῦς γραφῆς ἀσαφὲς παρέχει τὸ νόημα. Εὐοδοῦται δὲ τοῦτο, οἶμαι, εἰ πρὸ τοῦ «λέγετε» προςτιθεῖτο τὸ «ὡς» κατ' ἀναλογίαν τοῦ ἑπομένου «ὥς φατε». Βλέπε δὲ καὶ τὴν τοῦ ἀποστολικοῦ τούτου ῥητοῦ ἀνάπτυξιν παρὰ Φωτίῳ ἐν Ἀμφιλ. Ἐρ. ΞΖ'.— (α) Οἰκουμ. ἐν λ. «Καὶ μὴ γένηται ἐκεῖνο, φη-» σίν, ὅπερ λέγειν νομιζόμεθα, ὅτι ἐκ τῆς ἀδικίας ἡμῶν εὐεργετεῖ ἡμᾶς ὁ Θεὸς ὡς

8. Καὶ καθὼς φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά;

Τοῦ γὰρ Ἀποστόλου λέγοντος, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις· καὶ διδάσκοντος ὅτι πλεονάσασα εἰς τὸν κόσμον ἡ ἁμαρτία ἐκίνησε τὸν Θεὸν εἰς ἀναίρεσιν αὐτῆς ἐπισπασαμένης τῆς πολυαμαρτήτου φύσεως τῶν ἀνθρώπων τὸν δημιουργὸν εἰς οἶκτον τοσοῦτον, ὡς καὶ κοινωνῆσαι αὐτὸν αὐτῆς, ὅπερ ὑπερπερίσσευσίς ἐστι χάριτος, τινὲς κωμῳδοῦντες τὸν Ἀπόστολον ἔλεγον ὅτι τοῦτο διδάσκει πάντως τὸ ἐκ τῶν κακῶν γίνεσθαι τὰ ἀγαθά, καὶ μονονουχὶ παραινεῖ ποιεῖν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά.

8. Ὧν τὸ κρίμα ἔνδικόν ἐστι.

Τῶν φασκόντων ὅτι λέγομεν «ποιήσωμεν τὰ κακὰ» καὶ τὰ ἑξῆς. Ἔνδικος ἡ καταδίκη καὶ ἡ κόλασις, ὡς συκοφαντούντων ἡμᾶς.

Δ' Περὶ χάριτος, δι' ἧς μόνον ἄνθρωποι δικαιοῦνται, οὐ κατὰ γένος διακεκριμένως, ἀλλὰ κατὰ Θεοῦ δόσιν ἰσοτίμως, κατὰ τὸν Ἀβραὰμ τύπον.

9. Τί οὖν; προεχόμεθα; Οὐ πάντως·

Ἐρωτᾷ ὅτι ἐπὶ τῇ δόσει τοῦ νόμου ἐτιμήθημεν, ὡς δεδήλωται; Ἆρα περισσὸν ἔχομεν παρὰ τοὺς Ἕλληνας; Τοῦτο γὰρ σημαίνει τὸ «προεχόμεθα» (α). Εἶτα καὶ ἀποκρίνεται ὅτι, οὐδαμῶς· οὐ γὰρ ἐφυλάξαμεν αὐτόν.

9. Προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι·

» αἰτίους αὐτῷ νίκης. Μὴ γένηται δὲ ἐκεῖνο· ποῖον; τὸ ἐλθεῖν τὰ ἀγαθὰ καὶ τὸ εὐεργετεῖσθαι παρὰ τῷ Θεῷ, ὡς αἰτίους αὐτῷ νίκης. Νῦν γάρ, φησί, τὸ ἐναντίον, καὶ τιμωρούμεθα».— (α) Ἡ ἐκδοχὴ τῆς λέξεως *προεχόμεθα* πολλὰ παρέσχε πράγματα τοῖς τε παλαιοῖς καὶ τοῖς νεωτέροις τῶν ἐξηγητῶν (ὅρ. Frid. Matth. n. Test. ἐν λ.), ὧν ἕκαστος, καθ' ἣν ἀπεδίδου αὐτῇ σημασίαν καὶ ἔστιζε τὸ χωρίον «τί οὖν—πάντως». Ὁ Συγγραφεὺς ἐκλαμβάνει ὀρθῶς τὸ «προέχεσθαι» ἐν τῇ ἐννοίᾳ τοῦ «περισσὸν ἔχειν». Ὁμοίως δὲ καὶ ὁ Βουλγαρίας Θεοφύλακτος ἐν λ. «ἔχομέν τι πλέον καὶ εὐδοκιμοῦμεν οἱ Ἰουδαῖοι, » ὡς τὸν νόμον καὶ τὴν περιτομὴν δεξάμενοι;» Τὴν δὲ γνώμην αὐτῶν ἀσπάζονται καὶ οἱ δοκιμώτεροι τῶν νεωτέρων ἐξηγητῶν, οἷον ὁ Maier (Comment. über den Brief Pauli an die Römer), ὁ Philippi καὶ ἄλλοι.

Προαπέδειξα γάρ, φησί, καὶ Ἰουδαίους καὶ Ἕλληνας ὑφ' ἁμαρτίαν εἶναι. Ἕλληνες μέν, ἐν οἷς ἔφην, ὅτι «γνόντες τὸν Θεὸν οὐχ ὡς »Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν» (α). Ἰουδαῖοι δὲ πάλιν, ἐν οἷς εἴρηκα ὅτι «ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν «ἀτιμάζεις» (β). Ἕλληνες μὲν γὰρ τὴν φυσικὴν ἔφθειραν γνῶσιν. δαῖοι δὲ τὸν νόμον παρέβησαν. Διὸ καὶ οὐδὲν ἔχει περισσὸν ὁ Ἰου- Ἰουδαῖος παρὰ τὸν Ἕλληνα, ἀλλ' ἴσος ἐστὶν αὐτῷ, ὅσον ἐπὶ τῇ ἁμαρτίᾳ. Ἐπεὶ δὲ ὁ μὲν Ἕλλην τὸν φυσικὸν παρέβη νόμον, ὁ δὲ Ἰουδαῖος ἔτι καὶ τὸν γραπτόν, πλείονος κολάσεως ἄξιος ὁ Ἰουδαῖος, ὡς καὶ πλεῖον τιμηθείς. Ἵνα δὲ μὴ δόξῃ ἐπαχθής, εἰςάγει μάρτυρα τὸν Δαυῒδ καὶ τὸν Ἡσαΐαν·

10. Καθὼς γέγραπται· «οὐκ ἔστι δίκαιος οὐδὲ εἷς»·

Τοῦτο ῥητῶς μὲν οὕτως οὐδαμοῦ τῆς Γραφῆς εὕρηται γεγραμμένον. Καὶ οἶμαι συλλογίσασθαι τοῦτο τὸν Ἀπόστολον ἀπὸ τῶν ἐφεξῆς δαυϊδικῶν ῥητῶν. Τὸ γὰρ «οὐκ ἔστι δίκαιος οὐδὲ εἷς» ταὐτὸν ἂν δύναιτο τῷ «οὐκ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν»· καὶ τοῦτο γὰρ εἶδος ἀδικίας. Ἀδικεῖ μὲν γὰρ τὸν Θεὸν ὁ τοιοῦτος, ἀποστερῶν αὐτὸν τῆς ὀφειλομένης εὐχῆς. Ἀδικεῖ δὲ καὶ ἑαυτόν, ὑπόδικος κολάσει γινόμενος. Ἀδικεῖ δὲ καὶ τὸν φυσικὸν νόμον ἢ καὶ τὸν γραπτόν, παραβάτης αὐτοῦ φαινόμενος.

11. «Οὐκ ἔστιν ὁ συνιών, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν» (γ).

Οὐκ ἔστιν ὁ συνιὼν τὸ δέον, ἢ ἐκζητῶν θεογνωσίαν.

12. «Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν »χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός» (δ).

Ὁμοῦ τε γὰρ τὰ κακὰ διεπράττοντο, καὶ ἄκρατα παντὸς ἀγαθοῦ.

13. «Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν» (ε).

Τὰ βλάσφημα δόγματα καὶ βδελυκτὰ ἐξερευγόμενος.

13. «Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν»·

Ἐδολιεύοντο καταλαλοῦντες, ψευδόμενοι, ἀπατῶντες.

(α) Ἀνωτ. α', 21. — (β) Αὐτόθ. β', 23. — (γ) Ψαλμ. ιγ', 3. — (δ) Αὐτόθ. — (ε) Αὐτόθ. ε', 11.

13. «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν» (α).

Ἰοβόλα καὶ θανάσιμα φθεγγόμενοι.

14. «Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει» (β).

Καταρώμενοι ἀλλήλοις καὶ πικροὺς λόγους προφέροντες. Τὰ μὲν οὖν ἄχρι τοῦδε δαυϊδικά εἰσιν ἐκ διαφόρων Ψαλμῶν. Τινὰ δὲ αὐτῶν παραπέφρασται πρὸς τὸ σαφέστερον ἢ ἐμφαντικώτερον. Τὰ δὲ ἐφεξῆς ἀπὸ τοῦ Ἡσαΐου·

15. «Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα».

Ταχεῖς εἰς φόνον.

16. «Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν»·

Συντρίβοντες καὶ ταλαιπωροῦντες τοὺς ὑποδεεστέρους. Ἢ καὶ ἄλλως· σύντριμμα καὶ ταλαιπωρία ἡ ἁμαρτία, συντρίβουσα καὶ χαυνοῦσα τὴν ψυχὴν καὶ τὸ σῶμα. Ὁδοὶ δ' αὐτῶν αἱ πολιτεῖαι.

17. «Καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν» (γ).

Βίον εἰρηνικόν.

18. «Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν» (δ).

Καὶ τοῦτο δαυϊδικόν. Εἶτα ἵνα μὴ λέγωσιν Ἰουδαῖοι· τί οὖν εἰ πρὸς ἑτέρους καὶ οὐ πρὸς Ἰουδαίους ταῦτα εἴρηται, ἐπήγαγεν·

19. Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ·

Νόμον τὴν παλαιὰν Γραφὴν ὀνομάζει, ἧς μέρος τὰ προφητικά. Ὅ τε γὰρ Δαυὶδ τῶν οἰκείων καὶ οὐ τῶν ἀλλοτρίων κατηγορεῖ· οἵ τε ἄλλοι Προφῆται, εἰς διόρθωσιν τῶν Ἰουδαίων ἀποσταλέντες, οὐκ εἶχον ἀνάγκην ἀλλοφύλους ἐπιτιμᾶν.

19. Ἵνα πᾶν στόμα φραγῇ,

Τῶν Ἰουδαίων δηλονότι. Ἐμφαντικὸς δὲ ὁ λόγος τῆς ἀναισχύντου

(α) Αὐτόθ. ρλθ', 3. — (β) Αὐτόθ. θ', 29. — (γ) Ἡσ. νθ', 7. 8. — (δ) Ψαλμ. λε', 2.

μεγαληγορίας αὐτῶν. Ἤλεγξαν, φησίν, αὐτοὺς οἱ Προφῆται, ἵνα ἐπιστομισθῶσι καυχώμενοι ἐπὶ τῷ νόμῳ καὶ τῆς διὰ τῶν ἔργων εὐαρεστήσεως ἀμελοῦντες. Εἰ γὰρ καὶ περὶ ἄλλων ἐθνῶν τινα προεφήτευσαν, ἀλλὰ καὶ τὰς περὶ τούτων προρρήσεις τοῖς Ἰουδαίοις προσέφερον.

19. Καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ.

«Ὑπόδικος» εἰς κόλασιν. Ἐνταῦθα δὲ καὶ Ἰουδαίους καὶ Ἕλληνας καθήψατο, φόβον πᾶσιν ἐπικρεμῶν, καὶ πόθον ἀπαλλαγῆς βασάνων ἐνιείς, καὶ τῇ πίστει τοῦ Εὐαγγελίου θύραν ἀνοίγων. Ἰουδαῖοι μὲν γὰρ τὸν γραπτὸν παρέβησαν νόμον, Ἕλληνες δὲ τὸν φυσικόν, ὡς προδιείληπται.

20. Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ·

Οὐ γὰρ ἐφύλαξαν αὐτόν, οὐκ ἔχουσι, φησίν, ἔργα νόμου, ἵνα διὰ τοῦτο δικαιωθῶσιν· οὐκ εἰργάσαντο ἃ ἐνετείλατο ὁ νόμος· «σάρκα» δὲ λέγει νῦν τὸν ἄνθρωπον, ὡς ἀπὸ μέρους τὸ πᾶν.

20. Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

Εἰς τοῦτο ὁ νόμος ἐλυσιτέλησεν, εἰς τὸ γνωρίσαι Ἰουδαίοις τὴν ἁμαρτίαν, οὐ μόνον τῷ ἀπαγορεύειν τὴν πρᾶξιν τῶν ἀτόπων, ἀλλὰ καὶ τῷ κολάζειν τοὺς τὰ τοιαῦτα πράττοντας. Ἐπεὶ δὲ ὁ μὲν ὑπέδειξε τὸν κρημνόν, οἱ δὲ οὐκ ἔφυγον τὸν ὄλισθον, γέγονεν αὐτοῖς ὁ νόμος μείζονος κολάσεως πρόξενος, οὐ παρὰ τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ παρὰ τὴν τούτων ῥᾳθυμίαν. Τοῦ γὰρ ἐν ἀγνοίᾳ ἁμαρτάνειν τὸ ἐν γνώσει μεῖζον εἰς καταδίκην. Οὕτω δείξας τὸν νόμον, ἐφ' ᾧ ἐκαυχῶντο, κολάσεως αὐτοῖς πρόξενον γενόμενον, καὶ τὸν φόβον αὐξήσας, καὶ εἰς πολλὴν ἐπιθυμίαν ἀγαγών, ὡς προείρηται, τῆς τῶν ἁμαρτημάτων ἀφέσεως, λοιπὸν ἐπάγει καὶ τὰ τῆς χάριτος.

21. Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται,

Μέγα μὲν ἐφθέγξατο. Εἰ γὰρ οἱ ἐν νόμῳ ζῶντες οὐ μόνον οὐκ ἔφυγον κόλασιν, ἀλλὰ πλεῖον ἐβαρήθησαν, πῶς ἔσται χωρὶς νόμου, μὴ μόνον τιμωρίαν φυγεῖν, ἀλλὰ καὶ διασωθῆναι; Ἔλυσε δὲ τὸ ἄπορον ἀπὸ τῆς ἀξίας τοῦ δικαιοῦντος («δικαιοσύνη» γὰρ οὐχ ἁπλῶς, ἀλλὰ Θεοῦ), μείζονα δείξας τὴν δωρεὰν καὶ δυνατὴν τὴν ὑπόσχεσιν·

πάντα γὰρ Θεῷ δυνατά. «Πεφανέρωται» δὲ εἰπών, ἐδίδαξεν ὅτι οὐ νῦν ἐκαινοτομήθη, ἀλλὰ παλαιὰ οὖσα καὶ κρυπτομένη, νῦν ἐφανερώθη.

21. Μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν Προφητῶν (*)·

Μὴ θορυβηθῇς ὡς ἐπὶ προςφάτῳ, μηδὲ διστάσῃς ὡς ἐπ' ἀμφιβόλῳ· πάλαι γὰρ αὐτὴν ὁ μωσαϊκός τε νόμος καὶ οἱ Προφῆται κατήγγειλαν, ἐν οἷς περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου προεῖπον, δι' οὗ ἡ ἀπολύτρωσις τῶν ἁμαρτημάτων. Ὥςτε καὶ αὐτῷ τῷ νόμῳ καὶ τοῖς Προφήταις τοῦτο δοκεῖ.

22. Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας·

Δικαιοσύνη δὲ Θεοῦ εἰς πάντας ἀνθρώπους γινομένη καὶ ἐπὶ πάντας ὁδεύουσα τοὺς πιστεύοντας. Ἢ εἰς πάντας μὲν Ἰουδαίους, ἐπὶ πάντας δὲ Ἕλληνας. Ἵνα δὲ μὴ ἀχθεσθῶσι πάλιν Ἰουδαῖοι συνταττόμενοι τοῖς Ἕλλησι, καὶ μηδὲν (α) πλέον αὐτῶν ἔχοντες, φησίν·

22. Οὐ γάρ ἐστι διαστολή.

Ἰουδαίου τε καὶ Ἕλληνος.

23. Πάντες γὰρ ἥμαρτον,

Καὶ οὗτοι κἀκεῖνοι. Καὶ κατά γε τὸ πάντας ἁμαρτῆσαι οὐκ ἔστι διαστολή. Διὸ καὶ πάντες δέονται τῆς ἀπολυτρώσεως. Εἰ γὰρ καὶ νόμον ἔλαβον, ἀλλ' ἓν μόνον ἔμαθον ἀπὸ τοῦ νόμου, τὸ εἰδέναι τὴν ἁμαρτίαν, οὐ τὸ φυγεῖν αὐτήν. Εἶτα ἵνα μὴ λέγωσιν ὅτι, εἰ καὶ ἡμάρτομεν, ἀλλ' οὐχ οὕτως, ὡς τὰ ἄλλα ἔθνη, ἐπήγαγεν·

23. Καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ·

Κοινωνήσαντες γὰρ κατὰ τὸ ὁπωςδήποτε ἁμαρτιῶν, κοινωνοῦσι

(*) Τὸ ἐν τῇ τοῦ Μονάχου Βιβλιοθήκῃ χειρόγραφον, τὸ περιέχον τὴν ἑρμηνείαν τοῦ ἡμετέρου Συγγραφέως εἰς τὴν πρὸς Ῥωμαίους καὶ τὴν Α' πρὸς Κορινθίους, ἀντὶ «*Προφητῶν*» ἔχει «*ἀφηγητῶν*». Ὁ δὲ F. M., ὃς εἶχε παρ' ἑαυτῷ ἀντίγραφον ἐκείνου ἐν τῇ παρ' αὐτοῦ γενομένῃ κριτικῇ ἐκδόσει τῆς καινῆς Διαθήκης ἀπορῶν σημειοῦται (ἐν λ.)· unde haec tam mirabilis lectio orta? Τὸ ἡμέτερον ὅμως χειρόγραφον, τὴν ὀρθὴν ἔχον γραφήν, αἴρει τὸ ἀπόρημα. — (α) Ἴσως γραπτέον «ὡς μηδέν».

καὶ τῆς ἀτιμίας, καὶ ἀπεστέρηνται τῆς παρὰ Θεοῦ τιμῆς ὁμοίως· ἴσοι γάρ εἰσι κατὰ τὸ ἁπλῶς προςκεκρουκέναι.

24. Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι,

Σωζόμενοι οὐκ ἐξ ἰδίων κατορθωμάτων, ἀλλὰ τῇ αὐτοῦ εὐεργεσίᾳ καὶ ἀγαθότητι. «Θεὸν» δὲ νῦν τὸν Πατέρα λέγει, καὶ δῆλον ἀπὸ τῶν ἐφεξῆς·

24. Διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ·

Τῆς διὰ Χριστοῦ γενομένης. Ἀπολύτρωσις δὲ ἡ παντελὴς ἀπὸ τῶν ἁμαρτημάτων ἐλευθερία καὶ ἀπαλλαγή.

25. Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι,

Ὃν Χριστὸν προώρισεν ὁ Θεὸς καὶ Πατὴρ ἐξίλασμα ὑπὲρ τῶν ἡμαρτηκότων. Ἐξίλασμα δὲ ἐν τῷ αὐτοῦ αἵματι. Κοινὴ γὰρ ἡ χάρις. Καὶ ὁ μὲν «προέθετο», ὁ δὲ τὸ πᾶν κατώρθωσεν, ἐκχέας ὑπὲρ τῆς σωτηρίας ἡμῶν τὸ ἴδιον αἷμα. Ὅρα δὲ τὰς ἐμφάσεις τῶν λέξεων. Τὸ μὲν γὰρ «προέθετο» δείκνυσιν ὅτι παλαιὸν τοῦτο καὶ οὐ καινόν. Τὸ δὲ «ἱλαστήριον» καὶ τὸ «αἷμα» παριστῶσιν ὡς εἰ τὸ ἄψυχον ἱλαστήριον καὶ τὸ τῶν ἀλόγων θυσιῶν αἷμα τοσαύτην εἶχον ἰσχύν, πολλῷ μᾶλλον τὸ ἔμψυχον καὶ τὸ τοῦ λογικοῦ καὶ θείου καλλιερήματος. Ἐκεῖνα μὲν γὰρ τύποι, ταῦτα δὲ ἀλήθεια.

25. Εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ,

Ὥςπερ ἔνδειξις πλούτου τὸ μὴ μόνον αὐτὸν εἶναι πλούσιον, ἀλλὰ καὶ ἑτέρους πλουτίζειν· οὕτω καὶ δικαιοσύνης ἔνδειξις τὸ μὴ μόνον αὐτὸν εἶναι δίκαιον, ἀλλὰ καὶ ἑτέρους ἐν ἁμαρτίαις κατασαπέντας ἐξαίφνης ποιεῖν δικαίους, ὅπερ ἑρμηνεύει παρακατιών· «εἰς τὸ εἶναι » γάρ, φησί, δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ».

25. Διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ἐν τῇ
26. ἀνοχῇ τοῦ Θεοῦ,

Ὃν προέθετο, φησίν, ἱλασμὸν διὰ τὴν ψυχικὴν νέκρωσιν τὴν ἀπὸ τῶν προγεγονότων ἁμαρτημάτων. Προγεγονότα δὲ ἐν τῇ ἀνεξικακίᾳ καὶ μακροθυμίᾳ.

26. Πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ·

Πάλιν τὸ «πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ» ἐπανέλαβεν, ἐπιπλέον ἀποθαυμάζων αὐτήν. Τὸ δὲ «ἐν τῷ νῦν καιρῷ» τὴν πολλὴν τοῦ Θεοῦ δείκνυσι φιλανθρωπίαν καὶ δύναμιν. Ὅτε γὰρ ηὐξήθη τὰ κακὰ καὶ ἐπληρώθησαν αἱ ἁμαρτίαι, τότε τὴν ἑαυτοῦ δικαιοσύνην ἐπεδείξατο, δικαιῶν τοὺς ἀπεγνωσμένους.

26. Εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.

Ὥςτε φανῆναι αὐτὸν δίκαιον ἐν τῷ οἰκτεῖραι τοὺς τυραννουμένους ὑπὸ τῆς ἁμαρτίας καὶ ἐλευθεροῦν ταύτης τὸν ἐκ πίστεως τῆς κατὰ Χριστὸν οἰκειούμενον.

27. Ποῦ οὖν ἡ καύχησις;

Ἣν ἐκαυχῶντο οἱ Ἰουδαῖοι ἐπὶ τῷ μόνοι τῆς νομοθεσίας ἀπολαύειν.

27. Ἐξεκλείσθη·

Ἐρωτήσας ἀποκρίνεται ὅτι ἀπεκλείσθη, περιῃρέθη, χεθείσης τῆς εὐεργεσίας καὶ τῆς χάριτος τοῦ Θεοῦ καὶ ἐπὶ τὰ ἔθνη.

27. Διὰ ποίου νόμου; τῶν ἔργων; οὐχί·

Πάλιν ἐρωτᾷ· διὰ ποίου νόμου ἐξεκλείσθη; ἆρα διὰ τοῦ νόμου τῶν ἔργων, ὡς ἐργασαμένων τῶν ἐθνῶν τὰ εὐάρεστα καὶ φίλα Θεῷ; Εἶτα πάλιν ἀποκρίνεται ὅτι «οὐχί».

27. Ἀλλὰ διὰ νόμου πίστεως.

Ὥςπερ «νόμου ἔργον» τὰ ἔργα προςηγόρευσεν, οὕτω καὶ «νόμον πίστεως» τὴν πίστιν. Ἐνίκησε, φησίν, ἡ πίστις τὸν νόμον. Ὁ μὲν γὰρ κατέκρινε τοὺς λαβόντας, μὴ φυλαχθείς· ἡ δὲ ἐδικαίωσε τοὺς δεξαμένους, τηρηθεῖσα. «Πίστιν» δὲ λέγει τὴν κατὰ Χριστόν.

28. Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου.

Ὅτε ἀπέδειξε τὴν πίστιν ἰσχυροτέραν τοῦ νόμου, τότε λοιπὸν μετὰ παρρησίας περὶ αὐτῆς διαλέγεται· «Ἄνθρωπον» δὲ ἁπλῶς εἰπών,

πάντας ἐνέφηνε καὶ Ἰουδαίους καὶ Ἕλληνας. Κατανοοῦμεν, φησί, πάντα ἄνθρωπον πιστεύοντα σώζεσθαι· χωρὶς δὲ ἔργων νόμου, τῶν κατὰ τὸ γράμμα, τῶν σωματικῶς τελουμένων, ὡς αἱ θυσίαι καὶ τὰ τοιαῦτα. Ἵνα δὲ μὴ σκανδαλίζωνται Ἰουδαῖοι, πάντων ἁπλῶς ἀνθρώπων δικαιουμένων, ἐπήγαγεν·

29. Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν;

Ἆρα Ἰουδαίοις μόνον ὁ Θεὸς Θεός; δὶς γὰρ τὸ «Θεὸς» ληπτέον, συνεξακουόμενον. Οὐχὶ δὲ καὶ ἐθνῶν τῶν ἄλλων ἐστὶ Θεός;

30. Ναὶ καὶ ἐθνῶν. Ἐπείπερ εἷς ὁ Θεός,

Κοινὸς ὁ Θεός, οὐ μερικός. Εἰ δὲ πάντων ἐστὶ Θεός, ὡς πάντων δημιουργός, καὶ προνοεῖται πάντων πάντως. Εἰ δὲ καὶ προνοεῖται πάντων, πάντας ὁμοίως σώζει διὰ τῆς πίστεως.

30. Ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.

Σώζει καὶ τοὺς ἐκ περιτομῆς πιστεύοντας καὶ τοὺς ἐξ ἀκροβυστίας· ἤγουν καὶ τούτους κἀκείνους διὰ τὴν πίστιν. Ταὐτὸν δὲ νῦν τῷ «ἐκ »πίστεως» τὸ «διὰ τῆς πίστεως» καὶ ἀδιάφορον.

31. Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν.

Δείκνυσιν οὐ μόνον οὐ λυμαινομένην τῷ νόμῳ τὴν πίστιν, ἀλλὰ καὶ βοηθοῦσαν αὐτῷ. Καθάπερ γὰρ ἐκεῖνος ἐμαρτύρησεν αὐτῇ, «μαρτυ- »ρουμένης γάρ, φησίν, ὑπὸ τοῦ νόμου καὶ τῶν Προφητῶν» (α)· οὕτω καὶ αὕτη ἀτονήσαντα τοῦτον ἔστησεν, ἤγουν ἔρρωσεν. Καὶ πῶς, ἄκουσον· ἔργον ἦν καὶ σπούδασμα τῷ νόμῳ δίκαιον ποιῆσαι τὸν ἄνθρωπον. Ἀλλ' ἐκεῖνος μὲν τοῦτο οὐκ ἴσχυσε· «πάντες γάρ, φησίν, ἥμαρτον» (β), ἡ πίστις δὲ ἐλθοῦσα τοῦτο κατώρθωσεν. Ὁμοῦ γάρ τις ἐπίστευσε καὶ ἐδικαιώθη. Ἐπλήρωσεν οὖν αὕτη τὸ θέλημα τοῦ νόμου. Οὐκ ἄρα αὐτὸν κατήργησεν, ἀλλ' ἀπήρτισεν. Καὶ οὐ μόνον οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα σύμμαχος καὶ συνεργός· ὃ μᾶλλον ἐπόθουν ἀκούειν Ἰουδαῖοι.

(α) Ὅρ. ἀνωτ. στίχ. 21. — (β) Ὁμ. στίχ. 22.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ

1. Τί οὖν ἐροῦμεν, Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα;

Ἐπεὶ γὰρ ἄνω καὶ κάτω ἔστρεφον Ἰουδαῖοι ὅτι Ἀβραὰμ ὁ Πατριάρχης καὶ τῷ Θεῷ φίλος πρῶτος ἐδέξατο τὴν περιτομήν, βούλεται δεῖξαι ὁ Ἀπόστολος ὅτι κἀκεῖνος ἐκ πίστεως ἐδικαιώθη, ὅπερ ἦν περιουσία νίκης πολλῆς. Νῦν μὲν οὖν πίστιν ἁπλῶς λέγει, προβαίνων δέ, καὶ τὸ εἶδος αὐτῆς διδάξει καὶ ποίαν λέγει σαφηνίσει. Ἀλλὰ τὸ μὲν ἐκ πίστεως δικαιωθῆναι, τὸν ἔργα μὴ ἔχοντα οὐκ ἀπεικός. Τὸ δὲ τὸν κομῶντα ἐν κατορθώμασι μὴ ἐκ τούτων δικαιωθῆναι, ἀλλ' ἀπὸ πίστεως, τοῦτο ἦν τὸ θαυμαστὸν καὶ μάλιστα τῆς πίστεως τὴν ἰσχὺν ἐμφαῖνον. «Τί οὖν, φησίν, ἐροῦμεν εὑρηκέναι Ἀβραὰμ τὸν κατὰ » σάρκα πατέρα ἡμῶν;» Ὑπερβατὸν γὰρ τὸ «κατὰ σάρκα»· τουτέστι τίνα εὑρεῖν δικαιοσύνην; ποίαν δικαίωσιν; τὴν ἐξ ἔργων ἢ τὴν ἐκ πίστεως; (α). Πατέρα δὲ αὐτὸν κατὰ σάρκα προσαγορεύσας, ἐξέβαλεν Ἰουδαίους τῆς πρὸς αὐτὸν γνησίας συγγενείας, προοδοποιῶν τοῖς ἔθνεσι τὴν ἐκ πίστεως πρὸς αὐτὸν συγγένειαν.

2. Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ'
3. οὐ πρὸς τὸν Θεόν. Τί γὰρ ἡ Γραφὴ λέγει; «Ἐπίστευσε δὲ » Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην» (β).

«Καύχημα» νῦν λέγει τὴν παρρησίαν. Δύο δὲ ἐμφαίνει καυχήματα, τὸ μὲν ἀπὸ τῶν ἔργων, τὸ δὲ ἀπὸ τῆς πίστεως, ὃ πολλῷ μεῖζον τοῦ ἀπὸ τῶν ἔργων. Τιμᾷ μὲν γὰρ τὸν Θεὸν καὶ ὁ τὰς ἐντολὰς αὐτοῦ πληρῶν· πολλῷ δὲ μειζόνως ὁ διὰ τῆς πίστεως φιλοσοφῶν. Ἐκεῖνος μὲν γὰρ ὑπήκουσεν, οὗτος δὲ τὴν προσήκουσαν ἔλαβε περὶ αὐτοῦ δόξαν, καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως πλεῖον ἐδόξασε τὸν Θεὸν καὶ ἐθαύμασεν. Καὶ τὸ μὲν καύχημα ἐκεῖνο τὸν κατορθοῦντα δοξάζει. Τοῦτο δὲ εἰς τὴν τοῦ Θεοῦ διαβαίνει δόξαν, τὴν φιλανθρωπίαν καὶ εὐεργεσίαν αὐτοῦ κηρύττον. «Εἰ γὰρ Ἀβραάμ, φησίν, ἐξ ἔργων ἐδικαιώθη», ἔχει καύχημα πάντως, ἀλλ' ἐπὶ τοῖς ἔργοις, καὶ «οὐ πρὸς τὸν Θεόν».

(α) Ὁ Συγγραφεύς, ἑπόμενος τῷ Χρυσοστόμῳ (Τόμ. Θ', Ὁμιλ. Η', σελ. 453), Φωτίῳ (ἐν Ἀμφιλ. Ἐρώτ. ϛγ') καὶ Οἰκουμενίῳ (ἐν λ.), συντάσσει ἐν ὑπερβατικῷ σχήματι τὸ «κατὰ σάρκα» τῷ «πατέρα». Τινὲς δὲ τῶν νεωτέρων τῷ «εὑρηκέναι» συνάπτειν αὐτὸ παραινοῦσιν.— (β) Γέν. ιε', 6.

Ὁ γὰρ μὴ ἐξ ἔργων, ἀλλ᾽ ἐκ πίστεως δικαιούμενος, οὗτος ἔχει καύχημα πρὸς τὸν Θεόν· ἤγουν ἐπὶ τῷ Θεῷ, ὅτι χωρὶς ἔργων, μυρίοις ὑπεύθυνον ὄντα, οὐ μόνον ἀπήλλαξε κολάσεως, ἀλλὰ καὶ δίκαιον εἰργάσατο καὶ τῶν ἀθανάτων ἠξίωσε τιμῶν.

4. Τῷ γὰρ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατ᾽ ὀφείλημα·

Ὁ γὰρ ἀπὸ τῶν ἔργων δικαιούμενος λαμβάνει τὸν μισθόν· ἤτοι τὴν δικαίωσιν οὐ κατὰ χάριν, ἀλλὰ κατὰ χρέος ὀφειλομένην αὐτῷ.

5. Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.

Τουτέστι πιστεύοντι ὅτι δύναται ὁ Θεὸς τὸν ἐν ἀσεβείᾳ βεβιωκότα, τοῦτον ἐξαίφνης οὐ μόνον ἐλευθερῶσαι κολάσεως, ἀλλὰ καὶ δίκαιον ποιῆσαι. Μέγιστον δὲ τὸ ταῦτα πεισθῆναι καὶ πληροφορηθῆναι, καὶ γενναιοτάτης ψυχῆς καὶ διανοίας δεόμενον. Δείξας τοίνυν ὅτι ὁ ἐν κατορθώμασιν ἔργων κομῶν Ἀβραὰμ οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀλλ᾽ ἐκ πίστεως (γέγραπται γὰρ ἐν βίβλῳ Γενέσεως ὅτι «ἐπίστευσεν Ἀβραὰμ » τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην»), ἐπάγει καὶ τὸν Δαυῒδ μάρτυρα τοῦ λόγου·

6. Καθάπερ καὶ Δαυῒδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων·

«Λέγει», τουτέστιν ἀποφαίνεται, ψηφίζεται, μακαρίζων τὸν ἄνθρωπον ἐκεῖνον, «ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων». Εἶτα τίθησι καὶ τὰ ῥήματα τοῦ Δαυῒδ·

7. «Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν » αἱ ἁμαρτίαι. Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος » ἁμαρτίαν» (α).

Δοκεῖ μὲν οὐ προσήκουσαν παράγειν μαρτυρίαν· οὐδὲ γὰρ εἶπε μακάριον, ᾧ ἡ πίστις εἰς δικαιοσύνην ἐλογίσθη. Ποιεῖ δὲ αὐτὸ ἑκών, ἵνα δείξῃ τὴν ὑπερβολὴν τῆς ἐκ πίστεως δικαιοσύνης. Εἰ γὰρ μακάριος ὁ λαβὼν ἄφεσιν ἀπὸ μόνης χάριτος, πολλῷ μᾶλλον ὁ πίστιν ἐπιδεξάμε-

---

(α) Ψαλμ. λϐ΄, 1.

νος (α) καὶ δικαιωθείς. Ἐπίτασις δὲ καὶ κορυφὴ τιμῆς καὶ δόξης ὁ μακαρισμός.

9. Ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ ἐπὶ τὴν ἀκροβυστίαν;

Τὸ ἀγαθόν, φησί, τοῦτο καὶ μέγα μετὰ τῶν ἐν περιτομῇ ἕστηκεν ἢ μετὰ τῶν ἀκροβυστίᾳ; (β). Καὶ ὅρα τὴν τοῦ λόγου δύναμιν. Δείκνυσι γὰρ αὐτὸ προσῆκον τοῖς ἀκροβυστίᾳ καὶ περὶ αὐτῶν ῥηθέν. Συνάψας γὰρ τῇ δικαιοσύνῃ τὸν μακαρισμόν, καὶ δείξας ἀμφότερα ἕν, ζητεῖ πῶς ἐδικαιώθη ὁ Ἀβραάμ, ἀκρόβυστος ὢν ἢ ἐμπερίτομος;

9. Λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

«Λέγομεν», φησί, τοῦτο ἀπὸ τῆς Γραφῆς, ἣν ἀνωτέρω ἡμεῖς τεθείκαμεν.

10. Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι ἢ ἐν ἀκροβυστίᾳ;

Ἐρωτᾷ· εἶτα ἀποκρίνεται·

10. Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ·

Οὐ γὰρ μόνον τοῦ νόμου, ἀλλὰ καὶ τῆς περιτομῆς πρεσβυτέρα ἡ δηλωθεῖσα πίστις αὐτοῦ.

11. Καὶ σημεῖον ἔλαβε περιτομῆς,

Καὶ σημεῖον ἔλαβε διὰ περιτομῆς. Εἶτα λέγει καὶ τὴν αἰτίαν τοῦ σημείου·

11. Σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως, τῆς ἐν ἀκροβυστίᾳ (*)·

Γνώρισμα τῆς δικαιώσεως τῆς πίστεως, τῆς, ἡνίκα ἦν ἀκρόβυστος, γενομένης αὐτῷ.

(α) Ἴσως γραπτέον *ἐπιδειξάμενος*. — (β) «Μετὰ τῶν ἀκροβυστίᾳ». Καὶ εὐθὺς κατωτέρω πάλιν «τοῖς ἀκροβυστίᾳ». Ἀντὶ «τῶν ἐν ἀκροβυστίᾳ» καὶ «τοῖς ἐν ἀκροβυστίᾳ», κατὰ τὸ ἀμέσως προηγούμενον «μετὰ τῶν ἐν περιτομῇ». — (*) Ἐν ἄλλ. «τῆς ἐν τῇ ἀκροβυστίᾳ». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς οὕτως ἐν τῇ τοῦ ἀμέσως ἑπομένου στίχου ἐξηγήσει.

11. Εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην·

Ὥςτε γενέσθαι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων ἐν ἀκροβυστίᾳ διὰ τὸ λογισθῆναι, ὥςπερ τῷ Ἀβραάμ, οὕτω καὶ αὐτοῖς τὴν πίστιν εἰς δικαιοσύνην, υἱοθετουμένων αὐτῶν διὰ τῆς ὁμοιώσεως τῆς πίστεως τῆς «ἐν τῇ ἀκροβυστίᾳ» γενομένης.

12. Καὶ πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς πίστεως τῆς ἐν ἀκροβυστίᾳ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.

Ἐδέξατο, φησί, τὴν περιτομὴν καὶ τὴν σφραγῖδα τῆς ἐκ πίστεως δικαιοσύνης εἰς τὸ εἶναι αὐτὸν διπλοῦν πατέρα καὶ πρόγονον τῶν πιστευόντων ἐν ἀκροβυστίᾳ, καθὼς εἴρηται, καὶ τῶν ἐν περιτομῇ. Καὶ οὐχ ἁπλῶς ἐν περιτομῇ, ἀλλὰ καὶ στοιχούντων καὶ ἐμμενόντων τοῖς ἴχνεσι καὶ τῇ ὁμοιώσει καὶ μιμήσει τῆς ἐν ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. «Ἡμῶν» δέ, τῶν πιστῶν δηλονότι. Λοιπὸν οὖν ἡ διὰ πίστεως ὁμοίωσις καὶ τοὺς ἐν ἀκροβυστίᾳ καὶ τοὺς ἐν περιτομῇ υἱοθετεῖ τῷ Ἀβραάμ, καὶ τοῦτο ποιεῖ συγγενεῖς αὐτοῦ γνησίους. Εἰ γὰρ τῶν ἐν ἀκροβυστίᾳ οὐκ ἔσται πατὴρ (διότι ἐν ἀκροβυστίᾳ ὢν ἐδικαιώθη), εἰ μὴ καὶ τὴν πίστιν αὐτοῦ ζηλώσωσι, πολλῷ μᾶλλον οὐκ ἔσται τῶν ἐν περιτομῇ (διότι πρῶτος αὐτὸς τὴν περιτομὴν ἐδέξατο), εἰ μὴ τῇ περιτομῇ προςγένοιτο καὶ ἡ πίστις. Διὰ τοῦτο τοίνυν ὁ Ἰουδαῖος ἔλαβε τὴν περιτομήν, ἵνα τὸ πρᾶγμα ζητῇ, οὗ ἐστιν αὕτη σημεῖον· ἤγουν τὴν πίστιν τοῦ Ἀβραὰμ καὶ τὴν ἐκ ταύτης δικαιοσύνην, ἧς προςγενομένης, περιττὴ λοιπὸν ἡ περιτομή.

13. Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ τῷ σπέρματι αὐτοῦ τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως.

Ἔδειξεν ὅτι ἀναγκαία ἡ πίστις· ὅτι πρεσβυτέρα περιτομῆς· ὅτι τοῦ νόμου ἰσχυροτέρα· ὅτι συνίστησι τὸν νόμον. Δείκνυσι πάλιν ἑτέρωθεν ὅτι οὐ διὰ νόμου ἡ ἐπαγγελία προςγίνεται τῷ Ἀβραὰμ ἢ τῷ σπέρματι αὐτοῦ, φημὶ δὴ «τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου», ἀλλὰ διὰ πίστεως. Ὥςπερ γὰρ ἡ δικαίωσις διὰ τὴν πίστιν αὐτῷ ἐδόθη, οὕτω καὶ ἡ ἐπαγγελία τῆς κληρονομίας τοῦ κόσμου διὰ τὴν

πίστιν αὐτοῦ ἐγένετο καὶ οὐ διὰ τὸν νόμον· πρὸ τοῦ νόμου γὰρ αὕτη ἐπηγγέλθη. «Κόσμον» δὲ νῦν λέγει τὴν ὅλην γῆν τῆς ἐπαγγελίας, ἤγουν τὴν Παλαιστίνην. Ταύτην γὰρ αὐτῷ ὁ Θεὸς εἰς κληρονομίαν ἐπηγγείλατο, ὡς γέγραπται ἐν βίβλῳ Γενέσεως (α). Εἰ δὲ καὶ καθολικῶς τὸν «Κόσμον» νοῆσαι θελήσομεν, ῥητῶς μὲν τοῦτο οὐκ ἀναγέγραπται, νοεῖται δὲ ἀπὸ ῥητοῦ ἑτέρου, λέγοντος πρὸς Ἀβραάμ· «ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη» (β)· τουτέστιν οἱ πανταχῇ τῆς Οἰκουμένης πιστοί, οἱ διὰ τῆς κατὰ πίστιν ὁμοιώσεως υἱοποιηθέντες αὐτῷ.

14. Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις

Εἴπερ οἱ ἐχόμενοι τοῦ νόμου, οὗτοι κληρονόμοι γίνονται τοῦ κόσμου, μεματαίωται ἡ πίστις· ἀνόνητος καὶ ἄχρηστος ὑπολείπεται.

14. Καὶ κατήργηται ἡ ἐπαγγελία.

Ἡ τῆς κληρονομίας τοῦ κόσμου· καταργουμένης γὰρ τῆς πίστεως, συγκαταργεῖται καὶ ἡ διὰ ταύτην ἐπαγγελία. Εἶτα κατασκευάζει πῶς κατήργηται ἡ ἐπαγγελία·

15. Ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται·

Παραβαινόμενος δηλονότι. Ὀργὴν δὲ κατεργαζόμενος καὶ παραβάσει ὑπευθύνους ποιῶν, ἐκβάλλει τῆς κληρονομίας καὶ οὐ ταύτης ἀξίους, ἀλλ' ὀργῆς καὶ κολάσεως δείκνυσι τοὺς παραβαίνοντας.

15. Οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις.

Τὸ «οὗ» ἀντὶ τοῦ «ὅπου».

16. Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν,

Διότι, φησίν, ἐκβάλλει μᾶλλον ὁ νόμος· διὰ τοῦτο ἐκ πίστεως ἡ κληρονομία, καὶ οὐκ ἐκ νόμου, ἵνα κατὰ χάριν αὕτη γένηται. Ὅπου γὰρ χάρις, συγχώρησις· ὅπου δὲ συγχώρησις, οὐ κόλασις. Κολάσεως δὲ ἀναιρουμένης καὶ δικαιώσεως ἐπιγιγνομένης, οὐδὲν τὸ κωλῦον εἰς τὴν δηλωθεῖσαν κληρονομίαν.

(α) Γέν. κϛ', 3. — (β) Αὐτόθ. 4.

16. Εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι,

Ὥςτε μὴ διαπεσεῖν τὴν ἐπαγγελίαν, ἀλλὰ γίνεσθαι βεβαίαν παντὶ τῷ ἀβραμιαίῳ σπέρματι. Ὁρᾷς ὅτι ἡ μὲν πίστις οὐ μόνον ἵστησι τὸν νόμον, ὡς προδιείληπται, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν οὐκ ἐᾷ πεσεῖν; Ὁ δὲ νόμος τοὐναντίον καὶ τὴν πίστιν καταργεῖ, παρὰ καιρὸν φυλαττόμενος, καὶ τὴν ἐπαγγελίαν κωλύει. Παρὰ καιρὸν δέ, ὅτι ὀργὴν κατεργαζόμενος, ὡς ὑπὸ πάντων παραβαινόμενος, ἐδεήθη τῆς δικαιούσης πίστεως. Ἧς ἐλθούσης, αὐτὸς ἐσχόλασε παραχωρήσας αὐτῇ, δυναμένῃ σώζειν. Ἥτις οὐ μόνον οὐ ζημιοῖ τὸν Ἰουδαῖον, ἀλλὰ καὶ κινδυνεύοντα ἐκ τοῦ νόμου καὶ τῆς ἐκεῖθεν ὀργῆς, διασώζει καὶ δίκαιον ἀπεργάζεται. Εἰπὼν δὲ ὅτι «παντὶ τῷ σπέρματι», διορίζει ποίῳ·

16. Οὐ τὸ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τὸ ἐκ πίστεως Ἀβραάμ,

«Ἐκ τοῦ νόμου» μὲν λέγει νῦν τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας· Ἰουδαίοις γὰρ ὁ νόμος. «Ἐκ πίστεως» δέ, τοὺς χωρὶς νόμου γενομένους πιστούς, συνάπτων τοὺς δύο λαοὺς καὶ πάντων ποιῶν πατέρα τὸν Ἀβραάμ.

16. Ὅς ἐστι πατὴρ πάντων ἡμῶν,

Τῶν τε Ἰουδαίων τῶν τε ἄλλων ἐθνῶν διὰ τῆς πίστεως καὶ τῆς ἐντεῦθεν ὁμοιώσεως υἱοποιηθέντων αὐτῷ.

17. Καθὼς γέγραπται· ὅτι «πατέρα πολλῶν ἐθνῶν τέθεικά σε»,

Γέγραπται ἐν βίβλῳ Γενέσεως (α). Ἐπισφραγίζει δὲ τὸν ἑαυτοῦ λόγον τῇ μαρτυρίᾳ τῆς Γραφῆς καὶ δείκνυσιν ἄνωθεν οἰκονομηθέντα ταῦτα καὶ προρρηθέντα.

17. Κατέναντι οὗ ἐπίστευσε Θεοῦ,

Τὸ «κατέναντι» ἀντὶ τοῦ «καθ᾽ ὁμοίωσιν». Ὥςπερ γὰρ ὁ Θεὸς κοινῇ πάντων Θεός, οὕτω καὶ ὁ Ἀβραὰμ πάντων πατήρ. Καὶ ὥςπερ ὁ Θεὸς πατὴρ οὐ κατὰ φυσικὴν συγγένειαν, ἀλλὰ κατ᾽ οἰκείωσιν

(α) Γέν. ιζ΄, 5.

πίστεως, οὕτω καὶ ὁ Ἀβραάμ. Ἀναγαγὼν δὲ τὸν λόγον ἐπὶ τὸν Θεόν, ἐκεῖθεν ἀπέφηνε τὴν τοιαύτην συγγένειαν μείζονα καὶ κυριωτέραν τῆς κατὰ σάρκα. «Καθ'ὁμοίωσιν, φησί, τοῦ Θεοῦ, ᾧ ἐπίστευσε».

17. Τοῦ ζωοποιοῦντος τοὺς νεκρούς,

Προκαταβάλλεται μὲν ἤδη καὶ περὶ τῆς ἀναστάσεως λόγον, ἐμφαίνει δὲ ὅτι, εἰ δύναται ζωοποιεῖν τοὺς νεκρούς, δύναται καὶ τοὺς μὴ τεχθέντας ἐξ Ἀβραὰμ ποιῆσαι υἱοὺς Ἀβραάμ.

17. Καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα.

Καὶ παράγοντος τὰ μὴ ὄντα οὕτως εὐκόλως, ὡς δοκεῖν ὄντα. Οὐκ εἶπε δὲ «παράγοντος», ἀλλὰ «καλοῦντος», τὴν πλείονα εὐκολίαν δηλῶν. Ὥςπερ γὰρ ἡμῖν εὔκολον τὰ ὄντα καλέσαι, οὕτως αὐτῷ ῥᾴδιον καὶ πολλῷ ῥᾷον τὰ μὴ ὄντα καλέσαι καὶ ὑποστήσασθαι. Δείξας δὲ τὴν τοῦ Θεοῦ μεγάλην δωρεάν, τὴν τοῦ τεθεῖσθαι τὸν Ἀβραὰμ πατέρα πολλῶν ἐθνῶν καὶ περὶ τῆς ζωοποιοῦ καὶ πανσθενοῦς τοῦ Θεοῦ δυνάμεως διδάξας, δείκνυσι καὶ τὴν τοῦ Ἀβραὰμ πίστιν ἀξίαν τῆς δωρεᾶς, ἵνα μὴ νομίσῃ τις εἰκῇ τοῦτον τετιμῆσθαι.

18. Ὃς παρ'ἐλπίδα ἐπ'ἐλπίδι ἐπίστευσεν,

«Παρ'ἐλπίδα» μὲν τῆς ἑαυτοῦ φύσεως, ἀπελπισθείσης παιδοποιῆσαι ἔτι διὰ τὸ γῆρας· «ἐπ'ἐλπίδι» δὲ τῆς τοῦ Θεοῦ δυνάμεως. Ἐλπίσας γὰρ ὅτι ὁ ἐπαγγειλάμενος δύναται ποιῆσαι, ὃ ἐπηγγείλατο, ἐπίστευσε τῇ ἐπαγγελίᾳ. Εἶτα λέγει καὶ τὸ εἶδος τῆς ἄνω καὶ κάτω θρυλλουμένης πίστεως αὐτοῦ·

18. Εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν,

Ἐπίστευσε γάρ, φησί, περὶ τοῦ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν. Τὸ μὲν φαινόμενον διὰ μέσου Ἰσαὰκ καὶ τοῦ κατὰ σάρκα σπέρματος· τὸ δὲ κρυπτόμενον διὰ μέσου τῆς πίστεως καὶ τοῦ κατὰ πίστιν σπέρματος.

18. Κατὰ τὸ εἰρημένον·

«Πολλῶν» δέ, κατὰ τὸ εἰρημένον αὐτῷ παρὰ Θεοῦ. Εἶτα τίθησι καὶ τὸ εἰρημένον περὶ τῆς πολυπληθείας τῶν ἐκγόνων αὐτοῦ·

18. «Οὕτως ἔσται τὸ σπέρμα σου».

Γέγραπται ἐν βίβλῳ Γενέσεως (α) ὅτι «καὶ εἶπεν ὁ Θεὸς τῷ » Ἀβραάμ· ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέ» ρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς». Εἶτα ἐπήγαγεν· «οὕτως ἔσται » τὸ σπέρμα σου ἀνεξαρίθμητον»· ὡς οἱ ἀστέρες δηλονότι.

19. Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον,

«Μὴ ἀσθενήσας», ὥςπερ τῷ σώματι, οὕτω καὶ τῇ πίστει, ἀλλὰ μᾶλλον ταύτῃ ῥωσθείς. «Οὐ κατενόησε» δέ, ἀντὶ τοῦ «οὐκ ἐλογί» σατο». «Νενεκρωμένον» δέ, ὅσον εἰς παιδογονίαν.

19. Ἑκατονταέτης που ὑπάρχων,

Ἐννέα γὰρ καὶ ἐνενήκοντα ἐτῶν ἦν τηνικαῦτα. Τοῦτο δὲ εἰς κατασκευὴν τέθεικε τῆς εἰρημένης νεκρώσεως.

19. Καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας·

Ἐνενήκοντα γὰρ ἐτῶν ἦν καὶ αὕτη τότε, καὶ οὐ κατενόησε πάλιν τὴν νέκρωσιν τῆς μήτρας Σάρρας. Ὅρα δὲ τὰ ἐμποδίζοντα τῇ πίστει, καὶ ὅπως πάντα παρέδραμεν ὁ δίκαιος. Πρῶτον κώλυμα ἡ παρ' ἐλπίδα ἐπαγγελία τῆς παιδοποιΐας· οὐ γὰρ εἶχε παράδειγμα ἰδεῖν ἄνδρα ἕτερον ἐν γήρᾳ παιδοποιήσαντα. Οἱ μὲν γὰρ μετ' αὐτὸν εἰς αὐτὸν ἔβλεπον, οὗτος δὲ εἰς οὐδένα. Δεύτερον ἡ νέκρωσις τοῦ ἰδίου σώματος. Καὶ τρίτον ἡ τῆς μήτρας Σάρρας.

20. Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει,

«Οὐ διεκρίθη», οὐκ ἀμφέβαλεν ὑπ' ἀπιστίας, εἰς ἣν ἐπεσπῶντο τοῦτον τὰ δηλωθέντα κωλύματα· «ἀλλ' ἐνεδυναμώθη» εἰς παιδογονίαν «τῇ πίστει»· ἢ ἐνεδυναμώθη πρὸς τὴν πίστιν, ἀποβλέψας εἰς τὴν τοῦ ἐπαγγειλαμένου δύναμιν, ὡς ἀνωτέρω δεδήλωται. «Ἐνεδυνα» μώθη» δὲ εἰπών, ἐνέφηνεν ὅτι οὐ μόνον ὁ σωφροσύνην ἢ ἄλλο τι τῶν τοιούτων κατορθώσας, ἀλλὰ καὶ ὁ πίστιν ἐπιδεικνύμενος δυνά-

(α) Γέν. ιζ', 17.

μεως δεῖται πλείονος. Ἐκεῖνος μὲν ἵνα δύνηται τοὺς τῆς ἀκολασίας διακρούεσθαι λογισμούς· οὗτος δὲ ἵνα τοὺς τῆς ἀπιστίας.

20. Δοὺς δόξαν τῷ Θεῷ·

Εὐφημήσας καὶ εὐλογήσας τὸν Θεόν, ὡς τὸ ποθούμενον ἤδη δεδωκότα. Ἢ δοξάσας αὐτὸν ἐν τῷ πιστεῦσαι ὅτι πάντα δύναται. Δοξάζει γὰρ τὸν Θεὸν καὶ ὁ τὰ θεοπρεπῆ περὶ αὐτοῦ πιστεύων καὶ δογματίζων. Διὸ καὶ ἐπήγαγεν·

21. Καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι·

«Καὶ πληροφορηθείς», φησίν. Τοιοῦτον γὰρ ἡ πίστις τῆς ἀπὸ συλλογισμῶν ἀποδείξεως σαφεστέρα καὶ μᾶλλον πείθουσα. Ὁ μὲν γὰρ συλλογισμῷ πειθόμενος καὶ μεταπεισθῆναι δύναται. Ὁ δὲ πίστει βεβαιούμενος ἀπέκλεισε τὴν ἀκοὴν παντὶ λογισμῷ.

22. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Διότι ἐπίστευσεν, ὡς εἴρηται, καὶ ἐδόξασε τὸν Θεὸν καὶ ἐπληροφορήθη, ἐλογίσθη αὐτῷ ἡ πίστις εἰς κατόρθωμα, δίκαιον αὐτὸν ἐργαζόμενον.

23. Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ· ἀλλὰ
24. καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι,

«Οἷς μέλλει λογίζεσθαι» ἡ πίστις εἰς δικαιοσύνην. Ἐγράφη γὰρ ἐν βίβλῳ Γενέσεως τοῦτο καὶ δι' ἡμᾶς, ἵνα τὴν πίστιν αὐτοῦ ζηλοῦντες καὶ παράδειγμα τοῦτον ἔχοντες, ὁμοίως αὐτῷ δικαιώμεθα ἐκ πίστεως.

24. Τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν,

Ὥσπερ γὰρ ἐκεῖνος ἐπὶ τὸν ὄντως Ὄντα ἐπίστευσε περὶ τῆς ἐπαγγελίας τῆς παιδοποιίας καὶ τῆς κληρονομίας τοῦ κόσμου, οὕτω καὶ ἡμεῖς πρὸς τὸν αὐτὸν Θεὸν πιστεύομεν περὶ τῆς ἐπαγγελίας τῆς υἱοθεσίας τῆς πρὸς Θεόν, καὶ τῆς κληρονομίας τῆς βασιλείας τῶν οὐρανῶν. Εἰ γὰρ καὶ ὁ Υἱὸς ταῦτα ἡμῖν ἐπηγγείλατο, ἀλλ' ὁ αὐτὸς ἔλεγεν ὅτι «ὅσα παρὰ τοῦ Πατρὸς ἤκουσα, ταῦτα ἀναγγελῶ

»ὑμῖν» (α), δηλῶν μίαν καὶ τὴν αὐτὴν ἀμφοτέρων θέλησιν καὶ ἐνέργειαν. Σκόπησον δέ, ὅτι ἐγείρει μὲν λυθέντα τὸν ἑαυτοῦ ναὸν ὁ Κύριος, ὡς Θεός (β), ἐγείρει δὲ αὐτὸν ὁ Πατήρ. Ὥςπερ πάντα διὰ τοῦ Υἱοῦ, οὕτω καὶ τὴν ἔγερσιν ταύτην ἐργαζόμενος.

25. Ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν,

Ἵνα ἀπαλείψῃ αὐτὰ ἀποθανών, καὶ δίκην δῷ ἀνθ' ἡμῶν. Αὐτὸς γὰρ ἀναμάρτητος ὤν, οὐκ εἰκῇ καὶ μάτην ἀπέθανεν.

25. Καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

Ἵνα δικαίους ἡμᾶς ποιήσῃ καὶ ἀξίους τῶν ἀπορρήτων ἀγαθῶν. Εἴρηκε δὲ ταῦτα ὁ Ἀπόστολος, ἵνα ἔκ τε τῆς πίστεως τοῦ Ἀβραάμ, δι' ἧς ἐδικαιώθη, ἔκ τε τοῦ πάθους τοῦ Σωτῆρος, δι' οὗ τῶν ἁμαρτημάτων ἠλευθερώθημεν, βεβαιώσῃ τὸν περὶ τῆς καθ' ἡμᾶς πίστεως λόγον.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ

Ε' Περὶ τῆς ἀποκειμένης ἐλπίδος.

1. Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεόν,

Πολλὰ περὶ πίστεως διαλεχθεὶς καὶ προθεὶς αὐτὴν τῆς ἀπὸ τῶν ἔργων δικαιοσύνης, ἵνα μὴ μετὰ τὴν πίστιν ῥᾳθυμήσωμεν, συμβουλεύει εἰρήνην πρὸς τὸν Θεόν· τουτέστι μηκέτι ἁμαρτάνειν. Τὸ γὰρ ἁμαρτάνειν πόλεμός ἐστι πρὸς Θεόν.

1. Διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

Συνεργοῦντος εἰς τὸ εἰρήνην ἔχειν πρὸς τὸν Θεόν.

2. Δι' οὗ καὶ τὴν προςαγωγὴν ἐσχήκαμεν,

Εἰ γὰρ μακρὰν ὄντας προςήγαγε τῷ Πατρί, πολλῷ μᾶλλον ἐγγὺς γενομένους καθέξει παρ' αὐτῷ. Καὶ εἰ ἐκπεπολεμωμένους ὄντας κα-

(α) Ἰωάνν. ιε', 15. — (β) Μάρκ. ιδ', 58. Ἰωάνν. β', 19.

τήλλαξε, πολλῷ μᾶλλον καταλλαγέντας οὐκ ἐάσει διαμάχεσθαι πρὸς αὐτόν. Οὐ γάρ ἐστιν ἴσον μὴ οὖσαν λαβεῖν εἰρήνην, καὶ δοθεῖσαν κατέχειν· ἐπειδήπερ ἡ κτῆσις τῆς φυλακῆς χαλεπώτερον.

2. Τῇ πίστει,

Τῷ πιστεῦσαι. Σκόπει δὲ πῶς πανταχοῦ τὰ δύο τίθησι, τὰ παρὰ τοῦ Θεοῦ καὶ τὰ παρ' ἡμῶν. Ἀλλὰ τὰ μὲν τοῦ Θεοῦ πολλὰ καὶ διάφορα· ὅτι ἀπέθανε δι' ἡμᾶς, ὅτι κατήλλαξεν, ὅτι προςήγαγεν, ὅτι χάριν ἔδωκε πολλήν. Τὰ δὲ παρ' ἡμῶν ἡ πίστις μόνον ἐστίν, ἣν εἰςηνέγκαμεν.

2. Εἰς τὴν χάριν ταύτην,

Δι' οὗ, φησί, προςήχθημεν τῷ Πατρὶ εἰς τὸ τυχεῖν τῆς χάριτος ταύτης· λέγω δὴ τοῦ ἀπαλλαγῆναι τῆς πλάνης, τοῦ ἐπιγνῶναι τὴν ἀλήθειαν, καί, ἁπλῶς εἰπεῖν, τῆς ἀπολαύσεως πάντων τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν.

2. Ἐν ᾗ καὶ ἑστήκαμεν (*),

Ἧς ἐχόμεθα βεβαίως, ἧς οὐκ ἐκπίπτομεν εἰ μὴ ῥᾳθυμήσωμεν. Οὐ γάρ εἰσιν ὡς αἱ ἀνθρώπιναι χάριτες, μυρίαις περιστάσεσι διαπίπτουσαι.

2. Καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ.

Καὶ οὐχ ἱστάμεθα μέχρι τῆς ἀπολαύσεως τῶν παρόντων ἀγαθῶν, ἅπερ ἐνέφηνε διὰ τοῦ εἰπεῖν ὅτι «εἰς τὴν χάριν ταύτην»· ἀλλὰ μέγα φρονοῦμεν καὶ ἐναβρυνόμεθα καὶ ἐπὶ τῇ ἐλπίδι τῆς δόξης τῆς παρὰ τοῦ Θεοῦ· τουτέστιν ἐπὶ ταῖς ἐλπιζομέναις τιμαῖς καὶ ἀπολαύσεσιν, ἀπὸ τῶν ἤδη δεδωρημένων καὶ περὶ τῶν μελλόντων πεπληροφορημένοι.

3. Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν·

Οὐ μόνον δὲ καυχώμεθα ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς, ἀλλὰ καὶ ἐπὶ τοῖς παροῦσι δεινοῖς. Εἰ δὲ καὶ αἱ κατὰ Χριστὸν θλίψεις οὕτω καλλωπίζουσιν, ἡλίκα τούτων ἔσται τὰ ἔπαθλα; Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς ἐν ταῖς θλίψεσι καυχήσεως·

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «ἐν ᾗ ἑστήκαμεν» γράφουσιν.

3. Εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπο-
4. μονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καται-
5. σχύνει,

Ἡ θλῖψις ἔχει καὶ πρὸ τῶν μελλόντων μέγιστον καρπὸν τὴν ὑπομονήν, φερέπονον ἐργαζομένη τὸν πειραζόμενον. Ἡ δὲ ὑπομονὴ δόκιμον ἀποτελεῖ· οὐδὲν γὰρ οὕτως χρηστὰ ἐλπίζειν παρασκευάζει ὡς ἀγαθὸν συνειδός, καὶ βίος δόκιμος καὶ εὐδόκιμος. Ἡ δὲ τοιαύτη ἐλπὶς οὐ καταισχύνει τὸν ἐλπίζοντα· οὐ γάρ ἐστιν ἀνθρωπίνη τις, ἀλλὰ θεία. Διὸ καὶ βεβαία καὶ ἀκίνητος. Ἵνα δὲ μή τις λέγῃ, καὶ πόθεν δῆλον ὅτι ὁ Θεὸς ἐκεῖ δώσει τὰ ἐλπιζόμενα, πιστοῦται τοῦτο ἀπὸ τῶν ἤδη δωρηθέντων ἡμῖν, καὶ μᾶλλον ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ·

5. Ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.

Ἀγάπην τοῦ Θεοῦ καλεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ δίδοται τοῖς πιστοῖς ἐν τῷ ἁγίῳ βαπτίσματι, ἀγάπην τοῦτο προσαγορεύσας, ὡς τεκμήριον καὶ ἀπόδειξιν τῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης. Εἰ μὴ ἠγάπα γάρ, οὐκ ἂν τηλικοῦτον ἐδίδου χάρισμα. «Διὰ τοῦ ἁγίου Πνεύματος, » φησί, τοῦ δοθέντος ἡμῖν»· ἤτοι τοῖς πιστοῖς, ἐκχυθέντος δηλονότι ἐν ταῖς καρδίαις ἡμῶν. Αὗται γὰρ οἰκητήριον αὐτοῦ. «Ἡ ἀγάπη τοῦ » Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν». Καὶ οὐ «κέχυται», ἀλλ' «ἐκκέχυται»· ὃ δαψιλείας ἐστὶν ἐμφαντικόν. «Καρδίαν γάρ, φησί, » καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεος, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς » ἐγκάτοις μου» (α). Εἰ τοίνυν πρὸ τῶν ἀγώνων καὶ πόνων τηλικοῦτον ἔδωκε δῶρον, καὶ οὕτως εὐηργέτησε, πῶς οὐκ ἂν μετὰ τὰ σκάμματα καὶ τοὺς κόπους δώσει τὰ ἐλπιζόμενα ; Τινὲς δὲ πρὸς τὸ «καυ» χώμεθα ἐν ταῖς θλίψεσιν» (β) ἀναγαγόντες τὸν λόγον, ἀγάπην τοῦ Θεοῦ ἑρμηνεύουσι τὴν ἀπὸ τῶν πιστῶν πρὸς τὸν Θεόν (γ)· χαίρομεν λέγοντες ἐν ταῖς θλίψεσι, διότι σφόδρα ἀγαπῶμεν τὸν Θεόν, ὑπὲρ οὗ πάσχομεν.

6. Ἔτι γὰρ ὁ Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν.

(α) Ψαλμ. ν', 11.— (β) Ὅρα ἀνωτ. στίχ. 3.— (γ) Θεοδώρ. ἐν λ. (Τόμ. Δ', σελ.

Ἀπόδειξιν ἔτι ποιεῖται τῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης καὶ τὸν διὰ σταυροῦ θάνατον τοῦ Χριστοῦ. «Ἀσθενεῖς» μὲν οὖν ἐνταῦθα λέγει τοὺς ἁμαρτωλούς· ἀσθένεια γὰρ ψυχῆς ἡ ἁμαρτία. Τοὺς αὐτοὺς δὲ καὶ «ἀσεβεῖς». «Κατὰ καιρὸν» δὲ ἀντὶ τοῦ εὐκαίρως καὶ ὅτε ἔδει.

7. Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται·

Καὶ «μόλις» καὶ «τις», δι' ὧν τὸ σπανίως ἐμφαίνεται. Αὔξησις δὲ ταῦτα τῆς θείας ἀγάπης.

7. Ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν.

Τοῦτο κατασκευὴ τοῦ ὅτι «μόλις ὑπὲρ δικαίου τις ἀποθανεῖται». Εἰ δὲ τοῦτο οὕτως ἔχει, ἐννόησον τὸ μέγεθος τῆς ἀγάπης τοῦ Δεσπότου, ὅτι οὐχ ὑπὲρ δικαίων καὶ ἀγαθῶν, ἀλλ' ὑπὲρ ἀδίκων καὶ πονηρῶν καὶ ἐχθρῶν ἀπέθανεν.

8. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε.

«Συνίστησιν»· ἤτοι βεβαιοῖ, δείκνυσιν.

9. Πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς.

Καὶ τοῦτο καὶ τὸ ἑξῆς κατασκευαί εἰσι τῆς τῶν μελλόντων ἐλπίδος. Πρὸ μὲν γὰρ τοῦ σταυροῦ δύο ἦν ἡμῖν δύςκολα πρὸς σωτηρίαν, τὸ καὶ ἁμαρτωλοὺς ἡμᾶς εἶναι· καὶ τὸ δεῖν διὰ τοῦ θανάτου τοῦ Δεσπότου ἡμῶν σωθῆναι, ὅπερ καὶ ἀπίθανον ἦν πρὶν γενέσθαι, καὶ πολλῆς δεόμενον τῆς ἀπὸ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης. Νυνὶ δέ, ἐπειδὴ ταῦτα ἐξέβη, τὰ λειπόμενα εὐκολώτερα. Καὶ γὰρ φίλοι γεγόναμεν, καὶ θανάτου δεσποτικοῦ λοιπὸν οὐ δεῖ. Ὁ τοίνυν τῶν ἐχθρῶν οὕτω φεισάμενος, ὥςτε μὴ φείσασθαι τοῦ Υἱοῦ, φίλων ὄντων οὐ προστήσεται; ὅτε λοιπὸν οὐδὲ τοῦτον τὸν Παῖδα ἐκδοῦναι χρεία; Ταῦτα μὲν ὡς ἐν προθεωρίᾳ τῶν κατασκευῶν. Ἡ δὲ τῶν ῥητῶν σύνταξις οὕτως· «πολλῷ » οὖν μᾶλλον»· ἤγουν εὐκολώτερον νῦν σωθησόμεθα ἀπὸ τῆς μελλούσης κολάσεως (ταύτην γὰρ ὀργὴν ὠνόμασεν), ἅτε δικαιωθέντες ἤδη, καὶ

---

96) «Ἡ τοῦ παναγίου Πνεύματος χάρις, ἣν διὰ τοῦ βαπτίσματος ἐδεξάμεθα, τὸν περὶ » Θεὸν ἐν ἡμῖν ἐπύρσευσε πόθον ».

ἀνθ' ἁμαρτωλῶν φίλοι γεγονότες διὰ τοῦ θανάτου τοῦ Δεσπότου, καταλλάξαντος ἡμᾶς τοὺς ἐχθρούς, ἃ καὶ διὰ τῶν ἐφεξῆς ἐσαφήνισεν·

10. Εἰ γάρ, ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

Εἰ γὰρ τὸ δυςχερέστερον γέγονε, καὶ τὸ εὐκολώτερον γενήσεται. Τὸ δὲ «ἐν τῇ ζωῇ αὐτοῦ», ἀντὶ τοῦ ζῶντος λοιπὸν καὶ μηκέτι ἀποθνήσκοντος, μηδὲ χρείας τοιαύτης οὔσης.

11. Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ,

Οὐ μόνον δὲ σωθησόμεθα, ἀλλὰ καὶ καυχώμενοι [δι' αὐτὸ τοῦτο] (α) ἐπὶ τῷ Θεῷ καὶ Πατρί· τουτέστιν ἐπὶ τῇ ἀγάπῃ αὐτοῦ, οὕτως ἡμᾶς ἀγαπήσαντος, ὡς καὶ ἁμαρτωλοὺς ὄντας δικαιῶσαι καὶ σώζειν. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τοῦ θανάτου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, ὃ πολλῆς ἀγάπης σημεῖον.

11. Διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Αἰτίου ἡμῖν γενομένου τῆς τοιαύτης καυχήσεως.

11. Δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.

Τὴν πρὸς τὸν Πατέρα.

ς' Περὶ εἰςαγωγῆς τοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνθρώπου Ἰησοῦ Χριστοῦ ἀντὶ τοῦ πεσόντος ἐξ ἀρχῆς γηγενοῦς Ἀδάμ.

12. Διὰ τοῦτο ὥςπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰςῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν,

Καὶ ἑτέρως ἀποδείκνυσι τὴν δικαίωσιν καὶ σωτηρίαν τῶν πιστευόντων. Λοιπὸν οὖν τὸ «διὰ τοῦτο» ἀντὶ τοῦ «ἐπὶ τοῖς ἤδη ῥηθεῖσιν». Εἶτα ἄρχεται τῆς κατασκευῆς, ὅτι «ὥςπερ δι' ἑνὸς ἀνθρώπου», τοῦ

(α) Διὰ τῶν παρεντεθειμένων ἀντικατεστήσαμεν ἐξ εἰκασίας τὰς ἀπεσβεσμένας τοῦ χειρογράφου λέξεις.

Ἀδάμ, ἡ διὰ τῆς παρακοῆς ἁμαρτία εἰς τὸν κόσμον εἰςῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος ἐπειςῆλθεν, ἐπιτίμιος αὐτοῖς ὤν· καὶ οὕτως διά τε τοῦ Ἀδὰμ καὶ τῆς ἁμαρτίας αὐτοῦ ὁ θάνατος εἰς πάντας ἀνθρώπους, τοὺς ἐξ Ἀδάμ, διῆλθε (καθάπερ τις κλῆρος πατρὸς διαβὰς ἐπὶ τοὺς ἐγγόνους)· οὕτω καὶ τοὐναντίον «δι' ἑνὸς ἀνθρώπου», τοῦ Θεανθρώπου, ἢ διὰ τῆς ὑπακοῆς, δικαίωσις εἰς τὸν κόσμον εἰςῆλθε, καὶ διὰ τῆς δικαιώσεως ἡ σωτηρία. Δικαιώσεως μὲν νοουμένης τῆς ἀπαλλαγῆς τῶν ἁμαρτιῶν· σωτηρίας δὲ τῆς ἐπιτυχίας τῶν μελλόντων ἀγαθῶν. Καὶ οὕτως διά τε τοῦ Χριστοῦ καὶ δικαιώσεως τῆς δι' αὐτοῦ ἡ σωτηρία εἰς πάντας ἀνθρώπους, τοὺς ἐξ αὐτοῦ, διῆλθεν. Ἐκ Χριστοῦ δὲ οἱ μαθηταὶ καὶ μιμηταὶ τοῦ Χριστοῦ. Ἐλλειπτικὸν δὲ τὸ παράδειγμα, νοουμένης ἔξωθεν τῆς ἐπαγωγῆς·

12. Ἐφ' ᾧ πάντες ἥμαρτον.

Διὰ τοῦ ἑνὸς δὲ ἀνθρώπου ὁ θάνατος εἰς πάντας ἀνθρώπους διῆλθε· διότι πάντες ἥμαρτον, ἀκολουθήσαντες τῷ προπάτορι κατά γε τὸ ἁμαρτῆσαι. Ἢ σὺν τῷ Ἀδὰμ πάντες ἥμαρτον, καὶ πάντες ἔσχον τὸν τῇ ἁμαρτίᾳ ἑφεπόμενον θάνατον (α). Καὶ πῶς τὰ ἀποθανόντα βρέφη καὶ νήπια ἥμαρτον; Πῶς; ὡς τῆς συλλήψεως αὐτῶν ἐν ἀνομίαις γενομένης· ἐξ ἡδονῆς γὰρ ἡ συνάφεια καὶ ἡ σύλληψις (б).

13. Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ
14. ἐλλογεῖται, μὴ ὄντος νόμου. Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας,

Τοῦ νόμου, φησί, δοθέντος, ἡ ἐκ τῆς παραβάσεως αὐτοῦ ἁμαρτία ἦν ἐν κόσμῳ, ἄχρις ἂν οὗτος ἦν. Οὐδὲ γὰρ λογίζεται παραβάσεως ἁμαρτία, μὴ ὄντος νόμου, καθ' ὃν ἡ παράβασις. Ἀλλὰ μὴν ὁ θάνατος, ὃν ἔτεκεν ἡ ἁμαρτία, πρὸ τοῦ δοθῆναι τὸν νόμον ἦν καὶ ἐβασίλευσεν ἐπ' αὐτοῦ τοῦ πρωτοπλάστου μέχρι τέλους τοῦ μωσαϊκοῦ

(α) Φωτ. Ἀμφιλόχ. Ἐρωτ. πδ'. «Οἱ μὲν *ἐφ'* ᾧ, τῷ Ἀδάμ, οἱ δέ, *ἐφ'* ᾧ, τῷ θα-» νάτῳ, συνυπακούοντες ἀποδιδόασιν. Ἐμοὶ δὲ οὐδέτερον δοκεῖ. Οὐδὲ γάρ τι συνυπα-» κούειν δεῖ, αὐτόθεν ἔχοντος τοῦ ῥητοῦ τὴν ἐντέλειαν. Τὸ γὰρ «ἐφ' ᾧ πάντες ἥμαρτον» » νῦν οὐ προςώπου τινὸς οὐδ' οἷον προςώπου δεικτικόν ἐστιν· ἀλλ' αἰτίας μάλιστα παρα-» στατικόν· οἷον, *ἐφ' ᾧ πάντες ἥμαρτον· διότι πάντες ἥμαρτον*. — (б) Πρβλ. τὸν ρε' καν. τῆς ἐν Καρθαγ. Συνόδου περὶ τοῦ «ὅτι τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτί-» ζονται».

νόμου· ἤγουν ἕως τῆς τοῦ Χριστοῦ ἐπιφανείας, οὐ μόνον ἐπὶ τοὺς ἁμαρτήσαντας, ἀλλὰ καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. Ἐβασίλευσε δὲ κυριεύων τῶν σωμάτων αὐτῶν, καὶ συνέχων αὐτὰ ἐν δεσμοῖς φθορᾶς. Εἰ οὖν ἡ ἐκ τῆς παραβάσεως τοῦ νόμου ἁμαρτία ἔτεκε τὸν θάνατον, πῶς ἀπέθανον καὶ οἱ πρὸ τοῦ νόμου πάντες; δῆλον οὖν ὅτι οὐχ ἡ ἁμαρτία τῆς τοῦ νόμου παραβάσεως ἐπεισήγαγε τὸν θάνατον, ἀλλ' ἡ τῆς παρακοῆς τοῦ Ἀδάμ.

14. Ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ,

Ἐπεισήγαγε δὲ αὐτὸν «διὰ τὴν ὁμοιότητα» τῆς ἁμαρτίας Ἀδάμ· πάντες γὰρ ὁμοίως αὐτῷ ἥμαρτον. «Ὁμοίως» δὲ οὐ κατὰ τὸ αὐτὸ εἶδος τῆς ἁμαρτίας, ἀλλὰ κατὰ τὸ ἁπλῶς ἁμαρτῆσαι καὶ ὁπωσδήποτε.

14. Ὅς ἐστι τύπος τοῦ μέλλοντος.

Τοῦ μετ' αὐτὸν νέου Ἀδάμ, ἤτοι τοῦ Χριστοῦ. Ὥσπερ γὰρ ὁ Ἀδὰμ τοῖς ἐξ αὐτοῦ, καίτοι μὴ φαγοῦσιν ἀπὸ τοῦ ξύλου, γέγονεν αἴτιος θανάτου, τοῦ διὰ τὴν βρῶσιν τὴν ἀπὸ τοῦ ξύλου ἐπεισαχθέντος, οὕτω καὶ ὁ Χριστὸς τῆς ἐξ αὐτοῦ, καίτοι γε οὐ δικαιοπραγήσασι, γέγονε πρόξενος δικαιώσεως, ἣν διὰ τοῦ ἰδίου θανάτου πᾶσι τοῖς πιστοῖς ἐχαρίσατο.

15. Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα οὕτω καὶ τὸ χάρισμα.

Εἰπὼν ὅτι τύπος ἐστὶν Ἀδὰμ τοῦ Χριστοῦ καὶ τοῦτο κατασκευάζων, δείκνυσι καὶ τὴν ἐν τῇ ὁμοιότητι ὑπεροχήν, ὅτι εὐηργέτησεν ἡ τοῦ Χριστοῦ χάρις, παρ' ὃ ἔβλαψεν ἡ ἁμαρτία τοῦ Ἀδάμ.

15. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τοῦ ἑνὸς(*) ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν.

Εἰ γὰρ ἑνὸς ἀνθρώπου ἁμαρτία ἴσχυσεν εἰς τοὺς πολλοὺς διαβιβάσαι τὸν θάνατον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ Πατρός, ἡ τῆς ἀπολυτρώσεως, καὶ ἡ δωρεὰ τῆς δικαιώσεως ἐν χάριτι τῇ τοῦ

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «τῇ τοῦ ἑνὸς» γράφουσιν. Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει οὕτως.

ἑνὸς ὁμοίως ἀνθρώπου Ἰησοῦ Χριστοῦ. Ἀμφοτέρων γὰρ ἡ χάρις, Πατρός, φημί, καὶ Υἱοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσε καὶ μεῖζον ἴσχυσεν, ὥςτε σῶσαι· οὐδὲ γὰρ ἴσον ἁμαρτία καὶ χάρις, θάνατος καὶ ζωή, διάβολος καὶ Θεός, ἀλλ' ἄπειρον τὸ μέσον. Τοιγαροῦν καὶ ἀπὸ τῆς φύσεως τοῦ πράγματος καὶ ἀπὸ τῆς τοῦ μετελθόντος δυνάμεως, καὶ ἀπ' αὐτοῦ τοῦ πρέποντος. Πρεπωδέστερον γὰρ Θεῷ τὸ σώζειν ἢ τὸ κολάζειν. Πιστὸς δὲ ὁ περὶ τῆς σωτηρίας λόγος καὶ ἀναντίρρητος.

16. Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα·

Καὶ οὐχί, ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τοῦ Ἀδάμ, ἡ βλάβη τῶν πολλῶν· οὕτω καὶ τὸ δώρημα, τὸ δι' ἑνός, τοῦ Χριστοῦ. Πολὺ δὲ κἀνταῦθα τὸ μεῖζον. Εἶτα πάλιν καὶ τὸν λόγον τοῦτον κατασκευάζει·

16. Τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα.

«Τὸ μὲν γὰρ κρίμα», ἤγουν τὸ κριθὲν ἐπιτίμιον τῆς ἁμαρτίας (λέγει δὲ τὸν θάνατον) ἐξ ἑνὸς ἁμαρτήματος, τοῦ Ἀδάμ, εἰς κατάκριμα θανάτου τῶν πολλῶν γέγονεν. Τὸ δὲ χάρισμα μετὰ πολλὰς ἁμαρτίας, ἃς μυρίας καὶ διαφόρους οἱ μετὰ τὸν Ἀδὰμ ἐπλημμέλησαν, εἰς δικαίωμα ἐξέβη, ἀνελὸν μὲν οὐ μόνον τὴν τοῦ Ἀδάμ, ἀλλὰ καὶ τὰς τῶν μετ' αὐτόν, δικαιῶσαν δὲ τοὺς ὑπευθύνους αὐταῖς. Ἐπερίσσευσεν οὖν οὕτως ἡ χάρις. Ἀλλὰ διὰ μὲν τοῦ πρώτου ἐπιχειρήματος εἶπεν ὅτι, εἰ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία ἀπώλεσε πολλούς, πολλῷ μᾶλλον καὶ ἑνὸς Θεοῦ χάρις σῶσαι δυνήσεται. Διὰ δὲ τοῦ δευτέρου ὅτι, οὐκ ἐκείνη ἡ ἁμαρτία ἀνῃρέθη μόνη διὰ τῆς χάριτος, ἀλλὰ καὶ αἱ μετ' ἐκείνην. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δικαίωσις ἐδωρήθη. Εἶτα διὰ τοῦ ἐφεξῆς κατασκευάζει ὅτι καὶ τῶν αἰωνίων ἀπολαύουσιν ἀγαθῶν οἱ δικαιωθέντες·

17. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

Τῷ τοῦ ἑνὸς μὲν ἀνθρώπου διὰ τοῦ ἑνὸς ἁμαρτήματος. «Περισσείαν δὲ τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης» νόει τὴν δαψίλειαν τούτου ἢ τὴν διὰ τούτου πολλὴν δύναμιν. Ὃ δὲ λέγει,

τοιοῦτόν ἐστιν· εἰ ὁ θάνατος τοσαύτην ἔλαβεν ἰσχὺν διὰ τοῦ ἑνὸς παραπτώματος, πολλῷ μᾶλλον οἱ πολλῷ μείζονα δύναμιν διὰ τῆς χάριτος λαβόντες νικήσουσι μὲν τὸν θάνατον, βασιλεύσουσι δὲ ἐν τῇ μελλούσῃ ζωῇ διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. «Περισσείαν» δὲ εἶπε, δεικνὺς ὅτι οὐχ ὅσον λαβεῖν ἐχρήζομεν εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, τοσοῦτον ἐλάβομεν μόνον ἐκ τῆς χάριτος, ἀλλὰ καὶ πολλῷ πλέον. Καὶ γὰρ καὶ κολάσεως ἀπηλλάγημεν, καὶ ἀνεγεννήθημεν ἄνωθεν, καὶ ἐδικαιώθημεν, καὶ μυρίων ἄλλων ἀγαθῶν ἠξιώθημεν. Οὐ γὰρ τὸ φάρμακον ἐλάβομεν ἀντίρροπον τῷ τραύματι μόνον, ἀλλὰ καὶ ὑγίειαν, καὶ εὐμορφίαν, καὶ τιμήν, καὶ δόξαν. Μὴ τοίνυν ἀμφίβαλλε, μηδὲ ζήτει πῶς ὁ σπινθὴρ ἐκεῖνος τοῦ θανάτου καὶ τῆς ἁμαρτίας ἐλύθη, τοσαύτης θαλάσσης χαρισμάτων ἐπενεχθείσης αὐτῷ. Εἶτα, καθάπερ συμπεραινόμενος τὰ διὰ πλειόνων ἐπιχειρηθέντα, μετὰ βεβαιώσεως ἀποφαίνεται·

18. Ἄρα οὖν, ὡς δι' ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δι' ἑνὸς δικαιώματος, εἰς πάντας ἀνθρώπους, εἰς δικαίωσιν ζωῆς.

Ὥςπερ δι' ἑνὸς ἁμαρτήματος τοῦ Ἀδὰμ εἰς πάντας ἀνθρώπους διέβη τὸ ἁμάρτημα εἰς κατάκριμα θανάτου, οὕτω καὶ δι' ἑνὸς δικαιώματος τοῦ Χριστοῦ, τὴν ἄκραν δικαιοσύνην πεπληρωκότος, εἰς πάντας ἀνθρώπους, διέβη τὸ δικαιοῦσθαι. «Εἰς δικαίωσιν ζωῆς» αἰωνίου· ὥςτε δικαιωθῆναι, ζῆν αἰωνίως. Εἶτα ἄνεισιν ἐπὶ τὴν ἀρχὴν καὶ ῥίζαν τοῦ τε παραπτώματος καὶ τοῦ δικαιώματος.

19. Ὥςπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

Καὶ μὴν εἰ, τοῦ Ἀδὰμ ἁμαρτόντος, ἁμαρτωλοὶ διὰ τοῦτο κατεστάθησαν οἱ ἐξ αὐτοῦ, δίκην οὐκ ὀφείλουσιν· οὐδὲ γὰρ ἀφ' ἑαυτῶν ἁμαρτωλοὶ γεγόνασιν. Λοιπὸν οὖν τὸ «ἁμαρτωλοὶ» ἀντὶ τοῦ «θνητοὶ» τέθειται· ἁμαρτίας γὰρ ὁ θάνατος ἐπιτίμιον. Ἐν τῷ πρωτοπλάστῳ τοίνυν, θνητῆς γεγενημένης τῆς φύσεως, μετέσχον τῆς θνητότητος ἀκολούθως καὶ οἱ μέτοχοι τῆς φύσεως τοῦ προπάτορος. «Δικαίους» δὲ νῦν λέγει τοὺς ἀξίους τῆς αἰωνίου ζωῆς.

20. Νόμος δὲ εἰςῆλθεν (*), ἵνα πλεονάσῃ τὸ παράπτωμα·

Ἐπειδὴ ἔδειξε διὰ πλειόνων ἐπιχειρημάτων ὅτι ὁ Χριστὸς χάριτι σώζει τοὺς πιστεύοντας, εὐκαίρως καὶ περὶ τοῦ νόμου πάλιν ζητεῖ καὶ ἐλέγχει τοῦτον, οὐ μόνον οὐδὲν ὠφελήσαντα, ἀλλὰ καὶ μᾶλλον βλάψαντα· οὐ παρὰ τὴν ἑαυτοῦ φύσιν (σφόδρα γὰρ ἦν ὠφέλιμος), ἀλλὰ παρὰ τὴν τῶν δεξαμένων ῥᾳθυμίαν. Ἐδόθη μὲν γὰρ ὥςτε μειῶσαι καὶ ἀνελεῖν τὴν ἁμαρτίαν, ἐπλεόνασε δὲ μᾶλλον αὐτήν. Ὅσῳ γὰρ πλείω τὰ τοῦ νόμου παραγγέλματα ἦν, τοσούτῳ, παραβαινομένων αὐτῶν, ἐπλήθυναν καὶ τὰ ἁμαρτήματα. Τὸ (;) μὲν οὖν «παρειςῆλθεν», ἀλλ' εἰς τοῦτο ἐξέβη (α).

20. Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις·

Καὶ ποῦ ἐπλεόνασεν; Παρὰ τοῖς Ἰουδαίοις δηλονότι, παρ' οἷς αἱ παραβάσεις τῶν ἐντολῶν. Οὐκ ἐπερίσσευσε δὲ μόνον, ἀλλὰ καὶ «ὑπερεπερίσσευσεν ἡ τοῦ Θεοῦ χάρις», οὐ μόνον τῶν ἁμαρτημάτων καὶ τῆς κολάσεως ἐλευθερώσασα, ἀλλὰ καὶ δικαίους ποιήσασα τοὺς βουλομένους καὶ μυρίων ἀγαθῶν ἀξιώσασα. Καὶ ἄλλως δὲ παρ' αὐτοῖς ὁ Χριστὸς ἐβλάστησεν·

21. Ἵνα, ὥςπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης,

Ὥςπερ ἐκείνη ἐκυρίευσε τῶν ἀνθρώπων διὰ τοῦ θανάτου, πάντας ὑφ' ἑαυτὴν ποιήσασα, οὕτω καὶ ἡ τοῦ Θεοῦ χάρις ἐκυρίευσε τῶν ἀνθρώπων διὰ δικαιοσύνης, πάντας δικαιώσασα, ὅσον ἐπὶ τῇ αὐτοῦ θελήσει.

21. Εἰς ζωὴν αἰώνιον,

Ὥςτε αὐτοὺς ζῆσαι αἰωνίως. Κἀνταῦθα δὲ ἡ περισσεία. Ἡ μὲν γὰρ ἁμαρτία τῆς παρούσης ἐξέβαλε ζωῆς, ἡ δὲ χάρις τὴν αἰώνιον ζωὴν ἐδωρήσατο.

(*) Τὰ ἀκριβέστερα τῶν ἀντιγράφων ἔχουσι «παρειςῆλθεν». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει οὕτως.— (α) «Τὸ μὲν οὖν — ἐξέβη». Ἐλλιπὲς τὸ χωρίον προδήλως ἐκ τῆς τοῦ ἀντιγραφέως πλημμελείας καὶ δεῖται συμπληρώσεως· ἢ ἡμεῖς, στερούμενοι ἐπὶ τοῦ παρόντος ἄλλου πρὸς ἀντιπαραβολὴν χειρογράφου, ὀκνοῦμεν ἐπιχειρῆσαι.

21. Διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Τοῦτο καθ' ὑπερβατόν. Ἡ χάρις, φησί, τοῦ Θεοῦ καὶ Πατρός, ἡ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν δεδωρημένη.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ

Ζ' Περὶ τῆς ἐποφειλομένης ἐπὶ τῇ πίστει πράξεως ἀγαθῆς.

1. Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο·

Ἐπεὶ ἔδειξε μεγάλην τὴν χάριν, τῷ μεγάλα ἰάσασθαι ἁμαρτήματα, καὶ ἐδόκει τοῦτο τοῖς ἀνοήτοις προτροπὴ εἰς ἁμαρτίαν (εἰ γὰρ διὰ τοῦτο, φησί, μεγάλη ἡ χάρις, μὴ ἀποστῶμεν ἁμαρτάνοντες, ἵνα ἔτι πλείω δειχθῇ)· ἀνατρέπει τὴν τοιαύτην ἀντίθεσιν δι' ἐρωτήσεως καὶ ἀπαγορεύσεως. «Ἐπιμενοῦμεν», φησίν, ὡς ὑμεῖς λέγετε; μὴ γένοιτο. Ἔπειτα καὶ λογισμὸν τίθησιν ἀναντίρρητον·

2. Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;

Ὅσον γὰρ εἰς τὸ ἁμαρτάνειν ἐνεκρώθημεν καὶ ἀκινήτως εἰς τοῦτο ἔχειν ὡμολογήσαμεν. Καὶ μὴν ἀλλαχοῦ φησιν, ὅτι αὐτὴ ἡ ἁμαρτία ἀπέθανεν. Ἀλλ' ἐκεῖ μὲν εὔκολον θελήσας δεῖξαι τὴν ἀρετήν, οὕτως εἴρηκεν. Ἐνταῦθα δὲ διεγείρων τὸν ἀκροατήν, ἐπ' αὐτὸν μεταφέρει τὸν θάνατον. Εἶτα ἐπιπληκτικῶς ἑρμηνεύει πῶς ἀπεθάνομεν·

3. Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;

«Ὅσοι ἐβαπτίσθημεν εἰς Χριστόν», ἤγουν κατὰ Χριστόν· τουτέστι κατὰ τὸν νόμον τοῦ Χριστοῦ «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν»· λέγω δὴ εἰς τὸ ἀποθανεῖν κατ' αὐτόν, εἰς τύπον τοῦ θανάτου αὐτοῦ. Ὅπερ γὰρ τῷ Χριστῷ ὁ θάνατος καὶ ὁ τάφος, τοῦτο ἡμῖν τὸ βάπτισμα γέγονεν, εἰ καὶ μὴ ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου. Αὐτὸς μὲν γὰρ

σαρκὶ ἀπέθανε καὶ ἐτάφη, ἡμεῖς δὲ τῇ ἁμαρτίᾳ ἀπεθάνομεν καὶ ἐτάφημεν. Διὸ καὶ αἱ μὲν τρεῖς καταδύσεις τὴν τριήμερον ταφὴν ὑποφαίνουσιν, αἱ δὲ τρεῖς ἀναδύσεις τὴν τριήμερον ἀνάστασιν.

4. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον·

Τὸν τῆς ἁμαρτίας, εἰς τὸ νεκρῶσαι αὐτόν.

4. Ἵνα, ὥςπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.

«Διὰ τῆς δόξης τοῦ Πατρός»· ἤγουν εἰς δόξαν Πατρός, ἢ διὰ τῆς δυνάμεως τοῦ Πατρός· τουτέστι δι᾿ἑαυτοῦ. «Χριστὸς γάρ, φησί, Θεοῦ »δύναμις» (α). Ἵνα, ὥςπερ ἠγέρθη Χριστὸς ὁ Θεὸς ἀληθῶς καὶ οὐκέτι ἀποθνήσκει, οὕτω καὶ ἡμεῖς ἐγερθέντες ἀπὸ τῶν νεκρῶν καὶ βδελυρῶν ἁμαρτημάτων ἐν καινῇ ζωῇ πολιτευθῶμεν, μηκέτι διὰ τῆς ἁμαρτίας ἀποθνήσκοντες. «Καινὴ δὲ ζωὴ» ὁ ἐνάρετος βίος. Αὕτη δὲ ἡ καινὴ ζωὴ τύπος ἐστὶ τῆς καινοτέρας ζωῆς· ἤτοι τῆς μετὰ τὴν παγκόσμιον τῶν νεκρῶν ἀνάστασιν.

5. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα·

Ὁ μὲν σκοπὸς τοῦ λόγου τοιοῦτός ἐστιν· ὅτι εἰ συναπεθάνομεν αὐτῷ διὰ τοῦ βαπτίσματος, πάντως καὶ συναναστησόμεθα. «Σύμφυτοι» δὲ εἶπεν ἀντὶ τοῦ «κοινωνοί», ἐμφαίνων διὰ τῆς τοιαύτης λέξεως, ὅτι ὥςπερ τὸ τοῦ Χριστοῦ σῶμα φυτευθέν, ἤτοι ταφὲν ἐν τῇ γῇ, καρπὸν ἤνεγκε τὴν τῆς Οἰκουμένης σωτηρίαν· οὕτω καὶ τὸ ἡμέτερον, φυτευθέν, ἤτοι ταφὲν ἐν τῷ βαπτίσματι, καρπὸν ἤνεγκε τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὴν υἱοθεσίαν, τὰ μυρία ἀγαθά. Οἴσει δὲ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν. Κοινωνοὶ δὲ γεγόναμεν οὐχ ἁπλῶς τῷ θανάτῳ αὐτοῦ, ἀλλὰ «τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ». Οὐ γὰρ ἐπίσης αὐτῷ ἀπεθάνομεν, ἀλλὰ καθ᾿ὁμοίωσιν. Ὥςπερ γὰρ ἐκεῖνος τῇ σαρκί, οὕτως ἡμεῖς τῇ ἁμαρτίᾳ. Καὶ ὥςπερ ἐκεῖνος ἐν τῇ γῇ, οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι. Μετέσχομεν τοίνυν οὐ τοῦ θανάτου αὐτοῦ, ἀλλὰ τῆς ὁμοιώσεως τοῦ θανάτου αὐτοῦ. «Ἀνάστασιν» δὲ νῦν λέγει τὴν τῶν σωμάτων, τὴν μέλλουσαν, ἧς κοινωνήσομεν οὐ καθ᾿ ὁμοίωσιν, ἀλλ᾿ ἐπίσης ἐκείνῳ κατὰ τὸ αὐτὸ ὑποκείμενον, κατὰ τὴν σάρκα.

(α) Α' Κορινθ. α', 24.

6. Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη,

«Παλαιὸν ἡμῶν ἄνθρωπον» λέγει τὴν ὁλόκληρον κακίαν, τὴν ἐκ διαφόρων κακιῶν συγκειμένην. «Παλαιὸν» δὲ διὰ τὸ σαπρὸν καὶ ἀπόβλητον. «Συνεσταυρώθη» δὲ τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος· σταυρὸς γὰρ καὶ τὸ βάπτισμα, ὡς θάνατος τῆς ἁμαρτίας.

6. Ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας,

Ὅπερ ἀνωτέρω προςηγόρευσε παλαιὸν ἄνθρωπον τοῦτο ἐνταῦθα κέκληκε «σῶμα τῆς ἁμαρτίας». Ἡ «σῶμα τῆς ἁμαρτίας» ἡ παρ' ὑπόστασιν (;) τῆς ἁμαρτίας (α).

6. Τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.

Ἵνα καταργηθῇ, φησί, χάριν τοῦ μηκέτι ἡμᾶς ἁμαρτάνειν.

7. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.

Ἠλευθέρωται ἀπὸ τοῦ ἁμαρτάνειν. Εἰ τοίνυν ὁ νεκρὸς οὐχ ἁμαρτάνει, οὐδὲ ὁ συναποθανὼν καὶ συνταφεὶς τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος ὀφείλει ἁμαρτάνειν, νεκρωθεὶς ἤδη τῇ ἁμαρτίᾳ.

8. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ.

«Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ» διὰ τοῦ βαπτίσματος, «πιστεύο-» μεν ὅτι καὶ συζήσομεν αὐτῷ» ζωὴν τὴν αἰώνιον. Καὶ πόθεν τοῦτο δῆλον, ἄκουσον·

9. Εἰδότες ὅτι Χριστὸς ἐκ νεκρῶν ἐγερθείς, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει.

Εἶτα κατασκευάζει πῶς οὐκέτι κυριεύει αὐτοῦ ὁ θάνατος·

10. Ὁ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ.

Τὸν θάνατον, ὃν ἀπέθανε, διὰ τὴν ἁμαρτίαν ἀπέθανε τὴν ἡμετέραν, καὶ οὐχ ὡς ὑπεύθυνος αὐτῷ. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν αὐτός,

(α) Οἰκουμ. ἐν λ. «Τὸ σῶμα τῆς ἁμαρτίας, περιφραστικῶς αὐτὴ ἡ ἁμαρτία· τουτέστιν » ὅλη διόλου ἀργὴ καὶ ἄχρηστος τὸ λοιπὸν χρηματίζουσα».

ἀλλ' ἵνα δοὺς δίκην ἀνθ' ἡμῶν τῶν ἁμαρτωλῶν ἀνέλῃ τὴν ἁμαρτίαν ἡμῶν. Εἰ δὲ ἀνυπεύθυνος ὢν τῷ θανάτῳ ἀπέθανεν ἐφάπαξ διὰ τὴν ἡμετέραν ἁμαρτίαν, οὐκέτι πάντως ἀποθανεῖται, καταλύσας ἤδη αὐτήν.

10. Ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ.

Τὴν ζωὴν δέ, ἣν ζῇ, ζῇ κατὰ Θεόν· τουτέστιν ἀκατάλυτον καὶ ἀΐδιον. Τοιαύτη γὰρ ἡ κατὰ Θεὸν ζωή, ἣν ζῶσιν οἱ ἐνταῦθα ζῶντες, ὁμοίωμα καὶ εἰκὼν τῆς ζωῆς ἐκείνης. Ἵνα δὲ μή τις λέγῃ· τί οὖν πρὸς ἡμᾶς τὸ εἰρημένον; ἐπήγαγεν·

11. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς εἶναι νεκροὺς μὲν τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ,

Ὥςπερ ὁ Χριστὸς ἀπέθανε καὶ ζῇ, «οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυ-» τοὺς εἶναι νεκροὺς μὲν εἰς ἁμαρτίαν, ζῶντας δὲ κατὰ Θεόν»· ἤτοι πνευματικῶς καὶ θεαρέστως.

11. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Τοῦ Χριστοῦ συμμαχοῦντος καὶ τὸ πᾶν κατορθοῦντος.

12. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι,

Μὴ κυριευέτω ἡ ἁμαρτία ἐν τῷ σώματι ὑμῶν· τὰ πλεῖστα γὰρ τῶν ἁμαρτημάτων διὰ τοῦ σώματος φύονται. «Θνητὸν» δὲ εἶπε τὸ σῶμα, τοῦτο μὲν ἀναμιμνήσκων ὅτι διὰ τῆς πρώτης ἁμαρτίας θνητὸν ἐγένετο· τοῦτο δὲ καὶ παραμυθούμενος τοὺς πρὸς τὴν ἁμαρτίαν ἀγῶνας. Θνητοῦ γὰρ τοῦ σώματος ὄντος, πρόςκαιροι πάντως καὶ οἱ ἀγῶνες αὐτοῦ. Οὐκ εἶπε δὲ «μὴ τυραννείτω», ἀλλὰ «μὴ βασιλευέτω» δεικνύων ὅτι ἑκόντων βασιλεύει, καὶ οὐκ ἀπὸ τῆς οἰκείας δυνάμεως, ἀλλ' ἀπὸ τῆς τῶν βασιλευομένων ῥᾳθυμίας. Ἡ γὰρ τυραννὶς ἀκόντων ἄρχει, καὶ βίᾳ ὑφισταμένων. Εἶτα λέγει καὶ τὸν τρόπον τῆς βασιλείας·

12. Εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ·

Τὸ μὲν γὰρ ἐπιτάττειν αὐτῆς· τὸ δὲ μὴ ὑπακούειν ἡμέτερον. «Ἐπιθυμίας δὲ τοῦ σώματος» λέγει τὰς **ἐφ' ἁμαρτίαν** (α).

(α) Τὸ τῆς Βιβλιοθήκης τοῦ Μονάχου χειρόγραφον ἀντὶ «τὰς ἐφ' ἁμαρτίαν» γράφει «τὰς ἐφαμάρτους». Ὅρ. F. Matth. n. Testam. ἐν λ.

13. Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ·

Οὐκοῦν μέσον τὸ σῶμα κακίας καὶ ἀρετῆς, καθάπερ οὖν καὶ τὰ ὅπλα. Ἑκάτερα δὲ τὰ ὅπλα, τά τε τῆς ἀδικίας τά τε τῆς δικαιοσύνης, ἐπὶ τὸν χρώμενον γίνεται. Καὶ ἡ σὰρξ τοίνυν παρὰ τὴν τῆς ψυχῆς γνώμην, οὐ παρὰ τὴν οἰκείαν φύσιν ὅπλον ἀδικίας ἢ δικαιοσύνης γίνεται. Ἂν μὲν γὰρ ἀκολάστως ἴδῃς, ὅπλον ἀδικίας ἐγένετό σοι ὁ ὀφθαλμός, οὐ παρὰ τὴν οἰκείαν ἐνέργειαν (ὀφθαλμοῦ γὰρ τὸ ὁρᾶν), ἀλλὰ παρὰ τὴν τοῦ κελεύσαντος λογισμοῦ πονηρίαν, ἤτοι τὸ κακῶς ὁρᾶν. Ἂν δὲ χαλινώσῃς τὸν ὀφθαλμόν, γέγονεν ὅπλον δικαιοσύνης. Οὕτω καὶ ἐπὶ γλώττης καὶ ἐπὶ χειρῶν καὶ ἐπὶ τῶν ἄλλων μελῶν. » Καλῶς δὲ «τὴν ἁμαρτίαν» ἀδικίαν ἐκάλεσεν· ὁ γὰρ ἁμαρτάνων ἢ ἑαυτὸν ἢ τὸν πλησίον ἀδικεῖ· μᾶλλον δὲ ἑαυτὸν πρὸ τοῦ πλησίον.

13. Ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας,

Μὴ γίνεσθε, φησί, στρατιῶται τῆς ἁμαρτίας, παριστάνοντες αὐτῇ, ὡς βασιλίδι, τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας. Ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ στρατιώτας, καὶ οὕτω προθύμως, ὡς ἐκ νεκρῶν καὶ ἀπολωλότας διὰ τῆς φθοροποιοῦ ἁμαρτίας, ζῶντας ἤδη διὰ τῆς τοῦ βαπτίσματος παλιγγενεσίας καὶ τῆς τοῦ Χριστοῦ χάριτος.

13. Καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ.

«Ὅπλα» εἰπών, ἐδήλωσεν ὅτι καὶ πόλεμος ἐφέστηκε χαλεπός.

14. Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει·

Ὅρα πῶς θαρρύνει τὸν στρατιώτην καὶ ἀλείφει τὴν προθυμίαν. «Ἁμαρτία γάρ, φησίν, οὐ κυριεύσει ὑμῶν» ὡς πρὸ τῆς παρουσίας, εἰ μὴ σφόδρα ὑποκατακλιθῆτε αὐτῇ.

14. Οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν.

«Ὑπὸ νόμον» τὸν κελεύοντα μόνον, ἢ τὸν ἐλέγχοντα μόνον· «ἀλλ᾽ ὑπὸ χάριν» τὴν καὶ τὰ πρότερον ἁμαρτήματα ἀφιεῖσαν καὶ πρὸς τὰ μέλλοντα ἀσφαλιζομένην, καὶ εἰς τοὺς ἀγῶνας ῥωννύουσαν. Εἶτα παραίνεσιν ἐξ ἀντιθέσεως εἰσάγει, πλέον ἀσφαλιζόμενος·

15. Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν;

Ὅτι ὁ μὲν νόμος κολάζει, ἡ δὲ χάρις ἐλευθεροῖ κολάσεως;

15. Μὴ γένοιτο.

Ἐρωτήσας, ἀπαγορεύει εὐθύς, δεικνὺς κἀν τούτῳ τὸ τῆς ἐρωτήσεως ἄτοπον.

16. Οὐκ οἴδατε, ὅτι, ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε;

Καὶ τοῦτο κατ' ἐρώτησιν ἐντρεπτικώτερον. «Οὐκ οἴδατε, φησίν, » ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους»; Εἶτα προστίθησι καὶ τὸν τρόπον τῆς δουλείας· ὅτι κατὰ τὴν ὑπακοήν, καθὸ ὑπακούετε αὐτῷ ἐπιτάττοντι, δοῦλοί ἐστε αὐτοῦ; τὸ δὲ «ᾧ ὑπακούετε» ἀντὶ τοῦ «διότι » ὑπακούετε». Εἰπὼν δὲ ὅτι «ᾧ παριστάνετε ἑαυτοὺς» καὶ ὅτι «δοῦ» λοί ἐστε» αὐτοῦ καὶ ἐμφήνας τήν τε ἁμαρτίαν καὶ τὸν Θεόν, ὡς ἀνωτέρω διελάβομεν, νῦν διαιρεῖ καὶ σαφηνίζει τὸν λόγον·

16. Ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην.

Ἢ ἁμαρτίας δούλους (εἴ γε ταύτῃ παριστάνετε ἑαυτοὺς) εἰς θάνατον φερούσης, καὶ τοῦτον ἐχούσης ἔπαθλον· ἢ ὑπακοῆς τοῦ Χριστοῦ (εἰ τούτῳ πείθεσθε), εἰς δικαιοσύνην ἄγοντος.

17. Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς.

«Χάρις τῷ Θεῷ» τῷ ἐλευθερώσαντι τῆς δουλείας καὶ συνεργήσαντι πρὸς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, ἤτοι τὴν ἑαυτοῦ. Ὑπηκούσατε δὲ τῷ Χριστῷ «εἰς τύπον», ἤγουν τὸν κανόνα καὶ ὅρον τῆς εὐσεβοῦς πολιτείας, εἰς ὃν παρεδόθητε παρ' ἡμῶν τῶν Ἀποστόλων διὰ τῆς βοηθείας αὐτοῦ (α). «Ἐκ καρδίας» δὲ ἀντὶ τοῦ ἐκ προαιρέσεως, ἑκόντες καὶ προθύμως.

(α) Οἰκουμ. ἐν λ. «ὑμεῖς μὲν γὰρ ἑκόντες ὑπηκούσατε· ὁ δὲ Θεὸς ὑμᾶς εἰς τὸν τύπον » τοῦτον τῆς διδαχῆς παρέδωκεν. Ποῖον; τὸ ὀρθῶς ζῆν ἐθέλειν καὶ ὑγιαίνειν περὶ τὰ δόγ» ματα. Τύπον δέ, φησί, διδαχῆς, οἷον ὅρον καὶ κανόνα».

18. Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

Δύο δείκνυσιν ἐνταῦθα δωρεὰς τοῦ Θεοῦ, τὸ τῆς ἁμαρτίας ἐλευθερῶσαι, καὶ τὸ δουλῶσαι τῇ δικαιοπραγίᾳ, τῷ ὀρθῷ βίῳ, τῇ ἀνεπιλήπτῳ ζωῇ.

19. Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν·

Τῇ φύσει μετρῶ τὴν παραίνεσιν. Οἶδα γὰρ τὰ πάθη τοῦ σώματος. Ἀπὸ ἀνθρωπίνων λογισμῶν λέγω ὃ λέξω. Ἢ «ἀνθρώπινον» ἀντὶ τοῦ «σύμμετρον». Καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· «πειρασμὸς ὑμᾶς οὐκ εἴ» ληφεν, εἰμὴ ἀνθρώπινος» (α)· τουτέστι σύμμετρος καὶ μικρός.

19. Ὥςπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

Εἰ καὶ πολὺ τῶν δεσποτῶν τούτων τὸ μέσον, ὅμως τὴν ἴσην ἀπαιτῶ, φησί, δουλείαν. Διὰ τοῦτο γὰρ εἶπεν ὅτι «σύμμετρον λέγω». «Ἀκαθαρσίαν» μὲν οὖν λέγει καὶ «ἀνομίαν» πᾶσαν ἁμαρτίαν. «Εἰς »τὴν ἀνομίαν» δὲ ἀντὶ τοῦ εἰς τὸ ἀνομεῖν, εἰς τὸ μιαίνεσθαι. Καὶ αὖθις· «δικαιοσύνην» μὲν τὸν ἐνάρετον βίον, ἢ καὶ αὐτὸν τὸν Χριστόν, ὃν ἀλλαχοῦ δικαιοσύνην ῥητῶς ὀνομάζει (β). «Εἰς ἁγιασμὸν» δὲ ἀντὶ τοῦ εἰς τὸ ἁγιάζεσθαι. Πανάθλιος δὲ ὁ μὴ τοσαύτην δουλείαν εἰςάγων τῷ Χριστῷ, ὅσην τῷ διαβόλῳ πρότερον.

20. Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.

«Ἐλεύθεροι»· τουτέστι μὴ ὑποτεταγμένοι τῇ δικαιοσύνῃ, ἀλλ' ἠλλοτριωμένοι αὐτῆς. Ἐπειδὴ δὲ δοῦλοι ἐγένεσθε τῆς δικαιοσύνης, ἐλεύθεροι γίνεσθε τῇ ἁμαρτίᾳ· τοῦτο γὰρ συνυπακούειν ὁ σκοπὸς ἀπαιτεῖ τοῦ λόγου. Εἶτα δὲ δείκνυσι καὶ τῶν δουλειῶν τούτων πολὺ τὸ διάφορον. Καὶ δῆλον ἀπὸ τοῦ καρποῦ καὶ τοῦ τέλους ἑκατέρας·

21. Τίνα οὖν καρπὸν εἴχετε τότε;

(α) Α' Κορινθ. ι', 13. — (β) Αὐτόθ. α', 30.

Ὅτε δοῦλοι ἦτε τῆς ἁμαρτίας.

21. Ἐφ' οἷς νῦν ἐπαισχύνεσθε.

Ἐρωτήσας, ἀποκρίνεται ὅτι, ταῦτα εἴχετε καρποὺς τῆς ἁμαρτίας, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε, μνημονεύοντες τῆς βδελυρίας αὐτῶν. Ὧν δὲ ἡ μνήμη καὶ μόνον αἰσχύνην φέρει, πολλῷ μᾶλλον ἡ πρᾶξις.

21. Τὸ γὰρ τέλος ἐκείνων θάνατος.

Ὁ τῆς ψυχῆς δηλονότι· τουτέστιν ὁ ἀπὸ τοῦ Θεοῦ χωρισμὸς αὐτῆς.

22. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος ζωὴν αἰώνιον.

«Τὸν καρπὸν ὑμῶν» τὸν ἀπὸ τῆς δικαιοσύνης· ἤτοι τὰς ἀρετάς. «Εἰς ἁγιασμὸν» δὲ ἀντὶ τοῦ καθαρότητα εἰς οἰκείωσιν Θεοῦ. Ὅρα δὲ ὅτι ἀπὸ τῶν δεδομένων πιστοῦται τὰ μέλλοντα. Ἀπὸ μὲν τῆς αἰσχύνης, τὸν αἰώνιον θάνατον· ἤτοι τὴν ἀθάνατον κόλασιν. Ἀπὸ δὲ τοῦ ἁγιασμοῦ, τὴν αἰώνιον ζωήν· τουτέστι τὴν ἀτελεύτητον ἀπόλαυσιν.

23. Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος·

Μνημονεύσας ὅπλων καὶ βασιλέως, ἔμεινε τῇ τροπῇ. Ὀψώνια λέγει τὰ σιτηρέσια, τὸν μισθόν (α).

23. Τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος,

Οὐκ εἶπεν ὅτι «τὰ δὲ ὀψώνια τοῦ Θεοῦ» ἢ «ὁ μισθὸς τῶν κατορ»θωμάτων», ἀλλὰ «τὸ δὲ χάρισμα τοῦ Θεοῦ»· δεικνὺς ὅτι οὐκ οἴκοθεν ἀπηλλάγησαν, οὐδὲ ὀφειλὴν ἀπέλαβον, οὐδὲ ἀμοιβὴν καὶ πόνων ἀντίδοσιν, ἀλλὰ χάριτι καὶ δωρεᾷ τοῦ Θεοῦ τοσαῦτα εὐηργετήθησαν. Οὐ μόνον γὰρ ἀπήλλαξεν ἁμαρτίας καὶ μετέθηκεν εἰς ἀρετὴν καὶ ὡδήγησεν εἰς ζωὴν αἰώνιον, ἀλλὰ καὶ μηδὲν καμόντας μηδὲ πονήσαντας.

23. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Τὸ χάρισμα τοῦ Θεοῦ, τὸ διὰ τοῦ Χριστοῦ δεδωρημένον.

(α) Θεοφύλ. ἐν λ. «Ὀψώνιον λέγεται τὸ τοῖς στρατιώταις παρὰ τοῦ βασιλέως διδό»μενον σιτηρέσιον».

ΚΕΦΑΛΑΙΟΝ ΕΒΔΟΜΟΝ

Η' Ἐπανάληψις περὶ τῆς ἐν χάριτι ζωῆς.

1. Ἢ ἀγνοεῖτε, ἀδελφοί (γινώσκουσι γὰρ νόμον λαλῶ),

Εἰπὼν ὅτι «ἀπεθάνομεν τῇ ἁμαρτίᾳ» (α) δείκνυσιν ἐνταῦθα ὅτι οὐ μόνον ἁμαρτία οὐ κυριεύει αὐτῶν, ἀλλ' οὐδὲ νόμος· καὶ καταγλυκαίνει τὸν λόγον ἀπὸ παραδείγματος ἀνθρωπίνου. Τοῦτο ποιεῖ φανερόν. Δύο δὲ τίθησι κατασκευὰς τοῦ προκειμένου, ὅτι τε, ἀποθανόντος τοῦ ἀνδρός, ἡ γυνὴ ἀπολέλυται αὐτοῦ καὶ οὐ κεκώλυται ἑτέρῳ γενέσθαι γυνή· καὶ ὅτι ἐνταῦθα οὐ μόνον ὁ ἀνήρ, ἀλλὰ καὶ ἡ γυνὴ ἐτελεύτησεν· ὥςτε διπλῆς ταύτην ἐλευθερίας τυχεῖν. « Ἢ ἀγνοεῖτε, ἀδελφοί», ὃ μέλλω νόμιμον ἐρεῖν ; ἀλλὰ μὴν οὐκ ἀγνοεῖτε· νομομαθέσι γὰρ λαλῶ. Τί δέ ἐστιν ;

1. Ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ ;

Τοῖς ζῶσι γὰρ ὁ νόμος ἐπιτάττει καὶ οὐ τοῖς τεθνεῶσιν. «Τοῦ ἀν»θρώπου» δὲ κοινῶς καὶ καθολικῶς εἰπών, ἐπὶ τῆς γυναικὸς ποιεῖται τὸ παράδειγμα·

2. Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ·

«Νόμῳ» τῷ δεσμοῦντι αὐτὴν αὐτῷ διὰ τῆς γαμικῆς συναφείας.

2. Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός.

«Κατήργηται» ἀντὶ τοῦ πέπαυται, λέλυται ἀπὸ τοῦ νόμου τοῦ συνδέοντος αὐτὴν τῷ ἀνδρί.

3. Ἄρα οὖν ζῶντος τοῦ ἀνδρός, μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ·

Ἐν τάξει μὲν ἀνδρὸς τίθησι τὸν νόμον, ἐν τάξει δὲ γυναικὸς τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας, πρὸς οὓς καὶ ὁ λόγος. Καὶ θάνατον μὲν τοῦ ἀνδρὸς λέγει τὴν παῦλαν τοῦ νόμου· πέπαυκε γὰρ αὐτοῦ τὰ σωματικὰ καὶ φαινόμενα ὁ Χριστός. Ἐπεὶ γὰρ ταῦτα τύπος ἦσαν καὶ

(α) Ἀνωτ. ς', 2.

εἰκὼν τοῦ Χριστοῦ, φανέντος ἤδη τοῦ τυπουμένου καὶ εἰκονιζομένου, λοιπὸν ἐπαύθησαν αἱ σκιαί. Θάνατον δὲ τῆς γυναικὸς τὴν διὰ τοῦ βαπτίσματος νέκρωσιν τῶν πιστῶν, περὶ ἧς ἀνωτέρω εἴρηται (α).

4. Ὥςτε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ,

Τουτὶ τὸ συμπέρασμα οὐκ ἐπήγαγε κατὰ τὴν πρότασιν. Ἦν γὰρ ἀκόλουθον εἰπεῖν «ὥςτε οὐ κυριεύει ὑμῶν ὁ νόμος· ἀπέθανε γάρ». Ἀλλ' ἐν μὲν τῇ προτάσει τοῦτο ἠνίξατο, ἐν δὲ τῇ ἐπαγωγῇ, «ὅτι » καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ» ἠλευθερώθητε ἀπὸ τοῦ νόμου· ὁ γὰρ ἀποθανὼν ἀπολέλυται. Ὥςτε διπλῇ ἐλευθερωθέντες, οἷα καὶ τοῦ νόμου ἀποθανόντος καὶ ὑμῶν, οὐκέτι ἐστὲ ὑπὸ τὸν νόμον, οὐδὲ κριθήσεσθε μοιχείᾳ, ἀνδρὶ ἑτέρῳ γενόμενοι, λέγω δὴ τῷ Χριστῷ.

4. Διὰ τοῦ σώματος τοῦ Χριστοῦ·

Οὐχ ἁπλῶς ἐθανατώθητε τῷ νόμῳ, ἀλλὰ «διὰ τοῦ σώματος τοῦ » Χριστοῦ», θανατωθέντος δηλονότι ὑπὲρ ὑμῶν, ἵνα θανατωθῶμεν τῷ νόμῳ καὶ πρὸς τὴν ἁμαρτίαν.

4. Εἰς τὸ γενέσθαι ὑμᾶς ἀνδρὶ (*) ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι,

«Ἐγερθέντι» δι' ἑαυτοῦ καὶ τῆς οἰκείας θεότητος. Ὅπερ δὲ ἐν ἄλλοις φησίν, «ὅτι οὐκ ἐστε ἑαυτῶν» καὶ ὅτι τιμῆς «ἠγοράσθητε» (β) καὶ ὅτι «εἰς ὑπὲρ ὑμῶν πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυ» τοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι» (γ) τοῦτο καὶ νῦν λέγει.

4. Ἵνα καρποφορήσωμεν τῷ Θεῷ.

Ἐπειδὴ γάμου καὶ συναφείας ἐμνημόνευσεν, ἀκολούθως καὶ καρποφορίας ἐμνήσθη· ἴδιον γὰρ τοῦτο τοῦ γάμου.

5. Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ.

«Ἐν τῇ σαρκί», φησί· τουτέστιν ἐν τῷ σαρκικῷ βίῳ, ἐν ταῖς πονηραῖς πράξεσιν. «Τὰ πάθη δὲ τῶν ἁμαρτιῶν» οὐ τὰ ὑπὸ τοῦ νόμου

(α) Ἐν τῇ ἐξηγήσει τοῦ στίχου 4 τοῦ ς' κεφαλαίου τῆς παρούσης ἐπιστολῆς.— (*) Ἐν πᾶσι τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων ἡ λέξις «ἀνδρὶ» παραλείπεται.— (β) Α' Κορινθ. ζ', 23. —(γ) Β' Κορινθ. ε', 15.

γινόμενα· ἅγιος γὰρ ὁ νόμος, ἀλλὰ τὰ διὰ τοῦ νόμου γνωριζόμενα, κατηγόρου τάξιν ἐπέχοντος, καὶ τὰς μὲν ἁμαρτίας ἐλέγχοντος, οὐκ ἐπικυροῦντος δέ. Καλῶς δὲ καὶ τὸ «ἐνηργεῖτο»· οὐ γὰρ οἴκοθεν ἐνεργοῦσι τὰ κατὰ τὰ μέλη, ἀλλὰ διὰ τῆς ψυχῆς καὶ τῶν πονηρῶν λογισμῶν. Καρποφορία δὲ τῷ θανάτῳ τὰ μέλη τῶν ἀποθνησκόντων, ἃ διὰ τῆς ἁμαρτίας καρποφοροῦμεν αὐτῷ (α).

6. Νυνὶ δὲ κατηργήθημεν ὑπὸ τοῦ νόμου, ἀποθανόντες (*),

Ἠλευθερώθημεν ἀπὸ τοῦ νόμου, ἅτε ἀποθανόντες διὰ τοῦ βαπτίσματος, ὅσον εἰς ἁμαρτίαν, δι' ἣν γέγονεν ἡ χρεία τοῦ νόμου. Τῆς ἁμαρτίας γὰρ ἀναιρεθείσης, περιττὸς ἡμῖν ὁ διὰ ταύτης νόμος.

6. Ἐν ᾧ κατειχόμεθα·

Δι' ἣν ἁμαρτίαν κατειχόμεθα τῷ νόμῳ.

6. Ὥςτε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος.

Ἵνα μὴ δόξαιεν, ἐλευθερωθέντες τοῦ νόμου, λοιπὸν ἀκινδύνως ποιεῖν, ἃ βούλονται, φησὶν ὅτι ἠλευθερώθημεν, ὥςτε δουλεύειν τῷ Θεῷ ἐν καινότητι πνευματικοῦ νόμου (Πνεῦμα γὰρ τὸν πνευματικὸν νόμον ὀνομάζει· τουτέστι τὸ Εὐαγγέλιον), καὶ οὐχί, ὥςπερ πρότερον, ἐν παλαιότητι νόμου. «Γράμμα» γὰρ τὸν γραπτὸν νόμον καλεῖ, ἢ ὥςτε δουλεύειν ἡμᾶς καινῷ νόμῳ καὶ οὐ παλαιῷ, παρελκούσης τῆς προθέσεως(β). Ὅπερ γὰρ ἀνωτέρω εἴρηκεν ὅτι «οὐκ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν»(γ) τοῦτο καὶ νῦν λέγει ὅτι οὐκ ἔστι νῦν νόμος καταδικάζων, ἀλλὰ διὰ τοῦ Εὐαγγελίου πνευματικῶς βοηθοῦντος. Διὰ τοῦτο ἐπὶ μὲν τῆς Παλαιᾶς εἴ πού τις ἐφάνη παρθενίαν ἀσκῶν, ἔκπληκτον ἐποίει πρᾶγμα. Ἐπὶ δὲ τῆς Νέας πανταχοῦ τοῦτο τῆς Οἰκουμένης ἔσπαρται. Καὶ

(α) Κομψὰ καὶ τὰ τοῦ Θεοφυλάκτου ἐν λ. «Οὐκ εἶπεν ὅτι τὰ μέλη ἐνήργει τὴν πονη» ρίαν, ἵνα μὴ δώσῃ χώραν κατηγορῆσαι τῆς σαρκός. Ἡ γὰρ ψυχή ἐστιν οἷόν τις κιθα» ριστής, τὰ δὲ μέλη ἡ κιθάρα. Κακῶς οὖν κρούοντος τοῦ κιθαριστοῦ, κακῶς ἠχεῖ ἡ κι» θάρα. Ὑπὸ τὸν νόμον τοίνυν ὄντες, ἐπειδὴ τὰ πάθη οὐκ ἐδυνάμεθα φυγεῖν, ἐτεκνογο» νοῦμεν τὰς πονηρὰς πράξεις τῷ θανάτῳ ». — (*) F. Matth. n. Testam. ἐν λ. « In Codice Monacho reperio quidem *ἀποθανόντος*. Sed hujus quoque interpretatio contraria videtur. Addit enim «διὰ τοῦ βαπτίσματος» quod ad «νόμου» referri nequit ». Ἀλλὰ τὸ ἡμέτερον χειρόγραφον οὐ μόνον ἐν τῇ ἐξηγήσει, ἀλλὰ καὶ ἐν τῷ κειμένῳ ἔχει «*ἀποθανόντες*». — (β) «*Ἐν*» δηλονότι. — (γ) Ῥωμ. ϛ', 14.

τότε μὲν μόλις ὀλίγοι θανάτου κατεφρόνουν, νυνὶ δὲ καὶ ἐν πόλεσι καὶ ἐν κώμαις δῆμοι μαρτύρων ἄπειροι οὐκ ἀνδρῶν μόνον, ἀλλὰ καὶ γυναικῶν καὶ παιδίων. «Παλαιότητα» μὲν οὖν εἰπών, τὴν ἀσθένειαν ἐκείνων ᾐνίξατο· «καινότητα» δὲ φήσας, τὴν δύναμιν τούτων, ἣν χαρίζεται διὰ τοῦ βαπτίσματος τὸ Πνεῦμα τὸ ἅγιον.

Θ' Περὶ τῆς ὑπὸ νόμον κατακρίσεως διὰ τὴν ἁμαρτίαν.

7. Τί οὖν ἐροῦμεν; ὅτι ὁ νόμος ἁμαρτία;

Ἐπεὶ περὶ τοῦ νόμου διαφόρως εἶπεν, ὅτι τε «τὰ παθήματα τῶν ἁ»μαρτιῶν, τὰ διὰ τοῦ νόμου» καὶ ὅτι «ἡ ἁμαρτία ὑμῶν οὐ κυριεύσει, »οὐ γάρ ἐστε ὑπὸ νόμον» καὶ ὅτι «οὐ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παρά»βασις» (α), καὶ ὅτι «νόμος δὲ παρειςῆλθεν ἵνα πλεονάσῃ τὸ παρά»πτωμα» (β), καὶ ὅτι «ὁ νόμος ὀργὴν κατεργάζεται» (γ), καὶ ἐδόκει ταῦτα πάντα διαβολὴν ἐπιφέρειν τῷ νόμῳ καὶ λυπεῖν τοὺς ἐξ Ἰουδαίων περιέποντας ἔτι τὸν νόμον, καὶ μᾶλλον ἐῴκει συναγορεύειν τοῖς αἱρετικοῖς, διαβάλλουσι τὸν νόμον, διορθοῦται τὴν ἐκ τῶν τοιούτων ῥητῶν ὑπόνοιαν, καί, ὥςπερ ἐξ ἀντιθέσεως ἐρωτῶντος, ἀποκρίνεται καὶ λύει τὸ προςιστάμενον.

7. Μὴ γένοιτο·

Πρὸ τῆς κατασκευῆς εὐθὺς ἀπηγόρευσε, τὸν σκανδαλιζόμενον θεραπεύων καὶ οἰκειούμενος.

7. Ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου·

Μὴ γένοιτο τοῦτο εἰπεῖν· οὐκ ἔστι γάρ. «Ἀλλὰ τὴν ἁμαρτίαν οὐκ »ἔγνων, εἰ μὴ διὰ νόμου» τοῦ ταύτην ἀπαγορεύοντος. Οἰκειοῦται δὲ τὸ τῶν Ἑβραίων πρόσωπον, τῶν τε πρὸ τοῦ νόμου καὶ τῶν μετὰ τὸν νόμον. Ἀλλ' εἰ οὐκ ἔγνωσαν τὴν ἁμαρτίαν οἱ πρὸ τοῦ νόμου, πόθεν ὁ κατακλυσμὸς γέγονε; καὶ διὰ τί τὰ Σόδομα οὕτως ἐνεπρήσθη; Ἀλλὰ τὸ «οὐκ ἔγνων» ἐνταῦθα οὐ τὸ παντελῶς ἀγνοεῖν εἰςάγει, ἀλλὰ τὸ μὴ ἀκριβῶς γινώσκειν. Ἤδεσαν μὲν γὰρ τὴν ἁμαρτίαν, οὐχ οὕτω δέ, ὡς διὰ τοῦ νόμου. Ὁ μὲν γὰρ φυσικὸς νόμος καὶ ἐγνώριζε

(α) Αὐτόθ. δ', 15. — (β) Αὐτόθ. ε', 21. — (γ) Αὐτόθ. δ', 15.

τοῖς ἀνθρώποις τὸ κακὸν καὶ ἀπηγόρευεν. Ὁ δὲ γραπτὸς νόμος οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἐκόλαζεν.

7. Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν «οὐκ » ἐπιθυμήσεις» (α).

« Ἐπιθυμίαν » τὴν πονηράν. Οἷον δὲ νοεῖται τὸ «οὐκ ἔγνων», τοιοῦτον ἐνταῦθα καὶ τὸ «οὐκ ἤδειν». Ὅρα δὲ πῶς ἠρέμα καὶ κατὰ μικρὸν δείκνυσι τὸν νόμον οὐ μόνον κατήγορον τῆς ἁμαρτίας, ἀλλὰ καὶ κατασκευαστικὸν αὐτῆς, οὐχ ἵνα διαβάλῃ τοῦτον, ἀλλ' ἵνα ἀπαλλάξῃ φόβου τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας, δεδιότας ἔτι τὸν νόμον, καὶ ἀντιποιουμένους αὐτοῦ.

8. Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν·

« Ἁμαρτίαν » νῦν λέγει τὴν ἁμαρτικὴν γνώμην καὶ ὀλισθηρὰν προαίρεσιν, ἥτις ἐπιθυμία κωλυομένη παρὰ τῆς ἐντολῆς τοῦ νόμου, τῆς λεγούσης « οὐκ ἐπιθυμήσεις » καὶ ἀφορμὴν λαβοῦσα « διὰ τῆς »ἐντολῆς» (ἤγουν ἀπὸ τῆς ῥηθείσης ἐντολῆς·) τὸ κωλύεσθαι, κατειργάσατο ἐν ἐμοὶ τυχόν, τῷ ἐπιθυμοῦντι, πολλὴν τὴν ἐπιθυμίαν. «Πᾶ»σαν» γὰρ ἀντὶ τοῦ πολλὴν καὶ ἐπιτεταμένην. Ὅταν γὰρ ἐπιθυμῶμεν καὶ κωλυώμεθα, αἴρεται μᾶλλον ἡ φλὸξ τῆς ἐπιθυμίας, ἀφορμὴν τῆς αὐξήσεως λαβοῦσα τὴν κώλυσιν. Ὥστε ὁ κωλύων νόμος ηὔξησε τὴν ἐπιθυμίαν, ἀλλ' οὐ διὰ τοῦτο μεμπτός· οὐ γὰρ ἐβούλετο τοῦτο. Ἀλλ' ἐβούλετο μὲν ἀπαγαγεῖν τὴν ἐπιθυμίαν, ἀπέβη δὲ μᾶλλον ἡ κώλυσις εἰς αὔξησιν, οὐ τοῦ νόμου πταίσαντος, ἀλλὰ τῆς ἐμῆς ῥᾳθυμίας καὶ ἀμελείας, καταχρησαμένης τῷ καλῷ πρὸς τὸ κακόν, ἤγουν τῇ κωλύσει πρὸς τὴν αὔξησιν. Λοιπὸν οὐ τοῦ ἰατροῦ, τοῦ δὲ νοσοῦντος τὸ ἔγκλημα, τῷ φαρμάκῳ χρησαμένου κακῶς. Ἐπεὶ καὶ ἐπὶ τῆς καινῆς Διαθήκης πολλαὶ ἐντολαί (β), ἃς οἱ παραβαίνοντες κολάζονται. Καὶ οὐκ ἄν τις αὐτὰς τολμήσῃ κακίσαι, ὡς παραβάσεως ἀφορμὰς καὶ κολάσεως προξένους. Ἀλλὰ ταύτας μέν, ὡς εὐεργέτιδας, ἐπαινέσεται· τὴν δὲ φαύλην γνώμην τῶν καταφρονούντων διαβαλεῖ. Τί οὖν, φησί, τοῦ νόμου τὸ κέρδος; οὐδέν, ἀλλὰ καὶ πολὺ τὸ βλάβος. Ἀλλ' οὐ τοῦ νόμου τὸ ἔγκλημα, τῆς δὲ ῥᾳθυμίας τῶν δεξαμένων αὐτόν.

(α) Ἔξοδ. κ', 17.— (β) Ἐξυπακούεται τὸ «εἰσίν».

8. Χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά.

Τουτέστιν οὐχ οὕτω γνώριμος, ὡς μετὰ τὴν δόσιν τοῦ νόμου. «Χωρὶς δὲ νόμου» ἀντὶ τοῦ «πρὸ τοῦ νόμου». Πρότερον μὲν γὰρ τὴν φύσιν μόνην εἶχεν αὕτη κατήγορον. Ὕστερον δὲ καὶ τὸν νόμον, ῥητῶς ταῦτα ἀπαγορεύοντα καὶ κολάζοντα.

9. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ·

Πρὸ τοῦ νόμου δηλονότι· τὸ γὰρ πρόσωπον οἰκειοῦται (α) τῶν πρὸ Μωϋσέως ὄντων. Ἔζων τότε, φησί, χωρὶς νόμου, καὶ ἦν μοι ἡ ἁμαρτία νεκρά.

9. Ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησε.

Δοθείσης δὲ τῆς ἐντολῆς τοῦ νόμου, ἡ ἁμαρτία ἀνέζησε· τουτέστι κρυπτομένη μέχρι τότε, ἐφάνη ἀπὸ τότε. Ἕως μὲν γὰρ τοῦ νόμου ἐκρύπτετο οἵα ἦν. Μετὰ δὲ τὸν νόμον ἐφάνη οἵα οὐκ ἐδόκει· ὃ τέως κατώρθωσεν ὁ νόμος, εἰ καὶ μηδὲν ἕτερον.

10. Ἐγὼ δὲ ἀπέθανον·

Ἀπέθανον κατὰ τὴν ψυχήν. Οἱ γὰρ ἐν τῇ γνώσει ἁμαρτάνοντες νεκρὰν ἔχουσι τὴν ψυχήν, ὡς ἀκίνητον εἰς ἀρετὴν καὶ ἀνενέργητον.

10. Καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη πρὸς θάνατον(*).

Διὰ τοῦ «εὑρέθη μοι» τὸ παράδοξον ἐδήλωσεν. Ἄτοπον γὰρ τὸ διὰ τῶν ὠφελούντων βλάπτεσθαι. Καὶ ἡ ἐντολή, φησί, τοῦ νόμου, εἰς ζωὴν καὶ ἀπόλαυσιν ἄγουσα, ἐχρημάτισέ μοι εἰς θάνατον καὶ κόλασιν, κακῶς αὐτῇ δηλονότι χρησαμένῳ. Σαφηνίζει δὲ τοῦτο καὶ διὰ τῶν ἑξῆς·

11. Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς (**),

Ὡς ἀνωτέρω δεδήλωται.

(α) Ὁ Παῦλος δηλονότι. — (*) Ἐν ἄλλ. «εἰς θάνατον». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει «ἐχρημάτισέ μοι *εἰς* θάνατον» γράφει.— (**) Ὁ Συγγραφεύς, τῷ Χρυσοστόμῳ ἑπόμενος, τὸ «διὰ τῆς ἐντολῆς» συντάσσει τῷ «λαβοῦσα». Ἄλλοι συνάπτουσιν αὐτὸ τῷ κατόπιν «ἐξηπάτησε» καὶ τιθεῖσι τὴν ὑποστιγμὴν μετὰ τὸ «λαβοῦσα».

11. Ἐξηπάτησέ με,

Τῇ ἡδονῇ δελεάσασα.

11. Καὶ ἀπέκτεινε δι' αὐτῆς.

Διὰ τῆς ἐντολῆς, ἀφορμὴν ἀπ' αὐτῆς λαβοῦσα. Ἀπαλλάξας δὲ τὸν νόμον ἁπάσης μέμψεως καὶ ῥᾳθυμίᾳ τῶν ἁμαρτανόντων ἐπιγράψας τὸ ἔγκλημα, φησίν·

12. Ὥςτε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

Εἰ καὶ οἱ παραβαίνοντες τὸν νόμον ἀκάθαρτοι καὶ ἄδικοι καὶ πονηροί, ἀλλὰ παρὰ τὴν ἑαυτῶν, ὡς εἴρηται, ῥᾳθυμίαν· αὐτὸς γὰρ ἅγιος· «ὁ νόμος γάρ, φησί, Κυρίου ἄμωμος» (α). Καὶ ἡ ἐντολὴ δέ· τουτέστιν ὁ αὐτὸς νόμος, ἁγία μέν, ὡς ἀκαθαρσίας ἀπάγουσα· δικαία δέ, ὡς τοὺς μὲν φυλάσσοντας αὐτὴν εὐεργετοῦσα τοὺς δὲ παραβαίνοντας κολάζουσα· ἀγαθὴ δέ, ὡς ὁδηγοῦσα πρὸς τὸ ἀγαθόν.

13. Τὸ οὖν ἀγαθόν, ἐν (*) ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο·

Κατ' ἐρώτησιν ὁ λόγος· ἆρα ὁ ἀγαθὸς νόμος γέγονέ μοι θάνατος; ἤγουν ἐθανάτωσέ με; Οὐμενουν.

13. Ἀλλ' ἡ ἁμαρτία,

Ἁμαρτία ἐστὶν οὐ δύναμίς τις ἐνυπόστατος, ἀλλ' ἡ πονηρὰ πρᾶξις, οὔτε πρὸ τοῦ γενέσθαι οὖσα, καὶ μετὰ τὸ γενέσθαι ἀφανιζομένη.

13. Ἵνα φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον,

Ἵνα φανερωθῇ ἡ ἁμαρτία ἡλίκον ἐστὶ κακόν, διὰ τοῦ ἀγαθοῦ νόμου κατεργαζομένη μοι θάνατον, καὶ διὰ τῶν ἰατρικῶν φαρμάκων ἀναιροῦσα τὸ καταχρήσασθαι τῇ κωλύσει τοῦ νόμου εἰς αὔξησιν τῆς βλάβης, ὡς προδιασεσάφηται. Διὸ καὶ ἐπήγαγεν·

(α) Ψαλμ. ιη', 8.— (*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων παραλείπουσι τὴν πρόθεσιν «ἐν». Παραλείπει δὲ ταύτην καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει.

13. Ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

Ἵνα διὰ τοῦ νόμου ἐλεγχθῇ λίαν μιαρὰ καὶ ὀλέθριος ἡ ἁμαρτία, φανεροῦντος τὸν ἰὸν αὐτῆς καὶ τὴν λύμην θριαμβεύοντος, οὐ τοιαύτης πρὸ τοῦ νόμου γνωριζομένης. Ὅπερ οὐ μόνον μέμψεως ἀνώτερον δείκνυσι τὸν νόμον, ἀλλὰ καὶ ἐγκώμιον αὐτῷ γίνεται.

14. Οἴδαμεν γάρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν·

Ἐπειδὴ ἔδειξεν ὅτι ἡ ἁμαρτία ἐπιλαβομένη τῆς ἐντολῆς ἐγένετο δυνατωτέρα, λέγει δὲ καὶ λογισμόν, καθ' ὃν τοῦτο γέγονεν. Οἴδαμεν δέ, φησί, πάντες ὅτι ὁ νόμος πνευματικός ἐστι· τουτέστι θεῖος, ἅτε διδάσκαλος ἀρετῆς, καὶ ἔλεγχος κακίας, καὶ πολέμιος ἁμαρτίας. Ἀλλὰ πόθεν ἡ ἁμαρτία ἐνεδυναμώθη, τοιούτου ὄντος τοῦ διδασκάλου; πόθεν ἄλλοθεν, ἢ παρὰ τὴν ἡμῶν τῶν μαθητῶν ῥᾳθυμίαν;

14. Ἐγὼ δὲ σαρκικός εἰμι,

Ἐγκωμιάσας τὸν νόμον, ἐπὶ τὸν ἀνώτερον χρόνον ἀνέδραμεν, ἵνα δείξῃ πῶς καὶ τότε τὸ ἡμέτερον διέκειτο γένος. Τὸ γὰρ «ἐγὼ» τόν τε πρὸ τοῦ νόμου καὶ τὸν ἐν τῷ νόμῳ πολιτευόμενον ἄνθρωπον ὑπογράφει. «Σαρκικὸς» δέ, ὡς τὰς τῆς σαρκὸς ἐπιθυμίας ἐκπληρῶν, καὶ ταύτῃ χαριζόμενος.

14. Πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

Δουλεύων τῇ ἁμαρτίᾳ· ἡδονῆς γὰρ ἑαυτοὺς ἀπεμπολήσαμεν τῇ ἁμαρτίᾳ. Καὶ ἄλλως γάρ· «ὁ ποιῶν, φησί, τὴν ἁμαρτίαν δοῦλός ἐστι »τῆς ἁμαρτίας» (α) καὶ ᾧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται» (β). Ἐντεῦθεν δὲ δῆλον ὅτι περὶ τῶν πρὸ τοῦ νόμου καὶ ἐξ ἀρχῆς ἀνθρώπων λέγει (γ)·

15. Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω·

Ὃ ἁμάρτημα κατεργάζομαι, οὐκ οἰκειοῦμαι ἢ γινώσκω ἐμόν,

(α) Ἰωάνν. η', 34.— (β) Β' Πέτρ. β', 20.— (γ) Οἰκουμ. ἐν λ. «Μετὰ γὰρ τοῦ θα»νάτου καὶ ὁ τῶν παθῶν ὑπεισῆλθεν ἑσμός· οἷον ὀργή, λύπη, ἐπιθυμία κακή. Τούτοις, »φησί, παραδεδομένος ἤμην· τοῦτο γὰρ τὸ «πεπραμένος»· παρεδεδόμην δέ, τῶν πα»θῶν ἀρχὴν λαβόντων τὴν ἐν Ἀδὰμ παράβασιν».

ἀλλ' ἐπίταγμά ἐστι τῆς κυριευούσης μου ἁμαρτίας. Ἢ «οὐ γινώ-»σκω» ὅτε τοῦτο κατεργάζομαι, ἅτε τηνικαῦτα σκοτιζόμενος τῷ καπνῷ τοῦ πάθους· οὐ γὰρ τὸ παντελῶς ἀγνοεῖν ὁ λόγος ἐμφαίνει (τίς γὰρ ἁμαρτάνων οὐκ οἶδεν ὅτι ἁμαρτάνει;), ἀλλὰ καθ' ὃν καιρὸν ἁμαρτάνομεν, μεθύοντες ὑπὸ τοῦ πάθους, ἀγνοοῦμεν τρόπον τινὰ ὃ κατεργαζόμεθα (α). Διὸ τότε μὲν ἡδόμεθα, ὕστερον δὲ νήψαντες ἀνιώμεθα.

15. Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ.

Τὸ «οὐ γὰρ ὃ θέλω» οὐ τὸ αὐτεξούσιον ἀναιρεῖ, ἀλλὰ δηλοῖ τὸ οὐ γὰρ ὃ ἀποδέχομαι, ὃ φιλῶ, ὃ ἐπαινῶ. Ἡττώμενος γὰρ τῆς ἡδονῆς, ὃ μισῶ, ὡς φύσει κακόν, τοῦτο ποιῶ, ὡς μόνον ἡδύ.

16. Εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ,

Συμφωνῶ τῷ νόμῳ, θέλοντι μὲν τὰ καλά, μισοῦντι δὲ τὰ φαῦλα, ὡς καὶ ἐγὼ πρό γε τοῦ ἁμαρτῆσαι. Ἐν γὰρ τῷ ἁμαρτάνειν σκοτίζομαι. Ἢ καὶ ἑτέρως νοητέον τὸ «ὃ οὐ θέλω τοῦτο ποιῶ»· ὅτι ποιῶν τὴν ἁμαρτίαν, ὃ οὐκ ἐπαινῶ, ποιῶ, τῆς διανοίας μου καὶ τότε ὑγιαινούσης καὶ μισούσης, ὃ ποιῶ.

16. Ὅτι καλός.

Συμφωνῶ, φησί, τῷ νόμῳ· καὶ γὰρ καλός ἐστιν. Ἢ συμφωνῶ ὑπὲρ τοῦ νόμου τοῖς λέγουσιν ὅτι καλὸς ὁ νόμος.

17. Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

Ὅρα πῶς καὶ τὴν οὐσίαν τῆς ψυχῆς καὶ τὴν οὐσίαν τῆς σαρκὸς ἀπήλλαξεν ἐγκλήματος, τὸ πᾶν ἐπὶ τῇ ἁμαρτίᾳ μεταστήσας· ἤγουν ἐπὶ τὴν πονηρὰν προαίρεσιν· ψυχὴ μὲν γὰρ καὶ σῶμα ἔργα Θεοῦ, ἡ δὲ πονηρὰ προαίρεσις ἐξ ἡμῶν αὐτῶν γίνεται. Καὶ ἡ μὲν βούλησις ἔμφυτον καὶ παρὰ τοῦ Θεοῦ, ἡ δὲ τοιαύτη βούλησις, ἕτερον καὶ τῆς ἁμαρτίας γνώμη. Διὸ καὶ «ἡ οἰκοῦσα ἐν ἐμοί», εἶπε· τουτέστιν ἡ ἐξ ἡμῶν ἢ ἐν ἡμῖν γινομένη.

(α) Χρυσόστ. Ἑρμην. εἰς τὸν δ' Ψαλμ. Τόμ. ε', σελ. 50. «Ὥςπερ γὰρ λήμη τῶν ὀφθαλμῶν διειδεῖ κόρῃ προςιζάνουσα ἐπισκοτεῖ καὶ θολοῖ τὸ φωτίζον, οὕτω δὴ »καὶ λογισμὸς ὑπὸ πονηρίας κατειλημμένος σκοτεῖ καὶ πηροῖ τὴν διάνοιαν».

Γ' Περὶ τῶν ἐν ἀνθρωπίνῃ φύσει παθῶν, ἀδύνατον ποιούντων τὴν πρὸς νόμον συμφωνίαν.

18. **Οἶδα γάρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί· τουτέστιν ἐν τῇ σαρκί μου ἀγαθόν·**

Οὐ διαβάλλων τὴν σάρκα τοῦτό φησιν, ἀλλὰ τὸ ὑπερέχον τῆς ψυχῆς δεικνύων καὶ τὸ κῦρος ταύτῃ διδούς· ταύτης γὰρ ὁ λόγος καὶ ἡ σύνεσις. Ἄλογον δὲ ἡ σὰρξ καὶ τῶν ἀγομένων, ἀλλ' οὐ τῶν ἀγόντων.

18. **Τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω.**

Τὸ μὲν θέλειν τὸ καλὸν παρ' ἐμοί ἐστι· τὸ δὲ κατεργάζεσθαι αὐτὸ οὐχ εὑρίσκω, οὐχ ὡς ἀγνοῶν πῶς ἐργάσομαι τοῦτο, οὐδ' ὡς ἀπορῶν, ἀλλὰ τὸ «οὐχ εὑρίσκω» ἀντὶ τοῦ οὐ κατορθῶ, οὐκ εὐοδοῦμαι, ἅτε ἐπηρεαζόμενός τε καὶ ἐπιβουλευόμενος ὑπὸ τῆς ἁμαρτίας.

19. **Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ θέλω κακὸν**
20. **τοῦτο πράσσω. Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.**

Τὰ ἄνω ῥηθέντα σαφηνίζων ἐπανέλαβεν αὐτά. Τὸ δὲ «ἡ οἰκοῦσα» τινὲς ἀντὶ τοῦ «ἡ συνήθης» ἐνόησαν (α).

21. **Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν,**

Εἰπὼν ὅτι μισῶ τὸ κακόν, εἰ καὶ ποιῶ αὐτό, καὶ δείξας ἐντεῦθεν ὅτι ἐξ ἀρχῆς καὶ ἄνωθεν ἡμῖν συγκεκλήρωται ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, καὶ τὸ θέλειν μὲν τὸ καλόν, μὴ θέλειν δὲ τὸ πονηρόν, ἅπερ εἰσὶν ἔργον τοῦ φυσικοῦ νόμου, δείκνυσιν ἔτι καὶ τὸν γραπτὸν νόμον βοηθὸν εἰς ταῦτα καὶ συνεργὸν τοῦ φυσικοῦ. Καὶ ἐν μὲν τοῖς κακοῖς πλείονα κατήγορον, ἐν δὲ τοῖς καλοῖς μείζονα ἐπαινέτην, καὶ οὐδὲν ἕτερον ὄντα ἢ ἐπίτασιν τοῦ φυσικοῦ καὶ προσθήκην (εὑρίσκω, φησί, τὸν νόμον ἐμοὶ τῷ θέλοντι τὸ καλόν· τουτέστι βοηθὸν ἐμοὶ τῷ διὰ τοῦ

(α) Οἰκουμ. ἐν λ. «Ἐκ τοῦ ἀεὶ ἁμαρτάνειν εἰς ἕξιν τινὰ τῆς ἁμαρτίας ἤλθομεν. Τὸ » γὰρ ἄγαν ἔθος ἴσα φύσεως γίνεται.».

φυσικοῦ νόμου θέλοντι τὸ καλόν. Νόμον γάρ, φησίν, ἔδωκεν ἡμῖν εἰς βοήθειαν) (α), εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς τοιαύτης βοηθείας.

21. Ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

Διότι ἐγγίζει μοι τὸ κακὸν διὰ τὸ ποθητὸν τοῦ σώματος καὶ τῆς ἁμαρτίας εὐεπιχείρητον.

22. Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον·

Τὸ «γὰρ» ἀντὶ τοῦ τοίνυν. Ἤδειν μέν, φησί, τὸ καλὸν καὶ πρότερον· εὑρίσκω δὲ τοῦτο καὶ ἐν τῷ γραπτῷ νόμῳ. «Συνήδομαι» τούτῳ· τουτέστιν ἀποδέχομαι τοῦτον καὶ ἐπαινῶ, ὡς ἐπιτείνοντά μοι τὴν αἵρεσιν τοῦ καλοῦ. «Ἔσω δὲ ἄνθρωπον» ὠνόμασε τὴν ψυχήν.

23. Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου,

«Νόμον μὲν ἕτερον» λέγει τὴν ἁμαρτίαν διὰ τὴν ὑπακοὴν τῶν ὑποτεταγμένων αὐτῇ. «Νόμον δὲ νοὸς» τὸν φυσικὸν νόμον. Καὶ εἰςάγει παράταξιν καὶ μάχην, καὶ ἀνατίθησιν ὅλον τὸν ἀγῶνα τῷ φυσικῷ νόμῳ. Ὁ γὰρ διὰ Μωϋσέως νόμος ὕστερον προςετέθη. Καὶ ὅμως τοῦ μέν, διδάξαντος τὸ καλόν, τοῦ δέ, ἐπαινέσαντος, δείκνυσιν ὅτι οὐδὲν ἠνύσθη πλέον.

23. Καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας,

Καὶ οὐχ ἁπλῶς νικῶσαν, ἀλλὰ καὶ αἰχμαλωτίζουσαν σαυτῇ· τουτέστι τῇ οἰκείᾳ τυραννίδι καὶ δυνάμει.

23. Τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

Καὶ ἀνωτέρω εἶπεν ὅτι «ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία» (β)· ἐμφιλοχωρεῖ γὰρ διὰ τῶν αἰσθητῶν τοῖς ἡμετέροις αἰσθητηρίοις. Οὐ διαβολὴ δὲ τοῦτο τῶν μελῶν ἡμῶν, ὥςπερ οὐδὲ βασιλικοῦ οἴκου, εἰ τύραννος, ἢ λῃστὴς ἐνδιατρίβει αὐτῷ. Εἶδες ὅση τῆς κακίας ἡ τυραννίς; καὶ γὰρ καὶ συνηδομένους τῷ νόμῳ νικᾷ καὶ αἰχμαλωτίζει. Ἀλλ' ὁ μὲν νόμος οὐδέν, φεύγοντά με πρὸς αὐτόν, ἴσχυσε ῥύσασθαι. Ὁ δὲ Χριστὸς καὶ φεύγοντα ἀπ' αὐτοῦ ἔσωσεν. Βλέπεις ὅση τῆς χάριτος ἡ ὑπερ-

(α) Ἠσ. η', 20. — (β) Στίχ. 20.

βολή; Ἀλλὰ τοῦτο μὲν οὐκ εἶπεν ὁ Ἀπόστολος. Ἀνοιμώξας δὲ μόνον, ὡς ἐν ἐρημίᾳ τοῦ βοηθήσοντος, διὰ τῆς ἀπορίας δείκνυσι τοῦ Χριστοῦ τὴν δύναμιν καὶ χάριν, καί φησιν·

24. Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;

Ὁ φυσικὸς νόμος οὐκ ἤρκεσε καίτοι αἰωνιζόμενος. Ὁ γραπτὸς οὐκ ἴσχυσε, πόθεν οὖν ἐλπὶς σωτηρίας; «τοῦ σώματος δὲ τούτου», ὃ περίκειμαι. «Τοῦ θανάτου» δὲ τοῦτο εἶπεν, ὡς ὑπὸ τὸν θάνατον ὄν· τὸν γὰρ κατεξουσιαζόμενον τοῦ κατεξουσιάζοντος εἶναι λέγομεν.

25. Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.

Διὰ τῆς εὐχαριστίας τὴν ἀντίληψιν ἐνέφηνεν. «Εὐχαριστῶ», φησί, τῷ Πατρὶ διὰ τοῦ ἐνανθρωπήσαντος Υἱοῦ αὐτοῦ, γεγονότος αἰτίου μοι τῆς εὐχαριστίας τοῦ Πατρός· ὁ μὲν γὰρ ηὐδόκησεν, ὁ δὲ ἀντελάβετό μου καὶ ἐρρύσατο τῆς τυραννίδος. Ἐν αὐτῷ δὲ τοὺς ἐξ Ἰουδαίων πιστεύοντας σχηματίζει.

25. Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοΐ δουλεύω νόμῳ Θεοῦ· τῇ δὲ σαρκί, νόμῳ ἁμαρτίας.

Βουλόμενος εἰπεῖν ὅτι οὐ μόνον τῶν προτέρων κακῶν ἀπηλλάγημεν διὰ Χριστοῦ, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀχείρωτοι γεγόναμεν, οὐ πρότερον αὐτὸ εἴρηκεν, ἕως ἀνέμνησε πάλιν τῆς προτέρας καταστάσεως. Ἐπεὶ γὰρ εἶπεν ὅτι «συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄν» θρωπον, αἰχμαλωτίζομαι δὲ τῷ νόμῳ τῆς ἁμαρτίας ἐν τοῖς μέλεσί » μου», συλλογίζεται λέγων· ἄρα οὖν αὐτὸς ἐγὼ εἷς ὢν μερίζομαι δυσὶ δεσπόταις, τῷ τε νόμῳ τοῦ Θεοῦ καὶ τῷ νόμῳ τῆς ἁμαρτίας. Καὶ τῷ μὲν δουλεύω διὰ τοῦ νοός· ἤτοι διὰ τοῦ ἔσω ἀνθρώπου, τῷ δὲ διὰ τῆς σαρκός· ἤγουν διὰ τῶν μελῶν μου, οἷς ἐμφιλοχωρεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΟΓΔΟΟΝ

1. Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ,

Τῆς κατακρίσεως οὖν, φησίν, ἐπικειμένης ἡμῖν διὰ τὸ δουλεύειν, ὡς εἴρηται, τῷ νόμῳ τῆς ἁμαρτίας, οὐδὲν νῦν κατάκριμα γίνεται τοῖς τοῦ Χριστοῦ, τοῖς ὑπὸ τὸν Χριστόν, οὔτε ἀπὸ τῶν προτέρων κακῶν, οὔτε ἀπὸ τῶν μελλόντων. Τῶν μὲν γὰρ ἀπηλλάγημεν, τοῖς δὲ ἀχείρωτοι κατέστημεν. Ἐπεὶ δὲ ἀντέκειτο αὐτῷ τὸ πολλοὺς καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνειν ἐκ ῥᾳθυμίας, προςέθηκε·

1. Μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Μὴ κατὰ τὰς σαρκικὰς ἐπιθυμίας πολιτευομένοις, λέγω δὴ τὰς φαύλας· ἀλλὰ πνευματικῶς καὶ κατὰ Θεὸν ἀναστρεφομένοις· ἤτοι κατὰ τὰς ἐντολὰς τοῦ ἁγίου Πνεύματος.

2. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

Ὥςπερ «νόμον ἁμαρτίας» καλεῖ, οὕτω καὶ «νόμον πνεύματος» τὸ Πνεῦμα τὸ ἅγιον· αὐτὸ γάρ, φησί, διὰ τοῦ πέμψαντος αὐτὸ Χριστοῦ ἠλευθέρωσέ με ἀπὸ τῆς ἁμαρτίας, τῆς ἀντιστρατευομένης, ὡς προείρηται, καὶ κοῦφόν μοι τὸν πρὸς αὐτὴν ἀγῶνα καὶ εἰς τὸ ἑξῆς πεποίηκεν. Καὶ οὐ ταύτης μόνον, ἀλλὰ καὶ τοῦ θανάτου. Τινὲς δὲ «τῆς ἁμαρτίας τοῦ θανάτου» ἀναγινώσκουσιν ἀντὶ τοῦ τῆς θανατούσης (α)· ὥςπερ καὶ «πνεύματος τῆς ζωῆς» ἀντὶ τοῦ ζωοποιοῦντος. Σκόπει δὲ καὶ πῶς ἔδειξε τὸν Πατέρα διὰ τοῦ Υἱοῦ ἐλευθερώσαντα ἡμᾶς. «Εὐχαριστῶ γάρ, φησί, τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ». Εἶτα πάλιν τὸ πανάγιον Πνεῦμα σὺν τῷ Υἱῷ. «Ὁ γὰρ νόμος, φησί, τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με». Εἶτα πάλιν τὸν Πατέρα μετὰ τοῦ Υἱοῦ, ὡς ἑξῆς ἐρεῖ, πάντα τὰ τῆς σωτηρίας ἡμῶν τῇ ἁγίᾳ Τριάδι λογιζόμενος.

(α) Πρβλ. Οἰκουμ. ἐν λ.

ΙΑ' Περὶ τῆς ἀποδύσεως τῶν φυσικῶν παθημάτων διὰ τῆς πρὸς τὸ πνεῦμα συμφωνίας.

3. Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἡ ἀσθένεια διὰ τῆς σαρκός,

Ἡ ἀσθένεια τοῦ γραπτοῦ νόμου διὰ τῆς σαρκὸς ἐγίνετο· ἤγουν διὰ τοῦ σαρκικοῦ φρονήματος, ἐμποδίζοντος αὐτῷ. Εἰπὼν δὲ πῶς ὁ νόμος ἠδυνάτει ῥύεσθαι, λοιπὸν λέγει καὶ διὰ τίνος ἐρρύσθημεν·

3. Ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας,

Σαρκὸς ἁμαρτωλῆς. «Ἐν ὁμοιώματι» δὲ εἶπε, διότι, ὥςπερ τὸ ὁμοίωμα, πῇ μὲν ἔοικε τῷ ἀρχετύπῳ, πῇ δὲ ἀπέοικεν· οὕτω καὶ ἡ προςληφθεῖσα δεσποτικὴ σὰρξ κατὰ μὲν τὴν φύσιν ἴση ἦν τῇ ἀνθρωπίνῃ σαρκί, κατὰ δὲ τὴν ἁμαρτίαν οὐκ ἴση· ἀναμάρτητος γάρ· ἐπεὶ καὶ παρὰ φύσιν ἡ ἁμαρτία. Ἀπὸ δὲ τῆς σαρκὸς καὶ ἡ ψυχὴ νοεῖται, ὡς ἀπὸ μέρους τὸ πᾶν.

3. Καὶ περὶ ἁμαρτίας,

Καὶ ἕνεκα τῆς ἁμαρτίας, ὥςτε ἐξᾶραι αὐτήν, ὥςτε ἀφανίσαι.

3. Κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί·

«Ἐν τῇ σαρκί», τῇ πολλὰ τυραννηθείσῃ πρότερον, τῇ ἀπειράκις καταβληθείσῃ, ἐνίκησε τὴν ἁμαρτίαν· ἡ γὰρ δεσποτικὴ σὰρξ τῷ μὲν ἁμαρτάνειν οὐκ ἐνικήθη, τῷ δὲ ἀποθανεῖν καὶ ἐνίκησε, καὶ κατέκρινε τὴν ἁμαρτίαν, ὡς ἀδικήσασαν. Ἕως μὲν γὰρ ἁμαρτωλοὺς ἐλάμβανε, δικαίως ἀνῄρει. Ἐπεὶ δὲ ἀναμάρτητον σῶμα τῷ θανάτῳ παρέδωκεν, ὡς ἀδικήσασα κατεκρίθη καὶ ἐξελύθη, φοβερᾶς αὐτῇ λοιπὸν γενομένης τῆς προτέρας εὐκαταφρονήτου σαρκός. Ὁ δὲ Χρυσόστομος(α) τὸ «καὶ περὶ ἁμαρτίας» τῷ «κατεδίκασε τὴν ἁμαρτίαν» συντάττει, λέγων, ὅτι καὶ ὡς ἁμαρτήσασαν κατέκρινε τὴν ἁμαρτίαν, οὐ μὴν ὡς ἰσχυρὸς καὶ ἐξουσιάζων.

4. Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν,

(α) Ἐν λ. Τόμ. Θ', Ὁμιλ. ιγ', σελ. 514.

Τί ἐστι «τὸ δικαίωμα»; Ὁ σκοπός, τὸ σπούδασμα· σκοπὸς γὰρ ἦν αὐτῷ ἀναμάρτητον ποιῆσαι τὸν ἄνθρωπον. Τούτου δὲ μὴ ἰσχύσαντος, ἐπληρώθη ἐν ἡμῖν διὰ Χριστοῦ ὃ ἐκεῖνος ἐσπούδαζεν.

4. Τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Εἶπε ταῦτα καὶ μικρὸν ἀνωτέρω καὶ ἡρμηνεύθησαν ἐκεῖ (α).

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος.

Οἱ μὲν τῇ σαρκὶ τὸ πᾶν ἐπιτρέποντες δουλεύουσιν αὐτῇ, καὶ πληροῦσι τὰς ἐπιθυμίας αὐτῆς, οἱ δὲ τῷ πνεύματι, πάλιν ἀκολούθως.

6. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος·

Οὐκ εἶπεν «ἡ τῆς σαρκὸς φύσις», ἀλλὰ «τὸ φρόνημα τῆς σαρκός»· Τοῦτο δὲ εἶπεν, οὐ λογισμὸν ἴδιον τῇ σαρκὶ διδούς, ἀλλὰ τὴν παχυτέραν καὶ ὑλικωτέραν διάνοιαν τοῦ ἀνθρώπου φρόνημα τῆς σαρκὸς ὀνομάζων· ὥςπερ δὲ καὶ φρόνημα τοῦ πνεύματος τὴν ἀϋλωτέραν καὶ πνευματικὴν διάνοιαν. «Θάνατος» δὲ ψυχικός.

6. Τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη.

Ζωὴ πνευματικὴ καὶ εἰρήνη πρὸς τὸν Θεόν. Διὸ καὶ ἐπήγαγε·

7. Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται·

Τῷ θελήματι τοῦ Θεοῦ.

7. Οὐδὲ γὰρ δύναται.

Οὐ δύναται, ἕως ἂν μένῃ οἷόν ἐστιν. Ἡ πονηρὰ γὰρ καὶ γνώμη καὶ πρᾶξις οὐ δύναται εἶναι ἀγαθή, ἕως ἐστὶ πονηρά. Μεταβαλλομένη δέ, δύναται πάντως. Ὥςπερ δὲ οἱ σπουδάζοντες πείθουσι τὴν σάρκα καὶ ποιοῦσι ταύτην πνευματικήν, ὑποταττομένην τῷ τῇ ψυχῇ ἐνοικοῦντι θείῳ πνεύματι, τῷ δεδωρημένῳ διὰ τοῦ βαπτίσματος· οὕτως οἱ ῥᾳθυμοῦντες ποιοῦσι τοὐναντίον τὴν ψυχὴν σαρκικήν, ὑποταττομένην τῇ σαρκὶ καὶ συμφωνοῦσαν αὐτῇ.

(α) Ἐν στίχ. 1 τοῦ παρόντος κεφ.

8. Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται.

Οὐχ ἁπλῶς ἐκδέχεσθαι χρὴ τὰ λεγόμενα· σάρκα γὰρ ἐνταῦθα λέγει οὐ τὴν οὐσίαν τῆς σαρκός, ἀλλὰ τὸν σαρκικὸν βίον καὶ κοσμικόν, τὸν οὐδὲν ἔχοντα πνευματικόν. Εἴρηται γὰρ ὅτι οἱ μὴ προσέχοντες, τὴν ψυχὴν σάρκα ποιοῦσιν, οὐ τὴν οὐσίαν αὐτῆς μεταβάλλοντες, ἀλλὰ τὴν εὐγένειαν αὐτῆς ἀπολλύντες. Τὸ δὲ «οὐ δύνανται» ὡς μικρὸν ἀνωτέρω παραδεδώκαμεν.

9. Ὑμεῖς δὲ οὐκ ἐστε ἐν σαρκί, ἀλλ' ἐν πνεύματι,

Τὸ «ἐν σαρκὶ» ἢ ὡς προείρηται νοητέον· ἢ ἐν σαρκὶ εὐχειρώτῳ τῇ ἁμαρτίᾳ, ὥσπερ πρὸ Χριστοῦ. Ἀλλ' ἐν πνευματικῇ σαρκί, Πνεύματος ἁγίου μετεχούσῃ· ἢ ἐν πνευματικῷ βίῳ.

9. Εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.

Δεδωρημένον, ὡς εἴρηται· ὅπερ καὶ τὴν σάρκα πνευματικὴν ποιεῖ τοῖς προσέχουσιν, οὐ τὴν φύσιν αὐτῆς ἀλλοιοῦν, ἀλλὰ κουφοτέραν ἐργαζόμενον, καὶ συμπτεροῦν αὐτὴν τῇ ψυχῇ· μεταδίδωσι γὰρ καὶ αὐτῇ τῆς οἰκείας ἐνεργείας, ὥσπερ τῷ σιδήρῳ τὸ πῦρ. Ὁ τοίνυν τὴν σάρκα διαβάλλων (διότι τῷ ὀνόματι αὐτῆς ὁ πονηρὸς ὑποδηλοῦται βίος), διαβάλλει καὶ τὴν ψυχήν. Ψυχικοὶ γὰρ καὶ οἱ ἐν πλάνῃ ἐκλήθησαν ὑπὸ τοῦ Ἀποστόλου (α). Καὶ τὸν κόσμον δὲ πάλιν (β)· κόσμος γὰρ ὠνόμασται καὶ ἡ πονηρία. Ἀλλ' οὐχ ἁπλῶς ταῖς λέξεσι χρὴ προσέχειν, ἀλλὰ καὶ τῇ διανοίᾳ τοῦ λέγοντος. Τὸ δὲ «εἴπερ» τοῦτο πολλαχοῦ τίθησιν οὐκ ἀμφιβάλλων, ἀλλὰ καὶ σφόδρα πιστεύων, καὶ ἀντὶ τοῦ «ἐπείπερ».

9. Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ,

Οὐκ εἶπεν «εἰ δὲ οὐκ ἔχετε» ἵνα μὴ λυπήσῃ. «Πνεῦμα δὲ Χρι-» στοῦ» τὸ Πνεῦμα τὸ ἅγιον εἴρηκε, τὴν οἰκείωσιν αὐτῶν ἐμφαίνων.

10. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην.

Ὁ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἔχων ἔχει καὶ τὸν Χριστόν. Ἀχώρι-

(α) Α' Κορινθ. 6', 14. — (β) Ἐξυπακρύεται τὸ «διαβάλλει».

στος γὰρ ἡ παναγία Τριάς. Εἰ δὲ διὰ τοῦ Πνεύματος ὁ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα ὑμῶν νεκρὸν ἔσται, ὅσον εἰς ἁμαρτίαν (τοῦτο γὰρ δηλοῖ τὸ «δι' ἁμαρτίαν»)· τὸ δὲ χάρισμα τοῦ ἁγίου Πνεύματος, τὸ ἐν ὑμῖν, ζωή, ζωοῦν πνευματικῶς καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. Ἁμαρτίας γὰρ οὐκ οὔσης, οὐδὲ θάνατος ἔσται. Θανάτου δὲ μὴ ὄντος, ζωὴ ἔσται ἀκατάλυτος.

11. Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν,

Ὅπερ εἶπε «Πνεῦμα τοῦ Χριστοῦ» τοῦτο λέγει πάλιν πνεῦμα τοῦ Πατρός. Ὅρα πῶς περὶ ἀναστάσεως πάλιν κινεῖ λόγον, καὶ πιστοῦται ταύτην ἀπὸ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Ὁ ἐγείρας γάρ, φησί, τὸν Κύριον ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν. Προσέθηκε δὲ καὶ τὴν αἰτίαν τῆς τοσαύτης ἐνεργείας.

11. Διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν.

Ὥστε οἱ ἀπολλύντες τοῦ Πνεύματος τὴν χάριν οὐ ζωοποιηθήσονται, ἀλλ' ἀναστήσονται εἰς κόλασιν· ζωὴ γὰρ κυρίως ἡ τῶν αἰωνίων ἀγαθῶν ἀπόλαυσις.

12. Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν.

Πανταχοῦ κατασκευάζει, ὅτι τὰ μὲν παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς γεγενημένα οὐκ ὀφειλῆς ἦσαν, ἀλλὰ χάριτος. Τὰ δὲ μετὰ ταῦτα παρ' ἡμῶν γινόμενα οὐ χάριτος, ἀλλ' ὀφειλῆς. Ὀφειλέται, φησίν, ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ σαρκικῶς ζῆν καὶ φιληδόνως καὶ ὡς ἡ σὰρξ βούλεται· πέρα δηλονότι τῶν ἀναγκαίων καὶ ὑπὲρ τὴν χρείαν. Ἀλλὰ τίνι ἐσμὲν ὀφειλέται; Τῷ πνεύματι, δηλονότι τοῦ πνευματικῶς καὶ φιλοθέως ζῆν· τοῦτο γὰρ συνεξήκουσται· τῇ σαρκὶ γὰρ τὸ πνεῦμα ἀντίκειται.

13. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε πάλιν (*) ἀποθνήσκειν·

Ἀποθνήσκοντες σωματικῶς, ἀποθανεῖσθε καὶ ψυχικῶς θάνατον τὸν ἀθάνατον, ὅς ἐστιν ἡ αἰώνιος κόλασις.

(*) Τὸ «πάλιν» ἰδιάζουσά ἐστιν, ὡς ἔοικε, μόνῳ τῷ ἡμετέρῳ χειρογράφῳ γραφή, ἐν οὐδενὶ τῶν γνωστῶν ἡμῖν ἀντιγράφων κειμένη.

13. Εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

Ὁρᾷς, ὅτι οὐ τὴν φύσιν τοῦ σώματος κελεύει θανατοῦν, ἀλλὰ τὰς πράξεις αὐτοῦ τὰς φαύλας; Εἰ διὰ τοῦ πνεύματος αὐτὰς θανατοῦτε, ζήσεσθε ἐνταῦθα μὲν πνευματικῶς, ἐκεῖ δὲ αἰωνίως. Εἶτα καὶ ἑτέραν τίθησιν εὐεργεσίαν τοῦ Πνεύματος·

14. Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

Οὐκ εἶπεν «ὅσοι Πνεῦμα ἔλαβον, ἀλλ' ὅσοι Πνεύματι Θεοῦ ἄγον-»ται» παρὰ πάντα τὸν βίον. Ὅσοι Πνεύματι Θεοῦ καὶ μετὰ τὸ βάπτισμα παιδαγωγοῦνται, κυβερνῶνται, ἡνιοχοῦνται. Ἐπεὶ δὲ καὶ Ἰουδαῖοι τῆς υἱϊκῆς ταύτης προσηγορίας ἦσαν ἠξιωμένοι, «υἱὸς γάρ, »φησί, πρωτότοκος Ἰσραήλ» (α), δείκνυσιν ὅσον τὸ μέσον ἐκείνων καὶ ἡμῶν.

15. Οὐ γὰρ ἐλάβετε πάλιν πνεῦμα δουλείας εἰς φόβον,

Πνεῦμα δουλείας τὸν μωσαϊκὸν ἐκάλεσε νόμον. «Πνεῦμα» μέν, ὡς πνεύματι Θεοῦ ὑπαγορευθέντα (καὶ ἀνωτέρω γὰρ πνευματικὸν αὐτὸν ὠνόμασε) (β)· «δουλείας» δέ, ὡς φόβον ἐμποιοῦντα διὰ τὸ παραυτίκα κολάζειν τοὺς ἁμαρτάνοντας. Διὸ καὶ προσέθηκε τὸ «εἰς »φόβον»· ἤγουν εἰς τὸ φόβῳ τιμωρίας ἀπέχεσθαι τοῦ κακοῦ, ὅπερ ἐστὶ δουλεία. Ἅπαξ, φησίν, ἐλευθερωθέντες τοῦ δουλεύειν τῷ νόμῳ, οὐκ ἐλάβετε πάλιν αὐτόν.

15. Ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας,

Ἦν μὲν ἀκόλουθον εἰπεῖν «πνεῦμα ἐλευθερίας». Ἀλλ' ὁ πολλῷ μεῖζον εἰπὼν ἐνέφηνε κἀκεῖνο. Ἰουδαῖοι, φησίν, εἰ καὶ υἱοὶ προσηγορεύθησαν, ἀλλ' ἐδούλευον· ὡς δούλοις γὰρ αὐτοῖς ὁ νόμος ἐκέχρητο, φοβῶν καὶ κολάζων. Ὑμεῖς δὲ ἐλάβετε χάρισμα υἱοθεσίας, υἱοθετῆσαν ὑμᾶς τῷ ἀναγεννήσαντι διὰ τοῦ βαπτίσματος Θεῷ. Οὐκέτι γὰρ παρὰ πόδα ἡ σωματικὴ κόλασις, οὐδὲ φόβος ταύτης, ἀλλὰ πόθος τοῦ μένειν ἐν τῇ υἱότητι, καὶ κατὰ προαίρεσιν ἡ ἀρετή. Διὸ καὶ πολ-

---

(α) Ἔξοδ. δ', 22. — (β) ζ', 14.

λάκις ὑπερβαίνουσι πολλοὶ τὰς εὐαγγελικὰς ἐντολάς, μειζόνων ὀρεγόμενοι στεφάνων.

15. Ἐν ᾧ κράζομεν, ἀββᾶ ὁ πατήρ.

Δι᾽ οὗ πνεύματος τῆς υἱοθεσίας κράζομεν πρὸς τὸν Θεόν, ἀββᾶ· τουτέστιν, ὁ πατήρ. Διὰ τούτου γὰρ τοῦ πνεύματος ἐμάθομεν καλεῖν Πατέρα τὸν Θεόν, καὶ τοῦτό ἐστιν αἴτιον τῆς τοιαύτης κλήσεως. Εἰ γὰρ καὶ Ἰουδαῖοι Πατέρα τὸν Θεὸν ἐκάλεσαν, ἀλλ᾽ οἴκοθεν καὶ οὐ παρὰ τοῦ Πνεύματος διδαχθέντες. Κἀκεῖνοι μέν ποτε, καὶ ὡς κτίστην, ἡμεῖς δὲ καὶ διὰ παντὸς Πατέρα καλοῦμεν αὐτὸν καὶ ὡς ἀναγεννήσαντα. Νοεῖται δὲ πνεῦμα υἱοθεσίας καὶ τὸ Εὐαγγέλιον. «Πνεῦμα» μέν, ὡς πνευματικὸν καὶ θεοδίδακτον· «υἱοθεσίας» δέ, ὡς υἱοθεσίας πρόξενον, δι᾽ οὗ μεμαθήκαμεν Πατέρα τὸν Θεὸν ὀνομάζειν. «Πάτερ » γάρ, φησίν, ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς» (α).

16. Αὐτὸ γὰρ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ.

Καὶ αὐτὸς δὲ ὁ Παράκλητος συμμαρτυρεῖ τῷ χαρίσματι τῆς υἱοθεσίας, τῷ δεδωρημένῳ ἡμῖν, ὅτι ἐσμὲν τέκνα Θεοῦ. Οὐ γὰρ τοῦ χαρίσματός ἐστιν ἡ φωνὴ αὕτη, ἀλλὰ τοῦ δόντος τὸ χάρισμα Παρακλήτου. Αὐτὸς γὰρ ἡμᾶς ἐδίδαξε διὰ τοῦ χαρίσματος οὕτω φθέγγεσθαι. Τοῦτο δὲ καὶ ἀλλαχοῦ λέγει ὅτι «ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα » τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον, ἀββᾶ ὁ Πατήρ» (β).

17. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ·

Ὅρα πῶς κατὰ μικρὸν αὔξει τὴν δωρεάν. Ἐπεὶ γὰρ οὐ πάντα τὰ τέκνα κληρονόμοι (εἴρηκε γὰρ καὶ περὶ τῶν Ἰουδαίων ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ «οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω») (γ), δείκνυσιν ὅτι ἡμεῖς καὶ τέκνα καὶ κληρονόμοι. Ἐπεὶ δὲ οὐ πάντες οἱ κληρονόμοι μεγάλοι εἰσὶ κληρονόμοι, δείκνυσιν ὅτι καὶ τοῦτο ἔχομεν, κληρονόμοι ὄντες Θεοῦ. Ἐπεὶ δὲ συμβαίνει κληρονόμους μὲν εἶναι μεγάλους, οὐ πάντοτε δὲ τῷ Μονογενεῖ συγκληρονόμους, δείκνυσι καὶ τοῦτο ἔχοντας, καὶ ἐφιλονίκησεν ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ Δεσπότου.

(α) Ματθ. ς', 9. — (β) Γαλάτ. δ', 6. — (γ) Ματθ. η', 12.

17. Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

Ἵνα μή, τὸ πᾶν τῆς χάριτος εἶναι νομίζοντες, ῥᾴθυμοι γινώμεθα, τοῦτο προςέθηκε· καὶ διδάσκων ὅτι δεῖ καὶ τῶν ἡμετέρων πόνων. Τὸ δὲ «εἴπερ» ἀντὶ τοῦ «ἐπείπερ»· διὰ τοῦτο, φησί, συμπάσχομεν τῷ Μονογενεῖ, ἵνα καὶ συνδοξασθῶμεν αὐτῷ. Ὁ γὰρ πρὸ τῶν πόνων τοσαῦτα δωρησάμενος, ὅταν ἴδῃ καὶ συμπάσχοντας, πῶς οὐκ ἀξιώσει μειζόνων; Ἵνα δὲ μάθωμεν ὅτι νικᾷ τοὺς ἡμετέρους πόνους ταῖς ἀντιδόσεσιν ὁ Θεὸς καὶ μὴ ἐπαιρώμεθα, καὶ ἵνα προτρέψῃ, ἐπήγαγεν·

ΙΒ' Ἐπανάληψις περὶ τῆς ἀποκειμένης τοῖς ἁγίοις δόξης.

18. Λογίζομαι γάρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Τὸ «λογίζομαι» ἀντὶ τοῦ λογισμῷ τῷ προςήκοντι χρώμενος πέπεισμαι. Εἰπὼν δὲ «τοῦ νῦν καιροῦ» τὸ πρόςκαιρον τῶν πόνων ἐνέφηνε, καὶ διὰ τούτου παραμυθούμενος. Τὸ δὲ ἐφεξῆς ὑπερβατόν ἐστιν «ὅτι πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς δόξαν», τῷ μὲν ὀνόματι τῆς δόξης τὴν ἄκραν ἀπόλαυσιν δηλῶν, διὰ δὲ τοῦ «ἀποκα-» λυφθῆναι» διδάσκων ὅτι πάλαι ἡτοίμασται, καὶ ἔστι μέν, καὶ μένει, κέκρυπται δέ. Σκόπει δὲ πῶς ὀπίσω μὲν τῶν παθῶν τὴν διόρθωσιν ἀπήτησε, λέγων «οὐκ ὀφείλετε κατὰ σάρκα ζῆν» (α). Ὅτε δὲ ἐγγὺς ἔστησε τοῦ Χριστοῦ καὶ ὕψωσε ταῖς ἐλπίσι, τότε λοιπὸν ἐξήγαγεν ἐπὶ τοὺς κινδύνους. Ἀξιόπιστον δὲ ποιῶν τὸν περὶ τῆς μελλούσης δόξης λόγον, βεβαιοῖ τοῦτον ἀπὸ τῆς κτίσεως λέγων·

19. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.

Ὃ λέγει, τοιοῦτόν ἐστιν· ὅτι αὐτὴ ἡ κτίσις σφόδρα προσδοκῶσα ἀπεκδέχεται τὴν τοιαύτην δόξαν τῶν δικαίων. «Ἀποκαραδοκίαν» μὲν ὀνομάσας τὴν σφοδρὰν προσδοκίαν, «ἀποκάλυψιν» δὲ τὴν μέλλουσαν ἀποκαλυφθῆναι δόξαν. Εἰ δὲ ἡ κτίσις ἡ ἄλογος ἐλπίζει αὐτήν, πολλῷ μᾶλλον ἡμεῖς, οἱ λόγῳ χρώμενοι. Ὥςτε δὲ καὶ ἐμφαντικώ-

(α) Ὅρ. ἀνωτ. στίχ. 12.

τερον γενέσθαι τὸν λόγον προςωποποιεῖ τὴν κτίσιν· ἤτοι τὸν κόσμον τοῦτον, ὅπερ καὶ οἱ Προφῆται ποιοῦσιν, ὅταν παραστῆσαι βούλωνται ἢ μέγα καλόν, ἢ μέγα κακόν· μέγα μὲν καλόν, ὡς ὅταν εἰςάγωσι ποταμοὺς κροτοῦντας χερσί (α), καὶ ὄρη σκιρτῶντα, καὶ βουνοὺς ἀλλομένους (β)· μέγα δὲ κακόν, ὡς ὅτε γράφουσιν ἄμπελον θρηνοῦσαν, καὶ τείχη κατάγοντα δάκρυα, καὶ τὰ τοῦ ναοῦ φατνώματα ὀλολύζοντα (γ). Τὴν ὑπερβολὴν γὰρ τοῦ καλοῦ ἢ τοῦ κακοῦ ἐνδείξασθαι θέλοντες εἰςάγουσι καὶ αὐτὰ τὰ ἄψυχα αἰσθανόμενα. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς σφοδρᾶς ἐλπίδος καὶ τῆς ὀρέξεως, ὅτι ἵνα καὶ αὐτὴ ἀπαλλαγῇ τῆς φθορᾶς.

20. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη,

Τῇ φθορᾷ ὑπέπεσε· ταύτην γὰρ λέγει νῦν ματαιότητα. Ἐπεὶ γὰρ διὰ τὸν ἄνθρωπον ὁ οὐρανὸς καὶ ἡ γῆ γεγόνασι, φθορᾷ δὲ ὁ ἄνθρωπος ὑπεβλήθη διὰ τὴν παρακοήν, φθορᾷ καὶ ταῦτα διὰ τὸν ἄνθρωπον ὑπεβλήθησαν. Τῆς μὲν γῆς κατάραν δεξαμένης καὶ ἀκάνθας καὶ τριβόλους φέρειν κελευσθείσης· τοῦ δὲ οὐρανοῦ παλαιουμένου· «κατ' ἀρχὰς γάρ, φησί, σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα »τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· »καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλί»ξεις αὐτοὺς καὶ ἀλλαγήσονται» (δ). Φθορὰν δὲ λέγει νῦν οὐ τὴν παντελῆ ἀπώλειαν· οὐδὲ γὰρ τὸ ἀνθρώπινον σῶμα φθειρόμενον ἀπολεῖται παντελῶς, ἀλλὰ τὴν τῆς γῆς μὲν κατάραν, τοῦ οὐρανοῦ δὲ παλαίωσιν.

20. Οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα,

«Οὐχ ἑκοῦσα» εἶπεν, οὐχ ἵνα γνώμην ἔχουσαν αὐτὴν ἀποφήνῃ, ἀλλ' ἵνα τηρήσῃ τε τὴν τροπολογίαν καὶ δείξῃ ὅτι ὑπὸ τοῦ Θεοῦ τοῦτο πέπονθεν, ὑποτάξαντος αὐτὴν τῇ φθορᾷ δι' ἐμέ. Καὶ μὴν ἄδικον ἕτερον ἀνθ' ἑτέρου ἐπηρεάζεσθαι. Ἀλλ' ἡ δι' ἐμὲ γενομένη κτίσις, εἰς ἐμὴν διόρθωσιν ταῦτα πάσχουσα, οὐκ ἂν ἀδικοῖτο. Ἄλλως τε περιττὸν κινεῖν τοῦ ἀδίκου καὶ δικαίου λόγον ἐπὶ τῶν ἀψύχων καὶ ἀναισθήτων.

(α) Ψαλμ. ϞΖ', 9.— (β) Αὐτόθ. ριγ', 4.— (γ) Ἀμὼς η', 3.— (δ) Ψαλμ. ρα', 26.

20. Ἐπ' ἐλπίδι·

Τοῦ ἐλευθερωθῆναι τῆς φθορᾶς δηλονότι. Διὸ καὶ ἐπήγαγεν·

21. Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς,

Ὅτε δηλαδὴ καὶ τὸ φθειρόμενον σῶμα τοῦ ἀνθρώπου ἀφθαρτισθείη. Τότε γὰρ οὐκέτι ἔσται φθαρτή.

21. Εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

Ἐλευθερωθήσεται, φησί, διὰ τὴν ἐλευθερίαν τὴν ἔνδοξον τῶν δικαίων. Ὥςπερ γὰρ διὰ τὸν ἄνθρωπον φθαρτὴ γέγονεν, οὕτω πάλιν διὰ τὸν ἄνθρωπον ἄφθαρτος γενήσεται. Καὶ ὥςπερ τῆς φθορᾶς συμμετέσχεν, οὕτω καὶ τῆς ἀφθαρσίας συναπολαύσεται. Καὶ καθάπερ πατήρ, τοῦ υἱοῦ δοξάζεσθαι μέλλοντος, καὶ τοὺς δούλους λαμπροτέραν ἐνδύει στολὴν εἰς δόξαν τοῦ παιδός, οὕτω καὶ ὁ Θεὸς τὴν κτίσιν ἀφθαρσίᾳ κοσμήσει εἰς δόξαν τῶν τέκνων αὐτοῦ.

22. Οἴδαμεν γὰρ ὅτι πᾶσα κτίσις (*) συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

Τοῦτο εἶπεν, οὐ στεναγμοῦ τινος ἀκούσας, ἀπὸ οὐρανοῦ καὶ γῆς φερομένου, ἀλλ' ἵνα τῶν μελλόντων ἀγαθῶν ἐνδείξηται τὴν ὑπερβολὴν καὶ τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν κατεχόντων κακῶν. «Πᾶσα, φησίν, ἡ κτίσις στενάζει» τῷ κατέχεσθαι τῇ φθορᾷ, καὶ σὺν ἡμῖν ὠδίνει καὶ ἐπιθυμεῖ ἀπαλλαγῆναι.

23. Οὐ μόνον δέ,

Οὐ μόνον δὲ ἡ κτίσις.

23. Ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν,

« Ἀπαρχὴν τοῦ πνεύματος » ὀνομάζει τὴν γνῶσιν τῶν μελλόντων ἀγαθῶν (α). « Ἀπαρχὴν » μὲν ὡς γεῦμα καὶ ἀρραβῶνα· «τοῦ πνεύ-

(*) Ἐν ἄλλ. «ἡ κτῆσις» ὡς καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει. — (α) Θεοφύλ. ἐν λ. «ἐξ ὧν γὰρ ἐλάβομεν πνευματικῶν χαρισμάτων (ταῦτα γὰρ ἡ ἀπαρχή), καὶ τὰ μέλλοντα » τεκμαιρόμεθα».

»ματος» δὲ ὡς τῶν πνευματικῶν καὶ θείων. Λέγει δὲ τὸ βάπτισμα καὶ τὴν ἀπαλλαγὴν τῶν ἁμαρτημάτων, καὶ τὴν δικαίωσιν, καὶ τὸν ἁγιασμόν, καὶ τὴν χάριν τοῦ πνεύματος, ἅπερ ἀπαρχή ἐστι τῶν μελλόντων. Εἰ δὲ ἡ ἀπαρχὴ τοσαύτη καὶ τοιαύτη, ἡλίκον καὶ ὁποῖον τὸ ὅλον; «Στενάζομεν» δέ, τοῦ ὅλου καὶ τῶν μειζόνων ἐρῶντες. Τοῦτο γὰρ ἐδήλωσε προςθείς·

23. Υἱοθεσίαν ἀπεκδεχόμενοι,

Καὶ μὴν υἱοθετήθημεν διὰ τοῦ βαπτίσματος. Ἀλλ' ἑτέραν λέγει τὴν ἀδιάπτωτον, ἣν αὐτὸς ἡρμήνευσεν εὐθύς·

23. Τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.

Τὴν ἀπὸ τῶν παθῶν καὶ τῆς φθορᾶς λύτρωσιν αὐτοῦ. Ἡ μὲν γὰρ ἐνταῦθα υἱοθεσία διαπίπτει πολλάκις· πολλοὶ γὰρ υἱοθετηθέντες γεγόνασι κύνες (α)· ἡ δὲ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ παλινζωίας αὕτη τελεία καὶ βεβαιοτάτη υἱοθεσία. Ἐπεὶ δὲ τῇ τῶν μελλόντων ἐνδιέτριψεν ὑποσχέσει, ἐδόκει δὲ τοῦτο λυπεῖν τὸν ἀσθενέστερον ἀκροατήν, εἴ γε ἐν ἐλπίσι τὰ ἀγαθά, φησί·

24. Τῇ γὰρ ἐλπίδι ἐσώθημεν·

Ἡ ἐλπὶς γέγονεν ἡμῖν ὁδὸς σωτηρίας. Καὶ τοῦτο μόνον ἡμεῖς εἰςηνέγκαμεν τὸ δῶρον, τὸ ἐλπίζειν εἰς Θεὸν καὶ πιστεύειν αὐτῷ, μυρία τὰ μέλλοντα ἐπαγγειλαμένῳ. Εἰ τοίνυν αὕτη σε ἔσωσε, καὶ δι' αὐτὴν τετύχηκας εὐεργεσιῶν, ταύτην κατάλαβε, καὶ οὐδὲ περὶ τῶν μελλόντων σε ψεύσεται.

24. Ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς·

Ἐλπίδος δὲ ἴδιον τὸ μὴ βλέπεσθαι κατά γε τὸ ἐλπιζόμενον πρᾶγμα.

24. Ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;

Τὸ «τί» ἀντὶ τοῦ «πῶς». Ἡ ἐλπὶς γὰρ μελλόντων ἐστὶ καὶ μήπω φαινομένων.

(α) Τοῦτο ἀναφέρεται πάντως πρὸς τοὺς αἱρετικοὺς Βογομίλους, οὓς καὶ ἐν ἄλλοις τῶν συγγραμμάτων αὐτοῦ ὁ Συγγραφεὺς κύνας ἀποκαλεῖ, ὡς ἀρνουμένους τὸ δόγμα τῆς τῶν νεκρῶν ἀναστάσεως. Ὅρα τὰ περὶ τούτου ἐν τοῖς Προλεγομένοις.

25. Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

Ἐπειδὴ ὃ οὐ βλέπομεν τοῦτο ἐλπίζομεν, χρή, ὑπομένοντας τὰ ἐπερχόμενα λυπηρά, ἀπεκδέχεσθαι τὰ ἐλπιζόμενα ἀγαθὰ καὶ μὴ πάντα ζητεῖν ἐνταῦθα.

26. Ὡςαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν·

Ἐπικουρεῖ ταῖς ἐν τοῖς πόνοις ἀσθενείαις ἡμῶν. Καὶ τὸ μὲν γίνεται σόν, τὸ τῆς ὑπομονῆς· τὸ δὲ τῆς τοῦ Πνεύματος χάριτος, τὸ ῥωννύειν πρὸς τὰ ἐλπιζόμενα. Δεῖξαι δὲ βουλόμενος ὅτι οὐ μόνον ἐν τοῖς πόνοις καὶ κινδύνοις παρέστηκεν ἡμῖν αὕτη ἡ χάρις, ἀλλὰ καὶ ἐν τοῖς δοκοῦσιν εὐκόλοις, οἷον ἐν τῇ εὐχῇ, ἐπήγαγεν·

26. Τὸ γὰρ τί προςευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν,

Αἰτοῦντες ἀσύμφορον πολλάκις. Καὶ γὰρ καὶ αὐτὸς ἀπαλλαγῆναι τοῦ δοθέντος αὐτῷ ἐν τῇ σαρκὶ σκόλοπος τρὶς τὸν Κύριον παρακαλέσας, οὐκ εἰςηκούσθη, ὡς τὸ μὴ συμφέρον ζητῶν (α). Καὶ ἄλλοι δὲ πολλοὶ τῶν μεγάλων ἔν τε τῇ Παλαιᾷ καὶ τῇ Καινῇ τῶν αἰτουμένων ἀπέτυχον, ὡς ἃ μὴ ἔδει προςευχόμενοι. Τοῦτο δὲ εἰπών, ἐπαίδευσε τοὺς ἀκροατὰς μὴ αἰτεῖσθαι τῶν φαινομένων δεινῶν ἀπαλλαγήν, μηδὲ ζητεῖν ἄνεσιν· ἀλυσιτελὴς γὰρ αὕτη τοῖς κατὰ Θεὸν ἀγωνιζομένοις.

26. Ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

Τοῖς ἐπὶ τῶν Ἀποστόλων καὶ τοῦ τότε καιροῦ βαπτιζομένοις διάφορα χαρίσματα ὁ Θεὸς ἐδίδου· τῷ μέν, προφητείας, καὶ προέλεγε τὰ μέλλοντα· τῷ δέ, σοφίας, καὶ ἐδίδασκε τοὺς πολλούς· τῷ δέ, ἰαμάτων, καὶ ἐθεράπευε τοὺς νοσοῦντας· τῷ δέ, δυνάμεων, καὶ ἤγειρε τοὺς νεκρούς· τῷ δέ, γλωσσῶν, καὶ ἐλάλει διαφόροις φωναῖς· ἃ δὴ καὶ πνεύματα ἐκαλοῦντο, ὡς χαρίσματα τοῦ ἁγίου Πνεύματος. Ἦν δὲ καὶ χάρισμα εὐχῆς, πνεῦμα καὶ αὐτὸ προςαγορευόμενον. Καὶ ἐπειδὴ πολλὰ τῶν συμφερόντων ἡμῖν ἀγνοοῦντες, αἰτοῦμεν τὰ μὴ συμφέ-

---

(α) Β' Κορινθ. ιβ', 7. 8. 9.

ροντα, ἤρχετο τὸ χάρισμα τῆς εὐχῆς ἐφ' ἕνα τῶν βαπτιζομένων. Καὶ λοιπὸν ἐν καιρῷ εὐχῆς ἵστατο μετὰ πολλῆς κατανύξεως, καὶ προςπίπτων τῷ Θεῷ μετὰ πολλῶν τῶν κατὰ διάνοιαν στεναγμῶν ᾔτει τὰ κοινῇ συμφέροντα· οὗ καὶ νῦν σύμβολον ὁ διάκονος, τὰς ὑπὲρ ἁπάντων ἀναφέρων εὐχάς. Τούτων οὕτω γινομένων, «πνεῦμα» λέγει νῦν αὐτὸ τὸ χάρισμα τῆς εὐχῆς, καὶ τὴν δεχομένην αὐτὸ ψυχήν. (Ἡ μὲν γὰρ ἐνήργει τὴν προσευχήν, τὸ δὲ συνήργει ὑποβάλλειν τὸ λέγειν τὰ δέοντα)· ὑπερέντευξις δέ (α), ἡ σύντονος καὶ θερμὴ παράκλησις κατ' ἐπίτασιν.

27. Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος,

Ὁ δὲ Παράκλητος, οὗ ἐστι τὸ χάρισμα, ὁ ἀκριβῶς εἰδὼς τὰ ἐγκάρδια καὶ κεκρυμμένα ἐνθυμήματα (τοῦτο γὰρ δηλοῖ ἐνταῦθα ἡ ἔρευνα), οἶδε τί ἐστι τὸ βούλημα τῆς τὸ χάρισμα δεξαμένης ψυχῆς· ἤγουν τοῦ διὰ τοῦ χαρίσματος προςευχομένου πνευματικοῦ ἀνδρός. Εἶτα λέγει καὶ τὸ φρόνημα·

27. Ὅτι κατὰ Θεὸν ἐντυγχάνει

Εὐαρέστως τῷ Θεῷ· ἵνα τε παιδεύσῃ τὸν λαὸν αἰτεῖν ἃ χρὴ καὶ ὡς χρή, καὶ ἵνα δείξῃ τὴν τοῦ ἁγίου Πνεύματος εἰς τοὺς ἀνθρώπους ἀγάπην, ἄχρι τούτου συγκαταβαίνοντος· διὸ καὶ ὡς θεοφιλῶς εὐχόμενος εἰςηκούετο.

27. Ὑπὲρ ἁγίων.

Διττόν ἐστι τὸ τῆς ἁγιότητος ὄνομα· τὸ μὲν ἀπὸ τῆς πίστεως, τὸ δὲ ἀπὸ τῆς ἁγνῆς πολιτείας. Ἡ νῦν «ἁγίους» λέγει τοὺς διὰ τῆς προςευχῆς ἁγιαζομένους.

28. Οἴδαμεν δέ, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν,

Τοῦτο εἶπεν ἀλείφων εἰς ὑπομονὴν τοὺς ἐν πειρασμοῖς καὶ κινδύνοις. «Πάντα» καὶ τὰ λυπηρὰ δηλονότι. «Συνεργεῖ δὲ εἰς τὸ ἀγαθόν»· ἤγουν εἰς ἀγαθὸν τέλος, εἰς εὐδοκίμησιν, εἰς τὸ διὰ τούτων λάμψαι,

(α) Ἐξυπακούεται τὸ «λέγεται».

αἴτια στεφάνων αὐτοῖς γινόμενα. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ δυνάμεως, τὸ τὰ ἐπαχθῆ κοῦφα ποιεῖν ἡμῖν καὶ εἰς τὴν ὑπὲρ ἡμῶν βοήθειαν τρέπειν. Ὥςπερ δὲ τοὺς ἀγαπῶντας τὸν Θεὸν καὶ τὰ δοκοῦντα βλαβερὰ ὠφελεῖ, οὕτω τοὺς μὴ ἀγαπῶντας καὶ τὰ ὠφέλιμα βλάπτει. Τοὺς Ἰουδαίους γὰρ καὶ ἡ τῶν τοῦ Χριστοῦ σημείων ἐπίδειξις, καὶ ἡ τῆς διδασκαλίας φιλοσοφία ἔβλαψεν. Καὶ δι' ἐκεῖνα μὲν δαιμονῶντα αὐτὸν ἐκάλουν (α), διὰ δὲ ταύτην ἀντίθεον (β). Ἑρμηνεύσας δὲ τίνες οἱ ἀγαπῶντες τὸν Θεόν, ἐπήγαγε·

28. Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

Τοῖς κατὰ προαίρεσιν γενομένοις κλητοῖς. Πάντες μὲν ἐκλήθησαν εἰς τὴν πίστιν, οὐ πάντες δὲ ἦλθον· διὸ οὐδὲ ἐγένοντο κλητοί. Οὐκ ἀνάγκη γὰρ ἕλκει τοὺς κληθέντας, ἀλλὰ προαίρεσις.

29. Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ,

Διότι, φησίν, οὓς ὁ Θεὸς καὶ Πατὴρ προέγνω κλητοὺς κατὰ πρόθεσιν· ἤγουν ὑπακούσοντας ἐκ ψυχῆς, τούτους καὶ προώρισε, καὶ ἐτύπωσε συμμόρφους, καὶ δι' ὁμοιώσεως ἀδελφοὺς τοῦ προςλήμματος τοῦ Υἱοῦ αὐτοῦ· τουτέστι κοινωνοὺς τῆς κατὰ τὸ πρόςλημμα ἀνεπιλήπτου πολιτείας αὐτοῦ. Ὁμοιόμορφοι γὰρ οἱ ἀδελφοὶ ὡς ἐπὶ τὸ πλεῖστον. «Εἰκόνα» δὲ τὸ πρόςλημμα εἶπεν, ὡς ὁμοίωμα τοῦ ἀρχετύπου Ἀδάμ.

29. Εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.

Μονογενὴς μέντοι ἐστὶν Υἱός, ὡς Θεός· πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς, ὡς ἄνθρωπος· αὐτὸς γὰρ κατήρξατο τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως καὶ υἱοθεσίας, πρῶτος ἐν τῷ Ἰορδάνῃ δι' ὕδατος καὶ Πνεύματος βαπτισθείς, καὶ πρωτότοκος οὕτω γεγονὼς ἐν πολλοῖς ἀδελφοῖς αὐτοῦ, τοῖς ὁμοίως αὐτῷ διὰ τοῦ τοιούτου βαπτίσματος ἀναγεννωμένοις καὶ υἱοθετουμένοις Θεῷ, οἷς ἔδωκεν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι κατὰ τὸν Εὐαγγελιστήν (γ). Εἶδες τιμῆς ὄγκον; ὅπερ γὰρ ὁ Υἱὸς ἦν κατὰ φύσιν, τοῦτο καὶ αὐτοὶ γεγόνασι κατὰ χάριν. Μὴ τοίνυν ἀμφίβαλλε περὶ τῶν μελλόντων.

(α) Μάρκ. γ', 22. — (β) Ἰωάνν. θ', 16. — (γ) Ἰωάνν. α', 12.

30. Οὓς δὲ προώρισε τούτους καὶ ἐκάλεσεν

Καὶ μὴν πάντας ἐκάλεσεν εἰπὼν «δεῦτε πρός με πάντες οἱ κο» πιῶντες καὶ πεφορτισμένοι» καὶ τὰ ἑξῆς (α). Ἀλλ' ἐπεὶ ἐν τῇ εὐαγγελικῇ παραβολῇ τῶν κεκλημένων εἰς τοὺς γάμους δύο ἀναγράφονται κλήσεις, πρώτη καὶ δευτέρα· καὶ οἱ μὲν τῆς πρώτης παρῃτήσαντο, οἱ δὲ τῆς δευτέρας ἦλθον· κληθέντας λέγει νῦν τοὺς τῆς δευτέρας κλήσεως. Ἐκάλεσε μὲν γὰρ ὁ Θεὸς καὶ τοὺς ἀπιστήσαντας, καί τοι εἰδὼς ὅτι οὐ πεισθήσονται, ἀλλ' ἵνα μὴ προφασίσωνται ἐν καιρῷ κρίσεως ὅτι οὐκ ἐκλήθησαν. Ἤδει δὲ τοὺς πιστεύοντας, οὓς προώρισε καὶ ἐκάλεσεν.

30. Καὶ οὓς ἐκάλεσε τούτους καὶ ἐδικαίωσεν·

Δικαίους ἐποίησεν, ἐλευθερώσας τῶν ἁμαρτιῶν διὰ τῆς καθάρσεως τοῦ βαπτίσματος.

30. Οὓς δὲ ἐδικαίωσε τούτους καὶ ἐδόξασε.

Ἐδόξασε διὰ τῆς υἱοθεσίας καὶ τῶν χαρισμάτων τοῦ Πνεύματος.

31. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα;

Πρὸς τὰ ἤδη δεδωρημένα ἡμῖν. Εἰ γὰρ καὶ ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς ἀμφιβάλλεις, ἀλλά γε τούτοις οὐκ ἀπιστεῖς, αὐτὸς σὺ τούτων τετύχηκας. Ἐπεὶ δ' εἰκός τινας αὐτῶν θορυβεῖσθαι καὶ λέγειν ὅτι καθ' ἡμῶν γεγόνασι καὶ βασιλεῖς καὶ ἡγεμόνες καὶ δῆμοι καὶ συγγενεῖς καὶ πολῖται, παραθαρρύνει τούτους λέγων·

31. Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

Οὐδεὶς πάντως. Τίς γὰρ ἀντιστήσεται τῷ κράτει τῆς ἰσχύος αὐτοῦ, τρέποντος τοὺς καθ' ἡμῶν πειρασμοὺς ὑπὲρ ἡμῶν, καὶ ἀποχρωμένου τούτοις εἰς τὴν ἡμετέραν εὐδοκίμησιν καὶ δόξαν;

32. Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

(α) Ματθ. ια', 28.

Μεθ' ὑπερβολῆς καὶ πολλῆς θερμότητος ταῖς λέξεσι κέχρηται, ἵν' ἐνδείξηται τὴν πολλὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπην, καὶ ἵνα πιστώσηται τὴν ἐλπίδα τῶν μελλόντων. Ὁ μὲν οὖν Θεὸς παρέδωκε τὸν Υἱὸν αὐτοῦ εὐεργετικῶς, ἵνα ὁ θάνατος αὐτοῦ εὐεργετήσῃ πάντας ἡμᾶς, ὁ δὲ Ἰούδας παρέδωκεν αὐτὸν ἐπιβουλευτικῶς. Διάφοροι οὖν τῆς παραδόσεως οἱ τρόποι. Ὁ τὸν ἴδιον, φησίν, Υἱὸν ὑπὲρ σωτηρίας ἡμῶν ἐκδοὺς εἰς θάνατον, καὶ μὴ ἀντιποιησάμενος αὐτοῦ (τοῦτο γὰρ δηλοῖ τὸ «μὴ φεισάμενος»), πῶς οὐχὶ καὶ συγκληρονόμους ἡμᾶς αὐτοῦ ποιήσει; Καὶ ὁ ἐχθροῖς ἡμῖν οὖσι τὸ μεῖζον δούς, πῶς οὐχὶ δώσει καὶ τὸ ἔλαττον, φίλοις γενομένοις; Ἀλλαχοῦ δέ φησιν ὅτι ὁ Υἱὸς παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν (α), ἵνα γνῷς ὅτι ἀμφοτέροις ἓν τὸ θέλημα. Ἐπεὶ δὲ πολλοὶ τῶν ἀπίστων ἐνεκάλουν τοῖς πιστεύουσιν, ἤγουν ἐμέμφοντο, ὡς ἀπατωμένοις ἐπὶ τῇ ἐλευθερίᾳ τῶν ἁμαρτημάτων (πῶς γὰρ ἔνι τὸν ὑπεύθυνον δικαιωθῆναι δωρεάν;), φησίν·

33. Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ;

Ἡ γὰρ ἐκλογὴ καὶ τότε, ἡ τοῦ Θεοῦ, σημεῖον τῆς ἀρετῆς τῶν ἐκλεγέντων. Ἐπίστευσαν γὰρ αὐτῷ, καὶ κληθέντες ὑπήκουσαν· διὸ καὶ δωρεὰν πολλῶν εὐεργεσιῶν ἔτυχον.

33. Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων;

Συντόμως ἐπεστόμισε τούτους ἀπὸ τοῦ ἀξιώματος τοῦ ἐκλεξαμένου· ὃν γάρ, φησίν, ὁ Θεὸς δικαιοῖ, τίς κατακρίνει; μόνος γὰρ δίκαιος κριτὴς ὁ Θεός.

34. Χριστὸς ὁ ἀποθανών,

Χριστός ἐστιν ὁ ἀποθανὼν ὑπὲρ ἡμῶν, δι' οὗ καὶ ἐδικαιώθημεν· ὁ Χριστὸς αὐτός, καὶ οὐχ ἕτερος. Λοιπὸν οὖν οὐ χρὴ διαπιστεῖν.

34. Μᾶλλον δὲ καὶ ἐγερθείς,

Ὁ ἀποθανὼν μέν, ὡς ἄνθρωπος, ἐγείρας δὲ ἑαυτόν, ὡς Θεός.

34. Ὅς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ,

Ἐπὶ τοῦ θρόνου καὶ τῆς τιμῆς τῆς πατρικῆς καὶ τῆς ἐξουσίας καὶ βασιλείας.

(α) Ἐφεσ. ε', 2.

34. Ὅς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

Παρακαλεῖ τὸν Πατέρα ὑπὲρ ἡμῶν, ὡς ἄνθρωπος, οἷα συγγενὴς ἡμῶν γενέσθαι καταξιώσας. Εἰ δὲ καὶ ὡς Θεὸν ἐντυγχάνειν τῷ Πατρὶ φήσαιμεν, τὸ «ἐντυγχάνειν» δι' οὐδὲν ἕτερον παρειλῆφθαι λέγομεν, ἢ ἵνα μόνον ἐπιδείξηται τὸ θερμὸν καὶ ἀκμάζον τῆς πρὸς ἡμᾶς ἀγάπης τοῦ Χριστοῦ. Ἐπεὶ δὲ τὸ «οὐκ ἐφείσατο» ἐὰν μὴ τῆς πρὸς ἡμᾶς ἀγάπης τοῦ Πατρὸς ἐμφαντικὸν νοήσωμεν, καὶ μόνον, πολλὰ τὰ ἄτοπα ἕψεται. Καὶ ἀλλαχοῦ δὲ παρὰ τῷ Ἀποστόλῳ φαίνεται ὁ Πατὴρ παρακαλῶν τοὺς ἀνθρώπους καταλλαγῆναι αὐτῷ· «ὡς τοῦ » Θεοῦ γάρ, φησί, παρακαλοῦντος δι' ἡμῶν» (α). Ἓν τοίνυν καὶ μόνον ἐκ τῶν εἰρημένων συλλέγομεν, τὴν τῆς ἀγάπης καὶ κηδεμονίας ἐπίτασιν· διὸ καὶ ὥςπερ ἔνθους γενόμενος ὑπὸ ταύτης, φησίν·

ΙΓ' Περὶ τῆς ὀφειλομένης ἀγάπης τῷ Χριστῷ.

35. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;

Οὐκ εἶπε τοῦ Θεοῦ, ἀλλὰ «τοῦ Χριστοῦ». Διὸ καὶ διάφορον ἐνόμισε Θεὸν εἰπεῖν καὶ Χριστόν. «Ἡμᾶς», φησί, τοὺς οὕτως ἀγαπηθέντας καὶ τηλικαῦτα εὐεργετηθέντας. Τίς; Οὐδεὶς δηλονότι.

35. Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

Οὐκ εἶπε ταῦτα οἷς καθ' ἡμέραν ἁλισκόμεθα, χρημάτων ἔρωτα καὶ δόξης ἐπιθυμίαν καὶ ἡδονῆς τυραννίδα· ἀλλὰ τὰ πολλῷ τούτων τυραννικώτερα καὶ βεβαιότερα (β). Θλῖψιν μὲν λέγει τὴν ἐξ οἱουδήτινος πειρασμοῦ ταλαιπωρίαν. Στενοχωρίαν δὲ τὴν βίαν. Κίνδυνον δέ, τὴν ἐκ ναυαγίου ἢ ἐξ ἐπιβουλῆς. Ταῦτα γὰρ πάντα ἀπειλούμενα ἢ ἐπερχόμενα διὰ τὸν Χριστόν, οὐ διαστήσουσιν ἡμᾶς τῆς ἀγάπης τῆς εἰς αὐτόν. Εἶτα ἵνα μὴ δόξῃ ταῦτα ἐγκαταλείψεως εἶναι, ἐπάγει τὸν προφήτην Δαυῒδ προαναφωνοῦντα ταῦτα·

36. Καθὼς γέγραπται «ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν »ἡμέραν»·

(α) Β' Κορινθ. ε', 20. — (β) Γραπτέον ἴσως «βιαιότερα».

Ὅτι διὰ τὴν ἀγάπην σου ἀποθνήσκομεν ἀεί· τοῦτο γὰρ δηλοῖ τὸ «ὅλην τὴν ἡμέραν». Εἰ γὰρ καὶ εἷς ἐστιν ὁ φυσικὸς θάνατος, ἀλλά γε κατὰ προαίρεσιν διηνεκῶς ἀποθνήσκομεν.

36. «Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς» (α)·

Πᾶσιν εἰς τὸ θανατοῦν ἐκκείμενοι, καὶ μὴ ἀνθιστάμενοι τοῖς σφάζειν βουλομένοις, ὥςπερ οὐδὲ τὰ πρόβατα.

37. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν,

Διανίστησι τὸν ἀκροατὴν καὶ ὑψηλότερον τῶν πειρασμῶν ἀπεργάζεται. Οὐχ ἁπλῶς γάρ, φησί, νικῶμεν, ἀλλ' «ὑπερνικῶμεν»· τουτέστιν ὑπερβολικῶς νικῶμεν, ὑπερφυῶς ἱστῶμεν τὰ τρόπαια. Τὴν γνώμην γὰρ μόνον παρασκευάζοντες, παραδόξως νικῶμεν. Καὶ μαστιζόμενοι γὰρ τῶν μαστιζόντων περιγινόμεθα· καὶ ἀποθνήσκοντες τῶν ἀναιρούντων.

37. Διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

Συνεργοῦντος ἡμῖν καὶ συμμαχοῦντος Χριστοῦ, οὗ ἡ δύναμις ἄφατος καὶ ἄμαχος. Ὅρα οὖν τοὺς Ἰουδαίους ἐν μέσῳ αὐτοὺς ἔχοντας, καὶ ἀποροῦντας καὶ λέγοντας· «Τί ποιήσομεν τοῖς ἀνθρώποις τού» τοις;» (β). Ὅσα γὰρ κατ' αὐτῶν ἐμηχανῶντο, πάντα ὑπὲρ αὐτῶν ἑώρων γινόμενα. Ἀντεπιδείξασθαι δὲ τὴν ὑπερβολὴν τῆς εἰς τὸν Θεὸν ἀγάπης βουλόμενος, ἐπήγαγε·

38. Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ,

Οὔτε θάνατος ἀπειλούμενος, οὔτε ζωὴ ἐπαγγελλομένη, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε, συλλήβδην εἰπεῖν, δυνάμεις αἱ οὐράνιαι, καὶ πᾶσα ἡ ἄνω κτίσις, εἴπερ ἠνάγκαζον ἡμᾶς ἀποστῆναι τοῦ Θεοῦ. Τοῦτο δὲ τὸ περὶ τῶν ἄνω δυνάμεων εἶπεν εἰς ἔμφασιν μόνον τοῦ ζέοντος φίλτρου. Ναὶ μὴν οὔτε τὰ παρόντα ἀγαθὰ πάντα, ἐπαγγελλόμενα, οὔτε τὰ μέλλοντα πάντα. Ἢ καὶ ἄλλως· οὔτε τὰ παρόντα δεινὰ πάντα, ἀπειλούμενα, οὔτε τὰ μέλλοντα πάντα. Καὶ «ὕψωμα» μὲν

(α) Ψαλμ. μδ', 22. — (β) Πράξ. δ', 16.

εἴρηκε τὸ ὑπερουράνιον· βάθος δὲ τὸ ὑποχθόνιον. Εἶτα, ὡς οὐκ ἀρκοῦντα ταῦτα παραστῆσαι τὸν πόθον, ὃν εἶχε, προςέθηκεν, ὅτι «οὔτε τις κτίσις ἑτέρα» εἰ προςτεθείη τοῖς εἰρημένοις, ἐπίγειος καὶ οὐράνιος.

39. Τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Τῆς ἀγάπης τοῦ Θεοῦ καὶ Πατρός, τῆς διὰ τοῦ Χριστοῦ γενομένης ἡμῖν. Ὅ τε γὰρ Υἱὸς τοσοῦτον ἠγάπησεν ἡμᾶς, ὥςτε δι' ἡμᾶς ἀπέθανεν· ὅ τε Πατὴρ τοσοῦτον αὖθις, ὥςτε καὶ τὸν Υἱὸν ἐκδοῦναι εἰς θάνατον. Εἶτα ἐπισπάσασθαι καὶ τοὺς μήπω πεπιστευκότας Ἰουδαίους βουλόμενος, φησίν·

ΚΕΦΑΛΑΙΟΝ ΕΝΑΤΟΝ

ΙΔ' Περὶ ἐκπτώσεως Ἰσραήλ, τοῦ ἀποβληθέντος, καὶ κλήσεως τοῦ ἀληθοῦς, τοῦ ἐκλεχθέντος μετὰ ἐθνῶν.

1. Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι,

Τουτέστι τοῦ Χριστοῦ μὴ συγχωροῦντός μοι ψεύσασθαι.

1. Συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου,

«Συμμαρτυρούσης μοι» ὅτι ἀλήθειαν λέγω.

1. Ἐν Πνεύματι ἁγίῳ,

Ἐνώπιον τοῦ ἁγίου Πνεύματος· ὥςτε καὶ διὰ τοῦτο μὴ ψεύσασθαι.

2. Ὅτι λύπη μοί ἐστι μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου.

Διὰ τὴν ἀποβολὴν τῶν Ἰουδαίων. Διὸ καὶ ἐπήγαγεν·

3. Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵ-
4. τινές εἰσιν Ἰσραηλῖται,

«Ἀνάθεμα» ἀντὶ τοῦ «κεχωρισμένος», ἐκ μεταφορᾶς τῶν ἀνατι-

θεμένων τῷ Θεῷ κειμηλίων, ἃ κεχώρισται τῶν κοινῶν. Ἄλλο τοίνυν «ἀνάθεμα» Θεοῦ, ὃ καὶ ἀνάθημα καλεῖται· καὶ ἄλλο «ἀνάθεμα» ἀπὸ Θεοῦ. Τὸ μὲν γὰρ κεχώρισται τῶν κοινῶν, ὡς τίμιον. Τὸ δὲ κεχώρισται ἀπὸ τοῦ Θεοῦ, ὡς ἄτιμον. «Ηὐχόμην, φησίν, αὐτὸς ἐγὼ», ὃν οὐδὲν χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, κεχωρισμένος εἶναι ἀπὸ τοῦ Χριστοῦ ἕνεκεν τῶν ἀδελφῶν μου· ἤγουν τῶν κατὰ σάρκα συγγενῶν μου, οὐ μὴν κατὰ πίστιν. Ὥςτε, ἐμοῦ ἀποβληθέντος, αὐτοὺς προςληφθῆναι(α). Ἐμιμεῖτο γὰρ Μωϋσῆν ὑπεραλγοῦντα τῶν συγγενῶν καὶ λέγοντα πρὸς τὸν Θεὸν «Εἰ μὲν ἀφεῖς αὐτοῖς ἄφες· εἰ δὲ μή, » ἐξάλειψόν με ἀπὸ τῆς Βίβλου, ἧς ἔγραψας» (β). Ἀλλὰ πῶς ὁ λέγων «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ» καὶ πάντα δεύτερα ταύτης ἡγούμενος, νῦν προτιμᾷ ταύτης τὴν σωτηρίαν τῶν ἀδελφῶν αὐτοῦ; ὅτι κερδαλεώτερον ἐνόμιζε Χριστῷ τὴν τῶν τοσούτων μυριάδων σωτηρίαν, ὑπὲρ τὴν ἑνός, ἑαυτοῦ, ὅπερ ἐστὶν ἀγαπῶντος μὲν τοὺς Ἰσραηλίτας, πλεῖον δὲ τὸν Χριστόν. «Ηὐχόμην» μὲν γὰρ ἄν, εἰ ἐνεχώρει· οὐκ ἐγχωρεῖ δὲ διὰ τὴν ὑπερβολὴν τῆς ἀγάπης τοῦ Χριστοῦ.

4. Ὧν ἡ υἱοθεσία,

Εἴρηκε γὰρ περὶ αὐτῶν ὁ Θεὸς «υἱὸς πρωτότοκός μου Ἰσραήλ» (γ). Ἐκ πάντων γὰρ τῶν ἐθνῶν πρῶτοι αὐτὸν ἐπέγνωσαν δημιουργὸν καὶ κατὰ τοῦτο Πατέρα.

4. Καὶ ἡ δόξα,

Ἣν ἐδοξάσθησαν ἔν τε τοῖς δι' αὐτοὺς κατ' Αἴγυπτον σημείοις καὶ τέρασι τοῦ Θεοῦ καὶ ἐν τοῖς μετέπειτα θαυμασίοις.

4. Καὶ αἱ διαθῆκαι,

Ἃς διέθηκεν ὁ Θεὸς τοῖς προγόνοις αὐτῶν, μέλλουσι φυγεῖν ἀπὸ τῆς Αἰγύπτου, ἢ ἅμα τῷ διαβῆναι τὴν Ἐρυθράν.

(α) Φώτιος ἐν τοῖς περισωθεῖσιν ἀποσπάσμασι τοῦ ὑπομνήμ. εἰς τὴν πρὸς Ῥωμ. (Τόμ. Α', σελ. 1245). «Ἄλλως τε οὐδὲ λέγει «ἀνάθεμα γενέσθαι»· τουτέστιν ἀπὸ τοῦ νῦν » αὐτοῦ χωρισθῆναι· τοῦτο γὰρ ἀπευκτότατον· ἀλλὰ «ἀνάθεμα εἶναι»· τουτέστι κεχωρι- » σμένον ἔτι εἶναι, καὶ μήπω τῷ Χριστῷ προςελθεῖν, ἀλλ' ἔτι κεχωρισμένον αὐτοῦ εἶναι, » εἰ τοῦτο εἰς τὴν ὑμετέραν εἴςοδον καὶ πίστιν τὴν εἰς αὐτὸν συνετέλει. Μὴ γὰρ ὅτι προς- » ῆλθον τῷ Χριστῷ, διὰ τοῦτο καὶ ὑμᾶς με προςκαλεῖσθαι νομίσητε, φησίν. Καὶ πρὸ » ἐμοῦ ὑμᾶς ἐβουλόμην προςδραμεῖν αὐτῷ.» — (β) Ἔξοδ. λβ', 31. — (γ) Αὐτόθ. δ', 22.

4. Καὶ ἡ νομοθεσία,

Ἡ διὰ Μωϋσέως.

4. Καὶ ἡ λατρεία,

Ἡ διὰ τῶν θυσιῶν καὶ τῶν ἄλλων, ἃ ἐν τῷ Λευϊτικῷ ἀναγέγραπται.

4. Καὶ αἱ ἐπαγγελίαι·

Αἱ πρὸς τοὺς Πατριάρχας αὐτῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἔτι δὲ καὶ τὸν Δαυίδ.

5. Ὧν οἱ πατέρες,

Οἱ Πατριάρχαι, οἱ ἐπίσημοι πατέρες καὶ περιβόητοι.

5. Καὶ ἐξ ὧν ὁ Χριστός, τὸ κατὰ σάρκα,

«Ὧν» Ἰσραηλιτῶν, τάδε εἰσὶ καὶ τάδε· καὶ ἐξ ὧν, Ἰσραηλιτῶν, ὁ Χριστὸς τὸ κατὰ σάρκα μέρος, ἤγουν κατὰ τὴν σάρκωσιν. Ταῦτα δὲ πάντα εἴρηκεν ὑπεραλγῶν αὐτῶν, ὅτι τοσούτων ἀγαθῶν ἐκπεπτώκασιν.

5. Ὁ ὢν ἐπὶ πάντων Θεός,

Ὁ Χριστός, φησίν, ὁ ὢν ἐπάνω πάντων Θεός· ἢ ἐπὶ πάντων τῶν κτισμάτων Θεός.

5. Εὐλογητὸς εἰς τοὺς αἰῶνας.

Ὑμνητέος ἀεί.

5. Ἀμήν.

Ἀληθῶς. Ὁ δὲ Χρυσόστομος ἑτέρως ἡρμήνευσε τὸ «Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ» (α)· ὅτι ἐπεί τινες τῶν πεπιστευκότων Ἰουδαίων κατηγόρουν τοῦ Θεοῦ, ὡς ἀδίκως ἀποβεβληκότος τοὺς Ἰουδαίους, λέγοντες ὅτι τοῖς τῶν Ἰουδαίων προγόνοις ἐπηγγείλατο, καὶ τοὺς ἐκείνων ἐκγόνους ἀφείς, τὰ μηδέποτε αὐτὸν ἐγνωκότα ἔθνη εἰς τὰ ἐκείνων ἀντεισήγαγεν ἀγαθά· ἐξ ἄλλων ἐγεννήθη καὶ ἄλλους

(α) Ἐν λ. (Τόμ. Θ', Ὁμιλία ΙϚ', σελ. 550).

ἔσωσε· καὶ ἄλλας τοιαύτας, ὡς αὐτοῖς ἐδόκει, δικαιολογίας ἐπισυνείροντες, ἀκούσας ὁ Ἀπόστολος ἐδάκνετο τὴν ψυχήν, καὶ σφόδρα ὑπεραλγῶν τῆς δόξης τοῦ Θεοῦ δι' ὑπερβολὴν τῆς εἰς αὐτὸν ἀγάπης εἴρηκεν, ὅτι οὐ μόνον ἐβουλόμην, ἀλλὰ καὶ ηὐχόμην ἂν χωρισθῆναι ἀπὸ τοῦ Χριστοῦ ἕνεκα τοῦ πιστεῦσαι καὶ προςληφθῆναι τοὺς ἀποβληθέντας, ἵνα μᾶλλον ἡ διὰ τούτους κατηγορία τοῦ Θεοῦ λυθῇ καὶ μηκέτι ἀκούω τὸν Θεὸν βλασφημούμενον. Ὥςπερ γὰρ ὁ Μωϋσῆς ὑπὲρ τοῦ μὴ βλασφημεῖσθαι τὸν Θεὸν εἵλετο ἐξαλειφθῆναι καὶ ἀπολέσθαι (ἵνα γάρ, φησί, μὴ εἴπωσιν ὅτι παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς σῶσαι »ἐξήγαγεν αὐτοὺς ἀπολέσαι ἐν τῇ ἐρήμῳ») (α), οὕτω καὶ ὁ Παῦλος, ἵνα μὴ λέγωσιν ὅτι ἐψεύσατο ὁ Θεὸς ἅπερ ἐπηγγείλατο, εἰ καὶ ἀδίκως καὶ ψευδῶς τοῦτο ἔλεγον. Λοιπὸν οὖν καὶ τὸ τοῦ Μωϋσέως καὶ τὸ Παύλου σφόδρα φιλούντων ἦν τὸν Θεόν. Πρὸς ταύτην δὲ τὴν ἑρμηνείαν καὶ τὸ ὁ «ὢν ἐπὶ πάντων Θεὸς» ἑτέρως ἑρμηνευτέον· ὅτι εὐλογητός ἐστιν ὁ ὢν ἐπὶ πάντων Θεός, εἰ καί τινες αὐτὸν βλασφήμως κακολογοῦσιν.

6. Οὐχ οἷον δέ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ·

Οὐχ ὅτι δὲ διαπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ ταῦτα εἶπον, ἀλλ' ἵνα δείξω τὸ πρὸς τὸν Θεὸν φίλτρον. Οὐ διέψευσται γὰρ ὁ λόγος τοῦ Θεοῦ, ὃν εἴρηκε πρὸς Ἀβραὰμ λέγων· «Σοὶ καὶ τῷ σπέρματί σου δώσω » τὴν γῆν ταύτην. Καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ » ἔθνη» (β). Εἶτα δείκνυσι πῶς οὐ διαπέπτωκεν, ἀλλ' ἕστηκεν ἡ τοιαύτη ἐπαγγελία·

6. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ. Οὐδ' ὅτι εἰσὶ
7. σπέρμα Ἀβραὰμ πάντες τέκνα.

«Τέκνα τοῦ Ἀβραὰμ» δηλονότι. Ἀλλὰ τίνες εἰσὶν Ἰσραηλῖται καὶ τέκνα τοῦ Ἀβραὰμ εἰπάτω ἡ θεία Γραφή.

7. Ἀλλ' «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα» (γ)·

Ἀλλ' εἴρηται, φησί, πρὸς Ἀβραὰμ παρὰ τοῦ Θεοῦ ὅτι ἐν τῇ ὁμοιώσει τοῦ Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. Καὶ οἱ τῷ τρόπῳ τῷ κατὰ τὸν Ἰσαὰκ γεννώμενοι, οὗτοι κληθήσονται σπέρμα· τουτέστιν οἱ

(α) Δευτερον. θ', 28. — (β) Γέν. ιϐ', 7. — (γ) Αὐτόθ. κα', 12.

ἐξ ἐπαγγελίας καὶ ὑπερφυῶς τικτόμενοι. Πῶς οὖν ὁ Ἰσαὰκ ἐγεννήθη; οὐ κατὰ νόμον φύσεως, οὐδὲ κατὰ δύναμιν σαρκός, ἀλλὰ κατὰ δύναμιν ἐπαγγελίας Θεοῦ. Σαφηνίζων δὲ τὸν λόγον ἐπήγαγε·

8. Τουτέστιν· ὅτι (*) οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα Θεοῦ.

Οὐ τὰ κατὰ φύσιν τέκνα, ταῦτα τέκνα Θεοῦ κατὰ τὸν Ἰσαάκ· οὗτος γάρ, εἰ καὶ υἱὸς ἦν τοῦ Ἀβραάμ, ἀλλ' ἐπεὶ ὑπερφυῶς ἐγεννήθη καὶ κατὰ δύναμιν ἐπαγγελίας Θεοῦ, τέκνον Θεοῦ ἦν τὸ πλέον.

8. Ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα.

Ἀλλὰ τὰ τέκνα, ἃ γεννᾷ ἡ ἐπαγγελία τοῦ Θεοῦ, ταῦτα λογίζεται τῷ Ἀβραὰμ εἰς σπέρμα διὰ τὴν πρὸς τὸν Ἰσαὰκ ὁμοίωσιν, ὅσον ἐπὶ τῷ ἐξ ἐπαγγελίας τίκτεσθαι.

9. Ἐπαγγελία (**) γὰρ ὁ λόγος οὗτος·

Ποῖος; εἰπέ·

9. «Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ Σάρρᾳ »υἱός» (α).

Ὥςπερ ὁ λόγος οὗτος, ἐν βίβλῳ Γενέσεως γεγραμμένος, τὸν Ἰσαὰκ διέπλασε καὶ ἐγέννησε (τί γὰρ ὅτι ὑπέκειντο μήτρα Σάρρας καὶ σπέρμα Ἀβραὰμ νεκρὰ καὶ ἄμφω, διὰ τὸ γῆρας καὶ τὴν ἀσθένειαν τῆς φύσεως;)· οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος τὰ ῥήματα τοῦ Θεοῦ διαπλάττουσι καὶ γεννῶσι τοὺς βαπτιζομένους· τὸ ὄνομα δηλονότι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ὑπόκειται δὲ κἀνταῦθα μήτρα μὲν ἡ κολυμβήθρα, σπέρμα δὲ ὁ ἐκβαλλόμενος ἄνθρωπος. Καὶ ὥςπερ ἐκεῖ τὴν τοῦ Ἰσαὰκ προαγορεύσας γέννησιν ὁ Θεὸς ὕστερον αὐτὴν ἐπλήρωσεν, οὕτω καὶ ὧδε τὴν ἡμετέραν, τὴν διὰ τοῦ βαπτίσματος, προαναφωνήσας διὰ τῶν Προφητῶν, μετὰ ταῦτα εἰς ἔργον ἤγαγεν. Εἰ δὲ λέγοιεν Ἰουδαῖοι ὅτι τὸ «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα» τοῦτο δηλοῖ τὸ τοὺς ἐξ Ἰσαὰκ γεννωμένους «λογίζεσθαι τῷ Ἀβραὰμ » εἰς σπέρμα»· ἔδει καὶ τοὺς Ἰδουμαίους καὶ πάντας ἐκείνους σπέρμα

(*) Τὸ *ὅτι* ἐν οὐδενὶ κεῖται τῶν γνωστῶν μοι ἀντιγράφων. — (**) Πάντα τὰ γνωστά μοι ἀντίγραφα κατὰ γενικὴν πτῶσιν γράφουσιν *ἐπαγγελίας*. — (α) Γέν. ιη', 10.

καὶ τέκνα τοῦ Ἀβραὰμ χρηματίζειν. Ὁ γὰρ πρόγονος αὐτῶν Ἡσαῦ υἱὸς ἦν τοῦ Ἰσαάκ. Νῦν δὲ οὐ μόνον οὐ χρηματίζουσιν υἱοὶ τοῦ Ἀβραάμ, ἀλλὰ καὶ σφόδρα ἠλλοτρίωνται καὶ ἀλλόφυλοι ὀνομάζονται.

10. Οὐ μόνον δέ,

Οὐ μόνον δὲ ἐπὶ τοῦ Ἀβραὰμ τοῦτο γέγονε, τὸ μόνον τὸν Ἰσαὰκ τιμηθῆναι καὶ σπέρμα τοῦ Ἀβραὰμ ὀνομασθῆναι, καίτοι καὶ ἐκ Χετούρας τεχθέντων αὐτῷ παίδων, καὶ σπέρμα ὄντων αὐτοῦ, ἵνα μὴ λέγω τὸν Ἰσμαὴλ διὰ τὸ δούλην εἶναι τὴν μητέρα αὐτοῦ.

10. Ἀλλὰ καὶ Ῥεβέκκα,

Ἀλλὰ καὶ Ῥεβέκκα δείξει τοῦτο· ἐλλειπτικὸς γὰρ ὁ λόγος.

10. Ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

Ἐξ ἑνὸς ἀνδρὸς σπερμογονίαν ἔχουσα. Τοῦτο γὰρ ἡ κοίτη δηλοῖ. Τοῦτο δὲ εἶπε, διδάσκων ὅτι ἀναντίρρητον τοῦτο μάλιστα τὸ παράδειγμα, καὶ σαφεστέρα ἡ ἀπόδειξις. Ἐπὶ μὲν γὰρ τοῦ Ἀβραάμ, εἰ καὶ ὁ πατὴρ εἷς, ἀλλ' αἱ μητέρες δύο, Σάρρα καὶ Χετούρα. Ἐπὶ δὲ τῆς Ῥεβέκκας εἷς τε πατήρ, ὁ Ἰσαάκ, καὶ μία μήτηρ, ἡ Ῥεβέκκα, καὶ τὰ ὁμοπάτρια καὶ ὁμομήτρια τέκνα δίδυμα, Ἰακώβ τε καὶ Ἡσαῦ. Καὶ ὅμως ἐτιμήθη μὲν ὁ Ἰακὼβ καὶ μόνος εἰς σπέρμα τῷ Ἰσαὰκ ἐλογίσθη, καὶ μόνος τῆς πατρικῆς ἐκληρονόμησεν εὐλογίας. Ἐντεῦθεν τοίνυν μανθάνομεν ὅτι οὐχ ἡ γέννησις μόνη ποιεῖται παῖδα τοῦ πατρὸς τὸν υἱόν, ἀλλὰ δεῖ προσεῖναι καὶ τὴν κατ' ἀρετὴν ὁμοιότητα· τοῦτο γὰρ δίδωσι τὴν γνησιότητα.

11. Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κα-
12. κόν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος ἐρρήθη αὐτῇ «ὁ μείζων » δουλεύσει τῷ ἐλάσσονι» (α).

«Μήπω γεννηθέντων», τῶν διδύμων τέκνων δηλονότι, «μηδὲ πρα» ξάντων τι ἀγαθὸν ἢ κακόν», ἀφ' ὧν ὁ ἄνθρωπος ἢ δικαιοῦται ἢ καταδικάζεται, «ἐρρήθη αὐτῇ» παρὰ Θεοῦ «ὁ μείζων» ἤτοι ὁ πρῶτος γεννηθεὶς «δουλεύσει τῷ ἐλάσσονι». «Ἐλάσσονι» δὲ κατὰ τὸ ὕστερον

(α) Γέν. κε', 23.

γεννηθῆναι. Εἶτα ἡ μεταξυλογία· ἵνα, φησίν, ἡ κατ᾽ἐκλογὴν προτίμησις τοῦ Θεοῦ (τοῦτο γὰρ δηλοῖ νῦν «ἡ πρόθεσις»), ἣν ὁ Θεὸς προετίμησε τὸν Ἰακώβ, μένῃ καὶ φαίνηται οὐκ ἐξ ἔργων προγεγονότων γενομένη, ἀλλ᾽ἐκ τοῦ Θεοῦ τοῦ καλοῦντος εἰς προτίμησιν, ἢ τοῦ διαλεγομένου τῇ Ῥεβέκκᾳ, προθέντος τὸν Ἰακὼβ ἐκ μόνης προγνώσεως, καὶ τὸ ἐσόμενον προμηνύσαντος· προεώρα γὰρ ἀμφοτέρας τὰς γνώμας καὶ προαιρέσεις.

13. Καθὼς γέγραπται· «τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ »ἐμίσησα.» (α).

Ἵνα φαίνηται ἡ κατ᾽ ἐκλογὴν προτίμησις τοῦ Θεοῦ, καθὼς γέγραπται ἐν βίβλῳ Γενέσεως (β). Ἐκλογῆς γὰρ καὶ προτιμήσεως τὸ «τὸν » Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα»· ὅτι γὰρ δικαίως σὺ μὲν ἀπὸ τοῦ τέλους ἔγνως, ὁ δὲ Θεὸς καὶ πρὸ τῆς ἀρχῆς ᾔδει σαφῶς.

14. Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ;

Ὅτι καὶ πρὸ τῶν ἔργων ὁ μὲν προετιμήθη καὶ εἰς σπέρμα τῷ Ἰσαὰκ ἐλογίσθη, ὁ δὲ ἀπεδοκιμάσθη.

14. Μὴ γένοιτο.

Δίκαιος γὰρ ὁ Θεός. Οὐκοῦν οὐδὲ ἐπὶ τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν ἀδικία γέγονεν, ὅτι οἱ μὲν ἀπεβλήθησαν, οἱ δὲ ἐξ ἐθνῶν ἀντεισήχθησαν.

15. Τῷ γὰρ Μωϋσῇ λέγει·

Ὁ Θεὸς ἐν τῇ βίβλῳ τῆς Ἐξόδου, ὅτε τῶν μοσχοποιησάντων οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ συνεχωρήθησαν.

15. «Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω» (γ).

Οὐ σόν ἐστιν, ὦ Μωϋσῆ, γινώσκειν τίνες εἰσὶν ἄξιοι ἐλέους καὶ φειδοῦς, ἀλλ᾽ ἐμοὶ τοῦτο παραχώρει. Εἰ δὲ Μωϋσέως οὐκ ἔστι τοῦτο, πολλῷ μᾶλλον οὐκ ἔστιν ἡμῶν. Ἐκ τούτων δὲ συνάγει ὁ Ἀπόστολος ὅτι οὐ χρὴ ἀπαιτεῖν τὸν Θεὸν λόγους ὧν πράττει, ἀλλὰ πάντα

(α) Μαλαχ. α΄, 2-3.—(β) Γραπτέον, οἶμαι, «ἐν βίβλῳ Μαλαχίου». Τὰ γὰρ ἐφεξῆς «ἐκλογῆς γὰρ κτλ.» οὐκ ἀναφέρονται εἰς τὸ ἐν τῷ στίχ. 12 ῥητὸν τῆς Γενέσεως, ἀλλ᾽ εἰς τὸ ἐν τῷ στίχ. 13 τοῦ Μαλαχίου. — (γ) Ἔξοδ. λγ΄, 19.

τὰ τοῦ Θεοῦ καὶ νομίζειν καὶ ὀνομάζειν καλὰ καὶ δίκαια, κἂν ἡμεῖς τοὺς λόγους αὐτῶν ἀγνοῶμεν. Ὅρα δὲ ὅτι ἐπὶ μὲν τοῦ Ἰακὼβ καὶ τοῦ Ἡσαῦ ἡ ἀρετὴ καὶ ἡ κακία διέκρινεν· ἐνταῦθα δὲ ἓν τὸ ἁμάρτημα, πάντες ὁμοῦ μοσχοποιήσαντες. Καὶ ὅμως οἱ μὲν ἐκολάσθησαν, οἱ δὲ ἀφέθησαν.

16. Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

Ἐπειδή, φησίν, ἐλεεῖ ὃν ἂν θέλῃ· τουτέστιν ἐλεεῖ ὡς θέλει· λοιπὸν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ σπουδάζοντός ἐστι τὸ πᾶν, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. Οὗ γὰρ τὸ πλέον ἐστί, τούτου τὸ πᾶν εἶναι λέγεται. Ἀνθρώπων μὲν γὰρ τὸ θελῆσαι τὸ καλὸν καὶ σπουδάσαι εἰς τοῦτο, Θεοῦ δὲ τὸ ἀνύσαι καὶ τελειῶσαι. Ἐπεὶ οὖν τοῦ Θεοῦ τὸ πλέον, τοῦ Θεοῦ τὸ πᾶν ἐστιν. Εἶτα τίθησι καὶ ἕτερον δοκοῦν ἄπορον, ἵνα πολλαχόθεν παιδεύσῃ μὴ πολυπραγμονεῖν τὰς οἰκονομίας τοῦ πάντα σὺν λόγῳ οἰκονομοῦντος Θεοῦ.

17. Λέγει γὰρ ἡ Γραφὴ τῷ Φαραώ·

Ἡ τῆς Ἐξόδου. Τουτὶ λέγει ὁ λόγος τοῦ Θεοῦ τῷ Φαραώ·

17. «Ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ » τὴν δύναμίν μου».

Δι' αὐτὸ τοῦτο ἐξήγειρά σε εἰς ὕψος βασιλείας· ἢ ἐζωοποίησά σε, ἵνα ἐνδείξωμαι διὰ σοῦ πᾶσιν ἀνθρώποις τὴν δύναμίν μου. Τοῦ γὰρ Φαραὼ σκληρυνομένου καὶ ἀπειθοῦντος, ὁ Θεὸς ἐνεδείκνυτο τὴν ἑαυτοῦ δύναμιν ἔν τε ταῖς δέκα τῆς Αἰγύπτου πληγαῖς καὶ ἐν τῇ διαιρέσει τῆς θαλάσσης.

17. «Καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ» (α).

Πανταχοῦ γὰρ διεφημίσθη κατὰ τὴν Αἴγυπτον (β) σημεῖα καὶ τέρατα.

18. Ἄρα οὖν ὃν θέλει ἐλεεῖ· ὃν δὲ θέλει σκληρύνει.

Γέγραπται καὶ τοῦτο, ὅτι εἶπεν ὁ Θεὸς πρὸς Μωϋσῆν «σκληρύνων

(α) Ἔξοδ. θ', 16. — (β) Ἴσως γραπτέον «τὰ κατὰ τὴν Αἴγυπτον».

» σκληρυνῶ τὴν καρδίαν Φαραώ, καὶ οὐκ ἐξαποστελεῖ τὸν λαόν μου»(γ). Ἐπεὶ οὖν ἄνω μὲν ἔλεγεν «ἐλεήσω ὃν ἂν ἐλεῶ»· ἐνταῦθα δὲ «σκλη- » ρύνων σκληρυνῶ», ἀμφότερα συνάγει ὁ Ἀπόστολος λέγων· «Ἄρα » οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει». Εἶτα ἐπάγει τὸ δοκοῦν ἄπορον, ὡς ἐξ ἀντιθέσεως·

19. Ἐρεῖς οὖν μοι· τί ἔτι μέμφεται;

Τί λοιπὸν μέμφεται τοῖς σκληρυνομένοις καὶ ἁμαρτάνουσιν;

19. Τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;

Τοῦτο διὰ τὸ «ὃν δὲ θέλει σκληρύνει». Συνελάσας μέντοι εἰς ἀπορίαν, οὐκ εὐθὺς ἐπάγει τὴν λύσιν, ἀλλ' ἐντρέπει πρῶτον καὶ ἐπιστομίζει τοὺς περιεργαζομένους τὰς θείας οἰκονομίας, παιδεύων εἰδέναι τί μὲν Θεός, τί δὲ ἄνθρωπος· καὶ ὅτι ἀκατάληπτος ἡ τοῦ Θεοῦ πρόνοια καὶ ὑπερβαίνουσα νοῦν ἀνθρώπινον.

20. Μενοῦνγε, ὦ ἄνθρωπε,

Ἀληθῶς, ὦ ἄνθρωπε, τῷ θελήματι αὐτοῦ οὐδεὶς ἀνθέστηκεν.

20. Σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;

Ἀλλὰ σύ, ὁ ἀντιλέγων τῷ Θεῷ, ὁ δικαιολογούμενος «τίς εἶ» οὐδὲν ὤν; «Σὺ τίς εἶ»; μὴ κοινωνὸς τῆς ἐξουσίας αὐτοῦ; μὴ δικαστὴς ὧν ποιεῖ; Τὸ γὰρ λέγειν οὐκ ἔδει γενέσθαι τόδε, ἀλλὰ τόδε, ἀντιλογία καὶ ἐναντίωσίς ἐστιν. Εἶδες πῶς ηὐτέλισε καὶ κατῄσχυνε τοὺς περιεργαζομένους τὰ τοῦ Θεοῦ;

20. Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· διὰ τί (*) με ἐποίησας οὕτως;

Διὰ παραδείγματος ποιεῖ τὴν ἐπιτίμησιν, ἵνα καὶ μᾶλλον καθίκηται. Εἶτα καὶ σαφηνίζει τὸν λόγον·

21. Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

(α) Ἔξοδ., αὐτόθ. — (*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων παραλείπουσι τὴν *διά*.

Διδάσκει διὰ τοῦ παρόντος παραδείγματος οὐχ ὅτι ὁ Θεὸς ποιεῖ ἀγαθὸν ἢ πονηρὸν τὸν ἄνθρωπον (τοῦτο γὰρ ἀναιροῦντός ἐστι τὸ αὐτεξούσιον), ἀλλ' ὅτι ὅσον εἰς τὸ ἀπαιτεῖν τὸν Θεὸν λόγον, ὃν ποιεῖ, οὐδὲν ἡμᾶς χρὴ διαφέρειν τοῦ κεραμικοῦ πηλοῦ, ἀλλὰ σιγᾶν καὶ ἐοικέναι ἐκείνῳ, ταῖς χερσὶν ἑπομένῳ τοῦ κεραμέως καὶ περιαγομένῳ, ὅπου ἂν ἐκεῖνος ἐθέλῃ. Εἰς τοῦτο γὰρ μόνον ἔλαβε τὸ παράδειγμα. Δεῖ δὲ ἐφ' ἑκάστου παραδείγματος τοῦτο μόνον σκοποῦντας, οὗ ἕνεκεν εἴληπται, ἐκεῖνον μόνον ἐκλέγεσθαι, τἄλλα δὲ τούτου μὴ περιεργάζεσθαι, ἀλλ' ἐᾶν. Ὥςπερ γὰρ ἐκεῖ τὸ εἰς ἀτιμίαν ποιηθὲν σκεῦος, ἤγουν εἰς χρῆσιν καὶ ὑπηρεσίαν ἄτιμον, οὐ μέμφεται τῷ κεραμεῖ, οὐδὲ λέγει, διὰ τί με οὕτως ἐποίησας, οὕτως οὐδὲ ἡμεῖς δυνάμεθα (α) τῷ δημιουργῷ ἡμῶν, διὰ τί τοῦ αὐτοῦ γένους τὸν μὲν τιμᾷς καὶ δοξάζεις, τὸν δὲ ἀτιμάζεις καὶ κολάζεις· οἶδε γὰρ ὃ ποιεῖ, καὶ Κύριος ἡμῶν ἐστιν. Οὕτω τὴν ἄκαιρον αὐτῶν ἀντιλογίαν ἐπιστομίσας, ἐπάγει λοιπὸν καὶ τὴν λύσιν. Χρὴ γὰρ πρῶτον ἀνασπᾶν τὰς ἀκάνθας, εἶτα καταβάλλειν τὰ σπέρματα.

22. Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν,

Τὴν κόλασιν, τὴν διὰ τῶν πληγῶν τῆς Αἰγύπτου.

22. Καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ,

Καὶ φανερῶσαι πᾶσι τοῖς ἔθνεσι τὴν οἰκείαν δύναμιν, τὴν διὰ τῶν σημείων καὶ τεράτων, ὡς ἀνωτέρω δεδήλωται.

22. Ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς,

Ἠνέσχετο μακροθύμως τὸν Φαραὼ καὶ τοὺς περὶ αὐτόν. Τούτους γὰρ καλεῖ «σκεύη ὀργῆς» ὡς ὕλην ἐξαπτικῆς ὀργῆς τοῦ Θεοῦ, ἢ ὡς ἐπισπωμένους αὐτήν.

22. Κατηρτισμένα εἰς ἀπώλειαν.

Τέλεια εἰς τὸ ἀπολέσθαι, ἕτοιμα εἰς κόλασιν· πλὴν οἴκοθεν τοιαῦτα γενόμενα καὶ κατὰ προαίρεσιν ἰδίαν. Ὁ γὰρ Θεός, ἀπειθοῦντος ἐκείνου (β) καὶ ἀντιλέγοντος, ἠνείχετο μακροθύμως, ἵνα, εἰ μηδὲν βούλοιτο κερδᾶναι ἀπὸ τῆς τοῦ Θεοῦ ἀνεξικακίας, ἀλλὰ καταχρήσεται

(α) Ἐξυπακούεται τὸ «λέγειν». — (β) Τοῦ Φαραώ.

μᾶλλον ταύτῃ πρὸς ἀπείθειαν, δικαίως αὐτὸν ὡς ἀδιόρθωτον κολάσῃ, καὶ δι᾿ αὐτοῦ ἕτεροι παιδευθῶσι καὶ βελτίους γένωνται, δειχθείσης ἐπ᾿ αὐτοῦ τῆς ὀργῆς καὶ δυνάμεως τοῦ Θεοῦ.

23. Καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, ἐπὶ σκεύη ἐλέους,

Ἐλλειπτικὸν καὶ τοῦτο καὶ σαφηνείας δεόμενον. Εἰ γὰρ θέλων, φησίν, ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν αὐτοῦ ἠνέσχετο τὸν Φαραώ, ἄρα καὶ τῶν μοσχοποιησάντων τοὺς μὴ ἀναιρεθέντας ἠλέησε πάλιν, ἵνα διὰ τῆς εἰς ἐκείνους φειδοῦς φανερώσῃ τὸν πλοῦτον τῆς φιλανθρωπίας αὐτοῦ ἐπὶ ἀνθρώπους ἀξίους ἐλέους, ἐπιτηδείους ἐλεεῖσθαι, μαθόντας δι᾿ ἐκείνων, ὅτι οἱ μετανοοῦντες ἐλεοῦνται, καὶ μετανοήσαντες καὶ ἐλεηθέντες [σώζονται] (α). Προείρηκε γὰρ ὅτι πρὸς τὸν Μωϋσῆν εἶπεν ὁ Θεὸς «ἐλεήσω ὃν ἂν ἐλεῶ», περὶ τῶν μὴ ἀναιρεθέντων τοῦτο λέγων. Ὥςπερ γὰρ ἐκεῖνοι ἄξιοι ἦσαν συγγνώμης, ὡς μετανοήσαντες ἐν ταῖς καρδίαις αὐτῶν, οὕτω καὶ οἱ ἐφ᾿ οὓς ἐφανέρωσε τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας αὐτοῦ (λέγει δὲ τοὺς διὰ τοῦ κηρύγματος πιστεύοντας) ἄξιοί εἰσιν ἐλέους ὡς μετανοήσαντες ἐφ᾿ οἷς τῷ Θεῷ προσέκρουσαν διὰ τῶν οἰκείων ἁμαρτημάτων. «Δόξαν» δὲ τὴν φιλανθρωπίαν προςηγόρευσεν, ὡς ταύτῃ μάλιστα δοξαζομένου τοῦ Θεοῦ.

23. Ἃ προητοίμασεν εἰς δόξαν αὐτοῦ (*).

Οὓς προώρισεν ἐκ προγνώσεως· «οὓς γάρ, φησί, προέγνω, τούτους » καὶ προώρισε» (β). Προγνοὺς γὰρ αὐτοὺς ἀξίους, οἷα μετανοῆσαι καὶ εὐαρεστῆσαι αὐτῷ μέλλοντας, προώρισεν αὐτοὺς καὶ ἀφώρισεν εἰς τὸ δοξάζειν αὐτόν, ἢ εἰς τὸ δοξάζεσθαι δι᾿ αὐτῶν.

24. Οὓς καὶ ἐκάλεσεν ἡμᾶς,

«Ἡμᾶς», δηλονότι τοὺς πιστούς, «οὓς καὶ ἐκάλεσεν». Εἴρηται δὲ καὶ ἀνωτέρω, ὅτι οὓς προώρισε τούτους καὶ ἐκάλεσε, καὶ ζήτησον τὴν ἐκεῖ τεθεῖσαν ἐξήγησιν (γ).

(α) Ἡ παρεντεθειμένη λέξις ἡμετέρα ἐστὶν ἐξ εἰκασίας προςθήκη. Ἀπαιτοῦσι γὰρ τοιοῦτό τι ῥῆμα αἱ ἀνανταπόδοτοι μένουσαι μετοχαὶ «μετανοήσαντες καὶ ἐλεηθέντες».
(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων τὸ «αὐτοῦ» παραλείπουσιν — (γ) Ῥωμ. η΄, 29.

24. Οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν·

Ἐκάλεσε δὲ ἡμᾶς «οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν», οὐ πρὸς τὰ γένη ἀποβλέψας, ἀλλὰ πρὸς τὰς γνώμας. Διὸ καὶ οὔτε πάντας Ἰουδαίους ἐκάλεσεν, οὔτε πάντα τὰ ἔθνη, ἀλλ' ἐκ τούτων κἀκείνων τοὺς ἀξίους. Ἵνα δὲ μὴ δόξῃ οἴκοθεν λέγειν ὅτι καὶ ἐξ ἐθνῶν ἐκάλεσεν ὁ Θεός, μάρτυρα παράγει τὸν Προφήτην·

25. Ὡς καὶ ἐν τῷ Ὠσηὲ λέγει·

Ὁ Θεὸς δηλονότι. Ἀλλ' εἰπὲ τί λέγει;

25. «Καλέσω τὸν οὐ λαόν μου λαόν μου· καὶ τὴν οὐκ ἠγα-
» πημένην ἠγαπημένην» (α).

Ὃ δὴ καὶ πεποίηκεν. Τὸν γὰρ λαὸν τῶν ἐθνῶν, οὐ λαὸν αὐτοῦ ὄντα πρότερον, ὡς εἰδώλοις δουλεύοντα, ὕστερον ἐπιγνόντα τὸν Δεσπότην, προςηγόρευσε λαὸν ἑαυτοῦ. Καὶ τὴν πρὶν οὐκ ἠγαπημένην πληθὺν αὐτῶν μετὰ τὸ πιστεῦσαι ἠγαπημένην ὠνόμασεν.

26. «Καὶ ἔσται ἐν τῷ τόπῳ, οὗ ἐρρήθη αὐτοῖς· οὐ λαός μου
» ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος» (β).

Ὁρᾷς ὅτι οὐ μόνον ἐκλήθησαν, ἀλλὰ καὶ τὸ πολλῷ μεῖζον υἱοὶ Θεοῦ γεγόνασι; Καὶ ἔσται, φησίν, ὃ λέγω· τουτέστι γενήσεται. Εἶτα λέγει καὶ ὃ «ἔσται», ὅτι ἐν τῷ τόπῳ, ὅπου ἐρρήθη αὐτοῖς, καὶ τὰ ἑξῆς. Τίς δὲ ὁ τόπος οὗτος; οἶμαι ὅτι ὁ ἑκάστου ἔθνους. «Θεοῦ ζῶν»τος» εἶπε, διὰ τὰ εἴδωλα, ἅπερ θεοὶ ὀνομαζόμενα, νεκρά εἰσι· «στόμα »γάρ, φησίν, ἔχουσι, καὶ οὐ λαλήλουσι» καὶ τὰ ἑξῆς (γ). Εἰ δὲ λέγοιεν Ἰουδαῖοι περὶ τῶν ἀγνωμονησάντων Ἰουδαίων καὶ διὰ τοῦτο ἀποβληθέντων εἰρῆσθαι τὸ «καλέσω τὸν οὐ λαόν μου λαόν μου» καὶ τὰ λοιπά, καὶ οὕτως ὁ περὶ τῶν ἐθνῶν λόγος ἵσταται. Εἰ γὰρ τοὺς ἀποβληθέντας Ἰουδαίους μετανοήσαντας εἰςεδέξατο, πάντως καὶ τοὺς ἐξ ἐθνῶν μετανοήσαντας παραδέχεται· ἀπροςωπόληπτος γάρ.

27. Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ.

(α) Ὠσηέ, β', 23. — (β) Αὐτόθ. α', 10. — (γ) Ψαλμ. ριγ', 13.

Παρρησίᾳ καὶ ἀπαρακαλύπτως βοᾷ περὶ τοῦ Ἰσραηλιτικοῦ γένους. Πρόθεσις ἀντὶ προθέσεως (α). Τί δὲ κράζει;

27. «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς »θαλάσσης, τὸ κατάλειμμα σωθήσεται».

«Ὡς ἡ ἄμμος τῆς θαλάσσης»· τουτέστιν ἄπειρος κατὰ τὴν πρὸς τοὺς προγόνους ὑπόσχεσιν τοῦ Θεοῦ. «Κατάλειμμα» δὲ λέγει τοὺς καταλειφθέντας καὶ τηρηθέντας εἰς σωτηρίαν, τῶν ἄλλων ἀπολωλότων. Κατελείφθησαν δὲ οἱ ἄξιοι διὰ τὴν ἀγαθὴν ἑαυτῶν προαίρεσιν. Ἰδοὺ καὶ Ἡσαΐας οὐ πάντας Ἰουδαίους λέγει σώζεσθαι, ἀλλὰ τοὺς ἀξίους. Εἶτα προςτίθησιν Ἡσαΐας καὶ πῶς σωθήσονται·

28. « Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ»,

Λείπει τὸ «ἔστιν»· ὁ Θεὸς ἔστι, φησί, λόγον συντελῶν καὶ συντέμνων· τουτέστι λόγον τέλειον καὶ σύντομον ποιῶν, ὅς ἐστι τὸ εὐαγγελικὸν κήρυγμα, μηδενὸς τῶν εἰς σωτηρίαν συντεινόντων ἐνδέον, καὶ σύντομον ὁδὸν ἐπὶ σωτηρίαν ὑποδεικνύον. Τέλειον δὲ καὶ σύντομον εἶπε τοῦτο πρὸς ἀντιδιαστολὴν τοῦ μωσαϊκοῦ νόμου, ὅς ἐστι καὶ ἀτελής, ὡς παιδαγωγικὸς καὶ στοιχειώδης («ὁ νόμος γάρ, φησίν, οὐδὲν »ἐτελείωσε») (β), καὶ μακρὰς καὶ δυςκατορθώτους ἔχων περιόδους. «Ἐν δικαιοσύνῃ» δὲ ἀντὶ τοῦ ἕνεκεν δικαιοσύνης, ἵνα δίκαιοι καὶ ἐνάρετοι οἱ ἄνθρωποι γένωνται.

28. «Ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς»(γ).

Καὶ τοῦτο, τοῦ Ἡσαΐου ὄν, σαφηνισμός ἐστι τοῦ προρρηθέντος.

29. Καὶ καθὼς προείρηκεν Ἡσαΐας· «εἰ μὴ Κύριος Σαβαὼθ » ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, » καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν» (δ).

Πάλιν εἰςάγει τὸν Ἡσαΐαν μαρτυροῦντα, ὅτι οὐδὲ αὐτὸ «τὸ κα-

(α) «Πρόθεσις ἀντὶ προθέσεως». Ταῦτα ἀφορῶσιν εἰς τὴν ἐν τῷ κειμένῳ πρόθεσιν *ὑπέρ*, ᾗ ἐχρήσατο ὁ Ἀπόστολος ἀντὶ τῆς *περί*, ὡς καὶ ἐν τῇ Β' Κορινθ. η', 28. Καὶ Φιλιππ. α', 7. — (β) Ἑβρ. ζ', 19. — (γ) Ἡσ. ι', 22. Περὶ τῆς τῶν ῥητῶν τούτων ἐννοίας καὶ τῆς αἰτίας, δι' ἣν ὁ Ἀπόστολος οὐκ ἠκολούθησε πιστῶς κατὰ πάντα ταῖς ἐκδόσεσι τοῦ προφητικοῦ κειμένου· ἔπιθι Βασιλ. τοῦ μεγ. Ἑρμηνείαν εἰς τὸν Ἡσ. (Τόμ. Β', σελ. 552).— (δ) Αὐτόθ. α', 19.

»τάλειμμα» ἐσώθη ἂν οἴκοθεν καὶ παρ' ἑαυτοῦ, ἀλλὰ [ὡς] (α) τὰ Σόδομα καὶ Γόμορρα ἔπαθεν ἄν· τουτέστι πανωλεθρίᾳ διεφθάρη καὶ πρόρριζον, εἰ μὴ ὁ Κύριος τῶν δυνάμεων τῶν οὐρανίων (τοῦτο γὰρ δηλοῖ τὸ «Σαβαώθ») δι' οἰκείαν ἀγαθότητα ἐγκατέλιπεν αὐτῷ τὸ εὐαγγελικὸν κήρυγμα. Τοῦτο γὰρ ἐκάλεσε «σπέρμα». Καὶ γὰρ καὶ ὁ Χριστὸς εἴρηκεν «ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι» (β). «Ἐγενήθημεν »καὶ ὡμοιώθημεν» εἶπε προσώπῳ τοῦ «καταλείμματος», ἤτοι τῶν πιστῶν. Τὸ δὲ «ὡς Γόμορρα ὡμοιώθημεν» ἀντὶ τοῦ «εἰς τὰ Γό»μορρα παρεικάσθημεν ἄν».

ΙΕ' Ὅτι κατὰ ἀπιστίαν ἡ ἔκπτωσις διὰ τῆς εἰς ἄγνοιαν ἐγκαταλείψεως καὶ τοῦ μὴ ἁρμόζοντος αὐτοῖς κηρύγματος.

30. Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως·
31. Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.

Δύο ζητήματα τίθησι, πῶς τε τὰ ἔθνη, μὴ ζητοῦντα, ἐπέτυχον, καὶ πῶς ὁ Ἰσραήλ, ζητῶν, ἀπέτυχεν. Τί οὖν, φησίν, ἐροῦμεν; διότι ἔθνη τὰ πρῶτον «μὴ διώκοντα δικαιοσύνην», ἤτοι τὰ μὴ ζητοῦντα δικαιοσύνην καὶ σωτηρίαν, κατέλαβεν αὐτήν. Δικαίωσιν δὲ κατέλαβε τὴν ἐκ πίστεως, δικαιοῦσαν κατὰ τὴν δικαιοσύνην τοῦ Ἀβραάμ· «ἐπίστευσε γάρ, φησίν, Ἀβραὰμ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύ»νην» (γ). Ἰσραὴλ δὲ «διώκων καὶ ζητῶν νόμον δικαιοσύνης», ἤγουν νόμιμον δικαιοσύνην, οὐκ ἔφθασεν εἰς αὐτήν. Ὁ νόμος γὰρ ἐδικαίου τὸν φυλάξαντα αὐτόν. Οὕτως ἐπαπορήσας, ἐπάγει τὴν λύσιν·

32. Διὰ τί;

Τοῦτο κατ' ἐρώτησιν ἀναγνωστέον· διὰ τί «ὁ Ἰσραὴλ διώκων» οὐκ ἔφθασεν, ἄκουσον·

32. Ὅτι οὐκ ἐκ πίστεως,

(α) Τὸ ὡς ἡμετέρα ἐστὶ προσθήκη. Ἄνευ γὰρ αὐτοῦ ὁ λόγος ἀσαφής. — (β) Ματθ. ιγ', 3.— (γ) Γέν. ιε', 6.

Αὕτη ἐστὶν ἡ σαφεστάτη τοῦ ὅλου χωρίου λύσις, ἣν μετὰ πολλὰς ἀπορίας καὶ κατασκευὰς καὶ ἀποδείξεις ἐπήγαγεν, ἵνα εὐμαθέστερον οὕτω καὶ εὐπαράδεκτον γένηται. Τί, φησίν, ἀπορεῖς, ὦ Ἰουδαῖε, πῶς οἱ τὰς ἐπαγγελίας ἔχοντες Ἰουδαῖοι ἀπεβλήθησαν; Τούτου ἐστὶ τὸ αἴτιον, ὅτι οὐκ ἐκ πίστεως δικαιωθῆναι ἠθέλησαν· ὅπερ τὰ ἔθνη θελήσαντα ἀντεισήχθησαν, καὶ τῷ ἐκ πίστεως δικαιωθέντι Ἀβραὰμ υἱοθετήθησαν, καὶ τὰς ἐπαγγελίας ἐκληρονόμησαν.

32. Ἀλλ' ὡς ἐξ ἔργων νόμου·

Ἀλλὰ δηλονότι δικαιωθῆναι ἠθέλησαν ὡς ἐκ τοῦ πληροῦν τὸν νόμον. Τὸ δὲ «ὡς» ἐμφαντικόν ἐστιν ὑποκρίσεως· ὑπεκρίνοντο γὰρ καὶ τὰ ἔργα τοῦ νόμου. Διὸ καὶ τῆς ἐντεῦθεν δικαιώσεως ἀποτυχόντες τῇ κατὰ τῶν μὴ φυλαττόντων αὐτὸν ἀρᾷ ὑπεβλήθησαν.

32. Προςέκοψαν γὰρ τῷ λίθῳ τοῦ προςκόμματος.

«Λίθον προςκόμματος» τὸν Χριστὸν ὁ Προφήτης ὠνόμασεν ἀπὸ τοῦ πράγματος. Ὥςπερ γὰρ τῷ μέσῳ τῆς ὁδοῦ κειμένῳ λίθῳ προςκόπτουσιν οἱ μὴ προσέχοντες, οὕτω καὶ τῷ Χριστῷ, μέσον τῶν Ἰουδαίων ὄντι, προςέκοπτον οἱ μὴ προςέχοντες, οἷς ὁ νόμος καὶ οἱ Προφῆται περὶ αὐτοῦ προηγόρευσαν· ἀλλ' ἑτέρωσε βλέποντες, λέγω δὴ περὶ τὰ δοκοῦντα σωματικὰ τοῦ νόμου καὶ τῶν Προφητῶν καὶ πρὸς αἴσθησιν λαμβανόμενα. Τὸ αὐτὸ δὲ «λίθος προςκόμματος» καὶ «πέ»τρα σκανδάλου».

33. Καθὼς γέγραπται·

Ἐν βίβλῳ Ἡσαΐου. Τί δὲ γέγραπται;

33. «Ἰδού, τίθημι ἐν Σιὼν λίθον προςκόμματος καὶ πέτραν »σκανδάλου».

Εὐδοκίᾳ γὰρ τοῦ ταῦτα λέγοντος Πατρὸς ὁ Χριστὸς ἐν Σιὼν ἐγεννήθη. Ἀλλὰ «λίθος μὲν καὶ πέτρα», ὡς στερρὸς καὶ συντρίβων τοὺς προςκόπτοντας. «Προσκόμματος δὲ καὶ σκανδάλου», ὡς προςκοπτόντων αὐτῷ καὶ σκανδαλιζομένων τῶν μὴ προςεχόντων, ὡς προείρηται.

33. «Καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται» (α).

(α) Ἡσ. η', 14. κη', 16.

Ἰδοὺ καὶ ἄλλη μαρτυρία, ὅτι ἀπὸ τῆς πίστεως ἡ παρρησία καὶ εὐδοκίμησις (ταῦτα γὰρ δηλοῖ τὸ «μὴ καταισχυνθήσεται»), καὶ ὅτι πᾶσι τοῖς βουλομένοις ἡ ἐκ πίστεως δικαίωσις αὕτη δεδώρηται. «Πᾶς» γάρ, φησίν, ὁ πιστεύσας ἐπ' αὐτῷ, κἂν Ἰουδαῖος ᾖ, κἂν Ἕλλην, κἂν οἱοςδήποτε ἄνθρωπος.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ

1. Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ πρὸς Θεὸν ὑπὲρ τοῦ Ἰσραὴλ ἐστιν εἰς σωτηρίαν.

Μέλλων πάντως καθάψασθαι αὐτῶν προαναιρεῖ τὴν ὑπόνοιαν τῆς ἀπεχθείας βεβαίως, ὅτι οὐκ ἀπὸ διανοίας ἐχθρᾶς ἐρεῖ, ἀλλ' ὑπὸ τῆς ἀληθείας ἀναγκαζόμενος. Διό φησιν ὅτι «ἡ εὐδοκία τῆς ἐμῆς καρδίας»· ἤγουν ἡ σφοδρὰ ἐπιθυμία, ἔτι δὲ καὶ ἡ πρὸς Θεὸν δέησις ὑπὲρ τῶν Ἰσραηλιτῶν ἐστιν, ὥςτε σωθῆναι αὐτούς. Παρέλκει δὲ ὁ σύνδεσμος (α), μὴ ἔχων ἀπόδοσιν τὴν τοῦ «δέ».

2. Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.

Προςέθηκε καὶ αἰτίαν τῆς πρὸς αὐτοὺς ἀγαθῆς διαθέσεως αὐτοῦ, ὅτι «ζῆλον Θεοῦ ἔχουσιν»· ἤγουν ἔνστασιν ὑπὲρ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο κραταιῶς ἀντέχονται τοῦ νόμου, πλὴν οὐ γινώσκουσι τὸ θέλημα τοῦ νόμου, ὅπερ ἐστὶ δίκαιον ποιῆσαι τὸν ἄνθρωπον. Ὃ τοῦ νόμου κατορθῶσαι μὴ δυνηθέντος, ὁ Θεὸς χάριτι διὰ πίστεως ἐδωρήσατο. Διὰ μὲν οὖν τὸν ζῆλον τοῦ Θεοῦ διάθεσιν ἔχω πρὸς αὐτούς, διὰ δὲ τὴν ἐκ ῥᾳθυμίας ἄγνοιαν μέμφομαι καὶ καθάπτομαι.

3. Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην,

Τὴν ἐκ πίστεως δικαιοσύνην.

(α) Ὁ σύνδεσμος *μέν*, ἤτοι ἡ *μὲν εὐδοκία*.

3. Καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι.

Καὶ τὴν ἐξ ἔργων νόμου δικαιοῦσαν φιλονικοῦντες πληρῶσαι.

3. Τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

Τῇ οὐκ ἐξ ἔργων νόμου, ἀλλ' ἐκ πίστεως, ὡς εἴρηται, δικαιοσύνῃ οὐ προςῆλθον. Λοιπὸν οὖν καὶ ἀμφοτέρων ἐξέπεσον, τὴν μὲν μὴ δυνηθέντες πληρῶσαι, τὴν δὲ μὴ καταδεξάμενοι. «Ἰδίαν» μὲν οὖν ἐκείνην εἴρηκεν, ὡς αὐτοῖς περισπούδαστον, ἢ καὶ ὡς ἐξ ἰδίων πόνων συνισταμένην. «Τοῦ Θεοῦ» δὲ ταύτην, ὡς ἐκ δωρεᾶς καὶ χάριτος τοῦ Θεοῦ γινομένην. Ἵνα δὲ μὴ δόξωσιν οἱ ἐξ Ἰουδαίων πιστεύσαντες τῆς μὲν ἐκπεσεῖν, τὴν δὲ κτήσασθαι καὶ διὰ τοῦτο δυςφορῶσι, φησί·

4. Τέλος γὰρ νόμου Χριστός,

Ὥςπερ τέλος ἰατρικῆς ὑγίεια· οὕτω τέλος καὶ βούλημα νόμου δίκαιον ποιῆσαι τὸν ἄνθρωπον, ὡς προείρηται. Ἐπεὶ οὖν ὁ Χριστὸς τοῦτο πεποίηκε, τέλος καὶ βούλημα νόμου ὁ Χριστός, ὅπερ ὁ νόμος ἐβούλετο ποιήσας. Ὁ τοῦτον νῦν ἔχων τὸν Χριστὸν διὰ τῆς πίστεως καὶ τέλος τοῦ νόμου ἔχει, λέγω δὴ τὴν δικαιοσύνην· ὁ δὲ τοῦτον μὴ ἔχων οὐδὲ ἐκεῖνον πάντως ἔχει.

4. Δικαιοσύνη (*) παντὶ τῷ πιστεύοντι.

Τέλος νόμου, φησίν, ὁ Χριστὸς εἰς τὸ δικαιῶσαι πάντα τὸν πιστεύοντα.

5. Μωϋσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου·

Ὑποδείκνυσι τίς αὕτη καὶ πόθεν συνίσταται· λέγει γὰρ ἐν τῷ Δευτερονομίῳ·

5. « Ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς» (α).

Ὁ ποιήσας τὰ νομοθετηθέντα, περὶ ὧν ὁ λόγος ἐκεῖ, οὗτος ζή-

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων « εἰς δικαιοσύνην » γράφουσιν. Ἀλλὰ τὸ ἐν τῇ ἐξηγήσει « εἰς τὸ δικαιῶσαι » ἴσως ὑποδηλοῖ ὅτι οὕτως ἀνέγνω καὶ ὁ Συγγραφεύς. —
(α) Λευΐτ. λ', 11. 12.

σεται ἐν αὐτοῖς· ἤγουν δικαιωθήσεται δι'αὐτῶν. Ἴδιον γὰρ δικαιοσύνης ἡ ζωὴ καὶ ἀπόλαυσις. Ἀλλὰ Μωϋσῆς μὲν οὕτως ὁρίζεται τὴν ἐκ νόμου δικαιοσύνην· ποίησιν δηλονότι τῶν νενομοθετημένων, οὐδεὶς δὲ αὐτὰ ἐπλήρωσεν.

6. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει·

Οὕτω λέγει περὶ ἑαυτῆς· οὕτως ὁρίζεται ἑαυτήν· οὕτω διδάσκει τί ἐστιν. Οὕτω δέ, πῶς;

6. Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· «τίς ἀναβήσεται εἰς τὸν οὐρα-
7. »νόν;» (α) τουτέστι Χριστὸν καταγαγεῖν. Ἢ «τίς καταβή-
»σεται εἰς τὴν ἄβυσσον;» (β)· τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.

Πρῶτον αὕτη (γ) ἀποτρέπει τοὺς τῆς ἀμφιβολίας λογισμούς· εἶτα τίθησι τοὺς ὑπογράφοντας ἑαυτὴν λόγους. Ἀλλ'ἐπὶ μὲν τῆς παλαιᾶς νομοθεσίας ὁ Θεὸς εἶπε πρὸς τοὺς ταύτην δεχομένους, περὶ τῆς εἰρημένης ἀνόδου καὶ καθόδου διδάσκων, ὅτι δίχα πόνου τὴν τῶν πρακτέων διδασκαλίαν ἐκτήσαντο, μήτε τῆς εἰς οὐρανὸν ἀνόδου, μήτε τῆς εἰς ᾅδην καταβάσεως δεηθέντες. Ὁ δὲ θεῖος Ἀπόστολος εἰς τὸν περὶ πίστεως λόγον ἐξέλαβε ταῦτα, συνάψας καὶ περὶ τοῦ Χριστοῦ. Διὸ καὶ τὴν ἐκ πίστεως δικαίωσιν προσωποποιήσας εἰσήγαγεν αὐτήν, τὰ ῥηθέντα λέγουσαν πρὸς τὸν πιστεῦσαι βουλόμενον. «Μὴ εἴπῃς, φησίν, ἐν τῇ καρδίᾳ σου»· ἤγουν μὴ ἐννοήσῃς ὅτι «τίς ἀναβήσεται εἰς » τὸν οὐρανόν»; τουτέστιν, ὥστε «Χριστὸν καταγαγεῖν», ἵνα ἰδὼν αὐτὸν πιστεύσω; Ἢ «τίς καταβήσεται εἰς τὸν ᾅδην»; (τοῦτο γὰρ λέγει νῦν «ἄβυσσον» διὰ τὸ βάθος) ὥστε «Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν», ἵνα ἰδὼν αὐτὸν ἄρτι ἐκ νεκρῶν ἀναγόμενον ἀπιστήσω; Τὸ μὲν γὰρ «καταγαγεῖν» ἐμφαντικῆς ὁρμῆς εἰς πίστιν. Τὸ δὲ «ἀναγαγεῖν» ἀνθολκῆς εἰς ἀπιστίαν. Ἀλλ' ἀναμφιβόλως πίστευσον· τοῦτο γὰρ ἴδιον πιστεύοντος. Ἔστι δὲ καὶ ἑτέρως ἑρμηνεῦσαι. Μὴ πολυπραγμόνει τίς κατήγαγε τὸν Χριστόν, ἐνανθρωπήσαντα, ἢ τίς ἀνήγαγεν αὐτὸν ἐκ τοῦ ᾅδου, ἀνελευσόμενον εἰς οὐρανόν.

8. Ἀλλὰ τί λέγει;

(α) Δευτερον. λ', 12. — (β) Αὐτόθ. λ', 13. — (γ) Δῆλον ὅτι «ἡ ἐκ πίστεως δικαιο»σύνη».

Ἀλλὰ τί ἕτερον προςτίθησιν; (α)

8. «Ἐγγύς σου τὸ ῥῆμά ἐστι σφόδρα» (*).

Λίαν ἐγγύς σου τὸ κήρυγμά ἐστι, καὶ οὐ χρεία σοι ἀνόδου ἢ καθόδου· τουτέστι πόνου καὶ καμάτου ὥςτε λαβεῖν αὐτό.

8. «Ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου» (β).

Ἐγγὺς τοῦ στόματός σου, δι' οὗ ἡ ὁμολογία γίνεται· καὶ ἐγγὺς τῆς καρδίας σου, δι' ἧς τὸ πιστεύειν. Εἰπὼν δὲ ὅτι τὸ «ῥῆμα», λέγει καὶ ποῖον ῥῆμα·

8. Τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν·

Τὸ κήρυγμα τῆς εὐαγγελικῆς πίστεως. Ὑποτίθησι δὲ καὶ τὸν τρόπον τῆς ὁμολογίας καὶ πίστεως, καὶ ῥᾴδιον οὕτω δείκνυσι τὸ πρᾶγμα.

9. Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν,

Ἐὰν ὁμολογήσῃς Κύριον καὶ Δεσπότην, ὡς Θεόν, τὸν ὡς ἄνθρωπον Ἰησοῦν.

9. Καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ.

Τουτέστι· δικαιωθήσῃ.

10. Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

«Καρδίᾳ μὲν πιστεύεται» ὁ Χριστός, ὥςτε δικαιοῦν. «Στόματι δὲ » ὁμολογεῖται», ὥςτε σώζειν. Ἡ καρδίᾳ μὲν πιστευόμενος ὁ Χριστός, τουτέστιν ἀληθῶς καὶ βεβαίως πιστευόμενος, ὅτι Θεὸς ὢν ἐνηνθρώπησε, δικαιοῖ τὸν πιστεύοντα. Στόματι δὲ ὁμολογούμενος καὶ διαρρήδην κηρυττόμενος σώζει καὶ τῶν αἰωνίων ἀξιοῖ ἀγαθῶν. Χρὴ γὰρ ἀμφότερα συνδραμεῖν. Ἐδείχθη τοίνυν διὰ τῶν εἰρημένων, ὅτι καὶ γενναίας δεῖται ψυχῆς ἡ πίστις εἰς τὸ ἀποκρούεσθαι καὶ πόρρω βάλλειν τοὺς ἐνο-

---

(α) Ἡ Γραφὴ δηλονότι. — (*) Τὸ *σφόδρα*, λέξις οὖσα τοῦ Δευτερονομίου, ἐν οὐδενὶ τῶν ἐμοὶ γνωστῶν ἀντιγράφων συμπεριλαμβάνεται ἐν τῷ ἀποστολικῷ κειμένῳ.— (β) Δευτερον. λ', 14.

χλοῦντας λογισμοὺς τῆς ἀμφιβολίας, καὶ ὅτι τούτων ἀπελαυνομένων, ῥᾴστη καὶ εὐχερής ἐστιν εἰς κτῆσιν αὕτη. Ἀλλὰ τίνος ἂν εἶεν ἄξιοι συγγνώμης Ἰουδαῖοι, τὸν μὲν ἐπαχθῆ καὶ ἀνήνυτον νόμον κατέχειν φιλονικοῦντες, τὴν ἐλαφρὰν δὲ καὶ εὐκατόρθωτον πίστιν καὶ τὴν ἄπονον χάριν φρενοβλαβῶς ἀπωθούμενοι;

11. Λέγει γὰρ ἡ Γραφή· «Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καται-» σχυνθήσεται» (α)·

Εἰπὼν περὶ πίστεως καὶ ὁμολογίας, παράγει καὶ τούτων μαρτυρίας ἀπὸ τῆς Γραφῆς. Τῆς μὲν οὖν πίστεως μαρτυρία τὸ «πᾶς ὁ πιστεύων » ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται». Ἔστι δὲ τοῦτο τοῦ Ἡσαΐου, καὶ ἡρμηνεύθη ἀνωτέρω, ἔνθα τὸ «Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμ-» ματος» καὶ τὰ ἑξῆς (β). Τὴν δὲ τῆς ὁμολογίας (γ) ἐρεῖ προϊών.

12. Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος·

Πάλιν ἀνακεφαλαιοῦται τὰ διὰ πλειόνων ἀποδειχθέντα αὐτῷ, βεβαιῶν ὅτι ὅσον τὸ πιστεύειν οὐδὲν τὸ μέσον Ἰουδαίου τε καὶ Ἕλληνος. «Πᾶς γάρ, φησίν, ὁ πιστεύσας ἐπ' αὐτῷ κἂν Ἰουδαῖος, κἂν Ἕλλην, κἂν οἱοσδήποτε ἄνθρωπος. «Διαστολὴν» δὲ λέγει τὴν διαφοράν.

12. Ὁ γὰρ αὐτὸς Κύριος πάντων,

Ὅπερ ἐπὶ τοῦ Πατρὸς εἴρηκεν ἀνωτέρω, λέγων «ἢ Ἰουδαίων ὁ » Θεὸς μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν» (δ)· τοῦτο καὶ ἐπὶ τοῦ Υἱοῦ λέγει, ὅτι αὐτὸς ὁ Χριστὸς Κύριός ἐστι πάντων ἀνθρώπων, Ἰουδαίων τε καὶ Ἑλλήνων.

12. Πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

Πλουτῶν ἐν πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν Θεὸν ἢ βοηθόν, ὡς Θεόν· τουτέστι πλοῦτον ἔχων τοὺς ἐπικαλουμένους αὐτόν· ἤτοι τοὺς πιστεύοντας. Γέγραπται γὰρ ὅτι «καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν »σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς» (ε). Διὰ δὲ τοῦ

(α) Ἡσ. κη', 16. — (β) Ῥωμ. θ', 33. — (γ) «Μαρτυρίαν» δηλονότι. — (δ) Ῥωμ. γ', 29. — (ε) Ψαλμ. β', 8.

«πλούτου» τὸν ἔρωτα τῆς σωτηρίας τῶν πιστευόντων ἐνέφηνεν. Ἐράσμιος γὰρ ὁ πλοῦτος τῷ πλουτοῦντι.

13. «Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται» (α).

Ἰδοὺ καὶ ἡ μαρτυρία τῆς ὁμολογίας ἀπὸ τῆς γραφῆς Ἰωήλ. Ὅρα δὲ πανταχοῦ τὸ «πᾶς», ἵνα μηδὲν πλέον ἔχωσιν Ἰουδαῖοι.

14. Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν;

Προειπὼν ὅτι «ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν» (β), δείκνυσι λοιπόν, ὅτι καὶ αὐτῆς τῆς ἀγνοίας δίκην ὀφείλουσι τῷ Θεῷ. Κατασκευάζει δὲ τοῦτο προάγων τὸν λόγον κατ' ἀντίθεσιν καὶ λύσιν, ἵνα καὶ σαφὴς ὁ ἔλεγχος γένηται, τῶν μὲν ἀντιθέσεων φανερῶς κειμένων, τῶν δὲ λύσεων σιωπηρῶς νοουμένων. Σκόπει δέ· εἴρηκεν ὁ Προφήτης· «πᾶς ὃς ἂν ἐπικαλεσθῇ τὸ ὄνομα Κυρίου σωθήσεται». Εἶτα ἡ ἀντίθεσις, ὡς ἐρωτῶντός τινος, ὅτι καὶ πῶς ἐπικαλέσονται τὸν Χριστὸν Ἰουδαῖοι, εἰς ὃν οὐκ ἐπίστευσαν; Εἶτα ἡ λύσις· οὐδεὶς ἐκώλυσε πιστεῦσαι. Εἶτα πάλιν ἑτέρα ἀντίθεσις·

14. Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν;

Πῶς πιστεύσουσιν εἰς τὸν Χριστόν, περὶ οὗ οὐκ ἤκουσαν; ἢ πῶς πιστεύσουσι τῷ περὶ Χριστοῦ κηρύγματι, ὃ οὐκ ἐνωτίσαντο; Εἶτα ἡ λύσις· καὶ μὴν ἤκουσαν. Εἶτ' αὖθις ἀντίθεσις·

14. Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος;

Μὴ ὄντος κήρυκος; Εἶτα ἡ λύσις· καὶ μήν εἰσιν οἱ κηρύσσοντες, καὶ κηρύσσουσιν. Εἶτα πάλιν ἀντίθεσις·

15. Πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσιν;

«Ἐὰν μὴ ἀποσταλῶσι» παρὰ Θεοῦ. Εἶτα ἡ λύσις, ὅτι οὗτοι παρὰ Θεοῦ ἀπεστάλησαν.

15. Καθὼς γέγραπται·

Εἰςάγει τὸν προφήτην Ἡσαΐαν μαρτυροῦντα περὶ τῶν Ἀποστό-

(α) Ἰωὴλ β', 32.—(β) Ἀνωτ. στίχ. 2.

λων καὶ μακαρίζοντα τοὺς δι' αὐτῶν τρέχοντας τὴν θείαν ὁδόν·

15. « Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην τῶν εὐαγγελιζομένων τὰ ἀγαθά » (α).

Ὡς ἀμώμητος ἡ πορεία τῶν εὐαγγελιζομένων εἰρήνην Θεοῦ πρὸς ἀνθρώπους καὶ ἀγαθῶν ἀπόλαυσιν. Εἰ τοίνυν οἱ κήρυκες, φησίν, ἡμεῖς εἰρήνην καὶ ἀγαθὰ εὐαγγελιζόμεθα, ἄρα ἡμεῖς ἐσμεν περὶ ὧν εἶπεν ὁ Προφήτης, καὶ πρόδηλον ὅτι παρὰ Θεοῦ ἀπεστάλημεν. Τοιγαροῦν εἰ τὸ μὲν σωθῆναι ἐκ τοῦ ἐπικαλέσασθαι ἦν, τὸ δὲ ἐπικαλέσασθαι ἐκ τοῦ πιστεῦσαι, τὸ δὲ πιστεῦσαι ἐκ τοῦ ἀκοῦσαι, τὸ δὲ ἀκοῦσαι ἐκ τοῦ κηρύξαι, τὸ δὲ κηρύξαι ἐκ τοῦ ἀποσταλῆναι· ἀπεστάλησαν δὲ καὶ ἐκήρυξαν, καὶ τὸν Προφήτην ἔσχον μάρτυρα τοῦ κηρύγματος αὐτῶν, εὔδηλον ὅτι τὸ μὴ πιστεῦσαι ἐκείνων ἔγκλημα· τὰ γὰρ παρὰ Θεοῦ ἀπήρτισται πάντα.

16. Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ·

Ἀντίθεσις καὶ τοῦτο, λέγοντι, ὡς εἰ παρὰ Θεοῦ καὶ οἱ Ἀπόστολοι καὶ τὸ κήρυγμα, ἔδει πάντας τοὺς ἀκούοντας πιστεῦσαι. Νῦν δὲ οὐ πάντες ἐπίστευσαν. Εἶτα ἡ λύσις ἀπὸ τοῦ Ἡσαΐου·

16. Ἡσαΐας γὰρ λέγει· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν»; (β)

Εἰσάγει τὸν Ἡσαΐαν ἄνωθεν καὶ τὸ περὶ τῆς τοιαύτης ἀπιστίας προφητεύσαντα, ὡς εἶναι καὶ ἀπὸ τούτου δῆλον, ὅτι παρὰ Θεοῦ καὶ καὶ οἱ Ἀπόστολοι καὶ τὸ κήρυγμα. Προσώπῳ γὰρ αὐτῶν ἐκεῖνος εἴρηκε· «καὶ τίς ἐπίστευσε τῷ κηρύγματι ὑμῶν;» Τοῦτο γὰρ λέγει ἀκοήν, ὡς ἄκουσμα καὶ διδασκαλίαν. Διὰ δὲ τοῦ «τίς» τὸ σπάνιον τῶν πιστευσάντων ἐνέφηνεν.

17. Ἄρα ἡ πίστις ἐξ ἀκοῆς.

Μνησθεὶς ὁ Ἀπόστολος τῆς ἀκοῆς, καὶ δραξάμενος ἀφορμῆς, εὐκαίρως ἐπιστομίζει τοὺς δεχομένους τὴν πίστιν. Εἰ γὰρ ὁ Προφήτης « ἀκοὴν » τὸ κήρυγμα τῆς πίστεως προσηγόρευσεν, ἄρα ἡ πίστις ἐξ ἀκοῆς ὀφείλει γίνεσθαι, καὶ οὐκ ἐκ σημείων. Ἐπεὶ δὲ τοῦτο ἀτελὲς ἐδόκει, ἐξαίρει τὸ πρᾶγμα καὶ μεγαλύνει λέγων·

(α) Ἡσ. νβ', 7.—(β) Αὐτόθ. νγ', 1.

17. Ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ·

Ἡ δὲ παρὰ τοῦ Προφήτου ῥηθεῖσα «ἀκοή», τουτέστι τὸ κήρυγμα, διὰ ῥήματος Θεοῦ ἐστι, τὰ τοῦ Θεοῦ φθεγγομένων τῶν κηρυσσόντων καὶ ἃ ὁ Θεὸς αὐτοῖς ἐνετείλατο.

18. Ἀλλὰ λέγω· μὴ οὐκ ἤκουσαν;

Κατειρωνεύεται τῶν ἀπιστησάντων, ὑποκρινόμενος τὴν ἀντίθεσιν. Ἴσως γάρ, φησίν, οὐκ ἤκουσαν. Εἶτα λύει ταύτην μεθ' ὑπερβολῆς·

18. Μενοῦνγε «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐ-
» τῶν, καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα
» αὐτῶν» (α).

«Μενοῦνγε»· τουτέστιν ἀληθῶς οὐκ ἤκουσαν. Εἰρωνικῶς δὲ καὶ τοῦτο. Εἶτα τὸ ἑξῆς· πανταχοῦ ἐξῆλθε τὸ κήρυγμα τῶν Ἀποστόλων, καὶ εἰς αὐτὰ τῆς Οἰκουμένης τὰ πέρατα, καὶ πῶς εἰκὸς τούτους μὴ ἀκοῦσαι, παρ' οἷς οἱ Ἀπόστολοι τοσοῦτον διέτριψαν χρόνον, καὶ ὅθεν ἦσαν; Εἶτα ὑποκρίνεται καὶ ἄλλην ἀντίθεσιν·

19. Ἀλλὰ λέγω· μὴ οὐκ ἔγνω Ἰσραήλ;

Ἴσως, φησίν, ἤκουσαν μέν, οὐκ ἔγνωσαν δέ. Καὶ ὅρα πάλιν τοὺς λόγους ἀπό τε Μωϋσέως πρῶτον καὶ Ἡσαΐου δεύτερον·

19. Πρῶτος Μωϋσῆς «λέγει»· «ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ
»ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς» (β).

Πρῶτος Μωϋσῆς ἀποστερεῖ τούτους πάσης συγγνώμης ἐπὶ τῇ ἀγνοίᾳ. Λέγει γὰρ προσώπῳ τοῦ Θεοῦ πρὸς αὐτούς· ἐγὼ παρακνίσω ὑμᾶς καὶ φθονεροὺς ποιήσω ἐπὶ τιμῇ ἔθνους, οὐκ ἔθνους λογιζομένου παρ' ἡμῖν. Λέγει δὲ τὸ τῶν Χριστιανῶν γένος, τὸ τῶν πιστῶν σύστημα, ὅπερ ἐφαύλιζον Ἰουδαῖοι τοσοῦτον, ὡς μηδὲ ἔθνος αὐτοὺς ὀνομάζειν, ὡς ἀσυνέτους καὶ πλανωμένους. Ἡ «οὐκ ἔθνος» λέγοιτ' ἄν, καὶ ὡς μὴ καθ' ἑαυτὸ ἔθνος ὄν, ἀλλ' ἐκ διαφόρων ἐθνῶν συνεστηκός. Οὐ τοσοῦτον γὰρ ἐλύπει Ἰουδαίους ἡ ἔκπτωσις τῆς ἐπαγγελίας, ὅσον ἡ εὐημερία τῶν ἐθνῶν. Τὸ δὲ «ἐπὶ ἔθνει ἀσυνέτῳ» καὶ τὰ ἑξῆς, ἐφερ-

(α) Ψαλμ. ιη', 5. — (β) Δευτερον. λβ', 21.

μηνευτικά έστι τοῦ προρρηθέντος στίχου. Ἐπεὶ οὖν τινες, ὡς ἀνωτέρω προείρηται, ἐμέμφοντο τῷ Θεῷ, ἀντεισαγαγόντι τοὺς ἐξ ἐθνῶν εἰς τὰ τῶν Ἰουδαίων (α), φησὶ νῦν, ὁ Ἀπόστολος, ὅτι καὶ ἀπὸ τούτου ἔδει γνῶναι, ὅτι θεόθεν εἰς τὸ κήρυγμα. Πάλαι γὰρ περὶ τῆς μέμψεως ταύτης καὶ τοῦ φθόνου προεῖπε Μωϋσῆς. Εἶτα καὶ τὸν Ἡσαΐαν εἰσάγει·

20. Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· «εὑρέθην τοῖς ἐμὲ μὴ ζη»τοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι» (β).

Τολμηρόν τι ποιεῖ, μὴ δειλιάσας τὴν τῶν Ἰουδαίων μιαιφονίαν, καὶ λέγει διαρρήδην περὶ τῆς τῶν ἐθνῶν θεογνωσίας καὶ σωτηρίας. Λέγει γὰρ προσώπῳ τοῦ Θεοῦ εὑρέθην καὶ ἐγνωρίσθην, τοῖς ἔθνεσι, τοῖς ἐμὲ μὴ ζητοῦσι πρότερον. Τὸ αὐτὸ δὲ λέγει καὶ διὰ τοῦ ἐφεξῆς ῥητοῦ. Ταὐτὸν γὰρ τό τε «εὑρέθην» καὶ τὸ «ἐμφανὴς ἐγενόμην». Ἔτι δὲ τό τε «μὴ ζητοῦσι» καὶ τὸ «μὴ ἐπερωτῶσιν». Ἀλλὰ τοῦ μὲν Θεοῦ χάρις τὸ αὐτὸν αὐτοῖς εὑρεθῆναι, τῶν ἐθνῶν δὲ κατόρθωμα τὸ εὑρεθέντα λαβεῖν. Ἵνα δὲ μὴ λέγωσιν Ἰουδαῖοι ὅτι ἡμῖν οὐκ ἐνεφανίσθη, παράγει πάλιν τὸν Ἡσαΐαν ἐλέγχοντα αὐτούς·

21. Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· «ὅλην τὴν ἡμέραν ἐξεπέτασα »τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα»(γ).

Καὶ ταῦτα προσώπῳ τοῦ Θεοῦ εἴρηκεν Ἡσαΐας, παριστῶν ὅτι οὐ μόνον ἐνεφανίσθη τοῖς Ἰουδαίοις ὁ Θεός, ἀλλὰ καὶ ἐπὶ πολὺν χρόνον. Τοῦτο γὰρ δηλοῖ τὸ «ὅλην τὴν ἡμέραν». Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐκάλει τούτους καὶ ἐπεσπᾶτο. Τοῦτο γὰρ ἐμφαίνει τῶν χειρῶν ἡ ἔκτασις. Οἱ δὲ καὶ οὕτως ἠπείθουν τε καὶ ἀντέλεγον. Ταῦτα προεῖπε μὲν ὁ Ἡσαΐας, ἐγένετο δὲ ἐπὶ τοῦ Χριστοῦ, διδάσκοντος καὶ τὰ σημεῖα ἐργαζομένου. Ἔδει οὖν Ἰουδαίους καὶ ἀπὸ τῆς τῶν προφητευθέντων τούτων ἐκβάσεως γνῶναι ὅτι θεόθεν ἐστὶ τὸ κήρυγμα τοῦ Εὐαγγελίου.

(α) Ὅρ. τὴν ἐξήγησιν τοῦ στίχ. 5 τοῦ Θ' κεφ. τῆς παρούσης ἐπιστολῆς. — (β) Ἡσ. ξε', 1. — (γ) Αὐτόθ. 2.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΔΕΚΑΤΟΝ

Ις΄ Περὶ τοῦ σκοποῦ, καθ' ὃν ἐξεβλήθησαν, ὥςτε δεύτερον ἐπανελθεῖν, ζήλῳ τῶν προτιμηθέντων ἐθνῶν συνταχθέντων τῷ πιστῷ Ἰσραήλ.

1. Λέγω οὖν· μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ;

Ἐρωτᾷ ὅτι ἐπειδὴ ἠπείθησαν καὶ ἀντεῖπον, ἄρα ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Εἶτα ἀπαγορεύει ὃ ἠρώτησε, λέγων·

1. Μὴ γένοιτο.

Τὸ ἀπώσασθαι δηλονότι· τοῦ ὅλου γὰρ λαοῦ καὶ ὀλίγοι πιστεύσαντες λαός εἰσι τοῦ Θεοῦ, καὶ δι' αὐτῶν, κληρονομησάντων, πεπλήρωται ἡ πρὸς Ἀβραὰμ ἐπαγγελία.

1. Καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν.

Εἰ ἀπώσατο τὸν λαὸν αὐτοῦ, φησίν, οὐκ ἂν ἐγὼ ᾠκειώθην καὶ εἰς τὸ κήρυγμα αὐτοῦ ἀπεστάλην, Ἑβραῖος καὶ αὐτὸς ὢν καὶ ἐκ τοῦ λαοῦ αὐτοῦ.

2. Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω.

Οὐκ ἠρκέσθη τῷ «μὴ γένοιτο», ἀλλ' ἐπιβεβαιῶν τὴν ἀπαγόρευσιν «οὐκ ἀπώσατο, φησί, τὸν λαὸν αὐτοῦ, ὃν προέγνω» δεξόμενον τὴν πίστιν, ὃν ᾔδει ἄξιον ἑαυτοῦ. Ἐνέφηνε δὲ διὰ τοῦ «λαοῦ» τούς τε ἄλλους Ἀποστόλους καὶ τοὺς μετὰ τούτους τριςχιλίους, καὶ τοὺς μετ' ἐκείνους πεντακιςχιλίους, καὶ αὖθις μυρίους· οἳ σύμπαντες Ἑβραῖοί τε ἦσαν, καὶ ἐξ Ἀβραὰμ καὶ τοῦ ἐκεῖθεν λαοῦ κατήγοντο (α). Ἵνα οὖν μὴ λέγωσι· τί οὖν εἰς τοσούτους, ὅσους λέγεις, περιέστη ὁ λαὸς ἐκεῖνος ὅλος, ὁ τῷ πλήθει τὰ ἄστρα καὶ τὴν ἄμμον μιμούμενος, παράγει τὴν κατὰ τὸν Ἠλίαν ἱστορίαν, δεικνύων ὅτι ὥςπερ τότε ἐν ὀλίγοις ὁ λαὸς περιέστη, πλὴν δοκίμοις καὶ τῶν πολλῶν ἀνταξίοις, οὕτω καὶ νῦν.

(α) Πράξ. β', 41. κα', 20.

2. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ Γραφή;

Ἐν τῇ κατὰ τὸν Ἠλίαν ἱστορίᾳ. «Γραφὴ» δὲ ἡ τῶν Βασιλειῶν.

2. Ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ,

Ὅπως ἐγκαλεῖ πρὸς τὸν Θεόν, ἢ διαλέγεται τῷ Θεῷ κατὰ τοῦ εἰδωλολατρήσαντος Ἰσραηλιτικοῦ λαοῦ.

3. Λέγων· «Κύριε, τοὺς Προφήτας σου ἀπέκτειναν καὶ τὰ θυ-
» σιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ
» ζητοῦσι τὴν ψυχήν μου» (α).

«Ζητοῦσιν» εἰς τὸ ἐξᾶραι αὐτήν.

4. Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός;

Ὁ παρὰ τοῦ Θεοῦ λόγος.

4. «Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας»,

«Κατέλιπον» θελήσαντας εἶναι παρ' ἐμοί. Τοὺς ἄλλους δὲ πάντας ἀπέλυσα, ἀθετήσαντάς με, μήτε τοὺς ἀποστάντας ἀπ' ἐμοῦ βιασάμενος, καὶ τοῖς παραμένουσι συνεργήσας. Τὸ γὰρ «κατέλιπον» ἐμφαίνει καί τινα παρὰ Θεοῦ χάριν.

4. «Οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ» (β)·

Οἵτινες οὐ προσεκύνησαν τῇ Βάαλ. Εἴδωλον δὲ τοῦ Διός.

5. Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν (γ).

Κατάλειμμα γέγονεν, ἐκλεγὲν ὑπὸ τῆς θείας χάριτος, ὡς δόκιμον καὶ τῶν ἄλλων πάντων ἀντάξιον. Ἀλλὰ τοῦ καταλείμματος μὲν τὸ πιστεῦσαι· τῆς χάριτος δὲ τὸ ἐκλέξασθαι καὶ οἰκειώσασθαι.

6. Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων·

(α) Γ' Βασιλ. ιθ', 10. ιδ', 18. — (β) Αὐτόθ. —(γ) Βασίλειος ὁ μέγ. (Ἑρμ. εἰς τὸν Ἡσ., Τόμ. Β', σελ. 549) λέγει ὅτι τὸ ῥητὸν τοῦτο τοῦ Ἀποστόλου ἔχει τὴν ἀναφορὰν ἐπὶ τὸ παρὰ τοῦ Ἡσαΐου (ι', 20) εἰρημένον. «Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰα»κὼβ ἐπὶ Θεὸν ἰσχύοντα».

Εἰ δὲ χάριτι ἐξελέγη, ἄρα οὐκ ἐξ ἔργων ἐξελέγη, ἀλλ' ἐκ μόνης πίστεως, ὥςπερ καὶ οἱ κατὰ τὸν Ἠλίαν ἑπτακιςχίλιοι ἐκ μόνης τῆς εἰς Θεὸν πίστεως ἐξελέγησαν. Τὸ πλέον δὲ τῆς θείας χάριτος ἦν κἀκεῖ καὶ ἐνταῦθα.

6. Ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις·

Εἰ ἔργων δεόμεθα εἰς τὸ ἐκλεγῆναι, ἡ χάρις τοῦ Θεοῦ λοιπὸν οὐκέτι λογίζεται χάρις, ἀλλ' ἔργων ἀντίδοσις καὶ μισθός. Νῦν δὲ οὐκ ἔργων χρεία, ἀλλ' εὐγνωμοσύνης καὶ πίστεως, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις δειχθῇ καὶ ὁ Θεὸς δοξασθῇ.

6. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις·

Εἰ δὲ ἐξ ἔργων ἡ ἐκλογή, ἀνῄρηται ἡ χάρις.

6. Ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον.

Ἐπεὶ εἰ μὴ ἀναιρεθῇ ἡ χάρις, τὸ ἔργον οὐκέτι λογίζεται ἔργον. Ἀλλήλοις γὰρ ἐμποδίζουσι. Καὶ εἰ μὴ θάτερα ἀπείη, θάτερα οὐ συστήσεται (α). Τοῖς ἔργοις μὲν γὰρ ἕπεται μισθός, ἀλλ' οὐ χάρις· ἡ χάρις δὲ δίδοται τοῖς μὴ ἐργασαμένοις, ἀλλ' οὐ τοῖς ἐργασαμένοις. Τί τοίνυν φιλονικεῖτε ἐξ ἔργων νόμου δικαιωθῆναι, ὅπερ οὐ δυνήσεσθε; Τί δὲ φοβεῖσθε προςελθεῖν, ἔργα μὴ ἀπαιτούμενοι, ἀλλὰ χάριτι δικαιούμενοι;

7. Τί οὖν;

Τί γέγονεν;

7. Ὃ ἐπιζητεῖ Ἰσραὴλ τούτου οὐκ ἐπέτυχεν·

Ἐπιζητεῖ μὲν τὴν ἐξ ἔργων νόμου δικαιοσύνην, οὐκ ἐπέτυχε δὲ ταύτης, διὰ τὸ μὴ φυλάξαι τὸν νόμον, ὡς ἀνωτέρω προείρηται. «Ἰσραὴλ» δὲ νῦν λέγει τοὺς ἀπιστοῦντας Ἰουδαίους.

7. Ἡ δὲ ἐκλογὴ ἐπέτυχεν,

«Ἐπέτυχε» τῆς ἐκ πίστεως δικαιοσύνης. «Ἐπέτυχε» δὲ εἶπεν,

(α) Ὀρθοτέρα ἡ γραφὴ τοῦ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Μονάχου ὑπάρχοντος χειρογράφου ἔχουσα ὧδε· «κἂν μὴ *θάτερον ἀπείη, θάτερον οὐ συστήσεται*». Ὅρ. F. Matth. n. Testam. ἐν λ.

ἐμφαίνων τὸ μέγεθος τῶν ἀγαθῶν, ὧν ἀπήλαυσαν. «Ἐκλογὴ» δὲ οἱ ἐξ Ἰουδαίων πεπιστευκότες, οὓς καὶ «λεῖμμα» ἐκάλεσεν.

7. Οἱ δὲ λοιποὶ ἐπωρώθησαν.

Οἱ ἀπιστοῦντες Ἰουδαῖοι ἀναίσθητοι τοῦ καλοῦ γεγόνασιν.

8. Καθὼς γέγραπται·

Ἐν Ἠσαΐᾳ. Εἶτα τίθησι καὶ τὰ ῥητά·

8. «Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως».

Ἐπεὶ ἡ κατάνυξις μεταβολή τίς ἐστιν ἐπὶ τὸ κρεῖττον καὶ μετάθεσις, κατάνυξιν ἐπὶ τοῦ παρόντος τὴν ἐπὶ τὸ χεῖρον μεταβολὴν οἰητέον. Μετέβαλον γὰρ τὸ ὁρᾶν εἰς τὸ μὴ ὁρᾶν καὶ τὸ ἀκούειν εἰς τὸ μὴ ἀκούειν. «Πνεῦμα οὖν κατανύξεως» ἀντὶ τοῦ «κατάνυξιν» περιφραστικῶς· ἢ προαίρεσιν κατανύξεως. Τὸ δὲ «ἔδωκεν» ἀντὶ τοῦ «συνεχώρησεν ἔχειν» (α).

8. «Ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν» (β).

Καὶ συνεχώρησεν, ὡς εἴρηται, ἔχειν ὀφθαλμοὺς εἰς τὸ μὴ ὁρᾶν τὰ θαύματα τοῦ Χριστοῦ, καὶ ὦτα εἰς τὸ μὴ ἀκούειν τῆς διδασκαλίας αὐτοῦ. Περὶ τούτων γὰρ ἡ παροῦσα προφητεία τοῦ Ἠσαΐου, παριστῶσα τὸ ἐθελότυφλον τῶν Ἰουδαίων καὶ ἐθελόκωφον.

8. Ἕως τῆς σήμερον ἡμέρας.

Τοῦτο τοῦ Ἀποστόλου ἐστὶ τὸ ῥητόν.

9. Καὶ Δαυῒδ λέγει· «γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα, » καὶ εἰς θήραν».

Βουλόμενος δεῖξαι ὅτι καὶ δίκην τίσουσιν, ἐπάγει τὸν Δαυΐδ, τοῦτο προαναφωνήσαντα. Καὶ διὰ μὲν «τῆς τραπέζης» αἰνίττεται τὴν τροφὴν αὐτῶν καὶ τὰ ἀγαθά· διὰ δὲ «τῆς παγίδος καὶ τῆς θήρας» τὴν παρὰ τῶν πολεμίων ἐπιβουλὴν καὶ τὴν ἅλωσιν. Τὸ δὲ «γενηθήτω»

(α) Οἰκουμ. ἐν λ. «Κατάνυξιν τὴν περὶ τὸ χεῖρον νῦν ἕξιν καὶ προσοχὴν τῆς ψυχῆς » καλεῖ. Κατανυγῆναι γάρ ἐστι τὸ ἐμπαγῆναί που καὶ προσηλωθῆναι καὶ ἐν καλῷ καὶ » ἐν κακῷ».— (β) Ἠσ. ς', 9. 10. κθ', 10.

καὶ τὰ ἑξῆς προςτακτικὰ ἀντὶ τοῦ «γενηθήσεται καὶ σκοτισθήσεται » καὶ συγκαμφθήσεται».

9. «Καὶ εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτοῖς»·

Εἰς σκῶλον καὶ εἰς ἔκτισιν ὧν ἡμαρτήκασιν.

10. «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν».

Σκοτισθήσονται ἑκόντες, ὡς προείρηται.

10. «Καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον» (α).

Διὰ τῆς τοῦ νώτου συγκάμψεως τὴν νωτοφορίαν καὶ δουλείαν αὐτῶν ἐδήλωσε, μᾶλλον δὲ ἀειδουλείαν. Τοῦτο γὰρ εἰςάγει τὸ διὰ παντός.

11. Λέγω οὖν, μὴ ἔπταισαν, ἵνα πέσωσι ;

Ἐπειδὴ σφοδρῶς αὐτὸν κατέδραμε καὶ τοὺς Προφήτας εἰςήγαγε διαφόρως καταβοῶντας αὐτῶν, παραμυθεῖται πάλιν, ἵνα μὴ εἰς ἀπόγνωσιν αὐτοὺς ἐμβαλὼν, ἀποτειχίσῃ τούτοις τὴν πίστιν, καὶ τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἐπάρῃ, φυσηθέντας εἰς ἀπόνοιαν. Ἐρωτᾷ τοίνυν· μὴ ἔπταισαν Ἰουδαῖοι μὴ πιστεύσαντες εἰς Χριστόν, ἵνα ἀπόλωνται; Τοῦτο γὰρ δηλοῖ τὸ «ἵνα πέσωσι». Μὴ ἔπταισαν ἀνίατα;

11. Μὴ γένοιτο·

Τὸ πταῖσαι αὐτοὺς ἀδιόρθωτα· ἔστι γὰρ μετάνοια καὶ σωτηρίας ἐλπίς. Εἶτα κατασκευάζει, ὅτι τὸ πταῖσμα αὐτῶν διπλῆν οἰκονομίαν ἐργάζεται· τά τε γὰρ ἔθνη ἀντειςάγει καὶ αὐτοὺς δὲ παρακνίζον καὶ ἐρεθίζον ἐπιστρέφει, μὴ φέροντας τὴν τοσαύτην τῶν ἐθνῶν τιμήν.

11. Ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς.

Οὕτως ὁ Ἀπόστολος καὶ πρὸς τοὺς στασιάζοντας Ἰουδαίους ἀλλαχοῦ φανερώτερον ἔλεγεν· «ὑμῖν πρῶτον ἀναγκαῖον ἦν λαληθῆναι » τὸν λόγον τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἀναξίους ἑαυτοὺς πεποιήκατε, ἰδού, » στρεφόμεθα εἰς τὰ ἔθνη» (β). Ἀλλ' αὐτῶν, φησί, πταισάντων ἐν

(α) Ψαλμ. ξη', 23. 24.— (β) Πράξ. ιγ', 46.

τῷ μὴ παραδέξασθαι τὸ κήρυγμα, ἡ σωτηρία τοῖς ἔθνεσι γέγονε, στραφέντων ἡμῶν εἰς αὐτὰ καὶ κηρυξάντων καὶ ἑλκυσάντων πολλούς, ὥςτε παραζηλῶσαι καὶ φθονῆσαι καὶ πιστεῦσαι πολλοὺς αὖθις Ἰουδαίους. Ταῦτα δὲ εἶπεν ὑποτείνων τε τούτοις ἐλπίδας καὶ εὐφυῶς ἐπισπώμενος καὶ τοὺς ἐξ ἐθνῶν καταστέλλει, ὡς ἐκείνων γενομένων αἰτίων τῆς σωτηρίας τούτων. Οὐ διὰ τοῦτο δὲ ἡ σωτηρία τοῖς ἔθνεσι γέγονεν, ἵνα παραζηλώσωσιν Ἰουδαῖοι· ἀλλ' ἡ μὲν παραζήλωσις ἐξέβη κατ' ἀκολουθίαν, ὁ δὲ Ἀπόστολος, ὡς προηγούμενον ἔθηκε τοῦτο, παραμυθούμενος, ὡς εἴρηται, πεπληγυίας τὰς τῶν Ἰουδαίων ψυχάς. Ἡ γὰρ τοῦ Θεοῦ ἐνανθρώπησις οὐ διὰ μόνους τοὺς Ἰουδαίους γέγονεν, ἀλλὰ καὶ διὰ πάντας ἀνθρώπους, εἰ καὶ προηγουμένως διὰ τοὺς Ἰουδαίους, ὡς καὶ πρώτους ἐγνωκότας τὸν Θεόν.

12. Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

Ἐνταῦθα πρὸς χάριν αὐτοῖς διαλέγεται. Καὶ γὰρ εἰ μυριάκις παρέπεσον οὗτοι, οὐκ ἂν ἐσώθησαν τὰ ἔθνη, εἰ μὴ ἐπίστευσαν. Ἀλλ' ὅπερ ἔφην, παρηγορεῖ τούτους ἀθυμήσαντας καὶ παρασκευάζει θαρρεῖν ὑπὲρ τῆς σωτηρίας αὐτῶν, εἰ μόνον [μεταμέλοιντο] (α). Εἰ γὰρ τὸ πταῖσμα αὐτῶν, ὃ καὶ «ἥττημα» προςηγόρευσε, πλοῦτος ἐγένετο κόσμου, τουτέστιν εὐεργεσία καὶ σωτηρία τῶν ἐν τῷ κόσμῳ ἐθνῶν, πόσῳ μᾶλλον πλοῦτος κόσμου ἔσται τὸ δι' αὐτῶν «πλήρωμα»; Νῦν μὲν γὰρ ὅσον ἐπὶ τούτοις ἐλλιπής ἐστιν ὁ πλοῦτος τοῦ κόσμου· ὅτε δὲ καὶ οὗτοι εἰςέλθωσιν, ἀπαρτισθήσεται.

13. Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν,

Ἐπὶ τοὺς ἐξ ἐθνῶν τρέπει τὸν λόγον, ἅμα μὲν καταστέλλων τὸ φρόνημα τούτων, ἅμα δὲ καὶ παρακνίζων ἠρέμα τὸν Ἰουδαῖον. Ἀλλ' εἰπέ, τί λέγεις;

13. Ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν Ἀπόστολος, τὴν διακονίαν μου δοξάζω·

Ἕως εἰμὶ ἐθνῶν διδάσκαλος, ἢ διότι εἰμὶ ὑμῖν κῆρυξ, ὑμᾶς ἐπαινῶ,

---

(α) Τὸ χειρόγραφον ἔχει «μετάνοιντο» διὰ πλημμέλειαν τοῦ ἀντιγραφέως πάντως.

Τοῦτο γάρ ἐστι τὸ «τὴν διακονίαν μου δοξάζω». Ὑμεῖς γὰρ διακονία μου καὶ ἔργον μου· τουτέστιν ἡ ὑμετέρα πίστις καὶ σωτηρία. Ἐπαινῶ δὲ ὑμᾶς οὐ μόνον ὅτι ἐπιστεύσατε, ἀλλὰ καὶ διὰ τὴν ῥηθησομένην αἰτίαν·

14. Εἴ πως παραζηλώσω μου τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐτῶν.

Αὕτη ἡ ἑτέρα αἰτία τοῦ ἐπαίνου. Εἴ πως, φησίν, ἐπαινῶν ὑμᾶς παρακνίσω τοὺς συγγενεῖς μου (τοῦτο γὰρ διὰ τῆς «σαρκὸς» ἠνίξατο)· λέγει δὲ πάντας τοὺς Ἰουδαίους· καὶ δι' ὑμῶν ἐρεθίσας αὐτοὺς σώσω τινὰς ἐξ αὐτῶν. Σκόπει δέ· ὥςπερ οἱ Ἰουδαῖοι αἴτιοι γεγόνασι τῆς τῶν ἐθνῶν σωτηρίας, οὕτω καὶ τὰ ἔθνη αἴτια τῆς τῶν Ἰουδαίων σωτηρίας. Ἀλλὰ οἱ μὲν ἐξ ἀπιστίας, οἱ δὲ ἐκ πίστεως. Τῶν μὲν γὰρ ἀπιστησάντων ἀντεισήχθησαν τὰ ἔθνη· τῶν δὲ πιστευσάντων παρεζήλωσαν οἱ πιστεύσαντες Ἰουδαῖοι.

15. Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου· τίς ἡ πρόςληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

Ἐπὶ πλέον προτρέπων Ἰουδαίους εἰς τὴν πίστιν, ἐπαναλαμβάνει τὸν ἀνωτέρω ῥηθέντα λόγον. Εἰ γὰρ ἀποβληθέντων, φησίν, αὐτῶν διὰ τὴν ἀπιστίαν αὐτῶν, κατηλλάγησαν τὰ ἔθνη τοῦ κόσμου πρὸς τὸν Θεὸν διὰ πίστεως (λέγει δὲ τοὺς ἐκ παντὸς ἔθνους πιστεύσαντας), τίς ἔσται ἡ πρόςληψις τῶν ἀποβληθέντων; οὐδὲν ἕτερον ἔσται, εἰμὴ ἄντικρυς ζωὴ ἐκ νεκρῶν. Μεγαλῦναι γὰρ τὸ πρᾶγμα βουλόμενος, παλινζωΐᾳ τοῦτο παρείκασεν. Μεγάλων, φησίν, εὐεργεσιῶν ὑπόθεσις ἔσται, τελείας ἤδη τῆς καταλλαγῆς καὶ ἐπὶ τούτοις γινομένης, καὶ τοῦ Θεοῦ τέλεον θεραπευομένου.

16. Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

Ἅγιοι δηλονότι. Ἐγκωμιάζει δὲ τοὺς Ἑβραίους, κἀντεῦθεν παραμυθίαν τοῖς ἀθυμοῦσιν ἐπινοῶν καὶ ἠρέμα πρὸς τὴν πίστιν ἐκκαλούμενος, «ἀπαρχὴν» μὲν οὖν καὶ «ῥίζαν» λέγει τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, καὶ τοὺς ἐπὶ τῆς Παλαιᾶς λάμψαντας Πατριάρχας καὶ Προφήτας. «Φύραμα» δὲ καὶ «κλάδους» τοὺς ἐκ τοῦ γένους αὐτῶν πιστεύοντας. «Φύραμα» δὲ ἡ ζύμη.

17. **Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν,**

Ἐκ τῆς ῥίζης ἀπεβλήθησαν διὰ τῆς ἀπιστίας. Λέγει δὲ τοὺς μὴ παραδεξαμένους τὸ κήρυγμα. «Τινὲς» δὲ εἶπε, παραμυθούμενος αὐτούς, ὡς πολλάκις εἰρήκαμεν, ἐπεὶ πολλῷ πλείους οἱ ἀπιστήσαντες.

17. **Σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου, μὴ κατακαυχῶ τῶν κλάδων·**

Δοκεῖ μὲν παραμυθεῖσθαι τοὺς Ἰουδαίους ἐν τῷ καταστέλλειν τὸ φρόνημα τῶν ἐθνικῶν, πλήττει δὲ μᾶλλον αὐτοὺς ἐν τῷ λέγειν πρὸς τὸν ἐξ ἐθνῶν ὅτι «ἀγριέλαιος ὢν ἐνεκεντρίσθης» ἐν τοῖς μένουσι κλάδοις, ἐν τοῖς μὴ ἐκκλασθεῖσι, καὶ συγκοινωνὸς αὐτοῖς ἐγένου τῆς ῥίζης καὶ τῆς πιότητος· τουτέστιν εὐτελὴς καὶ δυςγενὴς ὤν, εἰς τὴν αὐτὴν αὐτοῖς εὐγένειαν καὶ περιφάνειαν καὶ φύσιν κατέστης, ἐν μηδενὶ ἐλαττούμενος. Καὶ αὖθις ἐν τῷ λέγειν ὅτι «μὴ κατακαυχῶ τῶν ἐκ»κλασθέντων κλάδων» δείκνυσι γὰρ (α) ὅτι χρὴ τοῦτον, εἰ καὶ μὴ κατακαυχᾶσθαι, ἀλλὰ τέως καυχᾶσθαι, ἅτε διὰ πίστεως ἰδίας καὶ χάριτος θείας τηλικούτων ἀξιωθέντα. Ὅσῳ γὰρ ἂν εὐτελὴς ᾖ ὁ ἐξ ἐθνῶν, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἀλγεῖ, τοῖς ἑαυτοῦ τὸν τοιοῦτον ἐντρυφῶντα βλέπων. Κἀκείνῳ δὲ οὐ τοσαύτη ἀπὸ τῆς εὐτελείας ἡ αἰσχύνη, ὅση ἀπὸ τῆς μεταβολῆς ἡ τιμή.

18. **Εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ.**

Εἰ μὲν τῆς ῥίζης κατεκαυχώμην, εἶχεν ἄν τινα τοῦτο λόγον. Εἰ δὲ ταύτην, ὡς ἁγίαν, τιμῶ, τί τοῦτο πρὸς τοὺς ἐκκλασθέντας κλάδους; Οὐδέν. Ἀλλὰ κἀνταῦθα σκιὰν γοῦν τινα παραμυθίας ἐπενόησεν αὐτοῖς ὁ Ἀπόστολος, ἅμα καὶ τῶν ἐξ ἐθνῶν τὸ φύσημα καθαιρῶν.

19. **Ἐρεῖς οὖν· ἐξεκλάσθησαν κλάδοι ἵνα ἐγὼ ἐγκεντρισθῶ.**

Ἐρεῖς οὖν ὅτι «ἐξεκλάσθησαν» ὡς ἄχρηστοι, ἵνα ἀντὶ τούτων ἐγὼ ἐγκεντρισθῶ, μέλλων χρησιμεῦσαι, καὶ πῶς οὐ καυχήσομαι τοιούτου καταξιωθεὶς ἀγαθοῦ; Ἐσχημάτισε δὲ τὸν λόγον, ὡς τῶν ἐξ ἐθνῶν

(α) Πλεονάζει προφανῶς ἐνταῦθα ὁ γάρ.

τοῦτο λεγόντων, καὶ παροξύνει μάλιστα καὶ ἐφέλκεται λεληθότως τὸν Ἰουδαῖον.

20. Καλῶς·

Συναινεῖ τῷ λόγῳ, ὡς ἀληθεῖ. Εἶτα τίθησι καὶ τὰς αἰτίας τῆς τε τῶν Ἰουδαίων ἀποβολῆς καὶ τῆς τῶν ἐθνῶν προςλήψεως.

20 Τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας·

Ἐγκεντρισθεὶς ἕστηκας ἐπὶ τῆς ῥίζης.

20. Μὴ ὑψηλοφρόνει,

Ἐφ' οἷς εὐηργετήθης. Καὶ δοκεῖ μὲν τὸν ἐξ ἐθνῶν κατασφαλίζεσθαι, διδάσκει δὲ τὸν Ἰουδαῖον, ὅτι οὐ χρὴ θαρρεῖν τῇ συγγενείᾳ τῆς φύσεως.

20. Ἀλλὰ φοβοῦ.

Μὴ καὶ σὺ δι' ἀπιστίαν ἐκπέσῃς.

21. Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μή πως οὐδὲ σοῦ φείσηται.

Τῶν κατὰ φύσιν τῆς ῥίζης, τῶν φύσει τέκνων τοῦ Ἀβραάμ. Οὐκ εἶπε δὲ ἁπλῶς ὅτι «οὐδὲ σοῦ φείσηται» ἀλλὰ τὸ «μή πως» προςέθηκεν, ὑποτεμνόμενος τοῦ λόγου τὸ φορτικόν, κἀκεῖνον μὲν ἐπισπώμενος, τοῦτον δὲ καταστέλλων καὶ ποιῶν ἐναγώνιον.

22. Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα,

Οὐκ εἶπεν «ἴδε σὸν κατόρθωμα», ἀλλ' ἴδε φιλανθρωπίαν Θεοῦ, δεικνύων ὅτι τὸ πλεῖον τῆς τοῦ Θεοῦ χάριτός ἐστιν. Οὗ δὲ τὸ πλεῖον, ὡς εἰρήκαμεν, τούτου τὸ πᾶν εἶναι λέγεται. Ἐπὶ μὲν τοὺς ἀποβληθέντας κλάδους αὐστηρίαν ὀργῆς, ἐπὶ δὲ σὲ τὸν ἐγκεντρισθέντα, ἀγαθότητα.

22. Ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι·

Ἐὰν ἄξια τῆς θείας χρηστότητος ἐργάζῃ· οὐ γὰρ πίστεως δεῖ μόνης, ἀλλὰ καὶ ἔργων.

22. Ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ.

Ὥςπερ Ἰουδαῖοι· «εἰ μὴ ἐπιμείνῃς τῇ χρηστότητι» τοῦ Θεοῦ.

23. Καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται·

Ὥςπερ ἐνεκεντρίσθης καὶ σύ· οὐδὲν γὰρ ἀκίνητον, οὔτε τὸ σὸν καλὸν οὔτε τὸ ἐκείνων κακόν. Μήτε οὖν σὺ «χρηστότητα» ἀκούων ἐπαρθῇς καὶ ῥᾳθυμήσῃς, μήτε ἐκεῖνοι «ἀποτομίαν» ἀκούοντες ἀπογινωσκέτωσαν καὶ καταπιπτέτωσαν, ἀλλὰ καὶ σὺ καταστέλλου καὶ ἀσφαλίζου, κἀκεῖνοι ἐγειρέσθωσαν καὶ παραμυθείσθωσαν (α). Ὅρα δὲ πῶς τὸν μὲν ἐξ ἐθνῶν ἀπὸ τῶν συμβεβηκότων Ἰουδαίοις φοβεῖ, τὸν δὲ Ἰουδαῖον ἀπὸ τῶν τοῖς ἔθνεσι δωρηθέντων παρασκευάζει θαρρεῖν. Ὅλον δὲ τὸν λόγον πρὸς τοὺς ἐξ ἐθνῶν τρέπει, ἐν τῇ τῶν ἰσχυροτέρων ἐπιπλήξει τοὺς ἀσθενεῖς διορθούμενος.

23. Δυνατὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς.

Συμφῦσαι· ἀποκαταστῆσαι τῇ ῥίζῃ.

24. Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

Πρῶτον μὲν ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως ἐπιστώσατο τὸν λόγον· εἶτα δὲ καὶ ἀπὸ τάξεως πραγμάτων καὶ λογισμῶν ἀκολουθίας. Εἰ γὰρ σύ, φησίν, ὁ ἐξ ἐθνῶν, ἐκ τῆς φυσικῆς ἐξεκόπης ῥίζης· ἤγουν τῶν εἰδωλολατρούντων προγόνων, ἐξεκόπης δὲ τῇ ἀξίνῃ τῆς πίστεως (ταύτην γὰρ τὴν ῥίζαν λέγει «ἀγριελαίαν» ὡς δυςγενῆ) καὶ ἐνεκεντρίσθης εἰς τὴν εὐγενῆ ῥίζαν τῶν Ἰσραηλιτῶν, ὡς ἀνωτέρω δεδήλωται, ὅπερ ἐστὶ «παρὰ φύσιν» ἐγκεντρισμός (οὐ γὰρ εἰς οἰκείαν ῥίζαν, ἀλλ᾽ εἰς ἀλλοτρίαν ἐνεκεντρίσθης), πολλῷ μᾶλλον οὗτοι «οἱ κατὰ »φύσιν» κλάδοι, οἱ τῆς αὐτῆς ἐκφύσαντες ῥίζης, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ῥίζῃ. Καὶ εἰ τὸ «παρὰ φύσιν» ἴσχυσεν ἡ πίστις, πολλῷ μᾶλλον τὸ «κατὰ φύσιν». «Κατὰ φύσιν» δὲ καὶ «παρὰ φύσιν» ἀκούοντες, τὸ εἰκὸς καὶ ἀκόλουθον, καὶ τὸ ἀπεικὸς καὶ ἀνακόλουθον νοεῖν

(α) Τὸ χειρόγραφον *παραμυθέσθωσαν*.

ὀφείλομεν. Οὐ γὰρ φυσικὰ τὰ καλά τε καὶ κακά, ἀλλὰ γνωμικὰ καὶ προαιρετικά.

25. Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο,

Πρὸς τοὺς ἐξ ἐθνῶν ὁ λόγος. «Μυστήριον» δὲ λέγει τὸ ἀγνοούμενον καὶ ἀπόρρητον.

25. Ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι,

Ἵνα μὴ τῇ ἀγνοίᾳ τούτου, ἡγούμενοι συνετοὺς ἑαυτούς, φυσιωθῆτε, καὶ κατεπαίρησθε τῶν Ἰουδαίων. Ἀλλὰ τί τὸ μυστήριον;

25. Ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν,

Σκληροκαρδίᾳ πρὸς παραδοχὴν τοῦ κηρύγματος, ἀναισθησίᾳ τῆς ἀληθείας. «Ἀπὸ μέρους» δὲ εἰπὼν ἐνέφηνεν ὅτι τοῦ Ἰσραηλιτικοῦ λαοῦ οὐ πάντες ἐπωρώθησαν, ἀλλὰ πολλοὶ ἐπίστευσαν καὶ πιστεύουσιν.

25. Ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰςέλθῃ.

Πώρωσις δὲ τοῖς ἀπιστοῦσίν ἐστιν, ἕως οὗ πάντες οἱ ἐξ ἐθνῶν πιστεῦσαι μέλλοντες εἰςέλθωσιν εἰς τὴν πίστιν. Τούτους γὰρ «πλήρωμα τῶν ἐθνῶν» ὠνόμασεν, ὡς πληροῦντας τὸ μέτρον, ὃ προέγνω ὁ Θεὸς καὶ προώρισεν· ἢ ὡς συμπληροῦντας τὴν ἐκ διαφόρων ἐθνῶν Ἐκκλησίαν.

26. Καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται·

Καὶ μετὰ τὸ εἰςελθεῖν τὸ πλήρωμα τῶν ἐθνῶν «πᾶς Ἰσραὴλ» ὁ καταληφθεὶς καὶ ζῶν ἔτι «σωθήσεται». Τῆς γὰρ δευτέρας τοῦ Χριστοῦ παρουσίας προδραμεῖν μέλλοντος Ἠλιοὺ τοῦ πάνυ, καὶ τῷ καταλείμματι τοῦ Ἰσραὴλ προςενεγκεῖν τῆς πίστεως τὴν διδασκαλίαν, πιστεύσουσι καὶ σωθήσονται. Περὶ ὧν καὶ ὁ Χριστὸς εἴρηκεν· «ἔρχεται Ἠλίας καὶ ἀποκαταστήσει πάντα» (α).

26. Καθὼς γέγραπται·

Εἰπὼν ὅτι «σωθήσεται» παράγει μάρτυρα τὸν προφήτην Ἠσαίαν· γέγραφε γάρ·

(α) Ματθ. ιζ', 11.

26. «Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος»,

Ἐκ Σιὼν γὰρ ἄρξεται τοῦ κηρύττειν ὁ Ἠλίας, καὶ ἐκ Σιὼν ἄρξεται τοῦ σώζειν ὁ Θεός.

26. «Καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ».

Ἀπώσεται ἀσεβήματα ἀπὸ τοῦ λαοῦ, πιστεύσαντος δηλονότι.

27. «Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι »τὰς ἁμαρτίας αὐτῶν» (α).

Τοῦ Προφήτου πάντα τὰ μέχρις ὧδε. Ἵνα δὲ μή τις τὰ προρρηθέντα δύο ῥητὰ τοῖς ἤδη πιστεύσασιν ἐφαρμόσῃ, καὶ εἰς τοὺς προλαβόντας ἑλκύσῃ χρόνους, ἔθηκε παράσημον τοῦ καιροῦ, ὅτι «καὶ »αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ πληρωθήσεται διαθήκη»· ἤγουν ἐπαγγελία. Ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν, οὐκ ἐξ ἔργων δηλαδὴ νόμου, ἀλλ' ἐξ οἰκείας χάριτος. Εἰ τοίνυν οὔπω ἀφείλετο τὰς ἁμαρτίας αὐτῶν, ἔσται τοῦτο πάντως, καὶ οὔπω γέγονεν. Καὶ ἔστε τότε, ὅτε πιστεύσουσί τε καὶ βαπτισθήσονται.

28. Κατὰ μὲν τὸ Εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογήν, ἀγαπητοὶ διὰ τοὺς Πατέρας.

Ἕνεκα μὲν τοῦ Εὐαγγελίου, φησίν, ἐχθροί μού εἰσι δι' ὑμᾶς· ἤγουν διότι εὐαγγελίζομαι ὑμῖν. Διὰ τοῦτο γὰρ φιλονικότεροι γεγονότες, ἀποστρέφονταί με. Καθὸ δὲ ἐξελέξατο πάλαι ὁ Θεὸς τὸ γένος αὐτῶν, ἀγαπητοί μού εἰσι, διὰ τὴν τῶν προγόνων θεοφιλίαν. Καὶ μὴν οὐδὲν τοῦτο πρὸς τὴν τούτων πονηρίαν. Ἀλλὰ καταχειρίζεται τούτοις, ἵνα ἐφελκύσηται.

29. Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ.

Καὶ τοῦτο πρὸς βεβαίωσιν τοῦ ἀνωτέρω λόγου, τοῦ ὅτι «πᾶς »Ἰσραὴλ σωθήσεται». Χαρισάμενος γὰρ ὁ Θεὸς τῷ καταλείμματι τὴν διὰ πίστεως σωτηρίαν καὶ τὴν εἰς τὸ διὰ πίστεως σωθῆναι κλῆσιν, οὐ μεταμεληθήσεται ἐπ' αὐτοῖς, οὐδ' ἀκυρώσει ταῦτα.

(α) Ἡσ. νθ', 20. 21.

30. Ὥςπερ γὰρ καὶ ὑμεῖς ποτε ἠπειθήσατε τῷ Θεῷ νῦν δὲ
31. ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσιν.

Καὶ ταῦτα πρὸς παρηγορίαν μὲν τῶν Ἰουδαίων καὶ χάριν λέγει, καταστολὴν δὲ καὶ νουθεσίαν τῶν ἐξ ἐθνῶν, δεικνύων ἴσα τε αὐτῶν τὰ ἐγκλήματα καὶ ὁμοίαν τὴν τοῦ Θεοῦ πρὸς τούτους κἀκείνους εὐεργεσίαν. Ὥςπερ γάρ, φησί, καὶ ὑμεῖς ποτε τὰ ἔθνη ἠπειθήσατε πρὸ τοῦ τὸν Ἀβραὰμ εἰς θεογνωσίαν μεταβῆναι· καὶ φυσικὴν γὰρ κεκτημένοι διάγνωσιν καὶ τὴν φύσιν ἔχοντες θεογνωσίας διδάσκαλον, κἀντεῦθεν τὸν Θεὸν γνόντες, οὐχ ὡς Θεὸν ἐδοξάσατε, νῦν δὲ πιστεύσαντες ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, τουτέστι τούτων ἀπειθούντων· οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, τουτέστιν ὑμῶν ἐλεουμένων. Τὸ δὲ ἐφεξῆς «ἵνα» οὐκ αἰτιολογικόν ἐστιν, ἀλλὰ βεβαιωτικὸν τοῦ μέλλοντος. «Ἵνα γάρ, φησί, καὶ αὐτοὶ ἐλεηθῶσιν»· ἀντὶ τοῦ «καὶ αὐτοὶ δὲ ἐλεηθήσονται», πιστεύσαντες δηλονότι ἢ μετὰ καιρόν, ἢ ὅτε τὸν Ἠλίαν δέξονται, καθὼς ἀνωτέρω διείληπται.

32. Συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ.

Παρεχώρησε συγκλεισθῆναι ὑπὸ τὴν ἀπείθειαν καὶ Ἰουδαίους τε καὶ Ἕλληνας, ἵνα αἰσθομένους καὶ μετανοήσαντας πάντας ἐλεήσῃ. Ὥςτε οὔτε αἰσχύνεσθαι χρὴ διὰ τὴν ἀπείθειαν κοινὸν γὰρ ἁπάντων τὸ ἁμάρτημα, οὔτε βραδύναντας ἀπογινώσκειν· κοινὸς γὰρ πρὸς πάντας ὁ θεῖος ἔλεος. Καταμαθὼν δὲ πῶς, ἀπειθησάντων ποτὲ τῶν ἐθνῶν, ἐξελέγησαν οἱ Ἑβραῖοι, ἐπεὶ δὲ καὶ οὗτοι ἠπείθησαν, ἀντεισῆλθοσαν τὰ ἔθνη, καὶ ἀποβλέψας εἰς τὴν εὐμήχανον καὶ ποικίλην τοῦ Θεοῦ πρόνοιαν ἐξεπλάγη καὶ ἀνεβόησε, λέγων·

33. Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ.

Ὅτι μὲν βάθος ἐστὶν οἶδε, πόσον δέ ἐστιν οὐκ οἶδεν. Θαυμάζοντος γὰρ ἡ ῥῆσις, οὐκ εἰδότος τὸ πᾶν. Τὸ δὲ «βάθος» ἐπίτασίς ἐστι κρυφιότητός τε καὶ ἀκαταληψίας. Δέον δὲ «ὦ βάθους(α)» εἰπεῖν, «ὦ βάθος» εἶπεν ἀδιαφόρως. Καὶ «πλοῦτον» μὲν εἴρηκε τὴν ἀγαθότητα

(α) Γράφ. «ὦ βάθους» κ. ἑ.

τοῦ Θεοῦ, δι' ἣν τὰ πάντα πεποίηκε· «σοφίαν» δὲ τὴν δημιουργικήν· «γνῶσιν» δὲ τὴν οἰκονομικήν τε καὶ προνοητικήν.

33. Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ,

Οὐ μόνον ἀκατάληπτα, ἀλλὰ καὶ «ἀνεξερεύνητα». Καὶ οὐχ ἁπλῶς, ἀλλὰ λίαν. Τοῦτο γὰρ διὰ τοῦ «ὡς» ἐπιρρήματος δηλοῦται. «Κρί» ματα» δὲ λέγει τὰς οἰκονομίας.

33. Καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

Τὸ αὐτὸ λέγει πάλιν ἐκ παραλλήλου· «ἀνεξιχνίαστον» γὰρ τὸ ἀνεξερεύνητον· καὶ «ὁδοὶ» καὶ «κρίματα» αἱ οἰκονομίαι.

34. «Τίς γὰρ ἔγνω νοῦν Κυρίου;»

Καθ' ὃν οἰκονομεῖ καὶ κυβερνᾷ καὶ διεξάγει πάντα;

35. «Ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;» (α)

Κτιστὸς μὲν οὐδείς. Ὁ δὲ Ἡσαΐας τὸν Υἱὸν εἶπε θαυμαστὸν σύμβουλον τοῦ Πατρός (β). Ἀλλὰ Παῦλος μὲν οὐδένα σύμβουλον αὐτοῦ λέγων εἶναι, τὸ ἀνενδεὲς τοῦ Πατρὸς παρέστησεν· Ἡσαΐας δὲ τὸν Υἱὸν σύμβουλον εἰσάγων, τὴν ὁμοτιμίαν τοῦ Υἱοῦ κηρύττει.

35. Ἢ τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ;

Τίς προεδάνεισε σοφίαν, ἢ γνῶσιν, ἢ δύναμιν, ἤ τι τοιοῦτον τῷ ἀνενδεεῖ τε καὶ ὑπερπλήρει, ἵνα ἀνταποδοθῇ παρ' αὐτοῦ χάρις καὶ ἀμοιβὴ τῷ προδεδανεικότι; ὄντως οὐδείς. Ἀλλ' αὐτὸς ἀναβλύζει καὶ πηγάζει τὰ ἀγαθὰ πάντα, καὶ αὐτὸς κατάρχει τῶν εὐεργεσιῶν. Διὸ καὶ ἐπήγαγεν·

36. Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.

Ἐξ αὐτοῦ γὰρ τοῖς οὖσι τὸ εἶναι· καὶ δι' αὐτοῦ τούτοις ἡ διαμονὴ καὶ συντήρησις· καὶ εἰς αὐτὸν ἐπέστραπται ταῦτα, πρὸς τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ προνοητὴν ἀποβλέποντα. «Οἱ ὀφθαλμοὶ γάρ, φησί, » πάντων εἰς σὲ ἐλπίζουσι» (γ). Καὶ πάλιν· «πάντα πρὸς σὲ προσδο» κῶσι» (δ). Εἶτα, ἐπειδὴ ἐξεπλάγη, καὶ εὐχαριστίαν ἀναφέρει λέγων·

(α) Ἡσ. μ', 13. — (β) Αὐτόθ. γ', 2. — (γ) Ψαλμ. ρμδ', 16. — (δ) Αὐτόθ. ργ', 28.

36. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Αὐτῷ ἡ μεγαλοσύνη πάντοτε. Εἴωθε δὲ ὁ Ἀπόστολος, ὅταν τι τοιοῦτον λέγῃ μέγα καὶ ἄπορον, θαυμάζων, εἰς δόξαν καταλήγειν (α).

ΚΕΦΑΛΑΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

ΙΖ' Παραίνεσις περὶ ἀρετῆς τῆς πρὸς τὸν Θεὸν καὶ ἀνθρώπους· ἐν ᾗ περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας· περὶ τῆς πρὸς τὸν Θεὸν λατρείας· περὶ τῆς πρὸς ἀντικειμένους ἀνεξικακίας· περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς· περὶ σωφροσύνης καὶ πρᾳότητος· περὶ τῆς ἐν βρώμασι καὶ ἡμέραις ἀμάχου διανοίας.

1. Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ,

Πολλὰ περὶ τῆς Θεοῦ φιλανθρωπίας διαλεχθεὶς καὶ δείξας ὅτι ἀπὸ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ τὰ μυρία εἰς τοὺς πιστεύοντας ἀγαθά, αὐτοὺς δὴ τοὺς θείους οἰκτιρμούς, δι' ὧν εὐηργετήθημεν, συλλήπτορας τῶν ἱκετηρίων εἰς τὸ πεῖσαι τοὺς εὐεργετηθέντας πεποίηται. Ἐντρέπων οὕτω καὶ ὀνειδίζων «παρακαλῶ», φησίν, ὑμᾶς τοὺς πιστοὺς συνεφαπτομένων μοι τῆς παρακλήσεως καὶ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, δι' ὧν ἠλεήθητε. Ἀλλὰ τί αἰτεῖς; εἰπέ·

1. Παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ,

Γίνονται δὲ τὰ σώματα ἡμῶν θυσία τῷ πάντα ἡμῶν τὰ μέλη ἀπέχεσθαι μὲν παντὸς κακοῦ, ἀντέχεσθαι δὲ παντὸς ἀγαθοῦ· τοῦ ὀφθαλμοῦ μὲν ἀπταίστως ὁρῶντος, τῶν ὤτων δὲ ἀβλαβῶς ἀκουόντων, τοῦ στόματος δὲ τὰ θεοφιλῆ λαλοῦντος, τῶν χειρῶν δὲ μηδὲν παράνομον ἐργαζομένων καὶ τῶν ἄλλων μελῶν ὁμοίως ἐνεργούντων. Ἴδιον γὰρ θυ-

---

(α) Ὡς ἐν τῇδε τῇ ἐπιστολῇ ιϛ', 27. Καὶ Β' Κορινθ. ια', 31. Ἐφ. γ', 21. Α' Τιμ. α', 17. κλπ.

σίας μηδὲν ἔχειν μεμπτόν. Ὁ τοίνυν παριστῶν τῷ Θεῷ ἀμώμητον ἑαυτὸν πανταχόθεν, ἀπό τε τῶν ψυχικῶν κινήσεων, ἀπό τε τῶν σωματικῶν ἐνεργειῶν, οὗτος θύει ἑαυτόν, σφαγιάσας μὲν τὴν ἐν αὐτῷ κακίαν τῇ μαχαίρᾳ τῆς ἀρετῆς, ὁλοκαυτώσας δὲ ἑαυτὸν τῷ πυρὶ τοῦ ἁγίου Πνεύματος. Ἐπεὶ δὲ εἶπε «θυσίαν», ἵνα μή τις νομίσῃ ὅτι σφάξαι κελεύει τὰ σώματα, ἐπήγαγεν εὐθὺς ὅτι «ζῶσαν». Εἶτα διαστέλλων ταύτην ἀπὸ τῆς Ἰουδαϊκῆς, προσέθηκεν ὅτι «ἁγίαν, εὐάρεστον τῷ » Θεῷ». Ἡ γὰρ Ἰουδαϊκὴ οὔτε ἁγία διὰ τὴν κακίαν τῶν προσαγόντων, οὔτε εὐάρεστος διὰ τὸ μὴ προηγουμένως ἀποδέχεσθαι τὸν Θεὸν τὰς ἀλόγους θυσίας, ἀλλ' οἰκονομικῶς διὰ τὴν ἀσθένειαν καὶ φιληδονίαν τῶν Ἰουδαίων. «Τίς ἐξεζήτησε ταῦτα, φησίν, ἐκ τῶν χει- » ρῶν ὑμῶν;» (α) Καὶ πάλιν· «μὴ φάγωμαι κρέα ταύρων ἢ αἷμα » τράγων πίωμαι» (β). Καὶ αὖθις· «αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου » μετ' ᾠδῆς, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα » καὶ ὁπλάς» (γ).

1. Τὴν λογικὴν λατρείαν ὑμῶν·

Τὴν πνευματικὴν διακονίαν. Ἡ μὲν γὰρ διὰ τῶν ἀλόγων ζῴων θυσία ἄλογος ἦν λατρεία. Ἡ δὲ διὰ τῶν σωμάτων τῶν λογικῶν ἀνθρώπων λογικὴ λατρεία ἐστίν. Ἐπάρας δὲ τὸν ἀκροατὴν καὶ χειροτονήσας ἕκαστον ἱερέα καὶ θύτην ἑαυτοῦ, λέγει καὶ τὸν τρόπον, δι' οὗ τοῦτο κατορθωθήσεται· φησὶ γάρ·

2. Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ·

«Αἰῶνα» μὲν ὠνόμασε τὸν παρόντα βίον, «σχῆμα» δὲ τούτου τὸ προςωπεῖον καὶ τὴν ἐπίδειξιν. Καὶ ἀλλαχοῦ δέ φησιν ὅτι «παράγει τὸ » σχῆμα τοῦ κόσμου τούτου» (δ)· προςωπεῖον γὰρ ἔχει καὶ οὐχὶ πρόςωπον· ἐπίδειξιν καὶ οὐκ ἀλήθειαν· κἂν γὰρ σώματος ὥραν εἴποις, κἂν πλοῦτον, κἂν δόξαν, κἂν ὁτιοῦν τῶν δοκούντων ἐν αὐτῷ μεγάλων, ἄστατα πάντα καὶ ἀβέβαια καὶ ταχέως παρερχόμενα. «Μὴ συ- »σχηματίζεσθε» τοίνυν· τουτέστι μὴ συναρπάζεσθε τῇ ἀπάτῃ τούτου. Ἢ μὴ συναστατεῖτε τούτῳ, περὶ τὰ ἐν τούτῳ ἄστατα καταγινόμενοι.

(α) Ἡσ. α', 12. — (β) Ψαλμ. μθ', 14. — (γ) Αὐτόθ. ξη', 36.— (δ) Α' Κορινθ. ζ', 31.

2. Ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν,

Ἀλλὰ ῥίψαντες τὸ προςωπεῖον τῶν ἀστάτων μεταβαίνετε ἐπὶ τὸ πρόςωπον καὶ τὴν ἀληθῆ μορφὴν τῶν ἑστώτων. Τοῦτο δὲ γίνεται τῇ διὰ τῆς ἀρετῆς ἀνανεώσει καὶ ἀνορθώσει τοῦ διὰ τῆς κακίας παλαιουμένου καὶ καταπίπτοντος νοὸς ἡμῶν. Χρὴ γὰρ δίκην σαθρωθείσης οἰκίας ἀνανεοῦν τὴν ψυχὴν τῇ μετανοίᾳ καὶ ἀγαθοεργίᾳ.

2. Εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἅγιον (*) καὶ ἀγαθόν,

Ἀλλὰ μεταμορφοῦσθε, φησίν, ὥςτε ἐξετάζειν καὶ διακρίνειν ὁποῖόν ἐστι τὸ θέλημα τοῦ Θεοῦ. Εἶτα προςέθηκε καὶ τὸ ἴδιον τοῦ θελήματος, εἰπὼν «τὸ ἀγαθόν». Πᾶν γὰρ θέλημα τοῦ Θεοῦ ἀγαθὸν πάντοτε. Ἐπεὶ δὲ καὶ [ἡ] (α) παλαιὰ Διαθήκη θέλημα ἀγαθὸν ἦν, ἐπήγαγε·

2. Καὶ εὐάρεστον καὶ τέλειον.

Ἐκείνη γάρ, εἰ καὶ θέλημα τοῦ Θεοῦ ἀγαθὸν ἦν, ἀλλ' οὔτε εὐάρεστον, ὡς ἀνωτέρω διελάβομεν, τὴν διὰ τῶν σωμάτων ἡμῶν θυσίαν ἑρμηνεύοντες, οὔτε μὴν τέλειον, ὡς εἰςαγωγή τε καὶ στοιχειώδης. Εὐάρεστον δὲ καὶ τέλειον ἡ εὐαγγελικὴ πολιτεία.

3. Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν,

«Λέγω παντὶ τῷ ὄντι ἐν ὑμῖν»· τουτέστι παραινῶ καὶ ἀνδρὶ καὶ γυναικί, καὶ γέροντι καὶ νέῳ, καὶ πλουσίῳ καὶ πένητι, καὶ σοφῷ καὶ ἰδιώτῃ, καὶ ἄρχοντι καὶ ἀρχομένῳ. Λέγω δὲ οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ὑπαγορευούσης μοι «τῆς χάριτος» τοῦ Θεοῦ, «τῆς δοθείσης μοι». Τί δὲ λέγεις, ὦ Παῦλε;

3. Μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν·

Μὴ ὑψηλοφρονεῖν παρὰ τὸ μέτρον τῆς φρονήσεως· παράχρησις γὰρ φρονήσεως ἡ ὑπερφρόνησις.

(*) Ἡ γραφὴ «τὸ ἅγιον» ἐν οὐδενὶ τῶν γνωστῶν ἡμῖν ἀντιγράφων εὕρηται. Παραλείπει δὲ ταύτην ἐν τῇ ἐξηγήσει καὶ ὁ Συγγραφεύς. — (α) Τὸ παρεντεθειμένον «ἡ», ἐκπεσὸν πάντως ἐξ ἀπροςεξίας τοῦ ἀντιγραφέως, προςετέθη παρ' ἡμῶν, ἀπαιτούσης τοῦτο τῆς ἐννοίας.

3. Ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν,

Ἀλλὰ τῇ φρονήσει κεχρῆσθαι εἰς τὸ μετριοφρονεῖν· σωφρονεῖν γὰρ νῦν τὸ ταπεινὰ φρονεῖν λέγει. Καὶ γὰρ καὶ ὁ ταπεινόφρων σώας ἔχει τὰς φρένας, ὥςπερ ὁ ὑψηλόφρων οὐ σώας. Καὶ ὁ μὲν νήφει κατὰ διάνοιαν, οὗτος δὲ ἐξέστηκέ τε καὶ παραπαίει.

3. Ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.

«Ὡς ὁ Θεὸς ἐμέρισεν» ἑκάστῳ μέτρον πίστεως πρόςεστιν, ἀφ' ἧς τὰ χαρίσματα, ἐφ' οἷς μέγα φρονοῦσιν οἱ ὑψηλόφρονες. Εἰ δὲ ὁ Θεὸς ἐμέρισε καὶ ἀπένειμε, τί ὑψηλοφρονοῦσι; τοῦ Θεοῦ γάρ εἰσι χαρίσματα, ἀλλ' οὐκ αὐτῶν κατορθώματα. «Μέτρον δὲ πίστεως» τὸ θερμότερον καὶ τὸ διαπυρώτερον, καὶ τὸ ἔτι μεῖζον καὶ τὸ μᾶλλον ὑψηλότερον, ὧν ἕκαστον δῶρον Θεοῦ, ἀναλόγως ἀπομεριζόμενον τῷ παρασκευάζοντι ἑαυτὸν ἄξιον τοιούτου χαρίσματος. Ἢ «μέτρον πίστεως» ἀντὶ τοῦ μέτρον χαρίσματος μεῖζον ἢ ἔλαττον. Νοεῖται γὰρ καὶ τὸ χάρισμα πίστις, ὡς πίστεως ἔκγονον· πάντα γάρ, φησί, δυνατὰ τῷ πι»στεύοντι» (α).

4. Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη.

Μεγάλη τοῦ παρόντος παραδείγματος ἡ δύναμις εἰς τὸ καταστεῖλαι τὸ νόσημα τῆς ὑψηλοφροσύνης. Διὸ καὶ πρὸς Κορινθίους ἐχρήσατο τούτῳ, νοσοῦντας ὁμοίως (β). Λέγει τοίνυν ὅτι εἰ καὶ μὴ τὴν αὐτὴν ἔχομεν πάντες πρᾶξιν καὶ ἐνέργειαν τῶν χαρισμάτων, ἀλλ' ὁ μὲν δύναται τόδε, ὁ δὲ τόδε· καὶ ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον, ἀλλ' οὖν οἱ πάντες πιστοὶ ἓν σῶμά ἐσμεν παρὰ τῷ Χριστῷ, καὶ ἕκαστοι ἀλλήλων μέλη. Ὁ μείζων, μέλος τοῦ ἐλάττονος, καὶ ὁ ἐλάττων, μέλος τοῦ μείζονος. Εἰ δὲ ἓν ἐσμεν σῶμα, πάντες πάντως ὁμότιμοι κατὰ τοῦτο. Εἰ δὲ ὁμότιμοι, διατί ταῖς ὑψηλοφροσύναις σχιζόμεθα παρὰ φύσιν, καὶ ἀλλήλων κατεπαιρόμεθα;

6. Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα,

---

(α) Μάρκ. θ', 23. — (β) Α' Κορινθ. ιβ', 12—26.

Ἐλλειπτικῷ ἐχρήσατο σχήματι ἐν ὅλῳ τῷ προκειμένῳ χωρίῳ, εἴτε φυσικῶς, εἴτε καὶ τῆς θείας χάριτος χορηγησάσης, εἰς αἰσχύνην τῶν ἐπὶ τοῖς τοιούτοις μέγα φρονούντων· λείπει γὰρ ἐνταῦθα τὸ «μένωμεν» ἢ «ἀρκώμεθα»· ἵν' εἴη τοιοῦτον τὸ λεγόμενον· «Ἔχοντες γὰρ χαρί-» σματα διάφορα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν, μέ-» νωμεν ἐν τούτοις» ἕκαστος ἐν τῷ δοθέντι, καὶ τοῦτο ἐνεργείτω, μὴ κατεπαιρόμενος τοῦ ἀδελφοῦ (α). Εἰπὼν δὲ καθολικῶς «χαρίσματα», λέγει ταῦτα καὶ κατὰ μέρος.

6. Εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως·

Εἴτε προφητείαν ἔχει, ἐν ταύτῃ μενέτω. Ἄνω μὲν οὖν εἰπὼν ὅτι «κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν», ἔδειξεν ὅτι τοῦ Θεοῦ δῶρον ἕκαστόν ἐστι χάρισμα. Νῦν δὲ φήσας ὅτι «κατ' ἀναλογίαν τῆς πίστεως» δείκνυσιν ὅτι αὐτὸς ἕκαστος αἴτιος ἑαυτῷ γίνεται τοῦ μεῖζον ἢ ἔλαττον χάρισμα λαβεῖν. Εἰ γὰρ καὶ χάρις ἐστίν, ἀλλ' οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν ἀξίων λαμβάνουσα, τοσοῦτον ἐπιρρεῖ, ὅσον χωρεῖν δύναται τὸ σκεῦος τὸ ἡτοιμασμένον αὐτῇ διὰ τῆς πίστεως. «Προφητείαν» δὲ νοήσεις οὐ μόνον τῶν μελλόντων τὴν πρόγνωσιν, ἀλλὰ καὶ τῶν κεκρυμμένων τὴν γνῶσιν.

7. Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ·

Εἴτε διακονίαν ἔχει, «ἐν τῇ διακονίᾳ μενέτω». «Ἡ διακονία» δὲ σημαίνει μὲν καὶ εἰδικὴν ὑπηρεσίαν καὶ οἰκονομίαν, σημαίνει δὲ καθο-

---

(α) Λέγων ἀνωτέρω ὁ Συγγραφεὺς «ἐν ὅλῳ τῷ προκειμένῳ χωρίῳ» ἐννοεῖ τὰ ἀπὸ τοῦ στίχου 6 «ἔχοντες δὲ χαρίσματα» μέχρι τοῦ «εὐλογεῖτε καὶ μὴ καταρᾶσθε» (στίχ. 14). Τὰς δὲ ἐν τῷ μεταξὺ *ἐλλείψεις* συμπληροῖ κατὰ τὸν κριτικώτατον Φώτιον (Ὅρ. Ἀπόσπασμ. εἰς Ῥωμ. ιϐ', 8. Τόμ. Α', σελ. 1250), ὃς ἀνερευνῶν τὰς ἐν αὐτῷ ποικίλας τοῦ λόγου στροφὰς καὶ θαυμάζων τὰ τεχνικώτατα ζεύγματα, τὰς περιβολὰς καὶ τὰ κατὰ τοὺς ῥήτορας πνεύματα, λέγει περὶ τοῦ Ἀποστόλου Παύλου (Ἀμφιλ. Τόμ. Α', Ἐρώτ. ϛΓ', κδ', σελ. 601). «Τῶν μὲν οὖν ἀποστολικῶν γραμμάτων καὶ τοῖς εἰρη-» μένοις καὶ πολλοῖς ἑτέροις σχήμασιν ὁ χαρακτὴρ οὕτω πέφυκε διαμορφοῦσθαι· οὐχὶ δὲ » ὅπερ καὶ πολλαχοῦ ἀπειπάμην τέχνῃ καὶ μελέτῃ ταῦτα γράφειν αὐτὸν ἡδέως εἴποιμι » ἄν . . . . ἀλλ' ἐμφύτῳ κράτει διανοίας καὶ τῷ περὶ πάντα δραστηρίῳ, μᾶλλον δὲ τῇ » ἄνωθεν χάριτι, ἣ καὶ τὸν πλοῦτον αὐτῷ τῆς ἐμφύτου γνώσεως καὶ τῆς ὑπὲρ τὸ ἀνθρώ-» πινον ἀγχινοίας καὶ φρονήσεως χορηγοῦσα διὰ πάντων οὐ διέλιπε, δι' ἧς καὶ τῶν » ἄλλοις ὅσα πόνοι καὶ μελέται μόλις κατορθοῦσιν, αὐτὸς ἀταλαίπωρον ἔσχε τὴν χρῆσιν » καὶ μεταχείρισιν». Παρβλ. καὶ Οἰκουμ. ἐν λ.

λικῶς καὶ πᾶν ἔργον πνευματικόν. Ἐνταῦθα δὲ μᾶλλον τὴν ἀποστολὴν δηλοῖ καὶ τὴν τοῦ κηρύγματος λειτουργίαν.

7. Εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ·

Εἴτε ὁ διδάσκων ἔχει χάρισμα, «ἐν τῇ διδασκαλίᾳ μενέτω»· διδάσκει γάρ τις καὶ δίχα χαρίσματος, ὡς οἱ φανητιῶντες. «Διδασκα-»λίαν» δὲ λέγει τὴν τῶν θείων δογμάτων.

8. Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει·

Εἴτε ὁ παρακαλῶν, ἤτοι ὁ προτρεπόμενος εἰς ἀρετήν, ἔχει χάρισμα, «ἐν τῇ παρακλήσει μενέτω» καὶ αὐτὸς ὁμοίως.

8. Ὁ μεταδιδούς, ἐν ἁπλότητι·

«Μεταδιδότω» δηλονότι. Εἰπὼν γὰρ τὰ πνευματικά, ἐπισυνάπτει καὶ τὰ σωματικά. Ἁπλότητα δὲ νῦν καλεῖ τὴν δαψίλειαν. Ὁ μὲν γὰρ ὀλίγα διδοὺς ἐσφιγμένην ἔχει τὴν χεῖρα, ὁ δὲ πολλὰ ἡπλωμένην. Δείκνυσι δὲ ὁ Ἀπόστολος ὅτι οὐ μέγα ὄφελος ἀρετὴν μετιέναι δίχα τοῦ προσήκοντος τρόπου. Ἐπεὶ καὶ αἱ μωραὶ παρθένοι εἶχον μὲν ἔλαιον, ἀλλ' ἐπεὶ δαψιλὲς οὐκ εἶχον, τοῦ παντὸς ἐξέπεσον.

8. Ὁ προϊστάμενος, ἐν σπουδῇ·

«Προϊστάσθω» δηλαδή. Οὐ γὰρ ἀρκεῖ τὸ προστῆναι, ἂν μὴ μετὰ προθυμίας γίνηται. Προστασίαν δὲ νοοῦμεν ἢ τὴν ἀντίληψιν τῶν ὀρφανῶν καὶ χηρῶν καὶ τὸ τῶν τοιούτων ὑπερμαχεῖν· ἢ τὴν κυβέρνησιν καὶ ἡγεμονίαν τῶν ὑποτεταγμένων.

8. Ὁ ἐλεῶν, ἐν ἱλαρότητι.

«Ἐλεείτω». Ἱλαρότης δὲ ἡ χαρὰ καὶ φαιδρότης. «Ἐν ἱλαρό-»τητι», φησί, μὴ ἐν λύπῃ καὶ στυγνότητι· τίς γὰρ ἁμαρτημάτων ἄφεσιν κομιζόμενος κατηφιᾷ; τίς δὲ βασιλείαν οὐρανῶν λαμβάνων σκυθρωπάζει; Ἀλλὰ τίς ἡ διαφορὰ τοῦ μεταδιδόντος καὶ τοῦ ἐλεοῦντος; Μεταδιδόντα μὲν ἀνωτέρω νοοῦμεν τὸν δαπανῶντα εἰς τοὺς πένητας μὲν ὁμοπίστους δέ, καὶ ἕνεκα φιλαδελφίας. Ἐλεοῦντα δὲ νῦν τὸν ἐπὶ τοὺς ἄλλους πένητας ἀναλίσκοντα, καὶ ἕνεκα φιλανθρωπίας.

9. Ἡ ἀγάπη ἀνυπόκριτος.

«Ἔστω». Διδάσκων γὰρ πῶς ἂν τὰ εἰρημένα κατορθωθείη, ἐπήγαγε τὴν μητέρα πάντων τούτων, λέγω δὴ τὴν εἰς ἀλλήλους ἀγάπην, ἣν καὶ ἀνυπόκριτον ἀπαιτεῖ· τουτέστιν ἐπαληθεύουσαν. Εἶτα διαιρῶν αὐτὴν ἀπὸ τῆς ἐπὶ πονηροῖς πράγμασιν ἀγάπης καὶ συμφωνίας, φησίν·

9. Ἀποστυγοῦντες τὸ πονηρόν,

Σφόδρα μισοῦντες. Ἡ γὰρ «ἀπὸ» πρόθεσις παρὰ τῷ Ἀποστόλῳ πολλάκις ἐπίτασιν εἰςάγει, ὡς ἐπὶ τῆς «ἀποκαραδοκίας» καὶ τοῦ «ἀπεκδέχεσθαι» καὶ τῆς «ἀπολυτρώσεως».

9. Κολλώμενοι τῷ ἀγαθῷ.

Ἀδιαιρέτως καὶ ἀναποσπάστως ἐχόμενοι τοῦ ἀγαθοῦ πράγματος. Χρὴ γὰρ μὴ μόνον σφόδρα μισεῖν τὸ πονηρόν, ἀλλὰ καὶ λίαν ἀγαπᾶν τὸ ἀγαθόν· τουτέστιν ἐνδιαθέτως καὶ φιλεῖν καὶ μισεῖν.

10. Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι·

Ἀδελφοί ἐστε κατὰ τὴν αὐτὴν διὰ τοῦ βαπτίσματος ἀναγέννησιν, καὶ διὰ τοῦτο ἀνάγκην ἔχετε φιλαδελφίας. «Τῇ φιλαδελφίᾳ οὖν γίνεσθε εἰς ἀλλήλους φιλόστοργοι»· τουτέστι θερμῶς καὶ διαπύρως φιλοῦντες. Ἐπίτασις γὰρ φιλίας ἡ στοργή, καὶ τῆς στοργῆς πάντως αὔξησις ἡ φιλοστοργία.

10. Τῇ τιμῇ ἀλλήλους προηγούμενοι·

«Διατελεῖτε» δηλονότι. «Προηγούμενοι» δὲ ἀντὶ τοῦ προλαμβάνοντες, νικῶντες· οὕτω γὰρ ἀγάπη γίνεται, καὶ γενομένη μένει. Τὰ μὲν οὖν πρότερον εἰρημένα γίνεται ἀπὸ τῆς ἀγάπης, ὡς καὶ ἀνωτέρω δεδήλωται, ἡ δὲ ἀγάπη γίνεται ἀπὸ τῆς τιμῆς· ὥςπερ αὖ καὶ ἀπὸ τῆς ἀγάπης τιμή.

11. Τῇ σπουδῇ μὴ ὀκνηροί·

Πρὸς τὴν ἀπαιτουμένην ἀφ' ὑμῶν σπουδὴν περὶ τὴν ἀγάπην, ἢ περὶ πάντα τὰ εὐάρεστα τῷ Θεῷ μὴ ὀκνηροὶ γίνεσθε.

11. Τῷ Πνεύματι ζέοντες·

Τῷ Πνεύματι τῷ ἁγίῳ, τῷ ἀπὸ τῶν εἰρημένων ἐγγινομένῳ ὑμῖν,

ζέοντες καὶ ἀνυπόστατοι (α) καὶ φοβεροὶ τοῖς δαίμοσι γινόμενοι. Ἢ καὶ ἄλλως· τῇ ψυχῇ διάπυροι περὶ τὰς ἐντολὰς τοῦ Θεοῦ· ἢ τῇ περὶ ταύτας προθυμίᾳ σφοδροί· ἢ πρὸς τὸ ἐν ἑκάστῳ χάρισμα ζέοντες καὶ διεγειρόμενοι· ὥςτε μὴ διὰ ψυχρότητος καὶ ῥᾳθυμίας ἀπολλύειν αὐτό.

11. Τῷ Κυρίῳ δουλεύοντες·

Διὰ τῶν εἰρημένων· οἱ γὰρ ταῦτα κατορθοῦντες τῷ Κυρίῳ δουλεύουσι καὶ τὸν Θεὸν θεραπεύουσιν.

12. Τῇ ἐλπίδι χαίροντες·

Χρὴ γὰρ τοὺς τῷ Κυρίῳ δουλεύοντας χαίρειν τῇ ἐλπίδι τῶν μελλόντων καὶ μενόντων αὐτοὺς ἀγαθῶν.

12. Τῇ θλίψει ὑπομένοντες·

Χρὴ γὰρ τοὺς τῇ ἐλπίδι τῶν μελλόντων χαίροντας ὑπομένειν ἐν ταῖς θλίψεσι, καὶ ἵνα καρτερικοὶ καὶ δόκιμοι γένησθε καὶ πρὸ τῶν μελλόντων ἀγαθῶν καρπώσησθε τοῦτο.

13. Τῇ προςευχῇ προςκαρτεροῦντες·

Χρὴ γὰρ τοὺς τῇ θλίψει ὑπομένοντας τῇ προςευχῇ προςκαρτερεῖν, καὶ ταύτην λαμβάνειν σύμμαχον εἰς ἀνδρείαν καὶ ὑπομονήν.

13. Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες·

«Ἁγίους» ἐνταῦθα τοὺς ἐκλεκτοὺς λέγει, τοὺς διὰ Χριστὸν πάσχοντας. Κοινωνοί, φησί, γινόμενοι τῶν ἁγίων ἐν ταῖς σωματικαῖς χρείαις αὐτῶν. Ἐν τῷ εἰςφέρειν γὰρ αὐτοῖς τὰ χρειώδη κοινωνεῖτε τούτοις καὶ τῶν πόνων καὶ τῶν ἐπάθλων. Ὑμεῖς μὲν γὰρ αὐτοῖς χρήματα εἰςάγετε, αὐτοὶ δὲ ὑμῖν παρρησίαν πρὸς τὸν Θεόν, ὅπερ ἐστὶ κοινωνία καὶ ἐμπορία.

13. Τὴν φιλοξενίαν διώκοντες.

Οὐκ εἶπεν ἐργαζόμενοι, ἀλλὰ διώκοντες, παιδεύων μὴ ἀναμένειν πότε τις ἐπιξενωθῇ, ἀλλὰ ζητεῖν καὶ ἀνευρίσκειν τοὺς δεομένους ξεναγωγίας.

14. Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

(α) Ἴσως «ἀνυπότακτοι» ἢ «ἀνυπόκριτοι».

Δείξας αὐτοὺς πῶς πρὸς ἀλλήλους διακεῖσθαι χρή, λοιπὸν ἐξάγει καὶ ἐπὶ τὴν ἔξω παράταξιν, κελεύων μὴ μόνον ἀμνησικακεῖν, [ἀλλὰ] (α) καὶ εὐφημεῖν τοὺς διώκοντας. Εἰπὼν δὲ δὶς τὸ «εὐλογεῖτε» καὶ διὰ τούτου τὴν ἐπίτασιν τῆς προτροπῆς ἐμφήνας, ἐπήγαγε· «καὶ μὴ κα»ταρᾶσθε», ἵνα μὴ κἀκεῖνο καὶ τοῦτο ποιῶσιν, ἀλλ' ἐκεῖνο μόνον. Διπλοῦς γὰρ ἐνταῦθα ὁ μισθὸς ἐπί τε τῇ ὑπομονῇ ἐπί τε τῇ εὐφημίᾳ. Καταπλήξει δὲ καὶ τοὺς διώκοντας ἡ τοιαύτη φιλοσοφία καὶ ἢ μετριώτεροι γενήσονται ἢ τέλεον ἀποστήσονται.

15. Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων.

«Χρὴ» δηλονότι. Τινὲς δὲ τὸ «χαίρειν» ἀντὶ τοῦ χαίρετε νενοήκασιν. Ὁμοίως δὲ καὶ τὸ «κλαίειν» ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. Τὸ μὲν οὖν κλαίειν μετὰ κλαιόντων καὶ ἡ φύσις δίδωσιν· ἴδιον γὰρ αὐτοῖς ἡ συμπάθεια καὶ τὸ συναλγεῖν τοῖς ἐν συμφοραῖς. Τὸ (β) συγχαίρειν τοῖς εὐημεροῦσι καὶ κατορθοῦσι τοῦτο μέγα, καὶ γενναίας ψυχῆς δεόμενον, ὥστε μὴ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ συγχαίρειν. Παρέπεται γὰρ τοῖς κατορθοῦσιν ἡ βασκανία, ὥσπερ καὶ τοῖς ἀτυχοῦσιν ἡ συμπάθεια. Διὸ καὶ πρῶτον τέθεικε τὸ «συγχαίρειν», ὡς μεῖζον καὶ δυσκατόρθωτον. Συνήδου μέν, ἵνα καὶ τὴν χαρὰν τῶν χαιρόντων αὐξήσῃς καὶ σεαυτὸν δείξῃς φθόνου καθαρόν. Συνάλγει δέ, ἵνα καὶ τὴν λύπην τῶν λυπουμένων κουφίσῃς καὶ σεαυτὸν διδάξῃς ἐλεεῖν καὶ μαλάττεσθαι.

16. Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες·

Πολλὴν πάλιν περὶ τῆς ταπεινοφροσύνης ποιεῖται τὴν σπουδήν· ὅθεν καὶ ἤρξατο μάλιστα τῆς παραινέσεως. Καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς φρονήματος μεστοὺς εἶναι καὶ διὰ τὸ μέγεθος τῆς πόλεως καὶ δι' ἄλλα. Διὸ καὶ συνεχῶς ὑπορύττει τὸ νόσημα καὶ καταστέλλει τὴν φλεγμονήν. Τί δέ φησι; Παρεγένετό σοι πένης εἰς τὴν οἰκίαν; τὸ αὐτὸ φρόνει εἰς ἐκεῖνον, ὃ καὶ εἰς σεαυτόν· τουτέστι τὸ αὐτὸ λογίζου περὶ ἐκείνου, ὃ καὶ περὶ σεαυτοῦ. Εἰ μὲν μέγαν σεαυτὸν ὑπολαμβάνεις, μέγαν ὑπολάμβανε κἀκεῖνον, πρὸς τὸν ἴσον πλοῦτον τῆς αὐτῆς πίστεως ἀποβλέπων. Εἰ δ' ἐκεῖνον μικρόν, καὶ σεαυτὸν ὁμοίως μικρόν.

(α) Ἡ παρεντεθειμένη λέξις οὐ κεῖται ἐν τῷ χειρογράφῳ. — (β) Ἀπαραίτητος ἐνταῦθα ἡ προσθήκη τοῦ «δέ», ἵνα ᾖ ὁ λόγος «τὸ μὲν οὖν κλαίειν. . ., τὸ δὲ συγχαίρειν».

16. Μὴ τὰ ὑψηλὰ φρονοῦντες·

Μὴ ὑψηλοφρονοῦντες, μὴ ἐπαιρόμενοι.

16. Ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι.

Τοῖς εὐκαταφρονήτοις συμπεριφερόμενοι καὶ εἰς τὴν τούτων εὐτέλειαν καταβαίνοντες.

16. Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς.

Μὴ λογίζεσθε ἑαυτοὺς φρονίμους καὶ αὐτάρκεις ἑαυτοῖς εἰς σύνεσιν (α). Οὐαὶ γάρ, φησίν, οἱ συνετοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες (β). Οἱ τοιοῦτοι γάρ, αὐτάρεσκοι ὄντες, οὔτε διορθώσεως οὔτε συγγνώμης τεύξονται (γ).

17. Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες.

Εἰ γὰρ ἐκεῖνος κακὸν ἐποίησε, φεῦγε τὴν τούτου μίμησιν, καὶ μὴ τῇ αὐτῇ ὑποπέσῃς κατηγορίᾳ.

17. Προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων (δ).

Ἐργαζόμενοι καλὰ ἐνώπιον πάντων, οὐ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς διδασκαλίαν, καὶ ὥςτε μηδενὶ δοῦναι πρόφασιν σκανδάλου.

18. Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.

Καὶ πιστῶν καὶ ἀπίστων. Καλῶς δὲ τὸ «εἰ δυνατόν»· ἔστι γὰρ ὅπου ἀδύνατον, ὡς ὅταν ὁ τῆς εὐσεβείας καὶ ἀληθείας παραβλάπτηται λόγος. Τὸ «ἐξ ὑμῶν» δὲ ἀντὶ τοῦ ὅσον ἐξ ὑμῶν ἀπαιτεῖται παρὰ τοῦ νόμου τῆς εἰρήνης, ὅσον χρεωστεῖτε εἰςενεγκεῖν.

19. Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί·

(α) Κατὰ τὸ σολομώντειον «μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ». Παροιμ. γ', 7.— (β) Ἡσ. ε', 21. — (γ) Βασίλειος ὁ μέγ. πρὸς τὸν ἐρωτήσαντα τίς ὁ λόγος, δι' ὃν ὁ Παῦλος ὁτὲ μὲν λέγει «μὴ γίνεσθε ἄφρονες» (Ἐφ. ε', 17), ὁτὲ δὲ «μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυ-» τοῖς», ἀποκρίνεται· «Ἄφρων μέν ἐστιν ὁ μὴ συνιεὶς τὸ θέλημα τοῦ Κυρίου· φρόνιμος » δὲ παρ' ἑαυτῷ πᾶς ὁ λογισμοῖς ἰδίοις χρώμενος καὶ μὴ κατὰ πίστιν στοιχῶν τοῖς ῥή-» μασι τοῦ Θεοῦ». Ὅρ. κεφάλαια τῶν Ὅρων κατ' ἐπιτομήν. Τόμ. Γ', σελ. 1256.— (δ) Καὶ τὸ ῥητὸν τοῦτο προςείληφεν ὁ Ἀπόστολος ἐκ τῶν Παροιμιῶν γ', 4.

Μὴ ἑαυτοῖς ἐπιτρέποντες τὴν ἐκδίκησιν, ἐφ᾽οἷς ἀδικεῖσθε παρά τινων.

19. Ἀλλὰ δότε τόπον τῇ ὀργῇ·

Ἀλλὰ παραχωρεῖτε τῆς ἐκδικήσεως τῇ ὀργῇ τοῦ Θεοῦ, τῇ κρίσει τοῦ Κυρίου.

19. Γέγραπται γάρ· «Ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει » Κύριος» (α).

Ἐμοὶ προςήκει τὸ ἐκδικεῖν. Εἰ δ᾽ὑμεῖς ἐκδικεῖτε, ἐγὼ οὐ μόνον οὐκ ἐκδικήσω, ἀλλὰ καὶ πρὸς ὑμᾶς ὀργισθήσομαι. Ἐπαγαγὼν δὲ τὴν γραφικὴν μαρτυρίαν, καὶ ταύτῃ τὸν ἀδικούμενον παραμυθούμενος, ἀπῄτησε μείζονα φιλοσοφίαν.

20. Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν δὲ διψᾷ, πότιζε αὐτόν·

Μὴ μόνον μὴ ἀμύνου τὸν ἐχθρόν σου, ἀλλὰ καὶ εὐεργέτει. Ἐπεὶ δὲ δυςχερὲς καὶ μέγα ἐπέταξεν, ἐπήγαγεν·

20. Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Ταῦτα λέγει κἀκεῖνον καταστέλλων τῷ φόβῳ καὶ τοῦτον διεγείρων εἰς εὐεργεσίαν τοῦ λελυπηκότος τῇ ἐλπίδι τῆς θεηλάτου τιμωρίας. Διὸ καὶ ἐπεδαψιλεύσατο τῇ κολάσει κατάφλεξιν κεφαλῆς ἀπειλήσας. Ἐπεὶ γὰρ οὐδὲν οὕτως ἡδὺ τοῖς πολλοῖς, ὡς τὸ ἰδεῖν ἐχθρὸν κολαζόμενον, δίδωσι πρῶτον τὸ καταθύμιον, καὶ οὕτω τὸν ἰὸν τῆς ἀμύνης ἐξελών, τὰ ὑψηλότερα παραινεῖ λέγων·

21. Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Ἠρέμα πως ᾐνίξατο τὸ μὴ τοιαύτῃ γνώμῃ ψωμίζειν καὶ ποτίζειν (τὸ γὰρ ἔτι μνησικακεῖν ἡττᾶσθαι τοῦ κακοῦ ἐστιν), ἀλλὰ συμπαθεῖ προαιρέσει ψωμίζειν καὶ ποτίζειν τὸν πεινῶντα καὶ διψῶντα ἐχθρόν. Τοῦτο γὰρ νικῶντός ἐστιν ἐν τῇ ἀγαθοεργίᾳ τὴν κακουργίαν, καὶ ἐν τῇ εὐεργεσίᾳ τὴν ἄμυναν.

(α) Δευτερον. λϐ΄, 35.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ

1. Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω·

Πᾶς ἄνθρωπος οἱοςδήποτε (πρὸς πιστοὺς ὁ λόγος) τοῖς ἐξουσιάζουσι καὶ ὑπερέχουσιν ἐν ἀρχαῖς καὶ ἡγεμονίαις χωρῶν καὶ πόλεων ὑποτασσέσθω, τὴν προςήκουσαν τιμὴν ἀπονέμοντες, καὶ τοὺς ἐπιβάλλοντας φόρους καταβάλλοντες, κἂν Ἕλληνες εἶεν. Τοῦτο γὰρ οὐκ ἔστι βλάβη τῆς εὐσεβείας, ἀλλ' εὐταξία καὶ εὐνομία. Καὶ ὁ Χριστὸς γὰρ εἴρηκεν· «ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ» (α).

1. Οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ (*)·

Οὐ περὶ τῶν καθέκαστον ἀρχόντων φησίν, ἀλλὰ περὶ τῆς ἁπλῶς ἀρχῆς, καθ' ἣν ὑπὸ τάξιν ἄγεται πάντα, καὶ τὸ μὲν ἄρχει, τὸ δὲ ἄρχεται. Διάφορος δὲ ἡ ἐξουσία· βασιλέως γὰρ πρὸς ὑπηκόους, καὶ δεσπότου πρὸς δοῦλον, καὶ ἀνδρὸς πρὸς γυναῖκα, καὶ πατρὸς πρὸς υἱόν, καὶ διδασκάλου πρὸς μαθητήν. Κἂν τοῖς ἀλόγοις δὲ ζώοις τὴν ἀρχὴν εὕροι τις ἄν, καὶ τοῦτο διδάσκουσι μέλισσαι καὶ γέρανοι καὶ πολλὰ τοιαῦτα. Λέγει γοῦν ὅτι αὐτὸ τὸ ἐξουσιάζειν καὶ τὸ ἄρχειν οὐκ ἔστιν ἄλλοθεν, εἰμὴ ἀπὸ Θεοῦ. Κατὰ πρόνοιαν γὰρ δεδώρηται τοῦ μὴ συγχεῖσθαι πάντα καὶ ἀτακτεῖν.

1. Αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ Θεοῦ τεταγμέναι εἰσίν.

Αἱ δὲ πανταχοῦ οὖσαι ἐξουσίαι ὑπὸ Θεοῦ ἐτάχθησαν εὐταξίας ἕνεκεν.

2. Ὥςτε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν·

Ἀπὸ συλλογισμοῦ συμπείθει τοὺς ἀντιλέγοντας. Ἦσαν γάρ τινες λέγοντες μὴ δεῖν ὅλως πειθαρχεῖν ἄρχουσιν ἀπίστοις πιστούς, μὴ διακρίνοντες ὅτι περὶ μόνης πίστεως καὶ εὐσεβείας ἀντιτάττεσθαι χρή, τἆλλα δὲ πάντα πείθεσθαί τε καὶ ὑποτάττεσθαι καὶ μὴ περιττοὺς ἀναδέχεσθαι πολέμους, μηδ' ἐγκαλεῖσθαι τὴν τῆς εὐταξίας ἀνατροπήν.

(α) Μάρκ. ιβ', 17.— (*) Ἐν ἄλλ. ὑπὸ τοῦ...

2. Οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται.

Οἱ δὲ ἀνθεστηκότες τῇ τοῦ Θεοῦ διαταγῇ, τῇ διαταξάσῃ τὰς ἐξουσίας, ὡς προείρηται, ἑαυτοῖς ἐπισπάσονται κρίμα, τὸν τῆς ἀρχῆς δοτῆρα καὶ τῆς ὑποταγῆς νομοθέτην παροξύνοντες. Ταῦτα δὲ ἔλεγε τούτους φοβῶν καὶ τοὺς ἄρχοντας θεραπεύων καὶ ἠρέμα ἐπισπώμενος, καὶ τοὺς ἐγκαλοῦντας τοῖς Ἀποστόλοις ἀνατροπὴν τῆς εὐταξίας ἐπιστομίζων.

3. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσι φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν.

Μετὰ τὸν τοῦ Θεοῦ φόβον καὶ ἀπὸ λογισμῶν πείθει, λέγων ὅτι οἱ ἄρχοντες οὐκ εἰσι φόβος τοῖς ἀνθρώποις ἕνεκεν τῶν ἀγαθῶν ἔργων, ἀλλ' ἕνεκεν τῶν κακῶν. Ὥςτε οὐ χρὴ τούτοις διὰ τὴν ἀρχὴν ἀπεχθάνεσθαι, εἰ μὴ καὶ προςαποδέχεσθαι διὰ τοῦτο.

3. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει,

Θέλεις ἤπιόν σοι εἶναι τὸν ἄρχοντα; τὸ ἀγαθὸν ἐργάζου.

3. Καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς.

Οὐ μόνον οὐ φοβήσει, ἀλλὰ καὶ ἐπαινέσει σε.

4. Θεοῦ γὰρ διάκονός ἐστιν(*) εἰς τὸ ἀγαθόν.

Τῷ θείῳ γὰρ βουλήματι ὑπηρετῶν, ἐν οἷς ἐπαινεῖ μὲν τοὺς ἀγαθούς, κολάζει δὲ τοὺς πονηρούς, ἔστι σοι Θεοῦ διάκονος εἰς τὸ ἀγαθοεργεῖν σε. Ἢ γὰρ φοβούμενος αὐτόν, κολάζοντα τοὺς πονηρούς, ἢ ἀποδεχόμενος, ἐπαινοῦντα τοὺς ἀγαθούς, ἀγαθοποιήσεις.

4. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ·

Οὐκ ἄρ' ὁ ἄρχων ποιεῖ τὸν φόβον, ἀλλ' ἡ κακουργία.

4. Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ.

Ἀλλ' εἰς κόλασιν τῶν κακουργούντων· ἐξιφηφόρουν γὰρ οἱ ἄρχοντες.

(*) Ἐν ἄλλ. *ἔστι σοι*. Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει «ἔστι σοι Θεοῦ διάκονος» γράφει.

4. Θεοῦ γὰρ διάκονός ἐστιν,

Εἰς τὸ κολάζειν τοὺς ἁμαρτάνοντας.

4. Ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.

Ἔκδικος εἰς τιμωρίαν.

5. Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.

Διότι ἔκδικός ἐστιν εἰς ὀργήν, ἀνάγκη ὑποτάσσεσθαι αὐτῷ, οὐ μόνον διὰ τὴν ὀργὴν τοῦ Θεοῦ ὀργιζομένου τοῖς τῇ διαταγῇ αὐτοῦ ἀνθεστηκόσιν, ὡς ἀνωτέρω δεδήλωται, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν, ἵνα μὴ ἀσυνείδητος δόξῃς καὶ ἀγνώμων πρὸς τὸν εὐεργέτην· εὐηργέτησε γὰρ ὁ ἄρχων συνεργῶν εἰς τὸ ἀγαθόν, ὡς προείρηται, καὶ φυλάττων ἀπὸ τῶν πολεμίων, καὶ τὰς διαφορὰς λύων, καὶ εὐνομίαν χαριζόμενος καὶ πολλὰ τοιαῦτα.

6. Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε·

Διότι εὐεργετεῖσθε ὑπ' αὐτοῦ, διὰ τοῦτο καὶ φόρους παρέχετε μισθὸν προνοίας καὶ κηδεμονίας· ὥστε καὶ ἡ δασμοφορία τῆς εὐεργεσίας τῶν ἀρχόντων ἀπόδειξίς ἐστιν.

6. Λειτουργοὶ γὰρ Θεοῦ εἰσιν,

Ὑπηρέται, διάκονοι. Πολλάκις δὲ τοῦτο λέγει πληροφορῶν ὅτι θέλημα Θεοῦ τὸ πείθεσθαι τοῖς ἄρχουσιν.

6. Εἰς αὐτὸ τοῦτο προςκαρτεροῦντες.

Εἰς τὸ φροντίζειν τῶν ἀρχομένων καὶ πᾶσαν ἐπινοεῖν αὐτοῖς ἀσφάλειαν. Διπλῆς οὖν τιμῆς ἄξιοι, καὶ ὡς κηδεμόνες καὶ ὡς παρὰ Θεοῦ δεδομένοι, ὅσον ἐπὶ εὐταξίᾳ καὶ ὠφελείᾳ τῶν ὑπηκόων.

7. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς. Τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν.

Ἀπόδοτε τῷ μὲν τὸν φόρον χρεωστουμένῳ, τὸν φόρον· τῷ δὲ τὸ τέλος, τὸ τέλος καὶ τὰ ἑξῆς ὁμοίως. Πανταχοῦ γὰρ ἐξακούεται τὸ

«χρεωστουμένῳ»· περὶ ὀφειλῆς γὰρ ὁ λόγος. Νοεῖται δὲ «φόρος» μὲν ἡ ὑπὲρ τῆς γῆς εἰςφορά, «τέλος» δὲ ἡ ὑπὲρ τῆς ἐμπορίας συντέλεια, «φόβος» δὲ ἡ αἰδὼς καὶ ὑποστολή, ἥτις ὀφείλεται καὶ αὕτη, ὡς χρέος, τοῖς ἄρχουσιν, ὥςπερ καὶ ἡ τιμή (α).

8. Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους·

Πάλιν ἐπὶ τὴν μητέρα τῶν ἀγαθῶν καταφεύγει καὶ διδάσκαλον τῶν εἰρημένων καὶ ποιητικὴν ἀρετῆς ἁπάσης· λέγω δὴ τὴν ἀγάπην, ἣν καὶ χρέος καλεῖ, καὶ ἣν ἀεὶ μὲν χρεωστεῖσθαι βούλεται, ἀεὶ δὲ ἀποδίδοσθαι, καὶ μηδέποτε πληροῦσθαι. Τοιαύτη γὰρ ἡ φύσις τοῦ χρέους ταύτης. Εἶτα λέγει καὶ τί τὸ κέρδος αὐτῆς·

8. Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε.

Τὸν κελεύοντα ἀγαπᾶν τὸν πλησίον. Ὁ δὲ νόμον πληρῶν, ὀφειλὴν πληροῖ. Χρέος ἄρα καὶ οὐ χάρις τὸ ἀγαπᾶν ἀλλήλους.

9. Τὸ γὰρ «οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευ»δομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις» καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ «ἀγαπήσεις »τὸν πλησίον σου ὡς ἑαυτόν» (β).

Οὐκ εἶπεν ὅτι πληροῦται ἁπλῶς, ἀλλ' ὅτι «ἀνακεφαλαιοῦται»· τουτέστι συντόμως πληροῦται. Τὰ γὰρ διὰ τῶν πολλῶν ἐντολῶν εἰρημένα, καθάπερ τις ἀνακεφαλαίωσις, ἤτοι σύντομος περίληψις, ἐν τῷ τὸν πλησίον ἀγαπᾶν περιέχεται, καὶ τὸ πᾶν ἔργον τῶν ἐντολῶν

(α) Παραδραμεῖν ἴσως οὐκ ἄξιον ὅσα ὁ βαθυνούστατος Φώτιος εἴρηκεν (Ἐν Ἀμφιλοχ. Ἐρώτ. ΡΟΘ', Τόμ. Α', σελ. 881) ἑρμηνεύων τὰ τοῦ Ἀποστόλου Πέτρου «ὑποτάγητε »πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ὡς ἐλεύθεροι» (Α' Πέτρ. β', 13), πολλὴν ἔχοντα τὴν σχέσιν πρὸς τὸ προκείμενον ἡμῖν ἐνταῦθα ῥητόν. «Ἵνα μή τις λέγῃ εἰ γεγό» ναμεν ἐλεύθεροι, πῶς πάλιν ὑποτάττεις τοῖς ἐγκοσμίοις ἄρχουσιν ἡμᾶς; . . . Πῶς δὲ » καὶ ἄλλως οὐ σωτήριον ἐκουσιότητι γνώμης τὴν ἐν Πολιτείᾳ τάξιν διαφυλάττειν καὶ » τὸ κατ' ἀξίαν νέμειν τοῖς ὑπερέχουσιν; Καὶ γὰρ ὡς ἀληθῶς οἱ τοιοῦτοι ἐλευθέρας τε » φέρουσιν ἐκ πάσης ἀταξίας καὶ στάσεως τὰς ψυχάς, καὶ τῆς θεόθεν δεδομένης ἡμῖν » ἐλευθερίας ἄξιοι πᾶσιν ἐπιδείκνυνται. Οἱ δὲ γνώμῃ μὲν μοχθηρᾷ, τόλμῃ δὲ πονηρᾷ » καὶ ταραχαῖς χαιρούσῃ τὴν ἐλευθερίαν ἐπιφημίζοντες, καὶ διὰ τοῦτο στάσει τὴν εὐνο» μίαν λύοντες, οὗτοι προκάλυμμα πονηρίας καὶ αὐθαδείας τὴν ἐλευθερίαν προβαλλόμε» νοι, δοῦλοι μέν εἰσιν ἀλογίστων παθῶν, δοῦλοι δὲ ταραχῆς καὶ θορύβων καὶ τῆς ἐλευ» θερίας κατήγοροι, καὶ διὰ τοῦτο ταύτης ἀνάξιοι». — (β) Ἔξοδ. κ', 13-16. Λευϊτ. ιθ', 18. Ματθ. ιθ', 18. 19.

συντόμως ἐν τῇ ἀγάπῃ τοῦ πλησίον ἀπαρτίζεται. Πάσης γὰρ ἀρετῆς ἀρχὴ καὶ τέλος ἡ ἀγάπη. Καὶ ὁ ταύτην πληρῶν πᾶσαν ἐντολὴν κεφαλαιωδῶς πληροῖ. Ἀγάπην δὲ λέγει τὴν ἐπιτεταμένην, ὡς ἀγαπᾷ τις ἑαυτόν.

10. Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐ κατεργάζεται.

Εἰ γὰρ οὐ βλάψει τις ἑαυτόν, πάντως οὐδὲ τὸν ὡς ἑαυτὸν ἀγαπώμενον.

10. Πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Ὡς ἔχουσα καὶ τῶν ἀγαθῶν τὴν ἐργασίαν, καὶ τῶν κακῶν τὴν ἀποχήν, ὑπὲρ ὧν πᾶσαι αἱ ἐντολαὶ τοῦ νόμου νενομοθέτηνται. Ἐπεὶ δὲ πάντα ὅσα ἐχρῆν ἐπέταξεν, ὠθεῖ πάντας αὐτοὺς εἰς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἀπὸ τοῦ κατεπείγοντος· λέγει γάρ·

11. Καὶ τοῦτο, εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι·

Καθάπερ Κορινθίοις ἔγραφεν ὅτι «ὁ καιρὸς συνεσταλμένος τὸ λοι» πόν ἐστι» (α)· καὶ Ἑβραίοις πάλιν ὅτι «μικρὸν ὅσον ὅσον ὁ ἐρχόμε» νος ἥξει, καὶ οὐ χρονιεῖ» (β)· οὕτω καὶ νῦν φησιν ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἀναστῆναι. Καὶ ἐκεῖ μὲν τοὺς πονουμένους ὑποστηρίζων καὶ τοὺς ἱδρῶτας τῶν ἀλλεπαλλήλων πειρασμῶν παραμυθούμενος, τὰ ῥηθέντα ἔλεγεν. Ἐνταῦθα δὲ τοὺς ἐν τῇ ῥᾳθυμίᾳ καθεύδοντας διεγείρων, φησὶν ὅτι «καὶ τοῦτο εἰδότες» διατελεῖτε· λέγω δὴ τὸν καιρὸν τὸν ἐφεστῶτα, ὅτι καιρὸς ἡμᾶς ἤδη ἐκ τῆς ἀμελείας ἀναστῆναι, καιρὸς ἐγρηγόρσεως.

11. Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν.

Ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἐν μὲν τῇ ἀρχῇ τῆς πίστεως εἶναι σπουδαιοτέρους, ἀκμάζοντος αὐτοῖς τοῦ πόθου, προελθόντος δὲ τοῦ χρόνου μαρανθῆναι τὴν σπουδήν, φησίν, ὅτι τοὐναντίον χρὴ ποιεῖν. Ὅσῳ γὰρ ἂν ὁ βασιλεὺς ἐγγίζῃ, τοσούτῳ μᾶλλον προσήκει παρασκευάζεσθαι· καὶ ᾧ μᾶλλον ἐγγὺς τὸ βραβεῖον, τοσούτῳ πλέον διεγείρεσθαι πρὸς τὸν ἀγῶνα. «Σωτηρίαν» δὲ λέγει τὴν ἀνάστασιν, ἀπὸ τῶν χρηστοτέρων ταύτην οὕτω προσαγορεύων.

(α) Α' Κορινθ. ζ', 29. — (β) Ἑβρ. ι', 37.

12. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν.

«Νύκτα» μὲν τὸν παρόντα βίον καλεῖ διὰ τὸ κατακεχυμένον αὐτοῦ σκότος τῆς ἁμαρτίας, καὶ διὰ τὸ ὀνειρῶδες αὐτοῦ καὶ φαντασιῶδες καὶ ἀπατηλόν. «Ἡμέραν» δὲ τὸν μέλλοντα, διὰ τὸ λαμπρὸν αὐτοῦ καὶ φανερωτικὸν τῶν κεκρυμμένων. Εἰ οὖν προέκοψε μὲν ὁ παρὼν βίος, τουτέστιν ἐγγὺς τοῦ τέλους ἐγένετο, ἤγγικε δὲ ὁ μέλλων, τὰ τοῦ ἐγγίσαντος διαπραττώμεθα, καὶ πρὸς τοῦτον παρασκευαζώμεθα.

12. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

«Ἔργα μὲν τοῦ σκότους» ἤτοι νυκτός, πᾶσα πρᾶξις αἰσχύνην ἐπάγουσα καὶ λήθης ἄξια· τοιαύτη δέ ἐστι πᾶσα ἁμαρτία. «Ὅπλα δὲ »τοῦ φωτὸς» ἤγουν ἡμέρα, πᾶσα ἀρετή, ὁπλίζουσα μὲν ἐνταῦθα καὶ περιφράττουσα, καὶ φοβερὸν ποιοῦσα τοῖς δαίμοσι, φαιδρύνουσα δὲ ἐκεῖ καὶ λαμπρύνουσα.

13. Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν·

Ὡς πολλῶν ἡμᾶς ὁρώντων, ἀμέμπτως πολιτευσώμεθα, ἔργα φωτὸς ἄξια καὶ μὴ σκότους ἐπιδεικνύμενοι.

13. Μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις,

«Ἐμπεριπατήσωμεν» δηλονότι· μὴ ἐν τούτοις πολιτευσώμεθα. Ἔστι δὲ κῶμος συμπόσιον μετὰ καὶ αἰσχρῶν ᾀσμάτων. Ὅρα δὲ τὴν τάξιν· κωμάζων μὲν γάρ τις μεθύει, μεθύων δὲ κοιτάζεται, κοιταζόμενος δὲ ἀσελγαίνει, τοῦ οἴνου τοῦτον τῇ πλησμονῇ πυρπολοῦντος καὶ διερεθίζοντος. Ἢ καὶ ἄλλως· τοῦ κώμου μὲν ἐφερμηνευτικὴ ἡ μέθη, τῆς κοίτης δὲ ἡ ἀσέλγεια (α).

13. Μὴ ἔριδι καὶ ζήλῳ·

Ἐκ τῶν εἰρημένων γὰρ ἔριδες καὶ φθόνοι γεννῶνται, ἀφ' ὧν πάλιν οἰκιῶν ἀνατροπαὶ καὶ δεινὰ μυρία.

(α) Οὕτω καὶ ὁ Θεολ. Γρηγόριος (Λόγ. ΛΗ', εἰς τὰ Θεοφ. Τόμ. Β', σελ. 316. ε') «Μὴ κώμοις καὶ μέθαις, οἷς κοίτας καὶ ἀσελγείας οἶδα συνεζευγμένας».

14. Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν (*),

Ἀποδύσας τῶν σκοτεινῶν καὶ πονηρῶν ἱματίων, ἐνδύει καινοπρεπῶς· αὐτὸν γὰρ τὸν Χριστόν, αὐτὸν τὸν Δεσπότην, δίδωσιν ἡμῖν ἱμάτιον. Ἔνδυσις δὲ αὐτοῦ τὸ ἐν αὐτῷ εἶναι, καὶ τὸ ἐφ' ἡμῖν αὐτὸν φαίνεσθαι. Ὅ τε γὰρ ἐνδυσάμενος ἐν τῷ ἱματίῳ ἐστί, καὶ τὸ ἱμάτιον ἐπὶ τῷ ἐνδυσαμένῳ φαίνεται. Τοῦτο δὲ γίνεται, ὅταν ἐν τοῖς θελήμασιν αὐτοῦ μένωμεν καὶ ἐφ' ἡμῖν φαίνωνται χαρακτῆρες αὐτοῦ καὶ ὁμοιώσεις.

14. Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν (**).

Ὥςπερ οὐ τὸ πίνειν ἐκώλυσεν, ἀλλὰ τὸ μεθύειν· οὐδὲ τὸ γαμεῖν, ἀλλὰ τὸ ἀσελγαίνειν· οὕτως οὐδὲ τὸ προνοεῖν τῆς σαρκός, ἀλλὰ τὸ εἰς ἐπιθυμίαν· ἤγουν εἰς τὸ τὴν χρείαν ὑπερβαίνειν. Ἐπιθυμίας γὰρ νῦν λέγει τὰς περιττάς.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ

1. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προςλαμβάνεσθε,

Τινὲς μὲν τῶν πεπιστευκότων ἐξ Ἰουδαίων καὶ μετὰ τὴν πίστιν, οὔπω θαρροῦντες ἀποστῆναι τέλεον τοῦ νόμου, βρωμάτων τινῶν ἀπείχοντο. Ὥςτε δὲ μὴ ἐν τῷ ἀπέχεσθαι χοιρείων κρεῶν καὶ τοιούτων ἄλλων γίνεσθαι αὐτοὺς καταφώρους, λάχανα ἤσθιον, ἵνα δοκῶσιν ἐγκράτειαν ἀσκεῖν, ἀλλὰ μὴ παρατηρεῖν βρωματικὴν μετάληψιν. Τινὲς δὲ πάλιν, οἱ τελειότεροι τούτων, ὠνειδίζοντο, καὶ ἐγκαλοῦντες αὐτοῖς ἀσθένειαν πίστεως, φορτικοὶ τούτοις ἐγίνοντο, καὶ εἰς ἀθυμίαν ἐνέβαλλον (α). Δεδιὼς οὖν ὁ Ἀπόστολος μὴ βαρυνθέντες τῇ λύπῃ παν-

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων ἔχουσιν «Ἰησοῦν Χριστόν». — (**) Ἐν ἄλλ. «ἐπιθυμίας». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει γράφει «ἐπιθυμίας νῦν λέγει» κἑξ. — (α) Θεοφύλ. ἐν λ. «Εἶτα ὥςτε μὴ εὐφώρατοι καταστῆναι ὡς τῶν χοιρείων »μόνων ἀπεχόμενοι, πάντων ἁπλῶς ἀπείχοντο κρεῶν καὶ λάχανα ἤσθιον. Ἕτεροι πά»λιν ἦσαν τελειότεροι, οἵ, μηδὲν παρατηροῦντες, ὠνείδιζον τοῖς παρατηροῦσιν».

τελῶς ἀποφοιτήσωσι τῆς πίστεως, δοκεῖ μὲν ἐπιτιμᾶν τοῖς ὀνειδίζουσι, πλήττει δὲ μᾶλλον ἐκείνους ἀνεπαχθῶς, ἀσθενεῖς αὐτοὺς ὀνομάζων, καὶ λεληθότως τὸ τῆς διορθώσεως ἐνίησι φάρμακον. Λέγει τοίνυν πρὸς τοὺς ἰσχυροτέρους, ὅτι τὸν ἐν τῇ πίστει ἀσθενοῦντα, τὸν δειλιῶντα καὶ διστάζοντα, οἰκειοῦσθε καὶ μὴ ἀποστρέφεσθε.

1. Μὴ εἰς διακρίσεις διαλογισμῶν·

Μὴ οὕτω δὲ προςλαμβάνεσθε αὐτὸν ὥςτε καὶ ὑμᾶς διακρίνεσθαι τοῖς διαλογισμοῖς· τουτέστιν ὥςτε συμμετέχειν τῆς ἐν τῷ διστάζειν λύμης. Καὶ τοῦτο δὲ κατηγορία τῶν ὀνειδιζομένων.

2. Ὃς μὲν πιστεύει φαγεῖν πάντα,

Οὗτος μὲν ὑγιαίνων τῇ πίστει, πιστεύει καὶ θαρρεῖ φαγεῖν πάντα τὰ βρώματα, μὴ δεδουλωμένος ἔτι τῷ νόμῳ.

2. Ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει.

Ὥςπερ ἐκεῖνον ἀνεκήρυξεν ἀπὸ τῆς δυνάμεως· οὕτω καὶ τοῦτον ἤλεγξεν, εἰς ἐπικάλυμμα τῆς περὶ τὴν πίστιν ἀσθενείας τὰ λάχανα ἐσθίοντα.

3. Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω·

Ὁ ἐσθίων πάντα εἰς δόξαν Θεοῦ μὴ φαυλιζέτω τὸν μὴ ποιοῦντα τοῦτο, ὡς ἀτελῆ τῇ πίστει καὶ ἔτι ἰουδαΐζοντα.

3. Καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω·

Μὴ κατακρινέτω, ὡς λαίμαργον καὶ παράνομον.

3. Ὁ Θεὸς γὰρ αὐτὸν προςελάβετο.

Ἐλευθερώσας τῶν νομικῶν παρατηρήσεων. Εἶτα πάλιν τρέπει τὸν λόγον πρὸς τὸν ἰσχυρόν·

4. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;

Τὸν τοῦ Θεοῦ. Δοκεῖ μὲν οὖν καὶ αὕτη ἡ ἀγανάκτησις πρὸς τὸν ἰσχυρὸν εἶναι, καθάπτεται δὲ μᾶλλον τοῦ ἀσθενοῦς. Ἐπήγαγε γάρ·

4. Τῷ ἰδίῳ Κυρίῳ στήκει ἢ πίπτει.

Πρὸς τὸν ἴδιον Δεσπότην ὁρᾷ ἡ στάσις ἢ πτῶσις αὐτοῦ. Καὶ οὐ σοί, ἀλλὰ τῷ Κυρίῳ αὐτοῦ ταῦτα διαφέρει. Νῦν μὲν οὖν ἀμφίβολον αὐτὸν εἰςάγει· προϊὼν δέ, ἀσθενῆ καὶ σεσαλευμένον.

4. Σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

Εἰπὼν μὲν ὅτι «σταθήσεται» ἔδειξεν αὐτὸν σεσαλευμένον, ὡς προείρηται. Τῇ τοῦ Θεοῦ δὲ δυνάμει ἀναθεὶς τὴν στάσιν καὶ ἑδραίωσιν αὐτοῦ, ἐνέφηνεν αὐτὸν πολλῆς ἐπιμελείας δεόμενον.

5. Ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν,

« Ἐσθίειν » δηλονότι· περὶ τούτου γὰρ ὁ λόγος. Ἐντεῦθεν δὲ εἰς τὸν περὶ νηστείας ἐνέβαλε λόγον. Καὶ ἐπειδὴ οἱ μὲν τῶν πιστευσάντων ἡμέραν μίαν νηστεύοντες, ἐν τῇ μετὰ ταύτην ἤσθιον (τοῦτο γάρ ἐστι τὸ «ἡμέραν παρ' ἡμέραν»), οἱ δὲ κατὰ πᾶσαν ἡμέραν ἤσθιον, καὶ συνέβαινέ τινας τῶν παρ' ἡμέραν ἐσθιόντων κατακρίνειν τοὺς μηδόλως νηστεύοντας, ἀποτρέπει τὸ κατακρίνειν, λέγων, ὅτι ἄλλος μὲν κρίνει καὶ προαιρεῖται ἡμέραν παρ' ἡμέραν ἐσθίειν·

5. Ὃς δὲ κρίνει πᾶσαν ἡμέραν.

Ἄλλος δὲ προαιρεῖται καθ' ἑκάστην ἡμέραν ἐσθίειν.

5. Ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω.

Καὶ ὁ νηστεύσας, ὡς εἴρηται, καὶ ὁ μὴ νηστεύσας ἀναπαυέσθω ἐν τῇ ἰδίᾳ προαιρέσει. Πεπείσθω ἐν αὐτῇ ὡς καλῶς προελόμενος εἴτε τοῦτο εἴτε ἐκεῖνο. Μόνον εἰ εὐχαριστεῖ τῷ Θεῷ καὶ οὗτος κἀκεῖνος. Ὁ μέν, ὡς παρέχοντι δύναμιν εἰς τὸ νηστεύειν· ὁ δέ, ὡς χορηγοῦντι καθ' ἡμέραν τροφὴν εἰς σύστασιν τοῦ σώματος. Οὐ γὰρ ἐν τοῖς καιρίοις τὸ νηστεύειν διὰ τὸν καιρόν· ἔτι γὰρ νεοπαγεῖς ἦσαν εἰς τὴν πίστιν. Ἐν ἄλλοις δὲ καὶ ἐπιτρέπει (α) τοῦτο, καὶ ἐπιτείνει διὰ τὸ ἐκείνους εἶναι τελειοτέρους.

6. Ὁ φρονῶν τὴν ἡμέραν Κυρίῳ φρονεῖ·

Ὁ αἱρούμενος ἑκάστην ἡμέραν ἐσθίειν διὰ τὸν Κύριον αἱρεῖται

(α) Γραπτέον ἴσως « ἀποτρέπει », ἵνα εἴη ὁ νοῦς· « ἐν ἄλλοις δὲ (ὡς ἐν τῇ πρὸς Κολασσ. 6΄, 16) *ἀποτρέπει* τοῦτο (δηλ. τὸ ἐσθίειν ἀπαρατηρήτως), καὶ ἐπιτείνει » (δηλ τὸ νηστεύειν).

τοῦτο καὶ κατὰ Θεὸν ἐσθίει ἵνα τῇ μεταλήψει ῥωννύμενος εὐτονῇ πρὸς τὰς πνευματικὰς διακονίας.

6. Καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν Κυρίῳ οὐ φρονεῖ.

Καὶ ὁ μὴ αἱρούμενος ἑκάστην ἡμέραν ἐσθίειν διὰ τὸν Κύριον οὐχ αἱρεῖται, ἵνα διὰ νηστείας ὑποτάσσων τὰ πάθη εὐαρεστῇ αὐτῷ.

6. Καὶ ὁ ἐσθίων Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει· καὶ εὐχαριστεῖ τῷ Θεῷ.

Ἀνακεφαλαιοῦται τὰ προειρημένα, καὶ ἐπιβεβαιοῖ ταῦτα, λέγων ὅτι καὶ ὁ μὴ νηστεύων διὰ τὸν Κύριον τοῦτο ποιεῖ· εὐχαριστεῖ γὰρ αὐτῷ, ὡς προδιείληπται. Νηστεύοντας δὲ καὶ μὴ νηστεύοντας λέγει τοὺς κατὰ Θεὸν ζῶντας, οὐ μὴν τοὺς μὴ κατὰ Θεὸν τοῦτο ἢ ἐκεῖνο ποιοῦντας· οἱ τοιοῦτοι γὰρ οὐκ εὐχαριστοῦσιν.

7. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει.

Τοιοῦτός ἐστιν ὁ σκοπὸς τοῦ λόγου· ὅτι οὐκ ἐσμεν ἐλεύθεροι, ἀλλὰ Δεσπότην ἔχομεν τὸν Θεόν, ᾧ ἀνήκει προηγουμένως καὶ ἡ ζωὴ ἡμῶν καὶ ὁ θάνατος. Ζῶντες μὲν γὰρ θεοφιλῶς πλοῦτος αὐτῷ γινόμεθα· ἀποθνήσκοντες δὲ ψυχικῶς, ζημία. Λοιπὸν οὖν αὐτῷ μέλει πλέον ἡμῶν περὶ τῆς σωτηρίας ἡμῶν. Καὶ εἰ τοῦτο οὕτως ἔχει, μὴ προφάσει διορθώσεως πλῆττε τὸν ἀδελφὸν ἐν τῷ κατακρίνειν, ἀλλ᾽ ἄφες αὐτὸν εἰς τὸν Δεσπότην, οὗ δοῦλός ἐστιν. Δυνατὸς γάρ ἐστιν, ὡς ἀνωτέρω εἴρηται, ὥςπερ τὸν σαλευόμενον τῇ πίστει στῆσαι, οὕτω καὶ τὸν ἀσθενῆ πρὸς νηστείαν ῥῶσαι. Λέγει τοιγαροῦν, ὅτι οὐδεὶς ἡμῶν ἑαυτῷ ζῇ προηγουμένως, ἀλλὰ τῷ Θεῷ· ὁ Θεὸς γὰρ κατὰ πρῶτον λόγον ζημιοῦται ὡς Δεσπότης τῷ θανάτῳ τοῦ δούλου.

8. Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν·

«Ἐάν τε γὰρ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν», τῷ Κυρίῳ διαφέρει προηγουμένως καὶ ἡ ζωὴ ἡμῶν καὶ ὁ θάνατος, ὡς Δεσπότῃ.

8. Ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν.

Τὰ διὰ πλειόνων ῥηθέντα συνεπέρανε καὶ ἀνεκεφαλαιώσατο. Καὶ

ζῶντες γάρ, φησί, καὶ ἀποθνήσκοντες, τοῦ Κυρίου ἐσμέν. Καὶ αὐτὸς ἡμῶν φροντιεῖ, ὥςτε καλῶς ζῆσαι, καὶ μὴ κακῶς ἀποθανεῖν. Εἶτα καὶ ἕτερον σημεῖον ποιεῖται μέγιστον τῆς πολλῆς αὐτοῦ περὶ τοὺς πιστοὺς προνοίας.

9. Εἰς τοῦτο γὰρ ὁ Χριστὸς (*) ἀπέθανε (**) καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

Εἰ γὰρ μὴ τοσαύτην ἡμῶν ἐποιεῖτο πρόνοιαν, οὐκ ἂν περὶ ἡμῶν ἀπέθανεν· οὐκ ἂν ἀνάσχοιτο ῥᾳδίως προέσθαι τούτοις, ὑπὲρ ὧν τὸ οἰκεῖον αἷμα ἐξέχεε, καὶ τοσαύτην τιμὴν κατεβάλετο. Καὶ εἰ νεκρῶν γινομένων ἡμῶν προνοεῖται, πρόδηλον ὅτι καὶ ζώντων. Ταῦτα δὲ εἶπεν ὁ Ἀπόστολος οὐ τοσοῦτον ἐπέχων τοὺς κατακρίνοντας, ὅσον ἐντρέπων τοὺς ὀνειδιζομένους καὶ καταισχύνων τοὺς ἀντεχομένους ἔτι τοῦ νόμου· ὅτι ἀγνωμονοῦντες περὶ τὸν ὄντως εὐεργετήσαντά, παλινδρομοῦσιν ἐπὶ τὸν νόμον, οὗτινος οὐδὲν ἀπώναντο. Ἱκανῶς δὲ αὐτῶν καθαψάμενος πάλιν ἀνίησι λέγων·

10. Σὺ τί κρίνεις (***) τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;

Πρὸς ἀμφοτέρους ὁ λόγος, τόν τε ἀντεχόμενον ἔτι τοῦ νόμου, καὶ διὰ τοῦτο κατακρίνοντα τοὺς ἐσθίοντας πάντας, καὶ πρὸς τὸν ἰσχυρὸν τῇ πίστει, καὶ διὰ τοῦτο ἐξουθενοῦντα τοὺς μὴ πάντα ἀπαρατηρήτως ἐσθίοντας. Καὶ πρῶτον μὲν τῷ ὀνόματι τοῦ «ἀδελφοῦ» πειρᾶται λύειν αὐτοῖς τὴν φιλονικίαν. Εἶτα καὶ τῇ μνήμῃ τῆς μελλούσης φοβερᾶς κρίσεως· ἐπήγαγε γάρ·

10. Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ.

Ἐνταῦθα μάλιστα κατασείει τὴν διάνοιαν τοῦ ἔτι ἰουδαΐζοντος, ὡς τοῦ Χριστοῦ κρῖναι μέλλοντος, οὗ τὴν χάριν ἀθετῶν, προςφεύγει τῷ νόμῳ. Εἰςάγει δὲ καὶ τὸν Προφήτην μαρτυροῦντα τῷ Χριστῷ τὴν πάντων ὑποταγήν.

11. Γέγραπται γάρ·

Ἐν βίβλῳ Ἡσαΐου.

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «Χριστός» ἄνευ τοῦ ἄρθρου. — (**) Ὁμ. «καὶ »ἀπέθανε». — (***) Ὁμ. «Σὺ δὲ τί κρίνεις;»

11. «Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ»,

Τὸ «ζῶ ἐγὼ» καὶ τὸ «ζῇ Κύριος» ἀντὶ ὅρκου παρὰ τοῖς Ἑβραίοις ἐτίθετο· ὅτι ἐμὲ προςκυνήσει πᾶς.

11. «Καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ» (α)·

Ἐξαγορεύσει, λόγους ὑφέξει τῶν πεπραγμένων.

12. Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.

Λοιπὸν οὖν ἑαυτῷ πρόςεχε. Μὴ φιλονικείτω (β) τῷ ἀδελφῷ, ὃν κρῖναι μέλλει Χριστός· τοῦτον γὰρ νῦν λέγει «Θεόν».

13. Μηκέτι οὖν ἀλλήλους κρίνωμεν·

Μὴ κατακρίνωμεν, ἀλλὰ ἀδελφικῶς καὶ φιλανθρώπως διορθώμεθα.

13. Ἀλλὰ τοῦτο κρίνατε μᾶλλον,

Τοῦτο προκρίνατε, τοῦτο θελήσατε.

13. Τὸ μὴ τιθέναι πρόςκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον·

Ἵνα μήτε ὁ τέλειος σκανδαλίζηται ἐπὶ τῇ τῶν βρωμάτων παρατηρήσει, μήτε ὁ ἀτελὴς προςκόπτῃ ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει.

14. Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' αὐτοῦ.

Τὸ «ἐν Κυρίῳ» ἀντὶ τοῦ παρὰ Κυρίου μαθὼν καὶ πεισθείς, τὸ «οὐδὲν» (γ) βρῶμα κοινὸν ἔστι δι' αὐτοῦ»· τουτέστιν οὐδὲν ἀκάθαρτόν ἐστι τῇ ἑαυτοῦ φύσει, ἢ «δι' αὐτοῦ» τοῦ Κυρίου κτισθέν. «Καὶ »εἶδε γάρ, φησίν, ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν» (δ).

14. Εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι ἐκείνῳ κοινόν.

Ἀλλὰ τῷ λογιζομένῳ εἶναί τι ἀκάθαρτον βρῶμα, ἐκείνῳ μόνῳ

(α) Ἠσ. με', 23. — (β) Ἢ γραπτέον «φιλονίκει» κατὰ τὸ ἀμέσως προηγούμενον «πρόςεχε»· ἤ, μενούσης τῆς γραφῆς «φιλονικείτω», νοητέον τὸ «ἕκαστος». — (γ) Γραπτέον ἴσως «ὅτι οὐδέν». — (δ) Γέν. α', 31.

ἐστὶ τοῦτο ἀκάθαρτον διὰ τὸ λογισθῆναι τοιοῦτον, καὶ οὐ διὰ τὴν οἰκείαν φύσιν.

15. Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς·

«Εἰ δὲ διὰ βρῶμα» ἐσθιόμενον μὲν παρὰ σοῦ, ἀκάθαρτον δὲ τῷ ἀτελεῖ λογιζόμενον, λυπεῖται ὁ ἀδελφός σου ὁ ἀτελής, οὐκέτι ἐν ἀγάπῃ πολιτεύῃ. Χρὴ γὰρ καὶ συγκαταβαίνειν δι' ἀγάπην τοῖς ἀσθενέσιν, ἔνθα μὴ περί τι καίριον ἡ ζημία, καὶ πρὸς καιρὸν οἰκονομικῶς ἀπέχεσθαι τοῦ σκανδαλίζοντος πράγματος, καὶ τῇ ἀγάπῃ μᾶλλον ἐφέλκεσθαι ἢ τῇ ἀκριβείᾳ λύειν ταύτην. Διὸ καὶ ἐπήγαγε·

15. Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν.

Ὁ μὲν Χριστὸς καὶ ἀπέθανεν ὑπὲρ αὐτοῦ· σὺ δὲ οὐδὲ βρώματος ἀποχῇ πραγματεύῃ τούτου τὴν σωτηρίαν, ἀλλὰ τῷ ἐσθίειν ἀπόλλυς αὐτὸν καὶ ποιεῖς ἀποσχίζεσθαι σκανδαλιζόμενον, καὶ διὰ μικρὸν ἀνατρέπεις ἐν τοῖς μείζοσιν. Μὴ τοίνυν τὸν οὕτω περισπούδαστον τῷ Χριστῷ, οὕτως εὐκαταφρόνητόν σοι λογίζου.

16. Μὴ βλασφημείσθω οὖν ἡμῶν τὸ ἀγαθόν.

«Ἀγαθὸν ἡμῶν» ἐνταῦθα τὴν πίστιν καλεῖ καὶ τὴν ἀπηρτισμένην εὐσέβειαν. Ὅταν γὰρ φιλονικῇς καὶ μάχῃ καὶ λυπῇς καὶ σχίζῃς τὴν Ἐκκλησίαν, τότε οὐ μόνον οὐκ ὠφελεῖς, ἀλλὰ καὶ ποιεῖς βλασφημεῖσθαι τὸ δόγμα, καὶ διασύρουσι τὴν πίστιν ἡμῶν οἱ ἄπιστοι, ὡς σκάνδαλα καὶ στάσεις ἔχουσαν.

17. Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις,

Οὐχὶ βρῶσις τοιάδε ἢ πόσις τοιάδε ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· τουτέστιν ἡ πρόξενος τῆς βασιλείας τοῦ Θεοῦ, ἵνα σφόδρα ταύτης ἀντιλαμβάνησθε (α).

17. Ἀλλὰ δικαιοσύνη,

(α) Οἰκουμ. ἐν λ. «Εἰπὼν ὅτι οὐκ ἔστιν ἡ βασιλεία κτλ.» δείκνυσι τὴν περὶ τὰ βρώ»ματα αὐτῶν ἔριν σφοδροτάτην οὖσαν καὶ πέρα τοῦ μετρίου».

Ὁ ἐνάρετος βίος. «Δικαιοσύνην» γὰρ νῦν τὴν καθόλου ἀρετὴν λέγει.

17. Καὶ εἰρήνη,

Ἡ πρὸς τὸν ἀδελφόν, ᾗ ἐναντιοῦται ἡ φιλονικία.

17. Καὶ χαρὰ

Ἡ ἐκ τῆς ὁμονοίας, ἣν ἀναιρεῖ ἡ ἐπίπληξις. Ταῦτά εἰσιν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς εἰςάγοντα εἰς αὐτήν. Ἐπεὶ δὲ καὶ ἐπὶ πονηρῶν πραγμάτων ἔστιν εἰρήνη καὶ χαρά, προςέθηκεν·

17. Ἐν Πνεύματι ἁγίῳ.

Εἰ τοίνυν οὐκ ἐκεῖνα, ἀλλὰ ταῦτα προξενεῖ τὴν αἰώνιον ἀπόλαυσιν, παροπτέον ἐκεῖνα πάντα.

18. Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ Θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις.

Ὁ ἐν τῇ δικαιοσύνῃ καὶ εἰρήνῃ καὶ χαρᾷ θεραπεύων τὸν Χριστόν.

19. Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν,

Ζητῶμεν.

19. Καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους·

Τὰ τῆς συστάσεως, ἵνα ἀλλήλους ἑδραιῶμεν, ἵνα ἕκαστος ἕκαστον αὔξῃ καὶ προςτιθῇ.

20. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ.

Μὴ δι' εὐτελὲς πρᾶγμα. «Ἔργον δὲ τοῦ Θεοῦ» καλεῖ τὴν διὰ πίστεως σωτηρίαν τοῦ ἀδελφοῦ. Διὰ τοῦτο γὰρ ὁ Θεὸς ἐνηνθρώπησεν. Καὶ ὀπίσω δὲ ἔλεγε· «μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ »Χριστὸς ἀπέθανεν» (α). Εἶτα, ἵνα μὴ ἡ τοσαύτη συγχώρησις βεβαιώσῃ τὸν ἀσθενέστερον ἐν τῇ πονηρᾷ ὑπολήψει, φησί·

20. Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προςκόμματος ἐσθίοντι.

(α) Ἀνωτ. στίχ. 15.

Ἀλλὰ βλάβη τῷ μετὰ πονηροῦ συνειδότος ἐσθίοντι. Εἰ γὰρ ὁ ἀσθενέστερος φάγῃ μὲν ἀναγκασθείς, σκανδαλίζηται δὲ ἐν τῷ ἐσθίειν, οὐ μόνον οὐκ ὠφελεῖται ὅτι ἐσθίει, ἀλλὰ καὶ βλάπτεται ὅτι σκανδαλίζεται, ὡς διακρινόμενος.

21. Καλὸν τὸ μὴ φαγεῖν κρέας (*), μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου σκανδαλίζεται ἢ προςκόπτει ἢ ἀσθενεῖ.

Πάλιν πλέον ἀπαιτεῖ, μὴ μόνον μὴ ἀναγκάζειν, ἀλλὰ καὶ συγκαταβαίνειν τῷ ἀσθενεῖ. Καὶ γὰρ καὶ αὐτὸς ἐποίησε τοῦτο, ὅτε περιέτεμεν, ὅτε ἐξυρᾶτο, ὅτε ἔθυεν ἰουδαϊκῶς (α). «Καλόν, φησί, τὸ μὴ »φαγεῖν κρέας». Καὶ τί λέγω κρέας; κἂν οἶνος ᾖ, κἂν ἄλλο τι, ἐφ' ᾧ ὁ ἀδελφὸς σκανδαλίζεται, παραιτητέον τοῦτο, οὐχ ὡς ἀκάθαρτον, ἀλλ' ὡς σκανδαλίζον, καὶ προτιμητέον τὴν οἰκοδομὴν καὶ σωτηρίαν τοῦ ἀδελφοῦ σου. Εἰπὼν δὲ ὅτι «σκανδαλίζεται» καὶ τὰ ἑξῆς ἰσοδύναμα, καθίκετο τῆς ἀσθενείας τοῦ ἀτελοῦς.

22. Σὺ πίστιν ἔχεις; κατὰ σεαυτὸν ἔχε (**).

Μὴ ἐπιδείκνυε ταύτην ἐν τῷ ἀπαρατηρήτως ἐσθίειν, ὅτε σκανδαλίζεταί τις, ἀλλ' ἀρκοῦ τῇ σεαυτοῦ συνειδήσει. «Πίστιν» γὰρ οὐ τὴν ἐν δόγμασι λέγει νῦν, ἀλλὰ τὴν ἐν βρώμασιν.

22. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει·

Μακαρίζει τὸν μὴ ἐξ ἀνάγκης ἐσθίοντα καὶ διὰ τοῦτο ἐν τῷ ἐσθίειν σκανδαλιζόμενον. Μακάριος γάρ, φησίν, ὁ μὴ κατακρίνων ἑαυτόν, ἐν ᾧ δοκιμάζει πράττειν· ὃν οὐ κατακρίνει τὸ συνειδός.

23. Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται,

Ὁ καθ' ἑαυτὸν ἀμφιβάλλων καὶ διστάζων κατακρίνεται. Καὶ διὰ τί;

23. Ὅτι οὐκ ἐκ πίστεως·

Διότι οὐκ ἐκ πίστεως ἔφαγεν, οὐ πιστεύσας ὅτι καθαρὸν ἦν, ἀλλ' ἀναγκασθείς.

(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων «κρέα».— (α) Πράξ. κά, 24.— (**) Ὁ Συγγραφεύς, ἑπόμενος τῷ Χρυσοστόμῳ, μετὰ τὸ «ἔχε» οὐ προςτίθησι τὰς λέξεις «ἐνώ»πιον τοῦ Θεοῦ».

23. Πᾶν δέ, ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστί.

Πᾶν ὃ οὐκ ἐκ πίστεως ἐσθίεται. Ἁμαρτάνει γὰρ ὁ ἐσθίων, ὡς οὐ μόνον ἀπιστῶν, ἀλλὰ καὶ ὑποκρινόμενος πιστεύειν.

24. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι (α).

Δόξα δηλονότι εἰς τοὺς αἰῶνας, μὴ διηνεκής. Πρὸς τοὺς ἀσθενεῖς δὲ ὁ λόγος.

24. Κατὰ τὸ Εὐαγγέλιόν μου.

Τῷ δυναμένῳ ὑμᾶς στηρίξαι ἐν τῇ ἐμῇ διδασκαλίᾳ.

24. Καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ,

Καὶ κατὰ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ· τουτέστι καὶ ἐν τῷ κηρύγματι τοῦ Χριστοῦ· ἓν γὰρ ἀμφότερα. Πρὸς ἀξιοπιστίαν δὲ τοῦτο εἴρηκεν.

24. Κατὰ ἀποκάλυψιν μυστηρίου, χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν.

Ἀποκαλυφθέντος καὶ φανερωθέντος ἡμῖν μυστηρίου, χρόνοις μὲν πολλοῖς σεσιγημένου, φανερωθέντος δὲ νῦν. «Μυστήριον» δὲ λέγει τὰ τῆς προαιωνίου βουλῆς τοῦ Θεοῦ, τῆς κατὰ τὴν θείαν ἐνανθρώπησιν καὶ τὸ κήρυγμα τῆς πίστεως.

25. Διά τε γραφῶν προφητικῶν, κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος·

Διά τε γραφῶν προφητικῶν γνωρισθέντος εἰς πάντα τὰ ἔθνη. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν εὐαγγελισαμένων τὸ κήρυγμα. «Γνωρισθέντος» δὲ κατ᾽ ἐντολὴν τοῦ ἀνάρχου καὶ ἀτελευτήτου Θεοῦ, ὥςτε ὑπακούειν τὰ ἔθνη καὶ πιστεύειν. Τὸ κήρυγμα γὰρ ὑπακοῆς καὶ πίστεως δεῖται· ὑπερφυῆ γὰρ τὰ περὶ τοῦτο καὶ ἀκατάληπτα, καὶ πίστει μόνῃ παραλαμβανόμενα. Εἰπὼν δὲ ὅτι «διὰ

(α) Τὰ ἀπὸ τούτου τοῦ στίχ. μέχρι τέλους τοῦ παρόντος ιδ΄ κεφ. τίθενται συνήθως ἐν τῷ ις΄ κεφ. τῆς παρούσης ἐπιστολῆς ὡς στίχ. 25. 26. 27. Ἀλλ᾽ ὁ Συγγραφεὺς ἀκολουθεῖ κἀν τούτῳ τῷ Χρυσοστόμῳ.

»γραφῶν προφητικῶν» παρεθάρρυνε τὸν ἀσθενῆ, διδάσκων ὅτι καὶ ὁ νόμος οἶδε τὸ κήρυγμα τοῦτο καὶ βούλεται κηρύττεσθαι. Οὐ χρὴ δὲ ζητεῖν διὰ τί νῦν ἐφανερώθη. Τοῦτο γὰρ μόνος ὁ Θεὸς ἀκριβῶς ἐπίσταται. Εἰ δὲ λέγει τις ὅτι καὶ μὴν πάλαι τοῖς Προφήταις ἐφανερώθη, ἐροῦμεν ὅτι ἐκείνοις μὲν ἀμυδρῶς καὶ σκιωδῶς, ἡμῖν δὲ τρανῶς καὶ σαφῶς.

26. Μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Οὕτως ἡ σύνταξις· «τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι διὰ Ἰησοῦ »Χριστοῦ». Εἶτα ἡ μεταξυλογία. Ἔπειτα τὸ «μόνῳ σοφῷ Θεῷ δόξα »εἰς τοὺς αἰῶνας». Διὰ Χριστοῦ γὰρ καὶ μανθάνομεν καὶ στηριζόμεθα, καὶ χωρὶς τῆς βοηθείας αὐτοῦ κατορθοῦμεν οὐδέν. Μόνον δὲ σοφὸν τὸν Πατέρα προςηγόρευσε πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως ἁπάσης, ὅτι κυρίως μόνος οὗτος σοφός. Εἰ δ' ὁ Πατήρ, καὶ ὁ Υἱὸς πάντως, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· κοινὰ γὰρ ἐπίσης αὐτοῖς πάντα πλὴν τῶν χαρακτηριστικῶν ἰδιοτήτων. Ὅταν γὰρ ἐννοήσῃς πῶς τὰ ἔθνη εἰςήγαγε· πῶς ἀπεγνωσμένους ἔσωσε· πῶς τῆς γῆς ἀναξίους ὄντας εἰς οὐρανὸν ἀνήγαγε· πῶς ὑπὸ δαιμόνων πατουμένους ἀγγέλοις ἐφαμίλλους ἐποίησε, καὶ ὅσα τοιαῦτα, τότε σφόδρα θαυμάσεις τὸ ὑπερβάλλον τῆς σοφίας αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΠΕΜΠΤΟΝ

ΙΗ' Περὶ μιμήσεως τῆς Χριστοῦ ἀνεξικακίας.

1. Ὀφείλομεν (*) ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν,

Ὡς χρέος ἀπαιτούμεθα τοῦτο. Αὐτοὺς μὲν οὖν ἐπῆρε τῷ δυνατοὺς αὐτοὺς ὀνομάσαι καὶ τῷ συντάξαι ἑαυτῷ, τούτους δὲ ἐλέους ἀξίους

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «ὀφείλομεν δέ».

ἐποίησε τῷ τε ἀδυνάτους προςαγορεῦσαι καὶ τῷ εἰπεῖν «ἀσθενήματα». Σὺ μὲν γάρ, ὡς δυνατός, συγκαταβαίνων οὐ βλαβήσῃ, ἐκείνῳ δέ, ὡς ἀσθενεῖ, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος, εἰ μὴ διαβαστάζεται.

1. Καὶ μὴ ἑαυτοῖς ἀρέσκειν.

Εἰς δύναμιν δηλονότι. Μὴ ἰατροῖς μετρεῖν τὴν ἰσχύν, ἀλλ' οἱ ἀσθενεῖς μετρείτωσαν ταύτην ἐν τῷ βαστάζεσθαι ὑπὸ σοῦ. Οὗτοι πεῖραν αὐτῆς λαβέτωσαν. Διὸ καὶ ἐπήγαγεν·

2. Ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν.

Οὐχ ἁπλῶς «ἀρεσκέτω»· ἀλλ' ἐπειδὴ ἀρέσκει τις καὶ ἐπὶ κακῷ, προςέθηκεν ὅτι «εἰς τὸ ἀγαθόν». Τίνος δὲ ἕνεκεν ἀρεσκέτω αὐτῷ εἰς τὸ ἀγαθόν; ἕνεκα οἰκοδομῆς αὐτοῦ, ἵνα στηριχθῇ, ἵνα συντεθῇ σοι.

3. Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν,

Ἐπειδὴ μέγα ἐπέταξε τῆς οἰκείας καθυφεῖναι τελειότητος εἰς τὸ διορθῶσαι τὴν ἀσθένειαν τοῦ ἀδελφοῦ, τὸν Χριστὸν ἄγει παράδειγμα, προτρέπων ἐντεῦθεν. «Οὐχ ἑαυτῷ δὲ ἤρεσεν», ὡς μὴ τὸ ἑαυτοῦ σκοπήσας· καὶ γὰρ ἐξῆν αὐτῷ μὴ παθεῖν, εἴ γε τὸ ἑαυτοῦ σκοπεῖν ἤθελεν. Νῦν δὲ οὐχ οὕτως·

3. Ἀλλά, καθὼς γέγραπται·

Ἀλλὰ τὴν ἡμετέραν σωτηρίαν σκοπήσας, τὴν ἑαυτοῦ δόξαν παρεῖδε, καὶ σταυρωθείς, ἀσθενὴς ἔδοξε· καὶ ὠνειδίσθη τοῦτο, καθὼς γέγραπται ἐν βίβλῳ Ψαλμῶν.

3. «Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ» (α).

Τοῦ Υἱοῦ, λέγοντος πρὸς τὸν Πατέρα, ὅτι οἱ ὀνειδισμοὶ τῶν Ἰουδαίων, τῶν ὀνειδιζόντων σε πολλάκις, ὅτε ἐγόγγυζον, ἐπῆλθον καὶ ἐπ' ἐμέ, ὅτε ἔλεγον· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ» (β). Καὶ αὖθις· «ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι» (γ).

4. Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη·

(α) Ψαλμ. ξή, 10. — (β) Ματθ. κζ', 40. — (γ) Αὐτ. 42.

Ἵνα παραδείγματα ἔχοντες μιμώμεθα.

4. Ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν.

Ἵνα διὰ τῆς ὑπομονῆς νευρούμενοι καὶ διὰ τῆς παρακλήσεως τῶν Γραφῶν ἐναγόμενοι εἰς ταύτην, παρακαλουσῶν ἡμᾶς εἰς ὑπομονήν, μὴ ἐκπέσωμεν τῆς ἐλπίδος τῆς σωτηρίας· ταῦτα γὰρ ἀλλήλων συστατικά· ἡ ὑπομονὴ τῆς ἐλπίδος, καὶ ἡ ἐλπὶς τῆς ὑπομονῆς. Εἶτα εἰς εὐχὴν τρέπει τὸν λόγον·

5. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως

Ὁ δοτὴρ τούτων. Πᾶν γὰρ καλὸν ἐκ Θεοῦ δίδοται τοῖς αἱρουμένοις αὐτό.

5. Δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις

Τὸ αὐτὸ φρονεῖν περὶ ἀλλήλων· τοῦτο γάρ ἐστιν ἀγάπη, τὸ φρονεῖν τινα περὶ τοῦ πλησίον, ὃ φρονεῖ περὶ ἑαυτοῦ· τὸ θέλειν ἐκείνῳ, ὃ θέλει ἑαυτῷ.

5. Κατὰ Χριστὸν Ἰησοῦν·

Καθὼς ὁ Χριστὸς βούλεται.

6. Ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

«Ὁμοθυμαδὸν» ἀντὶ τοῦ ἐν ὁμοψυχίᾳ.

7. Διὸ προςλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ὑμᾶς προςελάβετο.

Ἵνα οὖν ὃ εἶπον γένηται, προςλαμβάνεσθε ἀλλήλους ἐπισφίγγοντες τὸν σύνδεσμον τῆς ἀγάπης, καὶ ἀνεχόμενοι ἀλλήλων ἐν ὑπομονῇ καὶ μακροθυμίᾳ· καὶ ὁ Χριστὸς γὰρ ἀπωσμένους ὑμᾶς προςελάβετο, καὶ συνέδησεν ἑαυτῷ, πολλὰ ὑπομείνας, ὡς ἄνθρωπος, ἵνα τοῦτο κατορθώσῃ.

7. Εἰς δόξαν Θεοῦ.

Προςλαμβάνεσθε, φησίν, ἀλλήλους εἰς δόξαν Θεοῦ. Τοῦτο γὰρ ποιούντων ὑμῶν, ὁ Θεὸς εὐφημεῖται παρὰ τῶν ὁρώντων.

8. Λέγω δὲ Χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὴν ἐπαγγελίαν (*) τῶν Πατέρων·

Τοῦτο πρὸς τοὺς ἀντεχομένους ἔτι τοῦ νόμου καὶ λέγοντας ὅτι ὁ Χριστὸς περιτμηθεὶς ἐβεβαίωσε τὸν νόμον, ἀλλ' ὑπὲρ τοῦ ἀληθεῦσαι τὸν Θεόν, ἐφ' οἷς ὑπέσχετο τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ, ὥςτε βεβαιῶσαι τὰς ἐπαγγελίας, τὰς εἰς τοὺς προγόνους τῶν Ἰουδαίων γεγενημένας· τὸν Ἀβραὰμ δηλονότι καὶ τοὺς ἐφεξῆς. Ἐπεὶ γὰρ πάντες, παραβάντες τὸν νόμον, ἐξέπεσον τῶν ἐπαγγελιῶν, ὁ Χριστός, ἐξ Ἰουδαίων βλαστήσας, καὶ μετὰ τοῦ φυλάξαι τἄλλα τοῦ νόμου ἔτι καὶ περιτμηθείς, οὐκ ἀφῆκε διαπεσεῖν τὰς ἐπαγγελίας, ἀλλ' ἐβεβαίωσεν αὐτάς, ἄξιον αὐτῶν ἑαυτὸν ποιήσας. «Ἐπαγγελίας» δὲ λέγει τὸ κληρονομῆσαι τῆς Παλαιστίνης τὸ σπέρμα τοῦ Ἀβραάμ, καὶ τὸ ἐν τῷ σπέρματι αὐτοῦ ἀνευλογηθῆναι πάντα τὰ ἔθνη. Ὁ Χριστὸς γὰρ ἐκληρονόμησε, καὶ ἐν τῷ Χριστῷ εὐλογοῦνται οἱ ἐκ τῶν πανταχῇ ἐθνῶν πεπιστευκότες.

9. Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν·

Τοὺς δὲ ἐξ ἐθνῶν πιστεύσαντας λέγω, ἕνεκα ἐλέους σωθέντας, δοξάσαι τὸν Θεόν· τουτέστι φιλανθρωπίᾳ μόνῃ Θεοῦ προςληφθέντας εἰς δόξαν Θεοῦ. Οἱ μὲν γὰρ Ἰουδαῖοι τέως ἐπαγγελίας εἶχον, εἰ καὶ ἀναξίους αὐτῶν ἑαυτοὺς ἐποίησαν. Οὗτοι δὲ ἐλέῳ μόνῳ, χωρὶς προγεγενημένων ἐπαγγελιῶν οἰκειωθέντες, δόξα τῷ Θεῷ γίνονται. Καὶ τοῦτο δὲ καταστέλλει μὲν τοὺς ἐξ ἐθνῶν, καὶ πείθει μὴ κατεπαίρεσθαι τῶν ἐκ περιτομῆς, παραμυθεῖται δὲ τοὺς ἐξ Ἰουδαίων καὶ εἰς ὁμόνοιαν τούτους τε κἀκείνους συνάγει. Διὸ καὶ μαρτυρίας ἐπάγει, δεικνὺς ὅτι χρὴ συνῆφθαι·

9. Καθὼς γέγραπται·

Ἐν βίβλῳ Ψαλμῶν. Καθώς, φησί, γέγραπται περὶ ὁμονοίας.

(*) Ἐν ἄλλ. «τὰς ἐπαγγελίας». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς οὕτως ἐν τῇ ἑρμηνείᾳ.

9. «Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ »ὀνόματί σου ψαλῶ» (α).

Εὐχαριστήσω σοι, Κύριε, μετὰ τῶν ἐθνῶν. Ἐκ τοῦ Δαυῒδ δὲ ὁ λόγος προςώπῳ τῶν Ἰουδαίων, ὅτι οἱ ἐξ Ἰουδαίων πιστοὶ κοινῇ μετὰ τῶν ἐξ ἐθνῶν δοξάσουσι τὸν Θεόν.

10. Καὶ πάλιν λέγει·

Ἡ Γραφὴ τοῦ Δευτερονομίου·

10. «Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ» (β).

Κοινῇ μετὰ τοῦ Ἰουδαϊκοῦ λαοῦ τοῦ Θεοῦ.

11. Καὶ πάλιν· «αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέ»σατε αὐτὸν πάντες οἱ λαοί» (γ).

Κοινῇ τὰ ἔθνη καὶ οἱ λαοί· πληθυντικὸν ἀντὶ ἑνικοῦ· «οἱ λαοὶ» γὰρ ἀντὶ τοῦ λαὸς τῶν Ἰουδαίων.

12. Καὶ πάλιν Ἡσαΐας λέγει· «ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ »ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν» (δ).

Ῥίζαν λέγει τὸν Χριστόν, ὡς θεμέλιον καὶ ἀρχηγὸν τῆς πίστεως. Προεῖπε τοίνυν ὁ Προφήτης, ὅτι ἔσται ἡ ῥίζα τῆς πίστεως ἐκ τοῦ Δαυῒδ (ἐκ τούτου γὰρ ὁ Χριστὸς τὸ κατὰ σάρκα), καὶ ὁ ἀνιστάμενος εἰς τὸ ἄρχειν ἐθνῶν ὁμοίως ἔσται ἐκ τοῦ Δαυΐδ. Υἱὸς γὰρ ὁ Δαυῒδ τοῦ Ἰεσσαί. Ἐπ' αὐτῷ δὲ τῷ ἀνισταμένῳ ἄρχειν ἔθνη ἐλπιοῦσιν. Ἀνέστη μὲν γὰρ ὁ Χριστός, ἤγουν ἐβλάστησεν, εἰς τὸ ἄρχειν τῶν ἐθνῶν· λέγω δὲ τῶν πιστευόντων. Ἐπὶ τούτῳ δὲ ἐλπίζουσιν ἀεὶ οἱ τοιοῦτοι, ὡς ἐπὶ Δεσπότῃ καὶ Σωτῆρι. Καὶ ταῦτα δὲ τοῦ Ἡσαΐου κοινωνίαν εἰςάγουσιν· ἐξ Ἰουδαίων μὲν γὰρ ὁ ἄρχων, ἐξ ἐθνῶν δὲ οἱ ἀρχόμενοι καὶ ἐλπίζοντες.

13. Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης.

«Ὁ δὲ Θεὸς» ὁ τῆς ἐλπίδος βεβαιωτὴς ἢ χορηγός. «Χαρὰν» μὲν

(α) Ψαλμ. ιζ', 50.—(β) Δευτερον. λβ', 43.—(γ) Ψαλμ. ριϛ', 1.—(δ) Ἡσ. ια', 10.

οὖν λέγει τὴν ἐξ ὁμοφροσύνης καὶ ἀγάπης. «Εἰρήνην» δὲ τὴν πρὸς ἀλλήλους.

13. Ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι.

Πληρώσει διὰ τούτων ἐν τῷ πιστεύειν ὑμᾶς εἰλικρινῶς· καὶ τοσοῦτον, ὥςτε μὴ ἁπλῶς ἐλπίζειν ἐπ' αὐτῷ, ἀλλὰ καὶ νικᾶν ἀλλήλους ἐν τῷ ἐλπίζειν. «Περισσείαν» γὰρ τὴν νίκην νοήσεις.

13. Ἐν δυνάμει Πνεύματος ἁγίου.

Δυναμοῦντος ὑμᾶς εἰς ταῦτα τοῦ ἁγίου Πνεύματος.

14. Πέπεισμαι δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν.

Ἐπεὶ πολλαχοῦ τραχύτερον τὸν λόγον ἐποίησε, θεραπεύει νῦν. Οὐκ εἶπε δὲ ὅτι «ἤκουσα», ἀλλ' ὅτι «πέπεισμαι», μὴ δεόμενος μαθεῖν παρ' ἑτέρου. Καὶ «αὐτὸς δὲ ἐγὼ» ὁ ἐπιτιμῶν, ὁ ἐπιπλήττων. «Ἀγαθωσύνης» δέ, ὅτι οὐχ ὡς ὠμοῖς καὶ ἀσυμπαθέσιν ἐνεκάλεσα, καὶ ἐκέλευσα προςλαμβάνεσθαι ἀλλήλους, ἀλλὰ νόμῳ διδασκαλίας. Οἶμαι δὲ καὶ ἄλλως «ἀγαθωσύνην» ἐνταῦθα τὴν καθόλου ἀρετὴν καλεῖν· τὸ δὲ «καὶ αὐτοὶ» ὅτι καὶ οἴκοθεν.

ΙΘ' Περὶ τῆς λειτουργίας αὐτοῦ τῆς ἐν Ἀνατολῇ καὶ Δύσει.

15. Τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀδελφοί, ἀπὸ μέρους,

Ἐπειδὴ βαθεῖαν ἔδωκε τὴν τομὴν ἐν τῷ καθάψασθαι σφοδρότερον, καὶ κατώρθωσεν ὃ ἐβούλετο, λοιπὸν πολλῇ κέχρηται τῇ θεραπείᾳ. Ἔδει γὰρ ἐπηρμένην τὴν διάνοιαν αὐτῶν καταστέλλειν, μὴ μόνον τῷ στύφειν, ἀλλὰ καὶ τῷ χαλᾶν. Φησὶν οὖν ταπεινοφρονῶν ὅτι παρρησιαστικώτερον ἔγραψα ὑμῖν. «Ἀπὸ μέρους» δέ, ὅτι οὐ δι' ὅλου τοῦ γράμματος, ἀλλ' ἐν μέρει· ἔν τισι λόγοις, ἢ ἀντὶ τοῦ ἠρέμα.

15. Ὡς ἐπαναμιμνήσκων ὑμᾶς,

Οὐκ εἶπεν ὅτι διδάσκων, ἀλλ' ὅτι μικρόν τι ἀναμιμνήσκων· πεπλήρωσθε γὰρ πάσης γνώσεως, ὡς προείρηται.

15. Διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ἀπὸ τοῦ Θεοῦ (*),

Διὰ τὴν διακονίαν τῆς ἀποστολῆς. Ἀνάγκη γάρ μοι τοὺς μὲν ἀγνοοῦντας διδάσκειν, τοὺς δὲ εἰδότας ἀναμιμνήσκειν. Ὅρα δὲ πῶς ποικίλλει τοὺς λόγους εἰς ὠφέλειαν τῶν ἀκροατῶν.

16. Εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη,

«Τὴν δοθεῖσάν μοι», ὥστε εἶναί με κήρυκα καὶ ἱερέα Ἰησοῦ Χριστοῦ ἐν τοῖς ἔθνεσιν.

16. Ἱερουργοῦντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ,

Ἱερεύοντα τὸ εὐαγγελίζεσθαι καὶ προσφέροντα.

16. Ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος,

Προσφορὰ γὰρ καὶ θυσία αὐτοὶ οἱ ἐξ ἐθνῶν πιστεύοντες. Σπουδὴ οὖν τῷ ἱερεῖ ποιεῖν τὴν προσφορὰν ἄμωμον, ἵνα εὐπρόσδεκτος γένηται. Λοιπὸν οὖν ἀνέχεσθέ μου, ῥυθμίζοντος ὑμᾶς καὶ καταρτίζοντος.

16. Ἡγιασμένη ἐν Πνεύματι ἁγίῳ.

Ὁ ἁγιάζει διὰ τῆς ἁγνῆς πολιτείας τοὺς ἀγωνιζομένους. Ἐπεὶ δὲ ἀπὸ τοῦ διδασκαλικοῦ ὕψους καταβὰς ὡς ὁμοτίμοις αὐτοῖς διελέχθη καὶ ὑφειμένως, πάλιν ἐπαίρει τὸν λόγον, ἵνα μὴ δόξῃ εὐκαταφρόνητος καὶ ἀναξιόπιστος· καί φησιν·

17. Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν.

«Ἔχω οὖν καύχησιν» οὐχ ἴδια κατορθώματα, ἀλλὰ «τὰ πρὸς τὸν »Θεὸν» ἀναφερόμενα· τουτέστι τὰ χαρίσματα τοῦ Θεοῦ, ἐφ' οἷς καυχῶμαι, ὡς ἀξιωθεὶς αὐτῶν, καὶ οὐχ ὡς ἐνεργήσας αὐτά. «Ἐν Χρι»στῷ Ἰησοῦ» ἀντὶ τοῦ διὰ Χριστοῦ ἔχω τὴν καύχησιν· δι' αὐτοῦ γάρ μοι πάντα.

18. Οὐ γὰρ τολμήσω λαλεῖν τι, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ,

Οὐ γὰρ τολμήσω φθέγγεσθαί τι πρὸς καύχησιν, μὴ κατεργασθὲν

(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων «ὑπὸ τοῦ Θεοῦ» ἢ «ὑπὸ Θεοῦ».

ὑπὸ Χριστοῦ δι᾿ ἐμοῦ, εἰ μὴ μόνα, ἃ εἰργάσατο Χριστὸς δι᾿ ἐμοῦ, ἐφ᾿ οἷς καὶ καυχῶμαι, ὡς ὑπηρέτης ἐπὶ τούτοις Χριστοῦ.

18. Εἰς ὑπακοὴν ἐθνῶν,

Κατειργάσατο δὲ δι᾿ ἐμοῦ ἕνεκεν ὑπακοῆς τῶν ἐθνῶν, ὥςτε εἰς πίστιν ἐνάγεσθαι ταῦτα.

19. Λόγῳ καὶ ἔργῳ,

Κατειργάσατο δὲ ἔν τε δογματικῇ διδασκαλίᾳ καὶ ἐν ἐπιδείξει φιλοσόφου πολιτείας καὶ βίου θεοφιλοῦς.

19. Ἐν δυνάμει σημείων καὶ τεράτων,

«Σημεῖα» μὲν αἱ τῶν νοσούντων θεραπεῖαι καὶ αἱ τῶν πηρώσεων ἀποκαταστάσεις· «τέρατα» δὲ αἱ τῶν νεκρῶν ἀναστάσεις καὶ αἱ τῶν ἐκ γενετῆς πηρώσεων ἀναπληρώσεις, καὶ ὅσαι [ἄλλαι] (α) λίαν ὑπερφυεῖς παραδοξοποιίαι.

19. Ἐν δυνάμει Πνεύματος Θεοῦ·

Γινομένων δηλονότι. Πάντα γὰρ ἐν δυνάμει Πνεύματος ἁγίου ἐπετελοῦντο.

19. Ὥςτε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ.

Ἀρίθμει τοίνυν καὶ πόλεις καὶ χώρας καὶ δήμους καὶ ἔθνη καὶ μή μοι τὴν κατ᾿ εὐθὺ λεωφόρον ἔλθῃς μόνον τῇ διανοίᾳ, ἀλλὰ καὶ τὰ κύκλῳ περιεργάζου. Μὴ τὴν διὰ Φοινίκης καὶ Συρίας καὶ Κιλικίας καὶ Καππαδοκῶν· ἀλλὰ καὶ τὴν Σαρακηνῶν καὶ Περσῶν καὶ Ἀρμενίων καὶ τῶν ἄλλων βαρβάρων καὶ ὅση κατὰ τὸν Πόντον Ἀσία. «Πεπληρωκέναι δὲ τὸ Εὐαγγέλιον» ἀντὶ τοῦ ἀνελλιπῶς καὶ τελείως κηρύξαι.

20. Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός,

---

(α) Ἡ παρεντιθεμένη λέξις ἡμετέρα ἐστὶν ἐξ εἰκασίας προςθήκη εἰς συμπλήρωσιν κενοῦ ἐν τῷ χειρογράφῳ χώρου, προελθόντος ἐξ ἀποσβέσεως λέξεως.

Οὕτω δὲ φιλοτίμως ἀγωνιζόμενόν με καὶ μετὰ δαψιλεστέρου πόθου ἐγίνετο εὐαγγελίζεσθαι οὐχ ὅπου ἐκηρύχθη Χριστὸς ὑφ' ἑτέρου Ἀποστόλου, ἀλλ' ὅπου οὐ κατηγγέλη.

20. Ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ·

«Ἀλλότριον» οὐ κατὰ τὴν ποιότητα τοῦ κηρύγματος, ἀλλὰ κατὰ τὸν κόπον, ὡς ἄλλου Ἀποστόλου πονήσαντος εἰς τὸ θεμελιῶσαι τὴν πίστιν. «Θεμέλιον» μὲν οὖν αὐτῆς ἡ ἁπλῆ καὶ στοιχειώδης διδασκαλία, «οἰκοδομὴ» δὲ ἡ τελειοτέρα.

21. Ἀλλά, καθὼς γέγραπται·

Ἀλλ' ὅπου δηλονότι οὐκ ὠνομάσθη. Λέγει δὲ τὰ ἔθνη, εἰς ἃ οὗτος ἀπεστάλη, καθὼς γέγραπται ἐν βίβλῳ Ἡσαΐου. Τί δὲ γέγραπται;

21. «Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκη»κόασι, συνήσουσιν» (α)·

Οἷς οὐκ ἐκηρύχθη περὶ τοῦ Χριστοῦ ὑφ' ἑτέρου Ἀποστόλου, οὗτοι γνώσονται περὶ αὐτοῦ. Καὶ οἳ οὐκ ἀκηκόασι περὶ αὐτοῦ παρὰ Προφητῶν, οὗτοι συνήσουσιν αὐτόν.

22. Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς.

Διότι τοσαῦτα ἔθνη περιηρχόμην, ἐκωλυόμην πολλάκις τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Εἴρηκε γὰρ καὶ ἀρχόμενος τῆς ἐπιστολῆς, ὅτι «πολλάκις »προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο» (β). Ἀλλ' ἐκεῖ μὲν οὐκ εἶπε τὴν αἰτίαν τῆς κωλύσεως, ἐνταῦθα δὲ ἐνέφηνε ταύτην.

23. Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις,

Νυνὶ δέ εἰμι μηκέτι τόπον ἔχων ἀπεριόδευτον ἐν τοῖς μέρεσι τούτοις.

23. Ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν·

Εἰμὶ δὲ ἐπιπόθησιν ἔχων ἐν πολλοῖς ἔτεσι τοῦ ἐλθεῖν πρὸς ὑμᾶς.

24. Ὡς ἐὰν πορεύωμαι εἰς τὴν Σπανίαν ἐλεύσομαι πρὸς ὑμᾶς.

(α) Ἡσ. νβ', 15. — (β) Ῥωμ. α', 13.

«Ὡς ἐὰν πορεύωμαι» ἀντὶ τοῦ ὄντως, ἀληθῶς ἐλεύσομαι πρὸς ὑμᾶς, ἐὰν πορεύωμαι εἰς τὴν Ἱσπανίαν· τουτέστιν ὅτε ἀπέρχομαι εἰς τὴν Ἱσπανίαν· ἀνάγκη μοι γὰρ πορευθῆναι ἐκεῖ.

24. Ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς,

Διὰ τῶν ὁρίων ὑμῶν πορευόμενος εἰς Ἱσπανίαν. Ἵνα δὲ μὴ δόξῃ καταφρονεῖν, ὡς ὁδοῦ πάρεργον τούτους ποιούμενος, ἐπήγαγε·

24. Καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ·

Ὑμῶν προπεμπόντων με.

24. Ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.

Ὅτε ὑμῶν πρὸ ἐκείνων ἀπολαύσω. «Ἐκ μέρους» δέ, ὅτι οὐχ ὅσον ἐπιθυμῶ ἐμπλησθήσομαι τῆς ἡμετέρας ἀγάπης. Οὐδεὶς γὰρ χρόνος κορέσαι με δυνήσεται. Ἐπεὶ δὲ ἔμελλε βραδύνειν, τίθησιν αἰτίαν τῆς βραδύτητος, ἵνα μὴ δόξῃ διαχλευάζειν αὐτούς.

25. Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλήμ, διακονῶν τοῖς ἁγίοις.

Ὑπηρεσίαν ἀποπληρῶν τοῖς ἐξ Ἰουδαίων πιστοῖς. Εἶτα λέγει καὶ τὸ εἶδος τῆς διακονίας.

26. Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων, τῶν ἐν Ἱερουσαλήμ·

Ἐδοκίμασαν, ἠρετίσαντο ἐλεημοσύνην διὰ χρημάτων ποιήσασθαι εἰς τοὺς πτωχοὺς ἐκ τῶν ἁγίων, τῶν ἐν Ἱερουσαλήμ· ἤγουν εἰς τοὺς πενεστέρους ἢ εἰς τοὺς πτωχοὺς τῶν ἁγίων (α), τοὺς ἐν Ἱερουσαλήμ. «Κοινωνίαν» δὲ τὴν ἐλεημοσύνην ὠνόμασεν, ὡς τῶν παρεχόντων κοινωνούντων διὰ τῆς μεταδόσεως τοῖς ἁγίοις, καὶ τῶν ἄθλων καὶ τῶν ἐπάθλων. Ἐπιρρωνύουσι γὰρ αὐτούς, καί, ἀνακτηθέντας, ἐγκαρτερεῖν τοῖς πόνοις παρασκευάζουσιν. Λέγοιτο δ' ἂν «κοινωνία» καὶ ὡς ἔρανος, γνώμῃ κοινῇ συλλεγεὶς ἀπὸ τῶν δόντων.

27. Εὐδόκησαν γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν·

Ὄντως εὐδόκησαν καὶ χρεωστικῶς τοῦτο πεποιήκασιν. Εἶτα λέγει πῶς εἰσιν ὀφειλέται.

(α) Τὸ χειρόγρ. «τοὺς ἁγίους» κακῶς.

27. Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς.

Πνευματικὰ τῶν Ἰουδαίων αἱ Προφητεῖαι, αἱ Χριστοῦ διδασκαλίαι, τὰ τῶν Ἀποστόλων κηρύγματα. Ἐξ Ἰουδαίων γὰρ καὶ οἱ Προφῆται, καὶ ὁ Χριστός, καὶ οἱ Ἀπόστολοι, καὶ ἡ εὐσέβεια· ὧν ὁμοῦ πάντων ἐκοινώνησαν τὰ τῆς Οἰκουμένης ἔθνη, ἐν οἷς εἰσι καὶ οἱ τῆς Μακεδονίας καὶ Ἀχαΐας. Εἰ τοίνυν ἐν τοῖς πνευματικοῖς τούτοις, ἤγουν τῶν πνευματικῶν τούτων, τῶν τοῖς Ἰουδαίοις ἀνηκόντων, ἐκοινωνήσατε, εἰ τῶν δείπνων τῶν ἐκείνοις ἡτοιμασμένων ἡμεῖς εἰςελθόντες οἱ ἐξ ἐθνῶν ἀπηλαύσατε κατὰ τὴν ἐν τῷ Εὐαγγελίῳ παραβολὴν (α), ὀφείλετε καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς· τουτέστι καὶ ἐν ταῖς σωματικαῖς χρείαις διακονῆσαι αὐτοῖς· ἤτοι μεταδοῦναι αὐτοῖς ὧν δέοιντο. Ταῦτα δὲ λέγων, παρακνίζει καὶ διεγείρει τοὺς Ῥωμαίους εἰς ζῆλον τῶν Μακεδόνων καὶ Ἀχαιῶν.

28. Τοῦτο οὖν ἐπιτελέσας,

Τὸ διακονῆσαι τοῖς ἁγίοις, ὡς προείρηται.

28. Καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον,

Ἐν ἀσφαλεῖ καὶ ἀσύλῳ τόπῳ ταμιεύσας τοῖς Μακεδόσι καὶ Ἀχαιοῖς τὸ κέρδος τοῦτο· λέγει δὲ τὴν ἐλεημοσύνην.

28. Ἀπελεύσομαι δι' ὑμῶν εἰς τὴν Σπανίαν.

Δι' ὑμῶν πορευόμενος.

29. Οἶδα δέ, ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι.

Ἐρχόμενος πρὸς ὑμᾶς ἐλεύσομαι πρὸς ὑμᾶς, ὄντας δηλονότι ἐν πληρώσει εὐλογίας τοῦ Εὐαγγελίου· τουτέστι πεπληρωμένους ἐπαίνου τοῦ ἀπὸ τοῦ Εὐαγγελίου (β). Διὰ τοῦ ἐπαίνου δὲ τὰ ἐφ' οἷς ὁ ἔπαι-

---

(α) Λουκ. ιδ', 24. — (β) Ὁ δὲ Χρυσόστομος καὶ ταύτην τοῦ Συγγραφέως τὴν ἐξήγησιν τῆς λέξεως «εὐλογία» ἐγκρίνων, προςαποδίδωσιν αὐτῇ καὶ τὴν σημασίαν «τῆς ἐ»λεημοσύνης» οὑτωσὶ λέγων (Τόμ. Θ', Ὁμιλ. Λ', σελ. 662)· «Τί ἐστιν ἐν πληρώματι »εὐλογίας; ἤτοι περὶ χρημάτων φησὶν ἢ περὶ πάντων ἁπλῶς τῶν κατορθωμάτων.

νος ἐδήλωσε· λέγω δὴ τὰς ἀρετάς, ἵν' εἴη «πεπληρωμένους ἀρετῶν, » ἃς ἐπαινεῖ τὸ Εὐαγγέλιον».

30. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος,

Τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν ἀγάπην τοῦ ἁγίου Πνεύματος εἰς μεσιτείαν προβαλλόμενος. Καθάπερ γὰρ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ δὲ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· πάντως καὶ ὁ Πατήρ. Τί οὖν παρακαλεῖς;

30. Συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν.

«Ἐν ταῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεὸν προσευχαῖς»· καθ' ὑπερβατὸν γὰρ ἡ τοῦ λόγου σύνταξις.

31. Ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ·

«Ἵνα ῥυσθῶ»· εὔχεσθε γάρ, φησί, μὴ εἰςελθεῖν εἰς πειρασμόν. Ἤδει δέ τινας ἐκεῖ λύκους καὶ θηρίων ἀγριωτέρους ἐπιθησομένους αὐτῷ.

31. Καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόςδεκτος γένηται τοῖς ἁγίοις·

Ἵνα μετὰ προθυμίας ὑποδέξωνται τὰ πεμφθέντα. Μέγα γὰρ τοῦτο καὶ τοῖς παρέχουσιν εὐχῆς ἄξιον διὰ τὸ ἀξίωμα τῆς ἀρετῆς τῶν λαμβανόντων.

32. Ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ,

Ἵνα μηδεμίαν ἐκεῖθεν ἐπισυρόμενος ἀθυμίαν ἔλθω πρὸς ὑμᾶς ἐν τῷ θελήματι τοῦ Θεοῦ. Καὶ γὰρ ἀρχόμενος τῆς ἐπιστολῆς εἴρηκεν· «Εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς » ὑμᾶς» (α).

32. Καὶ συναναπαύσωμαι ὑμῖν.

» Εὐλογίαν γάρ, ὡς τὰ πολλά, τὴν ἐλεημοσύνην εἴωθε λέγειν· ὡς ὅταν λέγῃ «ὡς εὐλο»γίαν, μὴ ὡς πλεονεξίαν» (Β' Κορινθ. θ', 5). Καὶ ἔθος δὲ παλαιὸν οὕτως ἦν καλεῖσθαι τὸ πρᾶγμα. — (α) Ῥωμ. α', 10.

Ὑμῶν μὲν ἀναπαυομένων καὶ ψυχαγωγουμένων ἐπ' ἐμοὶ καὶ παράκλησιν δεχομένων, ἐμοῦ δὲ ἐφ' ὑμῖν.

33. Ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ἡμῶν. Ἀμήν.

Ὅπερ πολλαχῆ ποιεῖν εἴωθε, τοῦτο καὶ νῦν ἐποίησεν, εὐχὴν τῇ παραινέσει προςθείς. Ὁ δὲ Θεός, ὁ τῆς εἰρήνης κύριος καὶ δοτήρ, εἴη, φησί, μετὰ πάντων ὑμῶν, εἰρήνην ἅπασι χαριζόμενος.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΕΚΤΟΝ

1. Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς·

Γνωρίζων ὑμῖν ταύτην. Ὅρα δὲ διὰ πόσων αὐτὴν σεμνύνει. Καὶ γὰρ πρὸ πάντων ἐμνήσθη ταύτης καὶ ἀδελφὴν ἐκάλεσε καὶ τὸ ἀξίωμα προςέθηκεν, ὅτι διάκονος.

2. Ἵνα αὐτὴν προςδέξησθε ἐν Κυρίῳ,

Διὰ τὸν Κύριον, ὡς τοῦ Κυρίου δούλην.

2. Ἀξίως τῶν ἁγίων,

Ὡς δεῖ ὑποδέχεσθαι ἁγίους.

2. Καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζει πράγματι·

Καὶ συνεργήσητε ἐν οἷς ἂν ὑμῶν ἐπιδεηθείη.

2. Καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη καὶ αὐτοῦ ἐμοῦ.

Τοῦ κήρυκος τῆς Οἰκουμένης.

3. Ἀσπάσασθε Πρίσπιλλαν καὶ Ἀκύλαν,

Τὴν Πρίσπιλλαν τοῦ ἀνδρὸς αὐτῆς προέθηκε, συνειδὼς αὐτῇ πλείονα

εὐλάβειαν καὶ περὶ τὰ θεῖα σπουδήν. Αὕτη γὰρ καὶ τὸν λόγιον Ἀπολλὼ κατήχησεν, ὡς ἡ τῶν Πράξεων ἐδίδαξε βίβλος (α). Ὁμότεχνος δὲ ἦν ὁ Ἀκύλας Παύλῳ· σκηνοποιὸς γὰρ καὶ οἰκῶν ἐν Ῥώμῃ καὶ ἐπὶ πολὺν καιρὸν τὸν Παῦλον ξενίσας, ὡς ἡ δηλωθεῖσα βίβλος παρέστησεν (β).

3. Τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ.

Τοὺς κοινωνούς μοι τῶν πόνων διὰ τὸν Χριστόν.

4. Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν·

Ὑπὲρ τῆς ἐμῆς ζωῆς ἀποθανεῖν εἵλοντο, καὶ μάρτυρες τῇ προαιρέσει γεγόνασιν.

4. Οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἐθνῶν.

Ἐνταῦθα τὴν φιλοξενίαν αὐτῶν ἀνακηρύττει καὶ τὴν τῶν χρημάτων μετάδοσιν, ὅτι πάντας τοὺς πιστοὺς ἐξένιζον καὶ τὰ χρειώδη τοῖς δεομένοις ἐχορήγουν.

5. Καὶ τὴν κατ᾽ οἶκον αὐτῶν Ἐκκλησίαν.

Οὕτω γὰρ ἦσαν εὐσεβεῖς, ὡς καὶ τὸν οἶκον ἑαυτῶν ἐκκλησίαν ποιῆσαι τῷ πάντας βαπτίσαι καὶ πᾶσιν αὐτὴν τοῖς πιστοῖς ἀνοῖξαι. Ὅρα τοιγαροῦν, πῶς οὔτε ὁ γάμος αὐτοῖς ἐνεπόδισεν, οὔτε τὸ τῆς τέχνης εὐκαταφρόνητον, ἀλλ᾽ ἡ ἀρετὴ πάντα ἀποκρύψασα λαμπροὺς αὐτοὺς ἐποίησε καὶ περιβοήτους.

5. Ἀσπάσαθε Ἐπαινετὸν τὸν ἀγαπητόν μου,

Ἄξιον ἰδεῖν, πῶς ἑκάστῳ προστίθησιν ἔπαινον· οὐ μικρὸν γὰρ τὸ Παύλου εἶναι ἀγαπητόν, ὃς ᾔδει φιλεῖν οὐ χάριτι, ἀλλὰ κρίσει.

5. Ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας

Ἐξαίρετος· ἢ ὡς πρὸ τῶν ἐν Ἀχαΐᾳ πάντων πιστεύσας, ἢ ὡς τῶν ἐν αὐτῇ πάντων εὐσεβέστερος. Ἵνα δὲ μὴ κοσμικόν τι προτέρημα ὑποπτεύσῃς, ἐπήγαγεν·

(α) Πράξ. ιη΄, 26. — (β) Αὐτόθ. ιη΄, 2.

5. Εἰς Χριστόν.

«Ἀπαρχὴ εἰς Χριστόν».

6. Ἀσπάσασθε Μαριάμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς.

Εἰς θεραπείαν ἡμῶν.

7. Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου,

Μέγα μὲν αὐτοῖς καὶ τὸ συγγενεῖς εἶναι Παύλου. Τὸ δὲ ἐφεξῆς μεῖζον τούτου καὶ σαφὲς ἐγκώμιον·

7. Καὶ συναιχμαλώτους μου·

Καὶ μὴν οὔτε αὐτὸς ᾐχμαλωτίσθη νόμῳ πολέμου, οὔτε οὗτοι· ἀλλὰ «συναιχμαλώτους» αὐτοὺς ὠνόμασεν, ὡς ἐπίσης αὐτῷ διὰ Χριστὸν καὶ οἰκίας ἀλλοτριωθέντας καὶ πατρίδος, καὶ κακοπαθοῦντας, καὶ καθ' ἑκάστην τὸν θάνατον ὑποπτεύοντας.

7. Οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς Ἀποστόλοις,

Καίτοι καὶ τὸ Ἀποστόλους αὐτοὺς εἶναι μέγα· τὸ δὲ καὶ «ἐπισήμους» ἡλίκος ἔπαινος! Ἐπίσημοι γὰρ ἦσαν ἀπὸ τῶν κατορθωμάτων. Βαβαί! πόση τῆς γυναικὸς ταύτης ἡ φιλοσοφία, ὡς καὶ τῆς τῶν Ἀποστόλων ἀξιωθῆναι προςηγορίας.

7. Οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ.

Ἐν τῇ πίστει τοῦ Χριστοῦ. Οἵτινες πρὸ ἐμοῦ ἐπίστευσαν. Καὶ ἐντεῦθεν δὲ αὐτοῖς ἐφεῦρεν ἐγκώμιον.

8. Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν Κυρίῳ.

Τὸν διὰ τὸν Κύριον ἀγαπητόν μου· διὰ τὸ εἶναι αὐτὸν εὐάρεστον τῷ Κυρίῳ.

9. Ἀσπάσασθε Οὐρβανόν, τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ,

Τὸν συνεργὸν ἐν τοῖς τοῦ Χριστοῦ· ἤγουν ἐν τῷ κηρύγματι·

9. Καὶ Στάχυν τὸν ἀγαπητόν μου.

Καὶ τοῦτον ἀπὸ τῆς ἀγάπης στεφανοῖ.

10. Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ.

Τὸν ἀνεπίληπτον ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν.

10. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου.

Τοὺς ἐκ τῶν Ἀριστοβούλου συγγενῶν· ἢ ἄλλως οἰκείων. Ἐπίσημος δὲ ἔοικεν εἶναι ὁ Ἀριστόβουλος, ὥςπερ ἄρα καὶ ὁ Νάρκισσος.

11. Ἀσπάσασθε Ἡρῳδίωνα τὸν συγγενῆ μου. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ.

Τοὺς ὄντας ἐν τῇ τοῦ Κυρίου πίστει. Πῶς δὲ οὐ λέγει τὸν Κύριόν μου τόνδε ἢ τὸν δεσπότην μου; διότι μείζω τούτων, ἃ προεμαρτύρησεν ἑκάστῳ ἐγκώμια· ταῦτα μὲν γὰρ τιμῆς εἰσιν ἁπλῶς, ἐκεῖνα δὲ ἀρετῆς. Οὓς δὲ προςαγορεύει διὰ τοῦ ἀσπασμοῦ γνώριμοι μὲν ἦσαν αὐτῷ, ᾤκουν δὲ ἐν Ῥώμῃ τηνικαῦτα. Εἰκὸς δὲ γνωσθῆναι τούτῳ τινὰς αὐτῶν καὶ ἐκ φήμης μόνης, κηρυττούσης τὰς ἀρετὰς αὐτῶν.

12. Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν, τὰς κοπιώσας ἐν Κυρίῳ.

Ἐν τοῖς τοῦ Κυρίου· ἢ διὰ τὸν Κύριον.

12. Ἀσπάσασθε Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ.

«Τὴν ἀγαπητὴν» προςθείς, μείζονα ταύτην ἔδειξεν.

13. Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ.

Πολλὴν ἐμαρτύρησεν ἀρετὴν τῇ γυναικί, μητέρα ἑαυτοῦ ταύτην προςαγορεύσας·

14. Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς.

Οὗτοι δεύτεροι τῶν προμνημονευθέντων εἶναι φαίνονται. Κοινῇ δὲ καὶ τούτους ἐτίμησεν «ἀδελφοὺς» εἰπών.

15. Ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους.

Καὶ οὗτοι τῆς αὐτῆς ὄντες τάξεως, κοινῇ ἐτιμήθησαν «ἅγιοι» προσαγορευθέντες.

16. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

Ἵνα μήτε οἱ μείζονες καταφρονῶσι τῶν ἐλαττόνων, μήτε οἱ ἐλάττους βασκαίνωσι τοῖς μείζοσιν, «ἀσπάσασθαι ἀλλήλους» κελεύει· τοῦτο γὰρ ἰσοτιμίαν εἰσάγει· «φίλημα δὲ ἅγιον» οἶμαι τὸ διὰ χειλέων. Ἐπεὶ δὲ «ἀσπασμὸν» ἔλεγε τὸν διὰ τοῦ προσαγορεύειν γινόμενον, προσέθηκε λοιπὸν καὶ τὸν διὰ τῶν χειλέων. «Ἅγιος» δὲ οὗτος, ὡς πνευματικὸς καὶ κατὰ Θεὸν ἐπιτελούμενος.

16. Ἀσπάζονται ὑμᾶς αἱ Ἐκκλησίαι τοῦ Χριστοῦ.

Αἱ κατὰ τοὺς τόπους, ἐν οἷς ὁ Ἀπόστολος διέτριβεν ὅτε ταῦτα ἔγραφεν.

17. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας·

Κατανοεῖν τοὺς ποιοῦντας τὰ προφάσει δογμάτων εὐσεβεστέρων σχίσματα τῇ Ἐκκλησίᾳ, ἅπερ εἰσὶ «σκάνδαλα» μέν, ὡς ἐμποδίζοντα τῇ πίστει· «παρὰ τὴν διδαχὴν» δὲ τῶν Ἀποστόλων, ἣν ἐμάθετε, ὡς ἀλλότρια ταύτης.

17. Καὶ ἐκκλίνατε ἀπ᾽ αὐτῶν.

Ὡς βλαβερῶν.

18. Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν,

Εἰ καὶ προσποιοῦνται δουλεύειν αὐτῷ ἐν τῷ διδάσκειν.

18. Ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ·

Διὰ γὰρ τοῦ δοκεῖν διδάσκειν οἰκειούμενοι τοῖς ἔχουσι, παρατρυ-

φῶσι· περὶ ὧν καὶ ὁ Χριστὸς ἔλεγεν ὅτι «κατεσθίουσι τὰς οἰκίας τῶν »χηρῶν» (α). Τὸ μὲν οὖν σκάνδαλον ἐκ τῆς διχοστασίας, ἡ δὲ διχοστασία ἐκ τῶν παρὰ τὴν διδαχὴν τὴν ἀποστολικὴν δογμάτων, τὰ δὲ τοιαῦτα δόγματα ἀπὸ τοῦ δουλεύειν τῇ γαστρὶ καὶ θεραπεύειν τὴν κοιλίαν.

18. Καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων.

Τῶν ἁπλῶν καὶ ἀπερισκέπτων. «Χρηστολογίαν» δὲ καὶ «εὐλο»γίαν» λέγει τὴν κολακείαν.

19. Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο,

Πειθομένους ῥᾳδίως τοῖς διδασκάλοις, οὗ χάριν καὶ κατανοεῖν κελεύει τοὺς ἑτεροδιδασκάλους.

19. Χαίρω οὖν τὸ ἐφ' ὑμῖν·

Κατὰ τὸ ὑμέτερον, ὅτι πείθεσθε τοῖς διδασκάλοις. Εἶτα ἐξασφαλίζεται πλέον·

19. Θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθόν,

Ὥςτε ἢ ὄν, μὴ [ἀποβάλλειν] (β) αὐτό· ἢ μὴ ὄν, κτᾶσθαι.

19. Ἀκεραίους δὲ εἰς τὸ κακόν.

Ἁπλοῦς, ὥςτε καὶ παρὸν [ἀποβάλλειν] αὐτό· καὶ μὴ παρόν, μὴ κτᾶσθαι· ἢ καὶ ἄλλως· σοφοὺς μὲν εἰς τὸ ἀγαθοποιῆσαι, ἀπονήρους δὲ εἰς τὸ κακοποιῆσαι.

20. Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.

Μνημονεύσας διχοστασίας, ἐμνήσθη καὶ εἰρήνης. «Τὸν Σατανᾶν» δέ, τὸν αἴτιον τῆς διχοστασίας. «Ἐν τάχει» δέ, ἵνα μὴ αὐξηθῇ τὸ σκάνδαλον.

(α) Λουκ. κ', 47. — (β) Οὕτω διωρθώσαμεν τὸ ἐν τῷ χειρογράφῳ «*ἀπόλλειν*» ὃ καὶ ἐν τῇ ἐξηγήσει τοῦ ἑπομένου στίχου αὖθις ἀπαντᾷ· «ἁπλοῦς, ὥςτε καὶ παρὸν *ἀπόλλειν* αὐτό». Προῆλθε δ', οἶμαι, ἡ γραφὴ αὕτη ἐκ τῆς κατὰ παραδρομὴν ἐκκοπῆς τῆς **συλλαβῆς** ***βα***.

20. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

Ἡ εὐμένεια τοῦ Χριστοῦ, τὸ μέγιστον ὅπλον, τὸ ἄρρηκτον τεῖχος, ὁ ἄσειστος πύργος, τὸ ἀκαθαίρετον φρούριον.

21. Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου,

Ὅρα πάλιν τὰ συνήθη ἐγκώμια.

21. Καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου.

Τούτου τοῦ Ἰάσονος καὶ Λουκίου ἐν ταῖς Πράξεσι μέμνηται (α).

22. Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν

Οὐ μικρὸν καὶ τὸ ὑπογραφέα εἶναι τοῦ μεγάλου Παύλου. Τέθεικε δὲ τοῦτο μᾶλλον, ἵνα τὴν ἀγάπην αὐτῶν καὶ ἀπὸ τῆς διακονίας ταύτης ἐπισπάσηται.

22. Ἐν Κυρίῳ.

«Ἀσπάζομαι ὑμᾶς ἐν Κυρίῳ»· τουτέστιν ὡς Κύριος βούλεται.

23. Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς Ἐκκλησίας ὅλης. Ἀσπάζεται ἡμᾶς Ἔραστος, ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός.

«Ὁ οἰκονόμος» ἵνα δείξῃ ὅτι καὶ τῶν μεγάλων ἥψατο τὸ κήρυγμα· οὕτω γὰρ καὶ Φιλιππησίοις ἔγραψεν «ἀσπάζονται ὑμᾶς οἱ ἐκ »τῆς Καίσαρος οἰκίας (β). «Πόλεως» δὲ λέγει τῆς Κορίνθου· ἐκεῖθεν γὰρ λέγεται γράψαι τὴν παροῦσαν ἐπιστολήν.

24. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος ἀρξάμενος, εἰς ταύτην καὶ ἐτελείωσε· Χάρις οὖν καὶ τῷ μεγάλῳ Παύλῳ, χαρισαμένῳ ἡμῖν καὶ τὴν τῆς ἐπιστολῆς ταύτης χάριν καὶ μεγίστην ὠφέλειαν.

(α) Πράξ. ιγ', 1. ις', 1. ζ', 5. κ', 4.— (β) Φιλιππ. δ', 22.

Η ΠΡΩΤΗ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ

ΥΠΟΘΕΣΙΣ

Ἡ Κόρινθός ἐστι μὲν πόλις τῆς Ἑλλάδος, ἐκόμα δὲ τηνικαῦτα πλούτῳ καὶ σοφίᾳ καὶ πολλοῖς ἄλλοις προτερήμασιν. Ἐν ταύτῃ πολλὰ πέπονθεν ὁ Παῦλος. Ἐν ταύτῃ γὰρ φανεὶς ὁ Χριστὸς «μὴ σιγήσῃς, »φησίν, ἀλλὰ λάλει· διότι λαός μοι πολύς ἐστιν ἐν τῇ πόλει ταύτῃ»(α). Τὴν γοῦν οὕτω μεγάλην καὶ πολυάνθρωπον πόλιν ἰδὼν ὁ διάβολος τῆς ἀληθείας ἐπειλημμένην, διαιρεῖ τοὺς ἀνθρώπους. Καὶ οἱ μὲν αὐτοχειροτόνητοι γεγόνασι διδάσκαλοι· τοῦ δὲ πλήθους οἱ μὲν τούτοις ἐφοίτων, οἷα σοφωτέροις, οἱ δὲ ἐκείνοις, ἅτε πλουσιωτέροις καὶ μεῖζον ἐκείνων δυναμένοις εἰς προστασίαν. Καὶ οὕτως ἀντιφιλοτιμούμενοι διέσπων τὴν Ἐκκλησίαν. Ἓν μὲν οὖν τοῦτο χαλεπόν. Ἕτερον δὲ ὅτι συγγενόμενός τις τῇ ἑαυτοῦ μητρυιᾷ, οὐ μόνον οὐκ ἐπετιμήθη παρὰ τῶν ἄλλων, ἀλλὰ καὶ ὠχλαγώγει καὶ ἐφυσᾶτο ἐπὶ τῇ ἔξω σοφίᾳ. Καὶ ἄλλο δὲ πάλιν· ὅτι τῶν δῆθεν τελειοτέρων τινὲς ἀπὸ γαστριμαργίας ἤσθιον εἰδωλόθυτα, καὶ τοῖς ἱεροῖς κατακλινόμενοι πολλοὺς ἔβλαπτον. Καὶ ἄλλοι δὲ μαχόμενοι πρὸς ἀλλήλους ὑπὲρ χρημάτων, παρὰ τοῖς ἔξω τῆς Ἐκκλησίας ἐδικάζοντο. Καὶ ἕτεροι δὲ καθ' ἑαυτοὺς ἐσθίοντες ἐν ταῖς Ἐκκλησίαις τοῖς δεομένοις οὐ μετεδίδοσαν. Ἄλλοι δὲ μέγα φρονοῦντες ἐπὶ τοῖς χαρίσμασι πρὸς ἀλλήλους ἐζηλοτύπουν. Καὶ ὁ περὶ τῆς ἀναστάσεως δὲ λόγος ἐχώλαινεν ἐν αὐτοῖς. Καὶ κομῆται δὲ πολλοὶ παρ' αὐτοῖς περιῄεσαν κατὰ τοὺς κυνικοὺς φιλοσόφους. Ἔγραψαν μὲν οὖν διὰ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ πρὸς τὸν Ἀπόστολον περὶ γάμου καὶ παρθενίας, τἆλλα παραλιπόντες. Ἀντι-

---

(α) Πράξ. ιη', 9-10.

γράφει δὲ λοιπὸν αὐτὸς οὐ μόνον ὑπὲρ ὧν ἔγραψαν, ἀλλὰ καὶ ὑπὲρ ὧν οὐκ ἔγραψαν, πάντα μετὰ ἀκριβείας μαθών. Ἵσταται δὲ πρῶτον κατὰ τοῦ νοσήματος τῶν τὰ τελειότερα δῆθεν διδασκόντων.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ

Περὶ πλειόνων καὶ διαφόρων ἡ ἐπιστολὴ διόρθωσιν ἔχει τῶν Κορινθίοις ἡμαρτημένων.

1. Παῦλος κλητὸς Ἀπόστολος Ἰησοῦ Χριστοῦ,

Ὅρα τὸ προοίμιον, εὐθὺς καθαπτόμενον τῶν ψευδοδιδασκάλων. Ἐκλήθην, φησί, καὶ ἀπεστάλην παρὰ τοῦ Χριστοῦ καὶ οὐκ εἰμι αὐτοχειροτόνητος, ὡς οἱ ἐν ὑμῖν διδάσκοντες.

1. Διὰ θελήματος Θεοῦ,

Ἐπεὶ γὰρ ἓν θέλημα Υἱοῦ καὶ Πατρός, «διὰ θελήματος τοῦ Πα»τρός», φησίν. Οὓς γὰρ ὁ Υἱὸς ἀπέστειλε, τούτους καὶ ὁ Πατὴρ ἀποσταλῆναι ἠθέλησεν.

1. Καὶ Σωσθένης ὁ ἀδελφός·

Μετριοφροσύνην διδάσκων, συνέταξεν ἑαυτῷ τὸν πολλῷ ἐλάττονα. Μέμνηται δὲ τοῦ Σωσθένους τούτου καὶ ἡ τῶν Πράξεων ἱστορία (α). Φασὶ δέ τινες ὅτι καὶ Κορίνθιος ἦν (β).

2. Τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, τῇ οὔσῃ ἐν Κορίνθῳ,

« Ἐπιστέλλομεν » δηλονότι. Τῷ δὲ τῆς Ἐκκλησίας ὀνόματι συνάπτει τοὺς διεστῶτας. Ἡ Ἐκκλησία γὰρ συστήματός ἐστι προσηγο-

---

(α) Πράξ. ιη', 17. « Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνά» γωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος κἑξ. ». — (β) Θεοδώρ. ἐν λ. (Τόμ. Γ', σελ. 229) « Τοῦτον (τὸν Σωσθένην) ὑπολαμβάνω Κορίνθιον εἶναι ».

ρία καὶ ἑνώσεως ὄνομα. «Τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ», φησίν, οὐ τοῦδε ἢ τοῦδε. Εἰ δὲ ἑνὸς Θεοῦ ἐστιν, ἥνωται, καὶ μία ἐστίν.

2. Ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ,

Κεκαθαρμένοις ἀπὸ τοῦ ῥύπου τῶν ἁμαρτημάτων τῷ λουτρῷ τοῦ βαπτίσματος, διὰ Χριστοῦ δωρηθέντι.

2. Κλητοῖς ἁγίοις,

Κληθεῖσιν εἰς τὴν πίστιν καὶ εἰς τὸν τοιοῦτον ἁγιασμόν, ἀλλ' οὐκ αὐτομολήσασιν· ὁ μὲν γὰρ Χριστὸς ἐκάλεσεν ὑμᾶς ἐλεήσας, αὐτοὶ δὲ ὑπηκούσατε, θελήσαντες ἀπαλλαγῆναι τῆς ἀκαθαρσίας. Ὥςτε οὐδ' ἡ πρὸς αὐτὸν πίστις ἔργον ὑμῶν ὁλόκληρον, ἀλλὰ τὸ πλεῖον αὐτοῦ ἐστιν.

2. Σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ,

«Κλητοῖς οὖσιν ἁγίοις, μετὰ πάντων τῶν ἐν παντὶ τόπῳ, ἐπικα- » λουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» (α)· τουτέστι κληθεῖσιν εἰς τὸν ἁγιασμὸν μετὰ πάντων τῶν ἁπανταχῇ πιστῶν. Εἰ δὲ τοῦτο, χρὴ ὑμᾶς τοὺς Κορινθίους οὐ μόνον ἀλλήλοις ὁμονοεῖν, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἐν παντὶ τόπῳ πιστοὺς ὁμογνώμονας (β). Κοινὰ γὰρ πᾶσι καὶ ὁ Δεσπότης καὶ ἡ πίστις καὶ ὁ ἁγιασμός. Εἰπὼν δὲ ὅτι «τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» ἵνα μὴ δόξῃ χωρίζειν τοὺς ἐν ἑτέροις τόποις πιστούς, ἐπήγαγεν·

2. Αὐτῶν τε καὶ ἡμῶν.

«Τοῦ Κυρίου, φησίν, αὐτῶν τε καὶ ἡμῶν»· πάντων γάρ ἐστι Κύριος. Οἷς δὲ κοινὸς ὁ Δεσπότης, τούτοις κοινωνία πολλὴ καὶ ἕνωσις ὀφείλει προςεῖναι.

3. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν,

Ἐπεύχεται αὐτοῖς χάριν, ἤγουν οἰκείωσιν καὶ εὐμένειαν ἀπὸ τοῦ Θεοῦ, διασύρων ἐντεῦθεν τὴν ἀπὸ τῶν ἑτεροδιδασκάλων γινομένην αὐ-

---

(α) Οὕτως ἁπλοποιεῖ τὸ ὑπερβατὸν τοῦτο τοῦ Ἀποστόλου σχῆμα ὁ Συγγραφεύς. Ἀλλ' ὁμαλώτερον ἴσως ὧδε· «κλητοῖς ἁγίοις σὺν πᾶσι τοῖς ἐν παντὶ τόπῳ ἐπικαλου- » μένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν τε καὶ αὐτῶν Ἰησοῦ Χριστοῦ». — (β) *Εἶναι* δηλονότι.

τοῖς. Ναὶ μὴν καὶ εἰρήνην, διαστασιάζουσι πρός τε ἑαυτοὺς καὶ πρὸς τὸν Θεόν. «Πατέρα δὲ ἡμῶν» τὸν Θεὸν προςηγόρευσεν, ὡς υἱοθετουμένων αὐτῷ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας.

3. Καὶ Κυρίου Ἰησοῦ Χριστοῦ,

Ἃ γὰρ δίδωσιν ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱός. Τοῦτο δὲ δηλωτικὸν τῆς ἐν ἀμφοτέροις ἰσότητος.

4. Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ·

Εὐχαριστεῖν ἀεὶ τῷ Θεῷ παιδεύει ἡμᾶς καὶ εὐλογεῖν ὑπέρ τε ἑαυτῶν καὶ ὑπὲρ ἄλλων. Ἐν πάσῃ σχεδὸν ἐπιστολῇ πρὸ πάντων εὐχαριστεῖ τῷ Θεῷ, καὶ ἀπὸ εὐχαριστίας ἄρχεται τοῦ λόγου. «Τῷ Θεῷ »μου» δὲ εἶπε τὸ κοινὸν ἰδιοποιούμενος ὑπὸ πολλῆς τῆς πρὸς αὐτὸ διαθέσεως. Δηλώσας δὲ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν αὐτοῖς ἐν Χριστῷ Ἰησοῦ, ἤγουν διὰ Ἰησοῦ Χριστοῦ, ἐπήγαγεν·

5. Ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ,

Ὅτι ἐν παντὶ πράγματι πνευματικῷ δαψιλοῦς δωρεᾶς ἀπηλαύσατε δι' αὐτοῦ· λέγω δή, τοῦ Χριστοῦ. Εἰ δὲ ἐν παντὶ χάριν ἐλάβετε, τί μέγα φρονεῖτε; Καὶ εἰ διὰ τοῦ Χριστοῦ ἐλάβετε, διὰ τί ἑτεροδιδασκαλεῖσθε (α), τοὺς Ἀποστόλους αὐτοῦ παρατρέχοντες;

5. Ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει·

Εἰπὼν ὅτι «ἐν παντὶ ἐπλουτίσθητε» σαφηνίζει τὸ «ἐν παντί». Ἢ καὶ εἰπὼν ἐκεῖνο καθολικώτερον προστίθησι καὶ περὶ τοῦ λόγου καὶ τῆς γνώσεως ἰδιαζόντως, ἐμφαίνων ὅτι καὶ λέγειν εἰσὶν ἱκανοὶ καὶ νοεῖν. «Ἐν παντὶ μὲν οὖν λόγῳ» τῷ τε διδασκαλικῷ καὶ τῷ ἐξηγητικῷ τῶν θείων Γραφῶν καὶ τῷ διαλεκτικῷ κατὰ τῶν ἐχθρῶν τῆς πίστεως καὶ τῷ συμβουλευτικῷ καὶ τοῖς τοιούτοις. «Ἐν πάσῃ δὲ γνώσει» τῇ τε τῆς παλαιᾶς Γραφῆς καὶ τῆς Νέας καὶ τῇ τῶν ὄντων καὶ τῇ τῶν ὀρθῶν δογμάτων, ἃ πάντα χαρίσματά εἰσι, διὰ Χριστοῦ ἡμῖν δωρηθέντα, μηδὲν ἐπὶ τῇ κτήσει τούτων προκεκμηκόσιν.

(α) Σημείωσαι τὸ ἐν παθητικῇ διαθέσει ἐνταῦθα κείμενον «ἑτεροδιδασκαλεῖσθε» καὶ πρβλ. Α' Τιμ. α', 3. σημ. α'.

6. Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν,

Δι' ὧν χαρισμάτων, θεοδωρήτων, τοῦ λόγου τε καὶ τῆς γνώσεως, ἐβεβαιώθη ἐν ὑμῖν τὸ κήρυγμα· ἐκ τούτων γὰρ ἐπληροφορήθητε, ἐστερεώθητε εἰς τὴν πίστιν. «Μαρτύριον» δὲ ὠνόμασε τὸ κήρυγμα, ὡς μαρτυροῦν περὶ τοῦ Χριστοῦ καὶ ἀποδεικνύον ὅτι Θεὸς ὢν ἐνηνθρώπησε διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων.

7. Ὥςτε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι,

«Ἐπλουτίσθητε», φησίν, ὥςτε ὑμᾶς μὴ ἐλαττοῦσθαι τῶν ἐν ἑτέραις πόλεσι πιστῶν «ἐν μηδενὶ χαρίσματι». Ζητεῖται ἐνταῦθα πῶς, οἷς τοσαῦτα πνευματικὰ προτερήματα προσεμαρτύρησε, καὶ οὕτως ἐπήνεσε, τούτοις ἐπιτιμᾷ παρακατιών, καὶ σαρκικοὺς καλῶν ἐγκαλεῖ (α). Ἔστιν οὖν εἰπεῖν, ὅτι παρὰ μὲν τὴν ἀρχήν, ὅτε ἐπίστευσαν, τοιοῦτοι ἦσαν, πᾶσι κομῶντες χαρίσμασι, καὶ ἀξιέπαινοι γεγονότες· ὕστερον δὲ ῥᾳθυμήσαντες, μέμψεως ἀξίους ἑαυτοὺς πεποιήκασιν. Ἢ καὶ ἄλλως· οὐ πρὸς πάντας οὔτε τὰ ἐγκώμια, οὔτε τὰ κατηγορήματα, ἀλλὰ πρὸς τοὺς ἀξίους καὶ ταῦτα κἀκεῖνα. Ἦσαν γὰρ αὐτῶν οἱ μὲν ἔτι σπουδάζοντες, οἱ δὲ ῥᾳθυμήσαντες. Ἔστι δὲ καὶ τρίτον εἰπεῖν, ὅτι οἰκονομικῶς οἱ ἔπαινοι ἔγκεινται, προοδοποιοῦντες τῷ λόγῳ· ὁ γὰρ ἐκ προοιμίων εὐθέως φορτικὰ φθεγξάμενος ἀπέκλεισε τῷ λόγῳ τὴν ἀκοήν· ἄν τε γὰρ ὁμότιμοι ὦσιν οἱ ἀκούοντες, ὀργισθήσονται, ἄν τε ἐλάττους, λυπηθήσονται, καὶ μάτην ἐρεῖ.

7. Ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐπαινέσας αὐτούς, ἀνέμνησε καὶ τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ καὶ τῆς φοβερᾶς ἡμέρας, ἠρέμα καταστέλλων καὶ ἐναγωνίους ποιῶν.

8. Ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους.

Τὸ «βεβαιώσει» δοκεῖ μὲν εὐχῆς εἶναι, ἐμφαίνει δὲ λοιπὸν ὅτι ἐσαλεύθησαν καὶ παρεκινήθησαν ἀπὸ τοῦ δέοντος.

(α) Ἐν τῇ ᾤᾳ ἀναγινώσκεται τάδε, ὡς ἀπὸ τοῦ ἀντιγραφέως· «διαπόρημα ὡς ἔθος » τῷ Συγγραφεῖ».

8. Ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

«Ἀνεγκλήτους» εὑρισκομένους ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ταύτην γὰρ «ἡμέραν τοῦ Χριστοῦ» λέγει, ὡς τηνικαῦτα τῆς δόξης αὐτοῦ τελειότερον φαινομένης. Καὶ τὸ «ἀνεγκλήτους» δὲ καθαπτομένου μᾶλλόν ἐστιν. Ἐνδείκνυται γὰρ ὅτι ἐγκλήματα ἔχουσιν. Σκόπει δὲ πῶς συνεχῶς αὐτοῖς τὸ ὄνομα τοῦ Χριστοῦ προφέρει, καὶ διὰ τούτου σχεδὸν τὸ ὅλον ἐξυφαίνει προοίμιον, μηχανώμενος ἀποστῆσαι τῶν ψευδοδιδασκάλων, εἰς οὓς κατεμερίσθησαν, καὶ εἰς τὴν τοῦ Χριστοῦ διδασκαλίαν συναγαγεῖν.

9. Πιστὸς ὁ Θεός,

Ἀληθής ἐστιν ὁ Θεός. Εἰ δὲ ἀληθής ἐστιν, ποιήσει πάντως καὶ ἃ ἐπήγγελται. Ἐπήγγελται δὲ κοινωνοὺς ἡμᾶς ποιῆσαι τοῦ Υἱοῦ αὐτοῦ.

9. Δι' οὗ καὶ (*) ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.

Εἰς ὃ καὶ ἐκάλεσεν ὑμᾶς, ὡς ἡ ἐν τῷ Εὐαγγελίῳ παραβολὴ τῶν καλουμένων εἰς τοὺς γάμους τοῦ υἱοῦ τοῦ βασιλέως διδάσκει (α). Οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν Υἱόν, ὡς εἴρηκεν ὁ Χριστός, εἰ μὴ ἑλκύσῃ αὐτὸν ὁ Πατήρ (β). «Κοινωνίαν» δὲ λέγει οὐ μόνον τὴν διὰ τῆς τοῦ βαπτίσματος παλιγγενεσίας υἱοθεσίαν, ἀλλὰ καὶ τὴν κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν. Ὅρα δὲ καὶ τὸ «δι' οὗ» οὐ μόνον ἐπὶ τοῦ Υἱοῦ, ἀλλὰ καὶ ἐπὶ τοῦ Πατρὸς λεγόμενον (γ).

Α' Μετὰ τὸ προοίμιον, περὶ τοῦ μὴ διχονοεῖν πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ, ἐν ᾧ περὶ θείας σοφίας, περὶ λειτουργιῶν, περὶ τοῦ μὴ κρίνειν διδασκάλους, περὶ τοῦ μὴ ἐπαίρεσθαι.

10. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

«Παρακαλῶ ὑμᾶς» οὐ δι' ἐμαυτοῦ μόνου, ἀλλὰ μάλιστα «διὰ τοῦ

(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων ὁ «καὶ» οὐ κεῖται. — (α) Ματθ. κβ', 2. — (β) Ἰωάνν. ς', 44. — (γ) Πρβλ. Ῥωμ. α', 8. σημ. β'.

» ὀνόματος τοῦ Χριστοῦ». Τοῦτο συλλαμβανόμενόν μοι τῆς δεήσεως προβαλλόμενος, ἵνα καὶ μᾶλλον ἐντρέψας πείσω. Τί δέ ἐστιν ὑπὲρ οὗ παρακαλεῖς, ὦ Παῦλε;

10. Ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα,

Ἵνα ὁμοφρονῆτε ἔν τε τοῖς δόγμασι καὶ τοῖς περὶ ὀρθοῦ βίου λόγοις καὶ μὴ σχίζησθε εἰς διάφορα μέρη ταῖς διαφόροις ἐναντιολογίαις. Ἵνα δὲ μὴ νομίσωσι ψιλὴν ἀπαιτεῖσθαι συμφωνίαν καὶ μέχρι ῥημάτων, ἐπήγαγεν·

10. Ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.

Χρὴ γὰρ ἔτι καὶ ὁμονοεῖν καὶ ὁμογνωμονεῖν· τοῦτο γὰρ ὁ καταρτισμὸς καὶ ἡ τελειότης. Οἱ γὰρ τῆς αὐτῆς μὲν πίστεως, μὴ τῆς αὐτῆς δὲ ἀγάπης καὶ διαθέσεως ὄντες, ὁμονοοῦσι μέν, ὡς τὰ αὐτὰ νοοῦντες περὶ τῆς πίστεως, οὐχ ὁμογνωμονοῦσι δέ, ὅπερ καὶ τότε ἐγίνετο, τοῦ μὲν τόνδε αἱρουμένου, τοῦ δὲ τόνδε διδάσκαλον.

11. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι.

Πάλιν «ἀδελφοὺς» αὐτοὺς προςαγορεύει, τῇ γνησιότητι τοῦ ὀνόματος προκαταλαμβάνων, ὥςτε μὴ ἀποπηδῆσαι τῆς ἀκροάσεως τῶν ἐλέγχων τε καὶ ἐπιτιμήσεων. Ἡ Χλόη δὲ γένους ἦν παράσημον καὶ πατριᾶς ἐπωνυμία. Κοινῶς δὲ εἰπὼν ὅτι «ὑπὸ τῶν Χλόης» ἐδήλωσε μὲν τοὺς μηνύσαντας, ἵνα μὴ δόξῃ πλάττειν τὴν κατηγορίαν, ἀπεσιώπησε δὲ τὰ ὀνόματα, ἵνα μὴ συγκρούσῃ τούτοις τοὺς ἐγκαλουμένους. Οὐ γὰρ τὸ τούτων μόνον οἶδεν, ἀλλὰ καὶ τὸ ἐκείνων συμφέρον. Εἶτα λέγει καὶ τὸ εἶδος τῆς ἔριδος·

12. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ.

Λέγω δὲ ἔριδας τοῦτο, ὅτι ἕκαστος ὑμῶν ἴδιον ἐπιφημίζει ἑαυτοῦ διδάσκαλον. Οὐ τὸν Παῦλον καὶ τὸν Ἀπολλὼ καὶ τὸν Κηφᾶν ἐπέγραφον ἑαυτοῖς, ἀλλ᾽ ἑτέρους, οὓς ἀπεσιώπησε, καθάπερ τισὶ προςωπείοις, τοῖς ὀνόμασι τούτοις τῶν Ἀποστόλων ὑποκρύπτοντες αὐτούς. Ἵνα δὲ ἀνεπαχθέστερον τὸν λόγον ποιήσῃ καὶ ἵνα διδάξῃ ὅτι, εἰ

τοὺς ἀληθῶς Ἀποστόλους καὶ διδασκάλους οὐκ ἐχρῆν ἐπιφημίζειν ἑαυτοῖς, πολλῷ μᾶλλον ἐκείνους. Κατ' αὔξησιν δὲ προήγαγε τὰ ὀνόματα, ἑαυτοῦ μὲν τὸν Ἀπολλὼ προθείς, τοῦ Ἀπολλὼ δὲ τὸν Κηφᾶν, ἤτοι τὸν Πέτρον. Ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ἄλλων προσαγορευομένοις καλῶς ἐπιτιμᾷ, τοῖς δὲ ἀπὸ τοῦ Χριστοῦ διὰ τί; Τούτοις μὲν οὐκ ἐπιτιμᾷ, τέθεικε δὲ ὅμως καὶ αὐτούς, ὡς μέρος καὶ τμῆμα ὑπολειφθὲν τῷ Χριστῷ.

13. Μεμέρισται ὁ Χριστός;

Μερισθέντος γὰρ τοῦ σώματος αὐτοῦ, ὅπερ ἐστὶν ἡ Ἐκκλησία, μεμέρισται πάντως αὐτός. Καὶ τό γε ἐφ' ὑμῖν, κατετέμετε αὐτόν. Κατ' ἐρώτησιν δὲ ὁ λόγος, γέμων θυμοῦ καὶ ἀγανακτήσεως. Ἢ «μεμέρισται» ἀντὶ τοῦ συνεμερίσατο τὴν Ἐκκλησίαν τοῖς ἐπιφημιζομένοις διδασκάλοις, καὶ μερίδα μίαν λαβών, τὰς ἄλλας ἀφήρηται; Οὕτως ἐπιπλήξας ἐργάζεται λοιπὸν τὴν ἀναίρεσιν τοῦ ἀτόπου·

13. Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν,

Ἵνα μὴ δόξῃ ἀπὸ φθόνου ἐπιτιμᾶν, ἐπὶ τοῦ ἰδίου ὀνόματος ποιεῖται τὴν ἀναίρεσιν. Οὐκ εἶπε δὲ μὴ Παῦλος ἔπλασεν ὑμᾶς, ἢ ἄλλην τοιαύτην εὐεργεσίαν, ἀλλὰ τὸν σταυρὸν ἤγαγεν εἰς μέσον, ὅς ἐστι μείζων πάντων ἀπόδειξις τῆς περὶ ἡμᾶς ἀγάπης Χριστοῦ, ἅμα καὶ τὸ εἶδος τοῦ θανάτου αὐτοῦ δηλῶν.

13. Ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;

Καὶ τὸ βάπτισμα τέθεικεν, ὡς τῶν ἐνταῦθα δεδωρημένων ἡμῖν ἀγαθῶν ἐξαίρετον, οὐ μόνον ἁμαρτιῶν ἀποκαθαῖρον, ἀλλὰ καὶ υἱοθετοῦν τῷ Θεῷ. Εἰ τοίνυν οὐκ ἄλλος ὁ οὕτως ἀγαπήσας καὶ οὕτως εὐεργετήσας ἀλλ' ἢ μόνος ὁ Χριστός, τίνος ἕνεκεν ἀφέντες ἀπὸ Χριστοῦ καλεῖσθαι, ἀπὸ τοῦδε ἢ τοῦδε τοῦ διδασκάλου προσαγορεύεσθε; Εἰς τὸ ὄνομα δὲ τοῦ Χριστοῦ βαπτίζεσθαι λεγόμεθα, ὡς ἑνὸς ὄντος τῶν τριῶν ὑποστάσεων τῆς μιᾶς θεότητος, ὧν ἐπὶ τοῖς ὀνόμασι τελεῖται τὸ βάπτισμα. Καὶ ἄλλως γὰρ περὶ τοῦ Χριστοῦ νῦν ὁ λόγος·

14. Εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον·

Ἐπεί τινες αὐτῶν μέγα ἐφρόνουν ἐπὶ τῷ βαπτίζειν, καὶ τοὺς βα-

πτιζομένους ὑπ᾽ αὐτῶν συστήματα ἴδια ἐποίουν, καθαιρεῖ τὰ τούτων φρονήματα τῷ εὐχαριστεῖν ὅτι οὐδένα ἄλλον ἐβάπτισεν, εἰ μὴ τόνδε καὶ τόνδε, πάνυ ὀλίγους. Τὸ μὲν γὰρ βάπτισμα μέγιστον (τούτου γὰρ χωρὶς σωθῆναι ἀδύνατον)· τὸ δὲ βαπτίζειν οὐ πάνυ μέγα, μεῖζον δὲ τούτου πολλῷ τὸ εὐαγγελίζεσθαι καὶ κηρύττειν. Τὸ μὲν γὰρ ἱερέως μόνον. Τὸ δὲ κηρύσσειν ἀνδρὸς γενναίου καὶ φερεπόνου καὶ ἑτοίμου πρὸς θάνατον. Τίθησι δὲ καὶ τὴν αἰτίαν, δι᾽ ἣν ὁμολογεῖ χάριν τῷ Θεῷ ἐπὶ τῷ μὴ βαπτίσαι πολλούς.

15. Ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.

Ἵνα μή, πολλῶν βαπτισθέντων ὑπ᾽ ἐμοῦ καὶ σύστημα μέγα ποιησαμένων, εἴπῃ τις ὅτι διὰ τὸ ἐμὸν ὄνομα ἐβάπτισα αὐτούς, ἵνα ἐπιφημίζηται τούτοις καὶ ἀπ᾽ ἐμοῦ καλῶνται Παυλιανοί. Ἐμφαντικῶς δὲ διέσυρε τοὺς διὰ τοῦτο πολλοὺς βαπτίζοντας. Ἢ καὶ ἄλλως· ἵνα μή, προςκειμένων μοι καὶ ἀπ᾽ ἐμοῦ καλουμένων, ὥςπερ ἀπὸ τῶν βαπτισάντων αὐτοὺς πολλοί, εἴπῃ τις ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα αὐτοὺς καὶ διὰ τοῦτό μοι πρόςκεινται. Ἐνθυμηθεὶς δὲ καὶ ἄλλους βαπτισθέντας ὑπ᾽ αὐτοῦ, προσέθηκε τοῖς ῥηθεῖσι δυσὶ καὶ τούτους·

16. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον·

Τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας δηλονότι.

16. Λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα.

Εἶτα λέγει καὶ τὴν αἰτίαν, δι᾽ ἣν οὐκ ἐβάπτισε πολλούς.

17. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ᾽ εὐαγγελίζεσθαι.

Τὸ μεῖζον καὶ δυςχερέστερον ἐνεχείρισέ μοι, ἵνα ἐγὼ μὲν μυρία κάμνων, ἐπιστρέφω καὶ προςάγω, ἕτεροι δὲ βαπτίζωσιν, εἰς τοῦτο τεταγμένοι. Τὸ μὲν γὰρ μεταπεῖσαι προαίρεσιν καὶ μεταστῆσαι γνώμην καὶ τὰς ἀκάνθας τῆς ψυχῆς ἀνασπάσαι καὶ καταφυτεῦσαι τὴν ἀλήθειαν καὶ τὰς ἀρετὰς ἐπίπονόν τε καὶ ἐπικίνδυνον. Τὸ δὲ λαβεῖν πεπεισμένον καὶ βαπτίσαι ζητοῦντα τοῦτον καὶ ἄπονον καὶ ἀκίνδυνον. Τίς οὖν εὖ φρονῶν ἐπὶ τῷ εὐχερεῖ καὶ ῥᾳδίῳ πράγματι τυφωθήσεται, καὶ τότε (α) τῶν τὸ πολλῷ μεῖζον κατορθούντων οὐκ ἐπαιρομένων;

(α) Γραπτέον ἴσως «καὶ ταῦτα».

Καὶ εἰ οὐκ ἀπεστάλη βαπτίζειν, διὰ τί ἐβάπτισεν; Διότι οὐκ ἐκωλύθη βαπτίζειν, ἀλλ' ἀπεστάλη πρηγουμένως εἰς τὸ μεῖζον. Ἐποίει δὲ καὶ τὸ ἔλαττον καὶ ἑπόμενον ἐκ περιουσίας ἀγώνων.

17. Οὐκ ἐν σοφίᾳ λόγου,

Εὐαγγελίζεσθαι δὲ οὐκ ἐν πιθανότητι λόγου καὶ κομψείᾳ ῥημάτων. Ταῦτα γὰρ νῦν λέγει «σοφίαν» ὡς τοῦτο δοκοῦντα. Καθελὼν γὰρ τὸ φύσημα τῶν ἐπὶ τὸ βαπτίζειν ἐπαιρομένων, μετέστη πρὸς τοὺς κομπάζοντας ἐπὶ τῇ ἔξω σοφίᾳ, καὶ ὁπλίζεται κατ' αὐτῶν. Οὐκ εἶπε δὲ ὅτι «οὐκ ἐν σοφίᾳ γνώσεως», ἀλλὰ «λόγου»· καὶ γὰρ ἐν σοφίᾳ γνώσεως εὐηγγελίζετο. Διὸ καὶ ἀλλαχοῦ ἔλεγεν ἑαυτὸν εἰ καὶ ἰδιώτην τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει (α).

17. Ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

Σταυρὸν μὲν τοῦ Χριστοῦ λέγει τὸ κατὰ τὸν σταυρὸν Εὐαγγέλιον· ἤτοι τὸ περὶ τοῦ σταυροῦ κήρυγμα. Ὃ γὰρ οἱ ἄπιστοι ὡς ὄνειδος προέφερον κατὰ τῶν πιστευόντων, τοῦτο ὡς δόξαν ἀνακηρύττει, καὶ ἀπὸ τούτου τὸν λόγον τῆς πίστεως σταυρὸν ὀνομάζει. Διὰ τοῦ σταυροῦ γὰρ τὸ κατὰ τῶν δαιμόνων ἠγέρθη τρόπαιον, καὶ ὁ θάνατος τεθανάτωται. «Κένωσιν» δὲ τὴν ἐλάττωσιν. Εἰ γὰρ ἐν σοφίᾳ λόγου εὐηγγελίζοντο οἱ Ἀπόστολοι, ἔδοξαν ἂν ἐν πιθανολογίᾳ μᾶλλον αἱρεῖν τοὺς πιστεύοντας καὶ ἐν ἰδίᾳ δυνάμει, ἀλλ' οὐκ ἐν ἀληθείᾳ πραγμάτων· οὐ γὰρ ἐν δυνάμει Θεοῦ, περὶ ἧς γέγραπται· «καὶ δώσει ῥῆμα τοῖς »εὐαγγελιζομένοις δυνάμει πολλῇ» (β). Καὶ οὕτως ἠλαττοῦτο ἂν ὁ λόγος τοῦ κηρύγματος, τοῖς κήρυξιν ἐπιγραφομένου τοῦ κατορθώματος, ἀλλ' οὐ τῇ ἀληθείᾳ τοῦ κηρύγματος. Καὶ διὰ τί τὸν Ἀπολλώ, χρείας γενομένης, ὡς λόγιον ἔπεμψαν; Ὡς λόγιον ἐν εἰδήσει τῶν θείων Γραφῶν, ἀλλ' οὐχ ὡς λόγιον ἐν στροφαῖς λόγων καὶ τεχνικαῖς πιθανότησιν (γ).

18. Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν.

Ὁ λόγος ὁ περὶ τοῦ σταυροῦ, τὸ κατὰ τὸν σταυρόν, ὡς εἴρηται, κήρυγμα τοῖς μὲν ἀπολλυμένοις ἀπίστοις μωρία ἐστίν, ὡς οἴονται·

(α) Β' Κορινθ. ια', 6.— (β) Ψαλμ. ξζ', 12.— (γ) Περὶ τοῦ Ἀπολλὼ ἔπιθι Πράξ. ιη', 24 καὶ ιθ'.

μωρίαν γὰρ λέγουσι τὸ κηρύττειν Θεὸν ἐσταυρωμένον. Εἰ γὰρ Θεὸς ἦν, φασίν, ἤμυνεν ἂν ἑαυτῷ σταυρουμένῳ. Ὁ δὲ τὸν θάνατον μὴ δυνηθεὶς ἀπώσασθαι, πῶς ἂν ἐκ νεκρῶν ἀναστῆναι δυνηθείη; Οὐκ ἔχει τοῦτο λόγον· τοῖς δὲ σωζομένοις πιστοῖς δύναμις Θεοῦ ἐστι, δύναμιν Θεοῦ κηρύττει· δύναμις γὰρ θεία ὄντως τὸ τὸν ἐν δεινοῖς γενόμενον ἀνώτερον τῶν δεινῶν γενέσθαι. Καὶ καθάπερ ἐπὶ τῶν τριῶν παίδων τοῦ μὴ ἐμπεσεῖν εἰς τὴν κάμινον τὸ ἐμπεσόντα μὴ καυθῆναι θαυμασιώτερον· καὶ ἐπὶ τοῦ Ἰωνᾶ τοῦ μὴ καταποθῆναι ὑπὸ τοῦ κήτους τὸ καταποθέντα μὴ ἀναλωθῆναι μεῖζον· οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ τοῦ μὴ ἀποθανεῖν τὸ ἀποθανόντα νικῆσαι τὸν θάνατον πολλῷ δήπου παραδοξότερον· ἐβούλετο γὰρ διὰ τοῦ ἰδίου θανάτου θανατῶσαι τὸν θάνατον.

19. Γέγραπται γάρ· «ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν »σύνεσιν τῶν συνετῶν ἀθετήσω».

Γέγραπται τοῦτο ἐν βίβλῳ Ἡσαΐου (α). Ἀπολέσθαι ποιήσω, φησί, τὴν δοκοῦσαν σοφίαν τῶν οἰομένων εἶναι σοφῶν, ἤτοι τὴν τῶν Ἑλλήνων, καὶ τὴν σύνεσιν αὐτῶν ἀθετηθῆναι ποιήσω. Τὸ αὐτὸ δὲ εἶπεν αὖθις ἐκ παραλλήλου. Καὶ ὄντως· τῶν ἁλιέων καὶ ἀγραμμάτων κηρυττόντων, κατηργήθη τὰ Ἑλλήνων δόγματα καὶ παρωράθη. Καὶ ἄλλως δέ· «σοφίαν» μὲν νοήσεις οὐ τὴν εὐγλωττίαν, ἀλλὰ τὴν ὑποκεκρυμμένην αὐτῇ πλάνην, τὴν τῷ δελέατι τῆς καλλιεπείας περιεσταλμένην. Ἢ τὴν περίεργον συζήτησιν καὶ τὴν ἄκαιρον πολυπραγμοσύνην. «Σύνεσιν» δέ, ἣν ἐδόκουν ἔχειν περὶ Θεοῦ. Ἀσυζητήτως γὰρ καὶ ἀπολυπραγμονήτως τοῦ λοιποῦ πιστεύομεν, φανερωθείσης ἤδη τῆς ἀληθείας. Χρησάμενος δὲ τῇ προφητικῇ μαρτυρίᾳ, ἐπάγει καὶ διὰ τῶν πραγμάτων ἀπόδοσιν·

20. Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;

«Ποῦ σοφὸς» Ἕλλην; «ποῦ γραμματεὺς» Ἰουδαῖος; «ποῦ συζη»τητὴς» ἐν διαλεκτικῇ και συλλογισμοῖς; ποῦ πρὸς τὴν δοκοῦσαν μωρίαν τοῦ κηρύγματος; ποῦ φθάνουσι πρὸς αὐτήν; ὑπερέβη γὰρ καὶ νενίκηκεν αὐτούς· «τοῦ αἰῶνος δὲ τούτου» ἀντὶ τοῦ ἐν τῷ αἰῶνι τούτῳ γενόμενος.

(α) Ἡσ. κθ΄, 14.

20. Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου;

Κατ' ἐρώτησιν ὁ λόγος. Οὐχὶ μωρὰν ἀπέδειξεν ὁ Θεὸς τὴν σοφίαν τῶν κοσμικὰ φρονούντων Ἑλλήνων καὶ Ἰουδαίων, ὡς ἀναίσθητον τῆς ἀληθείας καὶ θεογνωσίας; Πάνυ μὲν οὖν. Διὰ γὰρ τῶν δοκούντων μωρῶν κηρύκων ἡ ἀλήθεια καὶ ἡ σωτηρία ἐδιδάχθη, καὶ οὐ δι' ἐκείνων τῶν δοκούντων σοφῶν. Ἐπάγει δὲ καὶ τὴν αἰτίαν, δι' ἣν ταῦτα οὕτω γέγονεν·

21. Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

Δύο σοφίας εἰπών, μίαν μὲν λέγει τὸν ἐνδιάθετον λόγον, καθ' ὃν σοφοὶ καὶ συνετοὶ ἐδημιουργήθημεν, ἥτις τοῦ Θεοῦ λέγεται, ὡς παρ' αὐτοῦ συνουσιωθεῖσα τῷ ἀνθρώπῳ καὶ δῶρον οὖσα Θεῷ· ἑτέραν δέ, τὴν ἐνθεωρουμένην τοῖς κτίσμασιν, οὐρανῷ καὶ γῇ καὶ τοῖς ἐν μέσῳ. Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς καὶ θέσεως καὶ χρείας αὐτῶν ἡ σοφία τοῦ Θεοῦ δείκνυται. Ἐπεὶ τοίνυν ὁ κοσμόφρων ἄνθρωπος ἐν τῇ θεοδωρήτῳ συνέσει οὐκ ἔγνω διὰ τῆς ἐν τοῖς κτίσμασι σοφίας τὸν κτίστην αὐτῶν Θεόν, καὶ ἐν συλλογισμοῖς οὐκ ἐθεώρησε διὰ τῆς ἀπὸ τῶν ποιημάτων καταλαμβανομένης σοφίας τὸν Ποιητήν· εὐδόκησεν ὁ Θεὸς διὰ τῆς δοκούσης τοῖς ὄντως μωροῖς μωρίας τοῦ κηρύγματος, τοῦ κατὰ τὸν σταυρόν, σῶσαι τοὺς ἀσυλλογίστως πιστεύοντας. Τότε μὲν γὰρ ἦν χρεία συλλογισμῶν· νῦν δὲ οὐκέτι. Ὑπερφυὲς γὰρ τὸ τῆς θείας ἐνανθρωπήσεως μυστήριον καὶ πίστεως δεόμενον μόνης. Ὅρα γὰρ τοὺς μὲν τῶν Ἑλλήνων σοφοὺς μετὰ τῶν συλλογισμῶν ἐκβαλλομένους, τοὺς ἁλιεῖς δὲ καὶ ἀγραμμάτους ἀναποδείκτως πιστευομένους.

22. Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν
23. ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον,

Δείκνυσιν ἐντεῦθεν μεγάλην τοῦ κηρύγματος τὴν δύναμιν. Καὶ γάρ, φησί, «καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσιν», ἵνα ἰδόντες βεβαιωθῶσιν ὅτι θεόθεν ἐστὶ τὸ κήρυγμα, καὶ πιστεύωσι, καὶ Ἕλληνες «σοφίαν» τὴν ἐν δυνάμει λόγου καὶ ἀποδείξεων πιθανότητι «ζητοῦσιν» ὁμοίως, «ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον», ὅπερ ἱκανόν ἐστιν οὐ μόνον μὴ ἐπισπᾶσθαι τοὺς μὴ βουλομένους, ἀλλὰ καὶ μᾶλλον ἀπά-

γειν καὶ τοὺς βουλομένους, καὶ ὅμως τοῦτο μόνον ποιοῦντες, αἱροῦμεν καὶ περιγινόμεθα, ὅπερ σαφής ἐστιν ἀπόδειξις τῆς δυνάμεως τοῦ κηρυσσομένου.

23. Ἰουδαίοις μὲν σκάνδαλον,

Ὃν δηλονότι κηρύσσομεν· ἐσκανδάλιζε γὰρ αὐτοὺς ἡ σταύρωσις, ἀπόδειξις ἀσθενείας δοκοῦσα, καὶ ἦν ἐναντία οὗ ᾔτουν· τὸ σημεῖον γὰρ ἀπόδειξίς ἐστι δυνάμεως.

23. Ἕλλησι δὲ μωρίαν·

Ὡς ἀνωτέρω διηρμήνευται, ἔνθα κεῖται τὸ «τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί». Καὶ τοῦτο δὲ ἐναντίον, οὗ Ἕλληνες ἐζήτουν· ἐναντίον γὰρ τῇ σοφίᾳ ἡ μωρία. Καὶ ὅμως διὰ τῶν ἐναντίων ἡ πίστις κρατεῖ καὶ κατορθοῦται· καὶ γὰρ καὶ οἱ κηρύσσοντες ἀσθενεῖς ἦσαν καὶ ἰδιῶται.

24. Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν

Αὐτοῖς δὲ τοῖς κληθεῖσιν εἰς πίστιν, ὡς ἐν τοῖς προοιμίοις τῆς παρούσης ἐπιστολῆς διείληπται (α), κηρύσσομεν Χριστόν, δυνάμενον οὐ μόνον σημεῖα καὶ σοφίαν δι' ἡμῶν ἐπιδείκνυσθαι, ἀλλ' αὐτόχρημα δύναμιν Θεοῦ καὶ σοφίαν Θεοῦ ὄντα. Συνετώτεροι γὰρ μετὰ τὸ πιστεῦσαι γινόμενοι καταλαμβάνουσιν ὅτι Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

25. Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί.

«Μωρὸν τοῦ Θεοῦ» καὶ «ἀσθενὲς τοῦ Θεοῦ» τὸ κήρυγμα λέγει· «Ἰουδαίοις μὲν γάρ, φησί, σκάνδαλον, Ἕλλησι δὲ μωρίαν» ὡς προηρμήνευται. «Μωρία μὲν οὖν καὶ ἀσθενές», ὡς δοκοῦν τοιοῦτον Ἕλλησί τε καὶ Ἰουδαίοις. Σοφώτερον δὲ τῆς ἀνθρωπίνης σοφίας καὶ ἰσχυρότερον τῆς ἀνθρωπίνης δυνάμεως, ὡς νικῶσαν καὶ τοὺς σοφοὺς καὶ τοὺς δυνατοὺς τῶν ἀπίστων. Τὸ δὲ «ὅτι» βεβαιωτικόν, ἀντὶ τοῦ ὄντως ἢ ἀντὶ τοῦ ἐπειδή.

(α) Α' Κορινθ. α', 2:

26. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί,

Ἐπισκέψασθε τὴν διὰ τοῦ κηρύγματος κλῆσιν ὑμῶν, ἀδελφοί, πῶς μεγάλα δύναται· καίτοι οὐ μόνον κήρυκας καὶ διδασκάλους ἰδιώτας τῷ λόγῳ καὶ ἀσθενεῖς ἐπελέξατο ὁ καλέσας ὑμᾶς Θεός, ἀλλὰ καὶ ἡμᾶς τοὺς μαθητὰς τοιούτους καὶ παρεσκεύασε τὰ οὕτω σοφὰ καὶ μεγάλα δόγματα παραδέξασθαι.

26. Ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα,

Ἐξ ὑμῶν τῶν πιστευσάντων ὀλίγοι εἰσὶ σοφοὶ κατὰ τὴν σαρκικὴν σοφίαν· ἤτοι τὴν ἔξω παίδευσιν, τὴν κοσμικὴν καὶ μηδὲν πνευματικὸν ἔχουσαν, ὁποῖος ἦν Διονύσιος ὁ Ἀρεοπαγίτης (α), καὶ Ἀπολλώς, καὶ Ἀνθύπατος (β), καὶ εἴ τις ἄλλος τοιοῦτος. Οἱ δὲ ἄλλοι πάντες ἰδιῶταί ἐστε τῷ λόγῳ. Μέγιστον δὲ τὸ τοὺς οὕτως ἰδιώτας ἐπιγνῶναι τὰ τηλικαῦτα μυστήρια τῆς πίστεως, καὶ τῆς τοῦ κεκληκότος Θεοῦ δυνάμεως τεκμήριον.

26. Οὐ πολλοὶ δυνατοί, [οὐ πολλοὶ εὐγενεῖς] (*)·

Ἦσαν γὰρ καὶ τῶν δυνατῶν ἐν πλούτῳ, καὶ τῶν εὐγενῶν ὀλίγοι τινὲς προςελθόντες τῇ πίστει· οἱ δ' ἄλλοι πάντες πένητες ἦσαν καὶ ἀσθενεῖς καὶ ἄσημοι.

27. Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς,

«Ἐξελέξατο»· οὐκ ἐπίτηδες τούτους θηρώμενος, ἀλλ' ὡς μᾶλλον τῇ πίστει προςτρέχοντας, ἀσμένως προςιέμενος. «Μωρὰ» δὲ λέγει, ὅσον πρὸς τὸ ἀμετόχους εἶναι τῆς θύραθεν σοφίας.

27. Καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καται-
28. σχύνῃ τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός,

Οὐ γὰρ οὕτω καταισχύνονται Ἕλληνες, ὅταν ὑπὸ τῶν σοφῶν ἡτ-

(α) Πράξ. ιζ', 34.— (β) Αὐτόθ. ιγ', 7. 12.— (*) Τὰ παρεντεθειμένα ἐξέπεσον πάντως τοῦ ἱεροῦ κειμένου διαφυγόντα τὴν προσοχὴν τοῦ ἀντιγράψαντος. Δῆλον δὲ τοῦτο ἐκ τῆς ἐξηγήσεως.

τηθῶσιν, ὅσον ὅταν ὑπὸ ἰδιωτῶν καὶ παιδείας ἀμοίρων τοῖς (α) ἐν λόγοις τεχνικοῖς καὶ ἐπιστημονικοῖς. Οὐ μόνον δὲ οἱ ἄσοφοι τῶν σοφῶν περιγίνονται, ἀλλὰ καὶ οἱ πένητες τῶν πλουσίων, καὶ οἱ ἄσημοι τῶν εὐγενῶν, καὶ οἱ εὐκαταφρόνητοι τῶν ἐντίμων.

28. Καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ·

«Καὶ τὰ μὴ ὄντα ἐξελέξατο» ἵνα ἀργὰ καὶ ἀνόνητα ποιήσῃ τὰ ὄντα. «Μὴ ὄντα» μὲν οὖν λέγει τὰ μηδὲν εἶναι ὑπολαμβανόμενα διὰ πολλὴν ἀσθένειαν· τοὺς οὐδενὸς λόγου ἀξίους. «Ὄντα» δὲ τοὺς δοκοῦντας εἶναι σοφούς, ἢ δυνατούς, ἢ εὐγενεῖς, καὶ τὰ τοιαῦτα.

29. Ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ,

Ἵνα καθαιρεθῇ ὁ τῦφος τῶν ἐπὶ σοφίᾳ καὶ τοῖς ῥηθεῖσι προτερήμασιν ἐπαιρομένων ἀπίστων, νικωμένων, ὡς δεδήλωται, καὶ καταισχυνομένων· οὓς καὶ «σάρκα» ὠνόμασεν, ὡς σαρκικὰ καὶ γήϊνα φρονοῦντας. «Ἐνώπιον δὲ αὐτοῦ» ἀντὶ τοῦ «κατατολμῶσα αὐτοῦ». Τὸ γὰρ καυχᾶσθαι ἐφ᾽ ἑαυτοῖς καταφρονεῖν ἐστι Θεοῦ.

30. Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε

Ἐκ τοῦ Θεοῦ δὲ ὑμεῖς ἐστε, γεννηθέντες ἐξ αὐτοῦ διὰ τῆς παλιγγενεσίας τοῦ βαπτίσματος. Τὸ δὲ ἐκ τοῦ Θεοῦ γεννηθῆναι πάσης εὐγενείας ἐστὶν ἐπέκεινα.

30. Ἐν Χριστῷ Ἰησοῦ,

Διὰ τοῦ Χριστοῦ γεννηθέντες ἐκ τοῦ Θεοῦ· ὁ γὰρ Χριστὸς αἴτιος ὑμῖν τῆς τοιαύτης εὐγενείας.

30. Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·

Ὅστις Χριστὸς οὐκ ἔδωκεν ἡμῖν τὴν Πλάτωνος σοφίαν, ἢ τινος τῶν τοιούτων, ἀλλ᾽ αὐτὸς ἐγένετο ἡμῖν σοφία, δοὺς ἡμῖν ἑαυτὸν πηγὴν σοφίας καὶ δικαιοσύνης καὶ ἁγιασμοῦ καὶ ἀπολυτρώσεως. Καὶ πρῶτα μὲν ἐποίησεν ἡμᾶς σοφούς, ἀπαλλάξας τῆς πλάνης, εἶτα δι-

(α) Γραπτέον «τῆς»· ἵνα εἴη ἡ σύνταξις «καὶ παιδείας. . . τοῖς ἐν λόγοις τεχνικοῖς» καὶ ἑξ.

καίους καὶ ἁγίους, χαρισάμενος τὸ Πνεῦμα τὸ ἅγιον, ἔπειτα ἀπελύτρωσε παντὸς κακοῦ. «Ἀπὸ Θεοῦ» δὲ εἶπεν, ἀντὶ τοῦ «τοῦ Θεοῦ »τοῦτο εὐδοκήσαντος». Ἐπεὶ γὰρ τὸ πᾶν ἀνέθηκε τῷ Υἱῷ, προςέθηκε τὸ «ἀπὸ Θεοῦ» ἵνα μὴ ἀγέννητος νομισθείη. Εἰ τοίνυν πάντων ἡμῖν τῶν ἀγαθῶν αἴτιος ὁ Χριστός, ἐπὶ τούτῳ δεῖ καυχᾶσθαι καὶ ἀπὸ τούτου προςαγορεύεσθαι.

31. Ἵνα, καθὼς γέγραπται,

Λείπει τὸ «γίνηται». Ἵνα γίνηται καθὼς γέγραπται ἐν τῇ ᾠδῇ Ἄννης τῆς μητρὸς Σαμουὴλ (α). Πῶς δὲ γέγραπται;

31. Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω.

Συνταμὼν τὸν λόγον τῆς Γραφῆς, τὴν δύναμιν αὐτῆς ἔθηκε μόνον. Γέγραπται γὰρ ἐκεῖ· «μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐ»τοῦ» καὶ τὰ ἑξῆς. Εἶτα· «ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώ»μενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον».

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ

1. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων (*) τὸ μαρτύριον τοῦ Θεοῦ.

Κἀγὼ αὐτὸς ὁ κῆρυξ ὑμῶν ἦλθον καταγγεῖλαι ὑμῖν τὸ κήρυγμα οὐκ ἐν ὑπεροχῇ τῆς ἔξωθεν παιδείας· καὶ ὅμως παρήλασα τοὺς ἐν ὑπεροχῇ ταύτης ὄντας καὶ μακροὺς διαύλους λόγων ἑλίττοντας· ὃ καὶ αὐτὸ σημεῖον τῆς τοῦ κηρυττομένου δυνάμεως. «Λόγον» μὲν οὖν εἶπε τὴν εὐγλωττίαν. «Σοφίαν» δὲ τὴν ἐν στροφαῖς λόγων καὶ τε-

---

(α) Α' Βασιλ. 6', 10. Ἱερεμ. θ', 23. — (*) Ἐν ἄλλ. «καταγγέλλων ὑμῖν». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐκ τῶν ἐν τῇ ἐξηγήσει «καταγγεῖλαι ὑμῖν» δῆλός ἐστιν οὕτως ἀνεγνωκώς.

χνικαῖς μεθόδοις. «Μαρτύριον» δὲ προςηγόρευσε τὸ κήρυγμα, ὡς μαρτυροῦν περὶ τοῦ Χριστοῦ, ἢ καὶ ὡς ἔλεγχον τὴν πλάνην.

2. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

Οὐκ ἐλογισάμην εἰδέναι τι τεχνικὸν ἐν μέσῳ ὑμῶν, εἰμὴ μόνον τὸν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον· ἅπερ ἱκανὰ ἦσαν ἀποστρέφειν τοὺς προςερχομένους.

3. Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς·

Οὐ μόνον οἱ πιστεύοντες ἦσαν ἰδιῶται, οὐδὲ μόνον ὁ κηρύσσων ἐγὼ ἰδιώτης, οὐδὲ μόνον ὁ τρόπος τοῦ κηρύγματος ἰδιωτικός, οὐδὲ μόνον αὐτὸ τὸ κήρυγμα ἱκανὰ θορυβεῖν (σταυρὸς γὰρ καὶ θάνατος τὸ καταγγελλόμενον), ἀλλὰ μετ' αὐτῶν καὶ ἕτερα κωλύματα ἦν· οἱ διωγμοί, αἱ ἐπιβουλαί, οἱ καθημερινοὶ φόβοι. Καὶ ὅμως τὸ κήρυγμα περιεγένετο πάντων. «Ἀσθένειαν» δὲ ὠνόμασε τὰς ταλαιπωρίας καὶ κακοπαθείας. Τί οὖν; Καὶ Παῦλος ἐφοβεῖτο καὶ ἔτρεμε; Ναί· καὶ οὐ καταισχύνεται τοῦτο λέγων· ἄνθρωπος γὰρ ἦν. Καὶ τὸ μὲν φοβεῖσθαι τὰς πληγὰς καὶ τὸν θάνατον τῆς ἀνθρωπίνης ἀσθενείας ἦν. Τὸ δὲ μηδὲν ἀνάξιον εἰπεῖν ἢ πρᾶξαι διὰ τὸν φόβον, τοῦτο τῆς Παύλου μεγαλοψυχίας καὶ φιλοσόφου ὑπομονῆς.

4. Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις,

Οὐκ ἐν πιθανότησιν· ἤγουν «ἀνθρωπίνης σοφίας λόγοις».

4. Ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως.

Πνευματικῆς δυνάμεως, θείας ἰσχύος. Τῷ γὰρ [ὁρῶντι](α) τὰ παρακολουθοῦντα τῷ κηρύγματι σημεῖα, λέγω δὴ τὰς τῶν νεκρῶν ἐγέρσεις, τὰς τῶν δαιμόνων φυγάς, τὰς τῶν νοσούντων θεραπείας καὶ τὰ τοιαῦτα, ἀπόδειξις ἦν τοῦ θεῖον εἶναι τοῦτο, πάσης λογικῆς ἀποδείξεως ἀληθεστέρα καὶ ἰσχυροτέρα. Ὁ τοίνυν τὴν μείζω δύναμιν

(α) Ἡ παρεντεθειμένη λέξις ἡμετέρα ἐστὶν ἐξ εἰκασίας προςθήκη. Ἄνευ γὰρ αὐτῆς ἀσαφὲς τῆς ὅλης περιόδου τὸ νόημα.

ταύτην δοὺς τοῖς Ἀποστόλοις, ἠδύνατο καὶ τὴν ἐλάττω δοῦναι, τὴν «ἐν λόγοις», ἀλλ' οὐκ ἐβούλετο διὰ τὴν ῥηθησομένην αἰτίαν·

5. Ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

Ἡ μὲν γὰρ ἀνθρωπίνη σοφία πολλάκις ποιεῖ τὸ ψεῦδος ὑποκρατέστερον (α) τοῦ ἀληθοῦς, καὶ ὕποπτος ἡ διὰ ταύτης ἀπόδειξις. Ἡ δὲ διὰ τῶν σημείων ἀναντίρρητός ἐστι καὶ ἀναμφίβολος.

6. Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις·

Μωρίαν μὲν κηρύσσομεν ἐν τοῖς ἀπίστοις, τοῖς τὴν κριτικὴν τοῦ νοὸς δύναμιν διεφθαρμένοις· «σοφίαν» δὲ ἐν τοῖς πιστοῖς. Τούτους γὰρ λέγει τελείους, ὡς ὑγιαίνοντας τὴν ἕξιν τῆς διακρίσεως. Ἢ τελειοτέρους νόει τοὺς θεωρητικωτέρους· τούτοις γὰρ σοφία τὸ κήρυγμα κρίνεται, καὶ ὁ τρόπος τῆς διὰ τοῦ πιστεύειν σωτηρίας.

6. Σοφίαν δὲ οὐ τὴν (*) αἰῶνος τούτου,

Σοφίαν δὲ λαλοῦμεν οὐ τὴν ἀνθρωπίνην, τὴν ἐν ῥητορικῇ καὶ διαλεκτικῇ μεθόδῳ θεωρουμένην, ἥτις τοῦ αἰῶνος τούτου ἐστίν, ὡς μέχρι τούτου συνισταμένη, καὶ τούτῳ συγκαταλυομένη, καὶ μὴ συναπαίρουσα τοῖς ἐνθένδε μεθισταμένοις.

6. Οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου

Οὐδὲ τὴν τῶν ἐν ἀξιώμασι καὶ δυναστείαις ὄντων ῥητόρων καὶ φιλοσόφων· οἳ διὰ τὴν δοκοῦσαν ἐν αὐτοῖς σοφίαν ἦρχόν τε καὶ ἐδημαγώγουν. «Ἀρχόντων δὲ τοῦ αἰῶνος τούτου» εἶπεν, ὡς ἐν τούτῳ μόνῳ τὴν ἀρχὴν ἐχόντων. Διὸ καὶ ἐπήγαγε·

6. Τῶν καταργουμένων.

Τῶν παυομένων ἢ θανάτῳ ἢ ἑτέρᾳ μεταβολῇ.

7. Ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ,

(α) Ἐν τοῖς λεξικοῖς τὸ «ὑποκρατέστερον» οὐ κεῖται. Καὶ ἔστιν ἄρα ἡ λέξις καινοφανής, εἰ μή τις αὐτὴν ἐκ παραδρομῆς ὑπολάβοι γραφεῖσαν ἀντὶ «ἐπικρατέστερον». — (*) Ἴσως γραπτέον «οὐ τὴν τοῦ αἰῶνος τούτου». Κοινῶς τὰ ἀντίγραφα γράφουσι «σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου».

«Ἐν μυστηρίῳ» οὖσαν· ἤγουν μυστικὴν καὶ ἀπόρρητον. Εἰ γὰρ καὶ κηρύσσεται ὁ λόγος τῆς πίστεως, ἀλλὰ τοῖς ἀπίστοις ἀπόρρητος μένει καὶ ἄγνωστος καὶ λόγος ἁπλῶς, μᾶλλον δὲ μωρία. Καὶ ἄλλως δὲ ἔστι τὸ αὐτὸ καὶ κήρυγμα καὶ «ἐν μυστηρίῳ». Κήρυγμα μέν, τοῖς πιστοῖς, «ἐν μυστηρίῳ» δὲ τοῖς ἀπίστοις. «Μὴ δῶτε γάρ, φησί, τὸ » ἅγιον τοῖς κυσί, μηδὲ ῥίπτετε (α) τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν » τῶν χοίρων» (β).

7. Τὴν ἀποκεκρυμμένην,

Οὐ μόνον πᾶσιν ἀνθρώποις, ἀλλὰ καὶ πάσαις ταῖς ἐπουρανίαις δυνάμεσι καὶ πρὶν γενέσθαι μὴ γνωσθεῖσαν. Ἢ «τὴν ἀποκεκρυμμένην» ἄρτι τοῖς ἀναξίοις αὐτῆς.

7. Ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων

Ἣν σοφίαν· ἤτοι τὸ κήρυγμα καὶ τὴν διὰ πίστεως σωτηρίαν τῶν ἀνθρώπων προώρισεν ὁ Θεός, κηδόμενος αὐτῶν. Εἰδὼς γὰρ πάντα πρὶν γενέσεως αὐτῶν, οὐ μόνον πρὸ τοῦ πλασθῆναι τὸν ἄνθρωπον ὥρισε τὴν ἐκ τοῦ παραπτώματος ἀνάκλησιν αὐτοῦ, ἀλλὰ καὶ «πρὸ » τῶν αἰώνων»· ὃ πολλῆς φιλανθρωπίας ἐστὶν ἀπόδειξις.

7. Εἰς δόξαν ἡμῶν·

Τιμὴ γὰρ τοῖς Ἀποστόλοις τὸ μὴ πρὸ αὐτῶν ἀποκαλυφθῆναι τὴν δόξαν ταύτην, τὴν σοφίαν ταύτην, μηδὲ ταῖς οὐρανίαις ταξιαρχίαις· ἢ τὸ δι᾽ αὐτῶν πρῶτον κηρυχθῆναι ταύτην·

8. Ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν·

Ἄρχοντας νῦν λέγει τὸν Πιλᾶτον καὶ τὸν Ἡρῴδην. Εἰ δὲ καὶ τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς εἴποις, οὐκ ἂν ἁμάρτοις. «Τοῦ αἰῶνος δὲ »τούτου», διὰ τὸ πρόςκαιρον τῆς ἀρχῆς αὐτῶν, ὡς ἀνωτέρω δεδήλωται.

8. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

«Εἰ ἔγνωσαν», ὡς εἴρηται, τὴν ἀποκεκρυμμένην σοφίαν, καὶ τὰ τῆς θείας οἰκονομίας μυστήρια· οἷον τὰ κατὰ τὴν τοῦ Θεοῦ ἐνανθρώπησιν, τὰ κατὰ τὸν σταυρόν, τὰ κατὰ τὴν κλῆσιν καὶ οἰκείωσιν τῶν

(α) Παρὰ τῷ Συγγραφεῖ ἐν τῷ οἰκείῳ τόπῳ «βάλητε». — (β) Ματθ. ζ΄, 6.

ἐθνῶν, τὰ κατὰ τὴν ἀναγέννησιν καὶ υἱοθεσίαν καὶ κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἁπλῶς ὅσα διὰ τοῦ ἁγίου Πνεύματος ἀπεκαλύφθη τοῖς Ἀποστόλοις. «Κύριον δὲ τῆς δόξης» εἶπεν, ὡς πηγὴν δόξης καὶ χορηγόν, καὶ ὅτι ὁ διὰ σταυροῦ θάνατος ἀτιμίαν ἐπῆγε τοῖς οὕτως ἀποθνήσκουσιν.

9. Ἀλλὰ καθὼς γέγραπται·

Λείπει τὸ «γέγονε». Πολλαχοῦ γὰρ ὁ Ἀπόστολος τῷ ἐλλειπτικῷ σχήματι κέχρηται. Οὐχ εὕρηται δὲ ποῦ γέγραπται (α). Καὶ εἰκὸς διαφθαρῆναι τὸ βιβλίον ἐκεῖνο, καθάπερ καὶ ἄλλα πολλά, ὧν αἱ βίβλοι τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων μέμνηνται (β)· τὰ μὲν γὰρ ἐξ αἰχμαλωσίας, τὰ δὲ ἐκ ῥαθυμίας, τὰ δὲ ἐκ κακουργίας ἠφανίσθησαν.

9. «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρ-
» δίαν ἀνθρώπου οὐκ ἀνέβη,

«Καθὼς γέγραπται» γέγονε· τουτέστιν οὔτε ὡράθησαν, οὔτε ἠκούσθησαν, οὔτε ἐνενοήθησαν ὅλως τινὶ κτιστῷ πρὸ τοῦ ἐνεργηθῆναι αὐτά. «Γέγραπται» δὲ τάδε καὶ τάδε. Εἰ γὰρ καὶ οἱ Προφῆται εἶδον καὶ ἤκουσαν καὶ ἐνενόησαν περὶ αὐτῶν, ἀλλ' οὐκ ἀνθρωπίνοις ὀφθαλμοῖς καὶ ὠσὶ καὶ καρδίαις, προφητικοῖς δὲ καὶ πνευματικοῖς καὶ ἀμυδρῶς καὶ οὐχ ὡς οἱ Ἀπόστολοι.

9. «Ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

«Ἃ ἡτοίμασεν ὁ Θεὸς» εἰς γνῶσιν καὶ ἀπόλαυσιν τῶν ἀξίων αὐτοῦ. Αἱ μὲν οὖν οὐράνιαι δυνάμεις οὐκ ἔμαθον ταῦτα πρὸ τῶν ἀνθρώπων ἐπὶ τιμῇ τῶν ἀνθρώπων (γ). Οἱ δὲ σοφοὶ τοῦ κόσμου ἠγνόησαν αὐτά, ὡς ἀνάξιοι. Ὅτε δὲ ἦν καιρὸς τοῦ πιστευθῆναι ταῦτα, τότε τοῖς φιλοθέοις ἐγνωρίσθησαν.

(α) Τὸ ἑξῆς δηλονότι ῥητόν· «ἃ ὀφθαλμὸς οὐκ εἶδε κτλ.». Κατὰ τὸν ἱερώτατον Φώτιον (ἐν Ἀμφιλοχ. Ἐρώτ. ΡΝΑ', Τόμ. Α', σελ. 813) τὴν προκειμένην προφητικὴν ῥῆσιν ἠρανίσθη ὁ Ἀπόστολος ἐκ τῶν λεγομένων τοῦ προφήτου Ἡλιοὺ ἀποκρύφων βιβλίων. Ὁ δὲ Θεοφύλακτος (ἐν λ.) εἰκοτολογεῖ ὅτι ὁ Παῦλος μετήνεγκεν εἰς αὐτὴν ἐλευθεριώτερον τὰ ἑξῆς τοῦ Ἡσαΐου λόγια (νβ', 15)· «οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν».— (β) Α' Παραλειπ. κθ', 29. Β' Παραλειπ. θ', 29. ιβ', 15. ιγ', 22. κϛ', 22.— (γ) Τὸ χειρόγραφον «πρὸ τῶν ἀνθρώπων· ἐπεὶ » τιμὴ τῶν ἀνθρώπων», κακῶς.

10. Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ·

Οὐ διὰ τῆς ἔξωθεν φιλοσοφίας, ἀλλὰ δι' αὐτοῦ τοῦ ἁγίου Πνεύματος. Οὐ μόνον τοίνυν τὸ μαθεῖν ἡμᾶς ταῦτα δείκνυσι τὴν εἰς ἡμᾶς τιμὴν τοῦ Θεοῦ καὶ τὸ μετὰ ἀγγέλων μαθεῖν, ἀλλὰ πολλῷ πλέον, τὸ διὰ τοῦ ἁγίου Πνεύματος μαθεῖν· «ἐκεῖνος γάρ, φησίν, ὁδηγήσει » ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν» (α). Εἶτα δεικνύων ὅτι παρ' ἑαυτῷ ταῦτα εἶχεν ὁ Θεὸς καὶ οὐδεὶς ἕτερος ἐγίνωσκε, φησί·

10. Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

Ἔρευναν ἐνταῦθα τὴν ἀκριβῆ γνῶσιν ὀνομάζει. Ὥςπερ καὶ ἐπὶ τοῦ Θεοῦ φησιν· «ὁ δὲ ἐρευνῶν τὰς καρδίας» (β) οὐδὲν καινόν, εἰ διὰ τοῦ Πνεύματος ἀπεκαλύφθη τοῖς Ἀποστόλοις τὰ μυστήρια τοῦ Θεοῦ. Τὸ γὰρ Πνεῦμα ὁμοούσιον καὶ ἴσον ὂν τῷ Θεῷ καὶ Πατρί, ἀκριβῶς οἶδε τά τε ἄλλα πάντα καὶ αὐτὰ τὰ κρύφια τοῦ Θεοῦ. Ταῦτα γὰρ ἐκάλεσε «βάθη».

11. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰμὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.

Διὰ παραδείγματος ἐβεβαίωσε τὸν λόγον. «Πνεῦμα δὲ ἀνθρώπου» λέγει νῦν τὴν γνῶσιν, τὸ συνειδός.

12. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν,

Οὐ τὴν σοφίαν τοῦ κόσμου· ἤτοι τὴν ἀνθρωπίνην παίδευσιν ἐλάβομεν διδάσκαλον.

12. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ,

Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

12. Ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν.

Ἵνα δι' αὐτοῦ ἴδωμεν τὰ τοῖς ἄλλοις ἀπόρρητα, ὧν τὴν γνῶσιν ὁ Θεὸς ἡμῖν ἐχαρίσατο.

(α) Ἰωάνν. ιϛ', 13. — (β) Ῥωμ. η', 27.

13. Ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις,

Ἃ καὶ κηρύσσομεν οὐκ ἐν λόγοις διδακτοῖς ἀνθρωπίνης σοφίας· τουτέστιν οὓς ἐδίδαξεν ἀνθρωπίνη σοφία.

13. Ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου·

Ἀλλ' ἐν διδάγμασι Πνεύματος ἁγίου. Τοσοῦτον τοιγαροῦν τὸ μέσον τῆς τε ἀνθρωπίνης σοφίας καὶ τῆς πνευματικῆς, ὅσον Πλάτωνος καὶ Πνεύματος ἁγίου.

13. Πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

Διὰ τῶν πνευματικῶν καὶ ὑπερφυῶν τὰ πνευματικὰ καὶ ὑπερφυῆ συγκρίνοντες, ἤγουν λύοντες. Σύγκρισις γὰρ λέγεται καὶ ἡ λύσις τοῦ ἀπόρου, ὡς τὸ «καὶ αὕτη ἡ σύγκρισις τοῦ ἐνυπνίου» (α). Ὅταν γὰρ ἀπορῇ τις πῶς ὁ Χριστὸς ἐκ Παρθένου γεγένηται, παράγομεν εἰς πίστιν τοὺς τοκετοὺς τῶν στειρῶν Σάρρας, Ῥεβέκκας καὶ τῶν λοιπῶν, καὶ τὴν ἐν τῷ παραδείσῳ βλάστησιν τῶν δένδρων, οὐκ αὔλακος ἀνατμηθείσης, οὐ σπερμάτων καταβληθέντων. Ἔτι δὲ καὶ τὴν ἀπὸ γῆς παραγωγὴν τοῦ Ἀδάμ, καὶ τὴν ἀπὸ τούτου μόνου τῆς Εὔας, οὐδαμοῦ συνουσίας προηγησαμένης. Καὶ ὅταν ζητῆται πῶς ὁ Χριστὸς ἀνέστη, φέρομεν τὸν Ἰωνᾶν εἰς μέσον καὶ τὴν ἐν τῷ κήτει διατριβὴν αὐτοῦ καὶ τὴν ἐκεῖθεν ἀπαλλαγήν, καὶ διὰ τῶν τοιούτων λύομεν τὰς ἀπορίας. Τοῖς γὰρ παλαιοῖς, ὡς ἐν τύποις καὶ σκιαῖς, διεγράφετο τὰ μέλλοντα, ἵν' ἐξ ἐκείνων ταῦτα πιστεύηται, καὶ οὐκ ἔχομεν χρείαν συλλογισμῶν καὶ τῆς λογικῆς Ἑλλήνων ἀποδείξεως. Ἐκεῖνοι γὰρ καὶ παρασαλεύουσι τὴν ἀσθενῆ διάνοιαν, ταράττοντες μᾶλλον καὶ ζόφου πληροῦντες καὶ ἀπορίας. Ὁρᾷς πῶς περιττὴν ἔδειξε τὴν ἔξω σοφίαν, καὶ οὐ περιττὴν μόνον, ἀλλὰ καὶ βλαβεράν;

14. Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ.

«Ψυχικὸν ἄνθρωπον» λέγει τὸν τοῖς λογισμοῖς τῆς ψυχῆς τὸ πᾶν ἐπιτρέποντα, καὶ μὴ νομίζοντα δεῖσθαι καὶ τῆς ἄνωθεν βοηθείας

(α) Γέν. μ', 18.

πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν. Ὅςτις οὐ παραδέχεται τὰ πνευματικὰ καὶ ὑπερφυῆ, ἅτε μὴ ὑποπίπτοντα τοῖς συλλογισμοῖς αὐτοῦ, ἀλλ᾽ ὑπερβαίνοντα τούτους. Ὥςπερ γὰρ οἱ τοῦ σώματος ὀφθαλμοὶ κάλλιστοι μὲν καὶ χρησιμώτατοι, χωρὶς δὲ φωτὸς ὁρᾶν οὐκ ἰσχύουσιν, οὕτω καὶ ἡ ψυχή, δεκτικὴ τοῦ ἁγίου Πνεύματος κατασκευασθεῖσα, χωρὶς αὐτοῦ τὰ θεῖα βλέπειν οὐ δύναται. Καὶ καθάπερ ἐν τοῖς σωματικοῖς ὀφθαλμοῖς οὐκ ἄν τις ἴδοι τὰ νοητά, οὕτως οὐδ᾽ ἐν ψυχικαῖς μόναις ὄψεσι τὰ πνευματικὰ καὶ θεῖα.

14. Μωρία γὰρ αὐτῷ ἐστι,

Τὰ τοῦ Πνεύματος δηλονότι. «Μωρία» δὲ αὐτῷ ταῦτα κρίνεται, οὐ παρὰ τὴν ἑαυτῶν φύσιν, ἀλλὰ παρὰ τὴν τούτου ἀσθένειαν, οὐ δυνηθέντος ἐφικέσθαι τοῦ μεγέθους αὐτῶν διὰ τῶν ὄψεων τῆς ψυχῆς.

14. Καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται.

Ὅτι τὰ τοῦ Πνεύματος οὐ λόγοις ἀποδεικτικοῖς, ἀλλὰ πνευματικῶς καὶ ὑπὲρ λόγον καταλαμβάνεται· τουτέστι πίστει μόνῃ διά τε τὸ ὕψος αὐτῶν καὶ διὰ τὴν εὐτέλειαν τῆς ἡμετέρας διανοίας. «Οὐ δύ»ναται» δέ, ὅτι οὐ βούλεται.

15. Ὁ δὲ πνευματικὸς ἀνακρίνεται (*) μὲν πάντα, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται.

Τίς μὲν «ὁ ψυχικὸς» ἄνθρωπος ἐμάθομεν. «Πνευματικὸς» δέ ἐστιν ὁ τῇ ψυχῇ τὴν αἴγλην τοῦ ἁγίου Πνεύματος εἰςδεξάμενος καὶ ὑπ᾽ αὐτοῦ τὸν νοῦν φωτιζόμενος. Ὁ τοίνυν πνευματικὸς καταλαμβάνει μὲν πάντα πνευματικῶς, ὡς προείρηται, αὐτὸς δὲ τίς ἐστιν ὑπ᾽ οὐδενὸς τῶν ψυχικῶν καταλαμβάνεται. Ὑπὲρ αὐτοὺς γὰρ ὤν, ἀγνοεῖται τούτοις. Ἢ καταλαμβάνει μὲν τίς ἐστιν ὁ ψυχικός, καὶ τί πείσεται μετὰ θάνατον, καὶ οἶδε καὶ τὰ ἑαυτοῦ καὶ τὰ τοῦ «ψυχικοῦ», αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς «ψυχικοῦ» καταλαμβάνεται τίς ἐστι καὶ τί πείσεται. Ὥςπερ δὴ καὶ ὁ βλέπων ὁρᾷ μὲν τὸν τυφλόν, οὐχ ὁρᾶται δὲ

(*) «Ἀνακρίνεται», κατὰ πλημμέλειαν πάντως τοῦ ἀντιγραφέως ἀντὶ «ἀνακρίνειν», ἥτις ἐστὶ κοινὴ τῶν ἀντιγράφων γραφή. Ὅτι δὲ καὶ ὁ Συγγραφεὺς οὕτως ἀνέγνω, ἐκ τῶν ἐν τῇ ἐξηγήσει «καταλαμβάνειν, ἐλέγχειν» (διὰ τούτων γὰρ ἐξηγεῖται τὸ τοῦ Ἀποστόλου «ἀνακρίνειν») πρόδηλος.

ὑπὸ τοῦ τυφλοῦ. Ἐπεὶ δὲ ἀνακρίνειν ἔτι νοεῖται καὶ τὸ ἐλέγχειν, ὁ μὲν «πνευματικὸς» ἐλέγχει πάντα τὰ κακῶς ἔχοντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς τῶν κακῶς ἐχόντων ἐλέγχεται κακῶς ἔχων, ἅτε ὀρθῶς βιῶν.

16. «Τίς γὰρ ἔγνω νοῦν Κυρίου»,

Τίς γὰρ τῶν «ψυχικῶν» ἔγνω νοῦν «πνευματικοῦ»; «Νοῦν γὰρ »Κυρίου» τὸν νοῦν τοῦ «πνευματικοῦ» λέγει νῦν, ὡς ὑπὸ τοῦ Κυρίου διδασκόμενόν τε καὶ φωτιζόμενον καὶ τὰ τοῦ Κυρίου νοοῦντα. «Κύ»ριον» δὲ τὸν Χριστὸν λέγει νῦν, ὡς προϊὼν δηλώσει.

16. «Ὃς συμβιβάσει αὐτόν» (α);

Τίς ὃς διορθώσεται αὐτόν, εὑρίσκων σφαλλόμενον; Ὄντως οὐδείς. Πῶς γὰρ ὁ τυφλὸς ὄψεται τὸ φῶς, ἢ ὁ στρεβλὸς ἰθύνει τὸν ὀρθόν; Καλέσας δὲ «νοῦν Κυρίου» τὸν νοῦν τοῦ «πνευματικοῦ», σαφηνίζει τὸν λόγον·

16. Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

Ἡμεῖς οἱ πνευματικοί. «Νοῦν δὲ Χριστοῦ» προςαγορεύει τὰ κατὰ τὴν πίστιν νοήματα, ἅπερ ἅπαντα, ἀπὸ Χριστοῦ τε ὄντα καὶ ὑπὸ Χριστοῦ διδαχθέντα «νοῦς Χριστοῦ» λέγονται δικαίως. Ὅρα δὲ ὅτι οὐ μόνον ὑπὸ τοῦ ἁγίου Πνεύματος, ἀλλὰ καὶ ὑπὸ τοῦ Χριστοῦ φωτιζόμεθα, ἵνα γνῷς τὴν ἰσοτιμίαν. Εἴη δ' ἂν καὶ ἑτέρως καθ' ἑτέρους. Τίς γὰρ ἄπιστος ἔγνω νόημα ἐκ Κυρίου παραγενόμενον, ὃς γνούς, συμβιβάσει αὐτὸν ἑαυτῷ· τουτέστι καταλλάξει τὸν Κύριον, ὠργισμένον διὰ τὴν ἀπιστίαν αὐτοῦ; Οὗτοι δὲ καὶ «νοῦν Χριστοῦ» τὸ ἅγιον Πνεῦμα νενοήκασι· «νοῦν» μὲν διὰ τὴν ἀϋλίαν, «Χριστοῦ» δὲ διὰ τὴν γνησιότητα καὶ οἰκείωσιν. Ἢ καὶ ἄλλως· «νοῦν Χριστοῦ» λέγει τὸν κατὰ Χριστὸν νοῦν, τὸν κατ' εὐαρέστησιν Χριστοῦ νοοῦντα, τὸν τὰ κατὰ Χριστὸν νοοῦντα. «Νοῦν δὲ Χριστοῦ ἔχειν» λέγονται οἱ τὸν ἑαυτῶν καθήραντες νοῦν, μιμήσει τοῦ νοὸς ἐκείνου, ὃν ὑπὲρ ἡμῶν Χριστὸς ἀνεδέξατο· ὥςπερ καὶ σάρκα μαρτυρηθεῖεν ἂν ἔχειν Χριστοῦ οἱ τὴν ἑαυτῶν σάρκα παιδαγωγήσαντες, καὶ κατὰ τοῦτο σύσσωμοι καὶ συμμέτοχοι Χριστοῦ γενόμενοι. «Ὡς ἐφορέσαμεν γάρ, φησί, τὴν »εἰκόνα καὶ ὁμοίωσιν τοῦ λαϊκοῦ Ἀδάμ, φορέσωμεν καὶ τὴν εἰκόνα

(α) Ἠσ. μ', 13.

» καὶ μίμησιν τοῦ ἐπουρανίου Χριστοῦ» (α). « Ἐπουρανίου » δὲ διὰ τὴν θεότητα.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

1. Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς,

Καταβαλὼν αὐτῶν τὸν ἐπὶ τῇ ἔξω σοφίᾳ τῦφον, καταβάλλει νῦν καὶ τὸν ἐπὶ τοῖς πνευματικοῖς πράγμασιν. «Οὐκ ἠδυνήθην ὑμῖν λα»λῆσαι» ὑψηλότερα «ὡς πνευματικοῖς» προςῆκον, ὡς τελειοτέροις ἁρμόδιον· οὔπω γὰρ τούτων ἦτε χωρητοί, ὅτε ὑμᾶς ἐδίδασκον. Εἰ γὰρ ἐν πάσῃ γνώσει καὶ ἐν παντὶ λόγῳ ἐπλουτίσθησαν τότε, ὡς ἐν ἀρχῇ τῆς ἐπιστολῆς ἔφησεν (β), ἀλλὰ πρὸς τὴν τότε δύναμιν αὐτῶν καὶ τὴν ἀξίαν τῆς τηνικαῦτα σπουδῆς (γ)· ἐνδέχεται γάρ τινα πρὸς τόδε μὲν εἶναι τέλειον, πρὸς τόδε δ' αὖ ἀτελῆ.

1. Ἀλλ' ὡς σαρκικοῖς,

Ἐλάλησα δηλονότι. «Σαρκικοὺς» λέγει αὐτούς, ὡς ἔτι περὶ τὰ σαρκικὰ στρεφομένους, καὶ μήπω τέλεον αὐτῶν καταφρονήσαντας.

1. Ὡς νηπίοις ἐν Χριστῷ·

Ὡς ἀτελέσιν ἐν τοῖς κατὰ Χριστόν, ἐν τοῖς θειοτέροις·

2. Γάλα ὑμᾶς ἐπότισα,

Ὡς νηπίοις τὴν πνευματικὴν ἡλικίαν.

2. Καὶ οὐ βρῶμα·

Ἔθρεψα δηλονότι· ἡ βρῶσις γὰρ τοῖς ἔχουσιν ὀδόντας οἰκεία.

(α) Α' Κορινθ. ιε', 49. Κατ' ἔννοιαν καὶ οὐ κατὰ γράμμα μεταδίδωσιν ὁ Συγγραφεὺς τὸ ἀποστολικὸν τοῦτο ῥητόν. Τοῦτο δὲ ποιεῖ πολλαχοῦ. — (β) Α' Κορινθ. α', 5. — (γ) Νοητέον τὸ «εἴρηκε ταῦτα» ἤτοι «ὅτι ἐπλουτίσθητε ἐν πάσῃ γνώσει κτλ.».

Ἁπλῆν, φησίν, ὑμῖν διδασκαλίαν προςήγαγον καὶ στοιχειώδη, καὶ οὐ στερεωτέραν καὶ τοῖς τελειοτέροις προςήκουσαν. Τοῦτο δὲ ἐποίησα οὐχ ὡς μηδὲν πλέον εἰδώς, ὅπερ τινὲς ὀνειδίζουσιν, ἀλλ' ὡς οἰκονομικῶς καὶ στοχαζόμενος τοῦ πρέποντος.

2. Οὔπω γὰρ ἐδύνασθε·

Φαγεῖν βρῶμα, μὴ ἔχοντες ὀδόντας· λέγω δὲ στερρὰν διάνοιαν.

2. Ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε.

Πῶς δὲ οὐ δύνασθε νῦν; ἀκούσατε·

3. Ἔτι γὰρ σαρκικοί ἐστε,

Πῶς δὲ «ἔτι σαρκικοὶ» πάλιν, ἀκούσατε·

3. Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε;

Κατ' ἐρώτησιν ὁ λόγος ἐντρεπτικώτερον. Ἐνῆν μὲν οὖν καὶ πορνείαν τινῶν εἰπεῖν, καὶ ἄλλα ἐγκλήματα. Νῦν δὲ πρὸς τὸ κατεπεῖγον ἵσταται, καὶ τὸ κοινῇ πᾶσι λυμαινόμενον τοῦτο πρὸ τῶν ἄλλων διορθώσασθαι σπουδάζει. Ἡ μὲν οὖν ἔρις γεννᾷ ζῆλον, ἤτοι φθόνον· ὁ δὲ ζῆλος διχοστασίαν. Ὅταν οὖν ἐν ὑμῖν ὑπάρχῃ ταῦτα, φησίν, «οὐχὶ σαρκικοί ἐστε;» σαρκικῶν γὰρ ταῦτα καὶ οὐ πνευματικῶν. Ἡ δὲ ἔρις καὶ τὰ ἑξῆς οὐκ ἐᾷ εἶναι πνευματικούς, ἀλλ' ἐμποδίζει πρὸς ὕψος δογμάτων, καὶ οὐκ ἀφίησι τὸν νοῦν ἀναταθῆναι πρὸς θεωρίαν ἀληθειῶν. Πότε διαβλέψομεν ἀπλανῶς καὶ καθαρῶς οἱ καὶ μείζονι ἁμαρτήματι κατεχόμενοι, ἵνα μὴ λέγω μείζοσι καὶ χαλεπωτέροις; Διὰ τοῦτο χρὴ μέγα στενάξαι, καὶ πικρὸν ὀλολύξαι, καὶ σάκκον περιβαλέσθαι, καὶ κόνιν ἐπιβαλεῖν τῇ κεφαλῇ καὶ σποδὸν ὑποστρώσασθαι. Ὄντως γάρ, κατὰ τὸν τοῦ Χριστοῦ λόγον, «ὁ ποιῶν τὰ φαῦλα οὐκ ἔρχεται πρὸς τὸ φῶς»(α). Ἀλλὰ πῶς οἷς ἐν προοιμίοις τῆς ἐπιστολῆς πολλὴν πνευματικὴν χάριν προσεμαρτύρησε, τούτους νῦν λέγει «σαρκικοὺς ἔτι», ἐκεῖ σαφῶς ἡρμηνεύθη.

3. Καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Καὶ τοιοῦτοι, φησίν, ὄντες, ἆρα οὐ πο-

(α) Ἰωάνν. γ', 20.

λιτεύεσθε κατὰ ἄνθρωπον καὶ οὐ κατὰ Θεόν; ἤγουν ὡς οἱ ἁπλῶς ἄνθρωποι βούλονται, καὶ οὐχ ὡς ὁ Θεὸς κελεύει; Τὸ γὰρ «οὐχὶ» μόριον κἀνταῦθα συνεξακούεται. Ὥςπερ γὰρ ἀνωτέρω ὁ «σαρκικὸς» πρὸς τὸν «πνευματικὸν» ἀντιδιαστέλλεται, οὕτω καὶ τὸ κατὰ ἄνθρωπον ζῆν πρὸς τὸ κατὰ Θεὸν βιοῦν.

4. Ὅταν γὰρ λέγῃ τις· ἐγὼ μέν εἰμι Παύλου· ἕτερος δὲ ἐγὼ Ἀπολλώ, οὐχὶ σωματικοί ἐστε;

Τοῦτο τῆς διχοστασίας ἀπόδειξις, ἥτις ἐστὶ τῶν κοσμικὰ φρονούντων. Ἐπεὶ γὰρ ἡ σὰρξ βαρεῖά ἐστιν, ὡς γεώδης, ὁ κατασπώμενος βάρει τινὸς ἁμαρτίας σαρκικὸς κληθείη ἄν, ὡς βαρύς. Ἑαυτὸν δὲ τίθησι καὶ τὸν Ἀπολλώ, αἰνιττόμενος μὲν τοὺς ἑτεροδιδασκάλους, εἰς οὓς κατεμερίσθησαν οἱ Κορίνθιοι, ἀνεπαχθέστερον δὲ τὸν λόγον ποιῶν, καὶ τὴν κατηγορίαν ὁμαλωτέραν.

5. Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς,

«Τίς», εἰς μέγεθος. Ἐξουδενωτικὸν καὶ εὐτελιστικὸν ἐνταῦθα τὸ «τίς». Εἰ δὲ Παῦλος οὐδέν ἐστι καὶ οὐκ ἀγανακτεῖ, πολλῷ μᾶλλον ἐκείνους δυςχεραίνειν οὐ χρή.

5. Ἀλλ᾽ ἢ διάκονοι, δι᾽ ὧν ἐπιστεύσατε,

Τί ἕτερόν εἰσιν, εἰ μὴ μόνον Ἀπόστολοι ὑπηρετοῦντες τῷ κηρύγματι; Τοῦτο δὲ τὸ διακονεῖν μέγα μὲν καθ᾽ ἑαυτὸ καὶ πολλῶν μισθῶν ἄξιον, πρὸς δὲ τὴν ῥίζαν καὶ αἰτίαν τῶν ἀγαθῶν οὐδέν ἐστιν· οὐ γὰρ ὁ διακονούμενος ταῖς εὐεργεσίαις, ἀλλ᾽ ὁ διδοὺς αὐτὰς οὗτος εὐεργέτης. Ἐνταῦθα μὲν οὖν «διακόνους» λέγει τοὺς κήρυκας. Ἀλλαχοῦ δὲ «διάκονον περιτομῆς» τὸν Χριστὸν εἰπών (α), τὸν πληρωτὴν αὐτῆς ἐδήλωσεν.

5. Καὶ ἑκάστῳ, ὡς ὁ Κύριος ἔδωκεν;

Ὡς ὁ Θεὸς ἔδωκεν ἑκάστῳ τῶν Ἀποστόλων, ὡς ὁ Θεὸς ἐνετείλατο· ἢ ὡς ἔδωκε διακονεῖν. Καὶ τοῦτο γὰρ τὸ διακονεῖν ἐκ Θεοῦ δέδοται, καὶ οὐχ ἡμέτερόν ἐστιν εὐεργέτημα.

6. Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν· ἀλλ᾽ ὁ Θεὸς ηὔξανεν.

(α) Ῥωμ. ιε΄, 8.

Ἐγὼ πρῶτος ἐνεφύτευσα ὑμῖν τὴν εὐαγγελικὴν εὐσέβειαν. Ὥςτε δὲ μὴ ἀποξηρανθῆναι ταύτην τῷ καύσωνι τῶν πειρασμῶν, ὁ Ἀπολλῶς τῇ παρ' ἑαυτοῦ παρακλήσει καθάπερ ἀρδείᾳ τινὶ ἐπότισεν. Ἀλλ' ὁ Θεὸς ἤγαγεν εἰς αὔξησιν.

7. Ὥςτε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός.

Οὐδέν εἰσι πρὸς σύγκρισιν τοῦ αὔξοντος Θεοῦ. Ἐπὶ τοῦ οἰκείου δὲ προςώπου τὴν ἐξουδένωσιν ποιησάμενος, καὶ τὸ πᾶν τῷ Θεῷ ἀναθείς, ἐκείνους τε κατέστειλε καὶ τὸ φορτικὸν τῆς ἐπιτιμήσεως παρεμυθήσατο.

8. Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν·

«Ἕν» πρὸς τὸ μὴ δύνασθαι ἄνευ τοῦ αὔξοντος Θεοῦ. Ἵνα δὲ μὴ οἱ πλεῖον κοπιῶντες ῥᾳθυμότεροι γένωνται, προςέθηκεν·

8. Ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.

«Ἓν μέν εἰσι» παραβαλλόμενοι πρὸς τὸ ἔργον τοῦ Θεοῦ, οὐχ «ἓν» δέ. πόνων ἕνεκεν. Ἕκαστος γὰρ τὸν ἐπιβάλλοντα αὐτῷ μισθὸν λήψεται παρὰ τοῦ μισθαποδότου Θεοῦ κατὰ τὸν ἑαυτοῦ κόπον.

9. Θεοῦ γάρ ἐσμεν συνεργοί·

Ἕκαστος κοπιῶν λήψεται μισθόν. Ἐπεὶ δὲ Θεοῦ ἐσμεν συνεργοί, διακονοῦντες (α) τῷ θελήματι αὐτοῦ.

9. Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε.

«Θεοῦ γεώργιόν ἐστε» δι' ἡμῶν τῶν γεωργῶν αὐτῷ γεωργούμενοι. «Θεοῦ οἰκοδομή ἐστε» δι' ἡμῶν τῶν οἰκοδόμων, αὐτῷ οἰκοδομούμενοι. Ἀπὸ τοῦ Δεσπότου δὲ καὶ οὐκ ἀπὸ τῶν γεωργῶν ἢ τῶν οἰκοδόμων τὸ γεώργιον καὶ ἡ οἰκοδομὴ καλοῦνται, καὶ οὐ τούτων, ἀλλ' ἐκείνου προςαγορεύονται.

10. Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα,

---

(α) Ὀρθότερον ἂν ἔφραζε γράφων «διακονοῦμεν».

Ὡς εἰς οἰκειότερον ὄνομα «τὴν οἰκοδομὴν» μεταβάς, δι' ἧς τὸ ἀδιάσπαστον ὑποδηλοῦται, ἐνδιατρίβει τῷ λόγῳ. Μέλλων δὲ εἰπεῖν ἑαυτὸν «σοφὸν ἀρχιτέκτονα», προεθεράπευσε τὴν ὑποψίαν τοῦ κόμπου. «Κατὰ τὴν χάριν γάρ, φησί, τοῦ Θεοῦ» καὶ οὐ κατὰ τὴν ἐμὴν μεγαλοφυΐαν. «Ἀρχιτέκτων» μὲν οὖν ἐστιν, ὡς πρῶτος θεὶς τὸν θεμέλιον· «σοφὸς» δέ, ὡς ἕνα θεμέλιον ὅλῃ τῇ οἰκοδομῇ ὑποθείς, ὥςτε πᾶσαν ἐπ' αὐτῷ συνέχεσθαι.

10. Ἄλλος δὲ ἐποικοδομεῖ·

«Θεμέλιον» μὲν λέγει τὸ κατὰ Χριστὸν κήρυγμα· «ἐποικοδομίαν» δὲ τὴν τῶν ἐντολῶν αὐτοῦ ἐργασίαν, τὴν εὐαγγελικὴν πολιτείαν. Ἐπὶ τῇ πίστει γάρ, ὡς ἐπὶ θεμελίῳ, οἰκοδομεῖ πᾶς πιστὸς τὰς πράξεις τῶν ἀρετῶν, δι' ὧν ἀπαρτίζεται ἡ Ἐκκλησία.

10. Ἕκαστος δὲ βλεπέτω, πῶς ἐποικοδομεῖ.

Εἰ θεοφιλῶς, ἀλλὰ μὴ φιλοδόξως, ὥςτε ἐπισύρεσθαι μαθητάς. Εἰ σπουδαίως, ἀλλὰ μὴ ῥᾳθύμως.

11. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον,

Τοῦτο διὰ τοὺς παραχαράττοντας τὸ κήρυγμα καὶ νόθα δόγματα παρειςάγοντας. «Οὐδεὶς» τῶν πιστῶν· ὁ γὰρ πειρώμενος θεῖναι οὐκ ἔστι πιστός, οὐκ ἔστιν ὀρθόδοξος.

11. Ὅς ἐστιν Ἰησοῦς Χριστός.

Ἡ κατὰ Χριστὸν διδασκαλία, ἡ εἰς Χριστὸν πίστις. Εἴπερ οὖν εἷς Χριστός, εἷς ἄρα καὶ θεμέλιος.

12. Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσόν, ἄργυ-
13. ρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται·

«Εἴ τις ἐποικοδομεῖ» τιμίας πράξεις, ἀτίμους· τουτέστιν ἢ τιμὴν ἢ ἀτιμίαν. Διὰ μὲν γὰρ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τῶν τιμίων λίθων τὰ διάφορα εἴδη τῆς μιᾶς ἀρετῆς ᾐνίξατο. Διὰ δὲ τῶν ξύλων καὶ τοῦ χόρτου καὶ τῆς καλάμης τὰ διάφορα ὁμοίως εἴδη τῆς ἀτίμου κακίας. Ἐν πίστει μὲν γὰρ ἴσους εἶναι χρὴ πάντας, ἐπειδὴ μία πίστις. Ἐν πολιτείᾳ δὲ καὶ βίῳ ἔστι τοὺς μὲν εἶναι σπουδαιοτέρους, τοὺς δὲ

ῥᾳθυμοτέρους. Καὶ τοὺς μὲν ἀκριβεστέρους, τοὺς δὲ καταδεεστέρους. Καὶ τοὺς μὲν τὰ μείζω, τοὺς δὲ τὰ ἐλάττω κατορθοῦντας. Καὶ τοὺς μὲν τὰ βαρύτερα, τοὺς δὲ τὰ κουφότερα πλημμελοῦντας. Εἴη δ' ἂν χρυσὸς μὲν ἡ καθαρὰ καὶ λαμπρὰ θεολογία. Ἄργυρος δὲ ὁ ἄσπιλος καὶ λαμπρὸς βίος. Λίθοι δὲ τίμιοι οἱ καθαροὶ λογισμοὶ καὶ τὰ μαργαρώδη νοήματα. Καὶ αὖθις· ξύλα μὲν ἡ περὶ τὰ αἰσθητὰ πτόησις. Χόρτος δὲ ὁ ἄλογος καὶ κτηνώδης βίος. Καλάμη δὲ οἱ ἄκαρποι λογισμοὶ καὶ εὐσεβείας, ὡς ἀστάχων ἐστερημένοι (α). Φανήσεται δὲ τὸ ἑκάστου ἔργον ὁποῖόν ἐστιν, εἴτε ἀγαθὸν εἴτε πονηρόν. Πιστούμενος δὲ τὸν λόγον τοῦτον, ἐπήγαγεν·

13. Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται·

Ὁ γὰρ μέλλων αἰὼν πληροφορήσει πάντας, ὅτι ἐν Θεῷ δοκιμάζεται καὶ φανεροῦται τὸ ἑκάστου ἔργον. «Ἡμέραν» οὖν τὸν μέλλοντα αἰῶνα ὠνόμασεν, ὡς ἀειλαμπῆ καὶ τὰ ἐν τῷ σκοτεινῷ αἰῶνι τῆς παρούσης ζωῆς γινόμενα καὶ λανθάνοντα ἐλέγχοντα καὶ φανεροῦντα· νὺξ γὰρ οὗτος πρὸς ἐκεῖνον. «Πῦρ» δὲ τὸν Θεόν, ὡς φωτίζοντα μὲν καὶ λαμπρύνοντα τοὺς καθαρούς, φλογίζοντα δὲ καὶ σκοτίζοντα τοὺς ῥυπαρούς.

13. Καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει.

Ἀποδείξει. Νοεῖται δὲ πῦρ δοκιμαστήριον καὶ ὁ πύρινος ἐκεῖνος ποταμός. Φησὶ γὰρ ὁ Χρυσόστομος ἔν τινι τῶν ἠθικῶν αὐτοῦ φανερώτερον, ὅτι οἱ μὲν ἅγιοι διὰ τοῦ ποταμοῦ τοῦ πυρὸς βαδίζοντες φαιδρότεροι φανήσονται, καθάπερ χρυσός· οἱ δ' ἁμαρτωλοὶ πλέον σκοτισθήσονται, καθάπερ τὰ μετέχοντα χαλκοῦ καὶ τῆς χείρονος ὕλης (β).

(α) Τὴν μεταφορικὴν ταύτην ἐξήγησιν τοῦ προκειμένου ῥητοῦ ἠρανίσατο ὁ Συγγραφεὺς ἐκ τοῦ Ὁμολογητοῦ Μαξίμου, τάδε ἐπὶ λέξει γράφοντος (ἐν τοῖς περὶ Θεολ. τῆς ἐνσ. οἰκον. Ἑκατοντὰς Β', ιϐ', σελ. 1129)· «Τῷ Κυρίῳ, καθάπερ τινὶ θεμελίῳ πίστεως, » τὸ ὕψος ἐποικοδομοῦντες τῶν ἀγαθῶν, χρυσίον, ἀργύριον, λίθους τιμίους ἐπιθώμεθα· » τουτέστι θεολογίαν καθαρὰν καὶ ἀκίβδηλον, καὶ βίον διαφανῆ καὶ λαμπρόν, καὶ θείους » λογισμοὺς τὰ μαργαρώδη νοήματα· ἀλλὰ μὴ ξύλα, μὴ χόρτον, μήτε καλάμην· τουτέστι » μήτε εἰδωλολατρείαν, ἤγουν τὴν περὶ τὰ αἰσθητὰ πτόησιν· μήτε βίον ἀλόγιστον, μήτε » λογισμοὺς ἐμπαθεῖς καὶ τῆς κατὰ σοφίαν συνέσεως, ὥςπερ ἀσταχύων, ἐστερημένους». —(β) Χρυσόστ. εἰς τὴν Α' Κορινθ. Ὁμιλ. Θ', γ' (Τόμ. Ι', σελ. 79). «Τὸ δὲ «κατα- » καήσεται» τοῦτ' ἔστιν, οὐχ οἴσει τοῦ πυρὸς τὴν ῥύμην. Ἀλλ' ὥςπερ εἴ τις χρυσᾶ ὅπλα » ἔχων διέλθοι ποταμὸν πυρὸς φαιδρότερος διαβαίνει· εἰ δὲ χόρτον ἔχων διέλθοι, οὐ » μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ἑαυτὸν ἀπόλλυσιν· οὕτω καὶ ἐπὶ τῶν ἔργων ἐστίν».

14. Εἴ τινος τὸ ἔργον μένει, ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται·

Μετὰ γὰρ τὸ διελθεῖν τὸ δοκιμαστήριον πῦρ τὰ μὲν ἀπὸ τῶν ἀρετῶν ὡραΐσματα τῆς δικαίας ψυχῆς παραμένουσιν αὐτῇ, λαμπρυνθέντα πλέον. Τὰ δ' ἀπὸ τῶν κακῶν στίγματα τῆς φιλαμαρτήμονος ψυχῆς ἀφανισθήσονται, τῆς μελάνσεως ἐπιταθείσης αὐτῇ. Εἴ τινος μὲν οὖν τὸ ἔργον παραμένει αὐτῷ λάμπον, εἴη δ' ἂν τὸ ἐκ τῆς ἀρετῆς, ὡς εἴρηται, κάλλος, μισθὸν λήψεται, ὡς ἐργάτης τοῦ γεωργίου ἢ τῆς οἰκοδομῆς, ὡς προδεδήλωται. Εἴ τινος δὲ τὸ ἔργον, ἤγουν τὰ εἰρημένα στίγματα, κατακαήσεται, τουτέστιν ἀφανισθήσεται, ζημιωθήσεται τὴν ἐσχάτην καὶ χαλεπωτάτην ζημίαν, οὐ μόνον ἄμισθος ἀποπεμπόμενος, ὡς ἀργὸς ὅσον πρὸς ἀρετήν, ἀλλὰ καὶ κολαζόμενος αἰώνια, ὡς ἐργάτης κακίας. Λέγει δὲ ὁ Χρυσόστομος (α), ὅτι «οὐχ ὡς περὶ » ἐνυποστάτων καὶ οὐσιωδῶς διακαιομένων τοῦτό φησιν, ἀλλὰ διδά» σκων ὅτι γυμνὸς τῆς ἀπὸ τῶν ἀρίστων πράξεων ἀσφαλείας εὑρισκό» μενος τιμωρηθήσεται» (β).

15. Αὐτὸς δὲ σωθήσεται,

Αὐτὸς δέ, ὁ τῶν φαύλων ἐργάτης, οὐκ ἀπολεῖται, ὥςπερ τὸ ἔργον αὐτοῦ, οὐδ' εἰς τὸ μὴ εἶναι χωρήσει, ἀλλὰ μένει κολαζόμενος. Τοῦτο γὰρ νῦν δηλοῖ τὸ «σωθήσεται». Ἐπεὶ δὲ τὸ «σωθήσεται», καινοφανὲς ὄν, ἔμελλε θορυβεῖν τινας, ἐπήγαγεν·

15. Οὕτω δὲ ὡς διὰ πυρός.

Οὕτω δὲ σωθήσεται, οὐχ ὡς τῆς κρείττονος σωτηρίας (γ), ἀλλ' ὡς ἀπὸ πυρὸς μὴ ἀποθανών, μηδ' εἰς ἀνυπαρξίαν ἐλάσας. Ἔθος δὲ τῷ Ἀποστόλῳ καὶ ἐπὶ τῶν κακῶν καλοῖς ὀνόμασι χρῆσθαι, ὡς τὸ «ἐβα»σίλευσεν ἡ ἁμαρτία» (δ)· εὔφημον γὰρ τὸ τῆς βασιλείας ὄνομα. Καὶ ἐπὶ τῶν καλῶν κακέμφατα, ὡς τὸ «αἰχμαλωτίζοντες πᾶν νόημα εἰς

(α) Ἔνθα ἀνωτ.— (β) Ἐν ταῖς ἐκδόσεσι τὸ ἀνωτέρω χωρίον τοῦ Χρυσοστόμου ἔχει ὧδε· «Οὐ γὰρ ὡς περὶ ἐνυποστάτων διαλεγόμενος καὶ διακαιομένων τοῦτο λέγει, ἀλλὰ » φόβῳ μᾶλλον ἐπιτεῖναι θέλων καὶ δεῖξαι γυμνὸν ἀσφαλείας τὸν ἐν κακίᾳ ὄντα». — (γ) Νοητέον ἴσως ἔξωθεν τὴν μετοχὴν «τυχών», ἵνα ᾖ ὁ νοῦς τοῦ χωρίου· «οὐχ ὡς » τῆς κρείττονος σωτηρίας τυχών, ἀλλ' ὡς κέξ». — (δ) Ῥωμ. ε', 21.

»τὴν ὑπακοὴν τοῦ Χριστοῦ» (α)· δύςφημον γὰρ τὸ ὄνομα τῆς αἰχμαλωσίας.

16. Οὐκ οἴδατε, ὅτι ναὸς τοῦ Θεοῦ ἐστε;

Κατ' ἐρώτησιν ὁ λόγος ἐντρεπτικώτερον. Ἐνταῦθα δὲ καθάπτεται τοῦ εἰς τὴν ἰδίαν μητρυιὰν ἀσελγήσαντος, εἰ καὶ μὴ φανερώτερον λέγει· ἀορίστως γὰρ ἐλέγχων, ἐκεῖνόν τε ἀνεπαχθέστερον ἐλέγχει καὶ τοὺς ἄλλους νουθετεῖ. Ναὸς δὲ τοῦ Θεοῦ οἱ πιστοὶ διὰ τοῦ βαπτίσματος καθαρθέντες καὶ ἁγιασθέντες καὶ ἄξιοι τῆς ἐπιδημίας τοῦ Θεοῦ γενόμενοι.

16. Καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ (*) οἰκεῖ ἐν ὑμῖν;

Καὶ τοῦτο κατ' ἐρώτησιν ὁμοίως· «Πνεῦμα δὲ Θεοῦ» καλεῖ τὸ Πνεῦμα ἢ χάρισμα τὸ διὰ τοῦ βαπτίσματος εὐθὺς παρεχόμενον, ὅ διὰ ῥᾳθυμίαν ἐξοικιζόμενον, αὖθις διὰ σπουδῆς εἰςοικίζεται. «Οἰκεῖ δὲ ἐν »ὑμῖν» ὅτε ἀξίους ἑαυτοὺς ποιεῖτε τῆς ἐνοικήσεως αὐτοῦ. Εἰκὸς δὲ καὶ ἔνοικα ἔχειν αὐτοὺς τὰ χαρίσματα τοῦ Πνεύματος καὶ σαρκικοὺς εἶναι, ὡς προωνειδίσθησαν· ἐνήργουν γὰρ οὐ δι' αὐτούς, ἀλλὰ δι' ἑτέρους· ὅπερ πολλάκις εἴωθε ποιεῖν ὁ Θεὸς ἀποχρώμενος τοῖς ἀναξίοις εἰς ὠφέλειαν τῶν ἀξίων, ὡς ἐπὶ τῶν ἐν ὀνόματι Χριστοῦ ποιούντων σημεῖα καὶ μὴ ἀκολουθούντων τοῖς Ἀποστόλοις. Οἶμαι δὲ πρὸς τοὺς ἀξιολογωτέρους εἰρῆσθαι τὸν λόγον.

17. Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός·

Εἴ τις ἑαυτὸν φθείρει ἢ ἕτερον, ὄντα ναὸν Θεοῦ, ὡς προείρηται (φθείρει δὲ διὰ τῆς φθοροποιοῦ ἁμαρτίας), φθερεῖ τοῦτον ὁ Θεός· τουτέστιν ἀπολεῖ, τιμωρήσεται. Προφητεύοντος δέ, οὐ καταρωμένου τὸ «φθερεῖ τοῦτον ὁ Θεός».

17. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν,

Τῷ Θεῷ ἀνάκειται, καὶ δέος τὸ τοῦ Θεοῦ κτῆμα μιαίνειν. Ἢ ὁ μὲν ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, ὁ δὲ ἀκολασταίνων μιαρὸς καὶ βέβηλος. Ἵνα δὲ μὴ δόξῃ πρὸς ἐκεῖνον ἀποτείνεσθαι εἰπὼν ὅτι «ὁ ναὸς »τοῦ Θεοῦ ἅγιός ἐστιν», προςέθηκεν·

(α) Β' Κορινθ. ι', 5'. — (*) Ἐν ἄλλ. «Πνεῦμα Θεοῦ», ὡς καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει.

17. Οἵτινές ἐστε ὑμεῖς.

Οἵτινες ὑμεῖς ἐστε ναὸς τοῦ Θεοῦ ἅγιος, οἱ ἄξιοι δηλονότι.

18. Μηδεὶς ἑαυτὸν ἐξαπατάτω·

Οἰόμενος ὅτι οὐ φθαρήσεται, φθείρας τὸν ναὸν τοῦ Θεοῦ. Καὶ τοῦτο δὲ πρὸς τὸν ἐπιμανέντα τῇ μητρυιᾷ. Πρὸ τοῦ καιροῦ γὰρ εἰς τὴν αὐτοῦ κατηγορίαν ἐξενεχθεὶς καὶ αἰνιγματωδῶς αὐτὴν παρανοίξας, καὶ προκατασείσας αὐτοῦ τὸ συνειδός, ἐπείγεται πάλιν πρὸς τὴν μάχην τῆς σοφίας τῆς ἔξωθεν, ἵνα τὸ λεῖπον αὐτῇ προςθείς, οὕτω λοιπὸν σφοδρᾷ τῇ ῥύμῃ φέρεσθαι τὴν γλῶτταν ἀφῇ κατὰ τοῦ λυττήσαντος εἰς τὴν μητρυιάν.

18. Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός.

Ὥςπερ νεκρὸν τῷ κόσμῳ κελεύει γενέσθαι(α) οὕτω καὶ μωρὸν ἐν τῷ αἰῶνι τούτῳ. Καὶ ὥςπερ ἐκεῖ ἡ νέκρωσις τὴν ἀληθῆ ζωὴν προξενεῖ, οὕτω καὶ ἐνταῦθα ἡ μωρία τὴν ἀληθῆ σοφίαν μνηστεύεται. Γίνεται δὲ μωρὸς ἐν τῷ βίῳ τούτῳ ὁ τῆς ἔξωθεν σοφίας καταφρονῶν καὶ πεπεισμένος μηδὲν αὐτῷ συντελεῖν πρὸς τὴν κατάληψιν τῶν μυστηρίων τῆς πίστεως ὑπερβαινόντων τοὺς λογισμοὺς καὶ τὰς ἐντεῦθεν ἀποδείξεις, ὡς προδιείληπται. Ὅσον γὰρ πρὸς τὸ παρώσασθαι τὴν κοσμικὴν σοφίαν μωρὸς δοκεῖ, ἔστι δὲ μάλιστα σοφός, ἅτε τὴν διὰ πίστεως σοφίαν εἰςοικισάμενος. Εἰ γὰρ μὴ τῆς δοκούσης ἀποστῇ, τῆς οὔσης οὐκ ἐπιτεύξεται. Ἡ μὲν γὰρ συλλογισμοῖς τὸ πᾶν ἐπιτρέπει, ἡ δὲ ἀπολυπραγμονήτως κελεύει πείθεσθαι.

19. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν·

Ὄντως μωρία, ὡς γενομένη τοῖς ἠγαπηκόσιν αὐτὴν αἰτία τῆς ἀγνοίας τοῦ ὄντος Θεοῦ, καὶ μωρὰ δογματίσασα καὶ παιδαριώδη. Εἶτα καὶ μαρτυρίαν ἐπάγει·

(α) Κολασσ. γ', 5.

19 Γέγραπται γάρ· «ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πα-
» νουργίᾳ αὐτῶν».

Γέγραπται τοῦτο ἐν βίβλῳ προφητικῇ (α) περὶ τοῦ Θεοῦ. Ὁ Θεός, ὁ χειρούμενος τοὺς δοκοῦντας σοφούς, χειρούμενος δὲ αὐτοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, ἤγουν ἐν τοῖς ὅπλοις αὐτῶν τοῖς ἐκ τῆς σοφίας· λέγω δὴ τοῖς ἐν συλλογισμοῖς. Ταύτῃ γὰρ τῇ σοφίᾳ χρησάμενοι πρὸς τὸ ἀρκεῖν αὐτοὺς ἑαυτοῖς καὶ μὴ δεῖσθαι τῆς τοῦ Θεοῦ σοφίας, δι' αὐτῆς ταύτης ἑάλωσαν. Μωρανθέντες δὲ δι' αὐτῆς ἐδεήθησαν τῆς θεοδωρήτου σοφίας τῶν Ἀποστόλων καὶ ταύτῃ ἐχειρώθησαν. Καὶ λοιπὸν ὑπὸ τῶν οἰκείων ὅπλων προεδόθησαν, ἀσθενεῖς αὐτοὺς ἐργασαμένων, καὶ δεομένους οὐ μὴ δεηθῆναι ἐπανουργήσαντο. Καὶ περιέστη τούτοις ἡ σοφία εἰς μωρίαν, καὶ ἡ δύναμις εἰς ἀσθένειαν.

20. Καὶ πάλιν·

Γέγραπται δηλονότι.

20. «Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ
» μάταιοι»·

Ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν τοῦτο γέγραπται (β). Ἀλλ' ἐκεῖ μὲν «τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων» γέγραπται. Ἐπεὶ δὲ τοὺς σοφοὺς ἐδήλου κἀκεῖνο, σαφέστερον αὐτὸ τέθεικεν ὁ Ἀπόστολος. Ὅταν δὲ ὁ Θεός, ἡ αὐτοσοφία, γινώσκῃ τοὺς συλλογισμοὺς τῶν δοκούντων σοφῶν ματαίους, τί χρὴ περαιτέρω λέγειν;

21. Ὥςτε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις·

Μήτε ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ, μήτε ἐπὶ λογισμῶν δεινότητι. Ἡ γὰρ σοφία τοῦ Θεοῦ πάντα ἐλέγχει καὶ πάντων ὑπερανέστηκεν. Ὥςτε εἴ τι μὲν σοφίας ἀνθρωπίνης ἔχει τις, σαθρόν ἐστι καὶ εὐκαταγώνιστον. Εἴ τι δὲ ἰσχυρὸν καὶ ὠφέλιμον, τοῦτο τῆς θείας σοφίας χάρισμα. Λαμβάνει δὲ τοῦτό τις οὐχ ἵνα ἐπαίρηται, ἀλλ' ἵνα ὠφελῇ καὶ ἑαυτὸν καὶ ἄλλους. Ἀλλ' οὕτω μὲν πρὸς τοὺς διδάσκοντας. Οἰκειό-

---

(α) Αἰνίσσεται ἴσως ὁ Συγγραφεὺς τὸ ἐν τῇ βίβλῳ τοῦ Ἰὼβ (ε', 13) «ὁ καταλαμ-
» βάνων σοφοὺς ἐν τῇ φρονήσει». — (β) Ψαλμ. ϞΓ', 11.

τερον δ'ἂν νοηθείη πρὸς τοὺς διδασκομένους, καυχωμένους ἐπὶ τοῖς διδασκάλοις ἑαυτῶν, ἀφ'ὧν καὶ προςηγορεύοντο.

21. Πάντα γὰρ ὑμῶν ἐστιν· εἴτε Παῦλος, εἴτε Ἀπολλώς, εἴτε
22. Κηφᾶς,

Καθαψάμενος αὐτῶν ἀνωτέρω, καὶ σαρκικοὺς προςαγορεύσας, ἀνακτᾶται νῦν καὶ παραμυθεῖται λέγων· τί καυχᾶσθε ἐπὶ τοῖς διδασκάλοις; οὐ μόνον γὰρ οὐδὲν ὑμῖν χαρίζονται, ἀλλὰ καὶ χάριν αὐτοὶ μᾶλλον ὑμῖν ὀφείλουσι· δι' ὑμᾶς γὰρ ἔλαβον εἴ τι ἔχουσι χάρισμα, ἵνα ὑμεῖς ὠφελῆσθε. Καὶ αὐτοὶ οὗτοι ὑμῶν εἰσι, δι'ὑμᾶς τοιοῦτοι γεγονότες. Ἑαυτὸν δὲ τέθεικε καὶ τὸν συνεργὸν Ἀπολλὼ καὶ Πέτρον τὸν Κορυφαῖον, αἰνιττόμενος τοὺς διδασκάλους αὐτῶν. Εἰ γὰρ ἡμεῖς ὑμῶν, ὡς δι'ὑμᾶς Ἀπόστολοι γεγονότες, πολλῷ μᾶλλον οὗτοι ὑμῶν.

22. Εἴτε κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν.

Καὶ ὁ κάτω κόσμος δι'ὑμᾶς γέγονεν, ἵνα ἐν αὐτῷ πολιτευσάμενοι, εἰς τὸν ἄνω μεταβῆτε. Καὶ ἡ παροῦσα ζωή, ἵνα ζήσαντες θεοφιλῶς, ἀξιωθῆτε τῆς ἀϊδίου. Καὶ ὁ θάνατος, ἵνα δέει τούτου σωφρονίζησθε. Εἶτα καθολικώτερον ἐπήγαγεν· «ἐνεστῶτα» μὲν τὰ ἐνταῦθα πάντα προςαγορεύσας, «μέλλοντα» δὲ τὰ τῆς αἰωνίου ζωῆς. Καὶ ταῦτα γὰρ καὶ ἐκεῖνα τοῖς ἀνθρώποις ἡτοιμάσθησαν. Λέγεται δὲ καὶ παλαιὸς λόγος· «ἁπάντα τοῦ σοφοῦ καὶ οὐδὲν τοῦ φαύλου». Πάντα γὰρ διὰ σὲ τὸν θεοφιλῆ γέγονε, καὶ οὐδὲν προηγουμένως διὰ τὸν θεομισῆ καὶ ἀσύνετον.

23. Ὑμεῖς δὲ Χριστοῦ· Χριστὸς δὲ Θεοῦ.

Τῶν ἀνθρώπων μέν εἰσι καὶ τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα, ὡς δι'αὐτοὺς γεγενημένα. Οἱ δὲ ἄνθρωποί εἰσι τοῦ Χριστοῦ, ὡς κτίσματα αὐτοῦ· «πάντα γάρ, φησί, δι'αὐτοῦ ἐγένετο»(α). Ὁ δὲ Χριστός ἐστι τοῦ Θεοῦ, ὡς Υἱὸς αὐτοῦ γνήσιος. Εἰ τοίνυν ὑμεῖς τοῦ Χριστοῦ ἐστε, ἀπὸ τούτου καλεῖσθαι θελήσατε, καὶ μὴ ἀπὸ τῶν διδασκάλων, καὶ τούτου πάντοτε ἐξέχεσθε, καὶ δι'αὐτοῦ, ἑνὸς ὄντος, ἓν γίνεσθε.

(α) Ἰωάνν. α', 3.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ

1. Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ.

Μὴ τοίνυν τὸν Δεσπότην ἀφεὶς, ἀπὸ τῶν ὑπηρετῶν ὀνομάζου καὶ καὶ τῶν διακόνων αὐτοῦ· «οἰκονόμους» δὲ εἶπε, δεικνὺς ὡς οὐ πᾶσι χρὴ διδόναι τὰ μυστήρια τῆς πίστεως, ἀλλὰ τοῖς ἀξίοις.

2. Ὁ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις,

Τί δὲ λοιπὸν ζητεῖται ἀπὸ τῶν οἰκονόμων τῆς διανομῆς τοῦ κηρύγματος; Ἢ καὶ ἄλλως· ὃ δὲ λοιπὸν ζητεῖται ἐν αὐτοῖς τοῦτό ἐστιν·

2. Ἵνα πιστός τις εὑρεθῇ.

Ἵνα μὴ σφετερίζηται τὰ τοῦ δεσπότου· ἵνα μὴ ὡς δεσπότης διανέμῃ, ἀλλ' ὡς οἰκονόμος τὰ τοῦ δεσπότου· ἵνα ὁμολογῇ μηδὲν εἶναι ἴδιον. Διὸ καὶ ὁ Πέτρος ἔλεγε· «τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει » ἢ εὐσεβείᾳ πεποιηκόσι περιπατεῖν (α) αὐτόν» (β). Καὶ ὁ Παῦλος δὲ ἀλλαχοῦ φησιν «οὐκ ἐγώ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί».

3. Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ,

Οἱ Κορίνθιοι, καθάπερ δικασταὶ προκαθήμενοι, τινὰς ἄνδρας ἁγίους ἐξέβαλλον, ὡς ἀμαθεῖς τῆς ἔξω σοφίας. Τινὰς δὲ ἐναγεῖς προέκρινον διὰ τὴν εὐγλωττίαν. Καὶ τοὺς μὲν προπετῶς ἐψηφίζοντο ἀξίους, τοὺς δὲ ἀπεκήρυττον, ὡς ἀναξίους. Τοῦτο οὖν μαθὼν ὁ Ἀπόστολος πειρᾶται διορθοῦν αὐτούς. Καὶ κατὰ τοῦτο καὶ ἐφ' ἑαυτοῦ πάλιν ποιεῖται τὸν λόγον, ἐμοὶ δέ, λέγων, εἰς εὐτελισμόν ἐστι τὸ ὑφ' ὑμῶν ἐξετάζεσθαι, εἰ ἄξιός εἰμι ἢ ἀνάξιος.

3. Ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας;

Ὑφ' ὑμῶν, ἢ ὑπὸ ἀνθρωπίνης ὅλως ἐξουσίας.

(α) Ἐν ἄλλ. «τοῦ περιπατεῖν». — (β) Πράξ. γ', 12.

4. Ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα·

«Οὐδὲν» ἀνάξιον προδήλως, ἅτε μὴ δυνάμενος ὀρθῶς κρίνειν καὶ ἀκριβῶς. Τοῦτο γὰρ κυρίως μόνου ἐστὶ τοῦ Θεοῦ. Εἰ δὲ αὐτὸς ἐμαυτὸν οὐκ ἀνακρίνω, πῶς ὑμᾶς ἀνέξομαι τοὺς πολλῷ ἐλάττονας ἐμοῦ, τὰ ἐμὰ γινώσκοντας, καὶ τὰ πάνυ πλείω τῶν ἐμῶν ἀγνοοῦντας; Οὐκ ἐπαίρων οὖν ἑαυτὸν ταῦτά φησιν, ἀλλ' ἐκείνους καταστέλλων καὶ πείθων μὴ κατακρίνειν, ἀλλὰ μηδ' ἀνακρίνειν· ἅτε μὴ δυναμένους ὀρθῶς κρίνειν. Εἰ γὰρ αὐτὸς οὐκ ἐδύνατο, τίς ἕτερος; Εἰ δέ τις ἑαυτὸν οὐ δύναται ὀρθῶς ἀνακρίνειν, ὃν οἶδε πλέον τῶν ἄλλων, πῶς ἕτερον, οὐ μικρὰ ἢ οὐδὲν γινώσκει; Ἅμα δὲ καὶ ἀξίωμα περιετίθη τοῖς ἁγίοις, οὓς ἐκεῖνοι κατέκρινον. Ὅτι γὰρ παντὸς μᾶλλον ἐταπεινοφρόνει, φησὶν ἐν ἄλλοις περὶ ἑαυτοῦ· «ἡ μὲν παρουσία τοῦ σώματος ἀσθενής, καὶ ὁ »λόγος ἐξουδενωμένος» (α). Καὶ πάλιν ἔκτρωμα ἑαυτὸν ὠνόμασε (β), καὶ ἐλάχιστον τῶν Ἀποστόλων (γ), καὶ ἀνάξιον τῆς ἀποστολῆς, καὶ πολλὰ τοιαῦτα.

4. Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι·

Ἀλλ' οὐκ ἐν τῷ μὴ συνειδέναι ἐμαυτῷ τι πονηρὸν ἀπήλλαγμαι εὐθύνης λοιπόν· εἰκὸς γάρ με ἁμαρτάνειν μέν τινα, μὴ λογίζεσθαι δὲ ταῦτα ἁμαρτήματα, διὰ τὸ λείπεσθαί με τῆς ἀκριβοῦς κρίσεως.

4. Ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν.

Οὗ καὶ δέδοικα τὴν ἀνάκρισιν ὁ Χριστός ἐστιν. Εἰ οὖν τοῦ Κυρίου μού ἐστι τὸ ἀνακρίνειν με, τὸν δοῦλον αὐτοῦ, διὰ τί σὺ τὴν αὐτοῦ κρίσιν ἁρπάζεις ὁ ἐμὸς σύνδουλος; Οὕτως ἐπιστομίσας αὐτούς, ἐπάγει τὸ συμπέρασμα τοῦ λόγου καὶ οὗ χάριν εἶπε τὰ ῥηθέντα.

5. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος·

Μὴ πρὸ τῆς παγκοσμίου κρίσεως κατακρίνετέ τι μὴ προδήλως κατεγνωσμένον, ἀλλ' ἀμφίβολον, ἕως ἂν ἔλθῃ ὁ πάντων Κύριος. Τί οὖν; οὐ χρὴ τοὺς παιδευτὰς καὶ διδασκάλους τοῦτο ποιεῖν; Χρὴ μέν, ἀλλ' ἐπὶ τῶν φανερῶν καὶ ὡμολογημένων ἁμαρτημάτων· καὶ τότε ἀλγοῦντας καὶ δακρυομένους ὑπὸ φιλανθρωπίας.

(α) Β' Κορινθ. ι', 10. — (β) Α' Κορινθ. ιε', 8. — (γ) Αὐτόθ. ιε', 9.

5. Ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους,

Ὃς καὶ δείξει ἐκεῖ τὰ ἐνταῦθα κρυπτὰ τῆς σκοτεινῆς ἁμαρτίας.

5. Καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν·

Καὶ οὐ τὰς κρυπτὰς πράξεις μόνον, ἀλλὰ καὶ αὐτοὺς τοὺς διαλογισμοὺς τῶν ψυχῶν, ἅτε πάντα εἰδώς, καὶ διὰ τοῦτο μόνος κρίνειν ὀρθῶς δυνάμενος. «Ἄνθρωπος γὰρ εἰς πρόσωπον, φησί, καὶ εἰς τὰ »ἐκτὸς ὁρᾷ. Θεὸς δέ, εἰς καρδίας καὶ εἰς τὰ βάθη τῆς ψυχῆς» (α).

5. Καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

Ἀληθής· ὁ γὰρ παρὰ τῶν ἀνθρώπων ἔπαινος, οὗ ἤρων οἱ τότε διδάσκοντες, οὐκ ἀληθής· ἅτε παρὰ τῶν οὐκ ὀρθῶς κρινόντων γινόμενος ἀγνοούντων τὰ κρύφια κακὰ τῶν ἐπαινουμένων ὑπ' αὐτῶν, ὥςπερ καὶ τὰ τῶν ψεγομένων κρύφια ἀγαθά.

6. Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι' ὑμᾶς,

Ἕως μὲν αὐτῷ τῶν φορτικῶν ἔδει ῥημάτων, οὐκ ἀπεκάλυψε τὴν σκηνήν, ἀλλ' ὡς αὐτὸς ὢν ὁ πάσχων, οὕτω διελέγετο, ἵνα τὸ ἀξίωμα τῶν δῆθεν ἐγκαλουμένων ἀντιπῖπτον μὴ συγχωρῇ τούτοις ἐκπεσεῖν εἰς ὀργήν. Ἐπεὶ δὲ ἀνεῖναι λοιπὸν ἐχρῆν, τότε τὸ προςωπεῖον ἐπάρας ἔδειξε τὸ πρόσωπον καί φησι· ταῦτα δὲ τὰ προςώπῳ ἡμῶν ἀνωτέρω ῥηθέντα μετεσχημάτισα εἰς ἡμᾶς οἰκονομικῶς δι' ὑμᾶς, ἵνα παραδέξησθε τὸν λόγον, εὐλαβηθέντες ἡμᾶς, καὶ μὴ ἀποπηδήσητε, φανερῶς οὕτω περὶ τῶν κατακριθέντων ἀκούσαντες καὶ πρὸς τὰ πρόσωπα διαταραχθέντες.

6. Ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν,

Ἵνα ἐν τῷ κεῖσθαι τὰ ἡμέτερα πρόςωπα παραμείναντες τῇ νουθεσίᾳ τοῦ λόγου μάθητε τὸ μὴ φρονεῖν ὑπὲρ τὸ γεγραμμένον, τουτέστι μὴ ὑπερβαίνειν, ἤτοι παραβαίνειν αὐτό. Γεγραμμένον δὲ λέγει τὰς ἐντολὰς τοῦ Χριστοῦ, ἃς ἔγραψεν εἰς τὰς καρδίας τῶν Ἀποστόλων. Λέγει δὲ τὸ «τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ

(α) Πρβλ. Ψαλμ. ζ', 10. «Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός».

» σου, τὴν δὲ ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ κατανοεῖς; » (α) Καὶ τὸ «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» (β).

6. Ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε (*) κατὰ τοῦ ἑτέρου.

Ἵνα μή τις μαθητὴς ὑπέρ τινος διδασκάλου ἐπαίρησθε κατὰ τοῦ ἑτέρου μαθητοῦ, ἕτερον διδάσκαλον ἑαυτῷ ἐπιγραφομένου· ἀνοίας γὰρ τὸ ἐπὶ τῇ σοφίᾳ τοῦ διδασκάλου μέγα φρονεῖν τὸν μαθητὴν καὶ ἑτέρου διὰ τούτου κατεξανίστασθαι. Εἰ γὰρ ἐπὶ τοῖς οἰκείοις προτερήμασιν οὐ χρὴ τοῦτο πάσχειν, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἀλλοτρίοις. Καλῶς δὲ φυσίωσιν προςηγόρευσε τὸ νόσημα τῆς ὑψηλοφροσύνης. Ὥςπερ γὰρ ἐπὶ τοῦ σώματος, ὅταν ἐπιρρεύσῃ μορίῳ τινὶ νόθος χυμὸς καὶ διεφθορὼς πνεύματος τοῦτο πληροῖ καὶ εἰς ὄγκον αἴρει, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς· οἰδαίνει γὰρ φυσιουμένη καὶ οὕτως ἐπαίρεται.

7. Τίς γάρ σε διακρίνει;

Πρὸς τοὺς ἐξάρχους ὁ λόγος. Τίς γάρ σε, φησί, προκρίνει; Τίς προτίθησι τῶν ἄλλων; Ἄνθρωποι πάντες, ὧν ἡ ψῆφος οὐκ ὀρθή, καθὼς ἀνωτέρω δεδήλωται. Ἔστω δὲ εἶναι ταύτην ὀρθήν· οὐδ' οὕτως ἐχρῆν ἐπαίρεσθαι.

7. Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες;

Τί ἔχεις καλόν, ὃ οὐκ ἔλαβες ἐκ Θεοῦ; Πάντως οὐδέν.

7. Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;

Τί μεγαλοφρονεῖς, ὡς μὴ λαβὼν αὐτὸ θεόθεν, ἀλλ' οἴκοθεν κτησάμενος; Ὅταν δέ, μηδὲ ἔχων τις τοιόνδε χάρισμα, ἔχειν προςποιῆται, ποίας ἂν εἴη συγγνώμης ἄξιος;

8. Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε,

Εἰρωνικὰ ταῦτα καὶ ἐντρεπτικά. Ἤδη ἐκορέσθητε παντὸς καλοῦ. Ἤδη ἐπλουτήσατε ἐν πάσῃ συνέσει. Τέλειοι ἐγένεσθε. Οὐκέτι χρείαν ἔχετε Ἀποστόλου. Καλῶς δὲ καὶ τὸ «ἤδη» παρέλαβεν, ἀπὸ τοῦ

(α) Ματθ. ζ', 3.— (β) Αὐτόθ. ζ', 1.— (*) «Ἵνα μὴ φυσιοῦσθε». Οὕτω πάντα σχεδὸν τὰ δοκιμώτερα τῶν ἀντιγράφων. Τὴν αὐτὴν χρῆσιν τοῦ «ἵνα» πρὸς ὁριστικὴν ὅρ. Γαλάτ. δ', 17. «ἵνα αὐτοὺς ζηλοῦτε».

χρόνου δεικνὺς τὸ ἀπίθανον καὶ τὴν ἄλογον αὐτῶν οἴησιν, οὕτω ταχέως ἐλθεῖν εἰς τὸ τέλειον ὑπολαμβανόντων.

8. Χωρὶς ἡμῶν ἐβασιλεύσατε·

Εἰ δὲ εἰς τελειότητα ἐφθάσατε, ἤδη ἐβασιλεύσατε, ὅσον ἐπὶ ταῖς ἐλπίσι τῶν ἀμοιβῶν καὶ τῇ προςδοκίᾳ τῶν στεφάνων. «Χωρὶς δὲ ἡ»μῶν» ἀντὶ τοῦ πρὸ ἡμῶν, τῶν διδασκάλων ἡμῶν. Ἡμεῖς γὰρ οὔτε εἰς τὸ τέλειον ἠλάσαμεν ἔτι, οὔτε τὰ ἔπαθλα λοιπὸν φανταζόμεθα. Οὐ φθονῶν δὲ τοῦτο λέγει· διὸ καὶ προςέθηκε·

8. Καὶ ὄφελόν γε ἐβασιλεύσατε·

Καὶ εἴθε ἀληθῶς ἐβασιλεύσατε. Τοῦτο γάρ μοι σπουδή. Ἵνα δὲ μὴ καὶ τοῦτο εἰρωνικὸν δόξῃ, ἐπήγαγεν·

8. Ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.

Εἰ γὰρ οἱ μαθηταὶ βασιλεύσουσι, πάντως καὶ οἱ διδάσκαλοι τούτοις συμβασιλεύσουσιν, ὡς τῆς τιμῆς αὐτῶν αἴτιοι. Ἐπεὶ καὶ δόξα διδασκάλου ἡ τοῦ μαθητοῦ δόξα καὶ εὐδοκίμησις. Εἶτα πάλιν βαρύτερον αὐτῶν καθικνεῖται·

9. Δοκῶ γάρ, ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους ἀπέδειξεν,

Ὡς ὁρῶ γὰρ ἐξ ὧν ὑμεῖς ὑπολαμβάνετε ἤδη τετελειῶσθαι δοκοῦντες καὶ ταῖς ἐλπίσι βασιλεύοντες, ὁ Θεὸς ἐσχάτους ἡμᾶς ἐποίησε καὶ ἀτιμωτέρους ὑμῶν· ἵνα ὑμεῖς μὲν ἤδη βασιλεύσητε, ἡμεῖς δὲ ἔτι κακοπαθῶμεν καὶ ταλαιπωρώμεθα τοῖς ὑπὲρ τοῦ κηρύγματος πόνοις. «Τοὺς Ἀποστόλους» δὲ εἰπών, ἐνέτρεψε πλεῖον, ὅτι τοὺς κήρυκας, τοὺς διδασκάλους, τοὺς ἀγαγόντας ὑμᾶς εἰς τὴν φιλοσοφίαν ταύτην (α).

9. Ὡς ἐπιθανατίους,

Ὡς καταδίκους καὶ ἀξίους ἐπὶ θάνατον ἄγεσθαι. Τοῦτο δὲ προςέθηκεν, ἵνα καὶ ὁ σφόδρα ἀνόητος συνειδῇ τῶν εἰρημένων τὸ ἀπίθανον, καὶ ὅτι ἀλγοῦντός ἐστι τὰ λεγόμενα.

(α) «Ἐσχάτους» δηλονότι ἀπέδειξεν.

9. Ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ

Οὐκ ἐν γωνίᾳ μιᾷ, οὐδ᾽ ἑνὶ μέρει τῆς Οἰκουμένης, ἀλλ᾽ ἐν ὅλῃ ταύτῃ μυρία πάσχοντες.

9. Καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

Θεωμένων ἡμᾶς ἀθλοῦντας καὶ ἀγγέλων καὶ ἀνθρώπων. Τηλικαῦτα γὰρ ἡμῶν τὰ παλαίσματα, ὡς καὶ τῆς ἀγγελικῆς θέας ἀξιοῦσθαι. Ὥςπερ οὐ πρὸς ἀνθρώπους μόνον ἡμῖν ὁ ἀγών, ἀλλὰ καὶ πρὸς δαίμονας οὕτω καὶ θεωροὺς ἔχομεν οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀγγέλους. Ἐμφαντικὸν δὲ τοῦτο τῆς τῶν Ἀποστόλων μεγαλοψυχίας καὶ ὑπερφυοῦς ἐν τοῖς διὰ Χριστὸν πάθεσι καρτερίας.

10. Ἡμεῖς μωροὶ διὰ Χριστόν,

«Μωροὶ» μέν, ὡς τοῖς ἀληθῶς μωροῖς τοῦτο δοκοῦντες. «Διὰ »Χριστὸν» δὲ ἀντὶ τοῦ διὰ τὸ κατὰ Χριστὸν κήρυγμα, ὅ μωρία τούτοις δοκεῖ, καθὼς ἀνωτέρω προείρηται (α).

10. Ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ·

Ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν. Εἰρωνικὸν δὲ τοῦτο καὶ ἀπίθανον, μᾶλλον δὲ ἐμφαντικὸν τοῦ μὴ κηρύσσειν αὐτοὺς μηδὲ παρρησιάζεσθαι τὴν εὐσέβειαν. Εἰ γὰρ ἐκήρυσσον, ἐδόκουν ἂν καὶ αὐτοὶ μωροὶ τοῖς ἀπίστοις. Καὶ διὰ τῶν ἑξῆς δὲ ῥᾳθυμίαν καὶ ἄνεσιν αὐτοῖς ἐγκαλεῖ.

10. Ἡμεῖς ἀσθενεῖς,

Ὡς ἐλαυνόμενοι καὶ διωκόμενοι.

10. Ὑμεῖς ἰσχυροί·

Ὡς ἀδείας καὶ θεραπείας ἀπολαύοντες.

10. Ὑμεῖς ἔνδοξοι,

Ὡς τιμώμενοι καὶ λόγου ἀξιούμενοι.

(α) Α΄ Κορινθ. α΄, 18. 21. 23.

10. Ἡμεῖς δὲ ἄτιμοι.

Ὡς ὑβριζόμενοι καὶ καταφρονούμενοι.

11. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν,

Ὡς δεῖ τὸν Χριστιανόν. Κακοπαθείας γὰρ ὁ παρὼν καιρός, ὁ δὲ μέλλων εὐπαθείας καὶ ἀναπαύσεως.

11. Καὶ κολαφιζόμεθα,

Τυπτόμεθα ἢ ἐμπαιζόμεθα (α).

11. Καὶ ἀστατοῦμεν·

Πλανώμεθα ἐκ τόπου εἰς τόπον.

12. Καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί·

Μετὰ τῶν ἔξωθεν πειρασμῶν καὶ κινδύνων καὶ τῇ διηνεκεῖ ἐργασίᾳ ἑαυτοὺς κατατείνομεν, ἵνα ἔχοιμεν τὰ τῆς ἀναγκαιούσης χρείας. Καὶ τὸ δὴ μεῖζον, ὅτι καὶ τοιαῦτα πάσχοντες, οὐ μόνον οὐκ ἐδυσχέραινον, ἀλλὰ καὶ μᾶλλον ὡς εὐεργετούμενοι ἔχαιρον. Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ τοὺς ποιοῦντας κακῶς τοῖς χρηστοῖς ἀμείβεσθαι· φησὶ γάρ·

12. Λοιδορούμενοι, εὐλογοῦμεν.

Λοιδορούμενοι ὡς μωροὶ καὶ πλάνοι, ἐπαινοῦμεν.

12. Διωκόμενοι, ἀνεχόμεθα·

Ἀνεχόμεθα τῶν διωκόντων, πράως πρὸς αὐτοὺς διακείμεθα.

13. Βλασφημούμενοι, παρακαλοῦμεν·

Κακῶς ἀκούοντες, ὡς βίον διεφθαρμένον ἔχοντες, παρακαλοῦμεν τοὺς βλασφημοῦντας ἡμᾶς ἀπίστους ἢ ψευδαποστόλους μὴ ὀργίζε-

---

(α) Ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει τοῦ κατὰ Ματθ. Εὐαγγελίου (κϛ', 67) οὕτω μεταδίδωσι τὴν σημασίαν τοῦ « κολαφίζειν ». « Ἔστι δὲ *κολαφισμὸς* μὲν τὸ παίειν κατὰ » τοῦ τραχήλου κοίλῃ ἀφῇ πρὸς τὸ ποιεῖν ψόφον· *ῥαπισμὸς* δὲ τὸ παίειν κατὰ τοῦ προσώ» που ». Ὁ δὲ Ἀπόστολος ἐνταῦθα τὸ «κολαφίζειν» ἀντὶ τοῦ δαίρειν ἁπλῶς ἐξέλαβεν.

σθαι. Ἢ πειρασμοῖς περιπίπτοντες ἀνακτώμεθα. Μωρία δὲ καὶ τοῦτο τοῖς ἀνοήτοις ἐδόκει, τὸ πάσχοντας κακῶς μήτε ἀμύνεθαι, μήτε ἀλγεῖν, ἀλλὰ καὶ μᾶλλον τοῖς ἐναντίοις ἀμείβεσθαι.

13. Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν,

Ὡς ἀκαθαρσία, ὡς βδέλυγμα. Περικάθαρμα γὰρ ὁ ἀπορριπτόμενος τῶν σωμάτων ῥύπος. «Ἐγενόμεθα δὲ ὡς περικαθάρματα» οὐχ ὑμῶν μόνον, ἀλλὰ καὶ τοῦ κόσμου παντός, πᾶσι τοιοῦτοι δοκοῦντες.

13. Πάντων περίψημα ἕως ἄρτι.

Καὶ τὸ «περίψημα» περικάθαρμά ἐστι. Περιψᾶν γὰρ τὸ ἀποκαθαίρειν τὸν ἱδρῶτα (α). Σαφηνίζων δὲ τὸ περικάθαρμα, ἐπήγαγε τὸ περίψημα· ἐπεὶ δὲ εἶδεν ἀφόρητον τὴν διὰ τῶν ἤδη ῥηθέντων πληγήν, ἐπιτίθησι τὴν θεραπείαν λέγων·

14. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα,

Καὶ μὴν ἐντρέπων αὐτοὺς ταῦτα ἔγραψεν. Ἀλλ' «οὐκ ἐντρέπων» φησὶν ἀπὸ διανοίας πονηρᾶς, οὐδὲ καταισχύνω ἀπὸ μίσους.

14. Ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ.

Νουθετῶ ζηλοῦν καὶ αἱρεῖσθαι τὰ ῥηθέντα παθήματα τῶν Ἀπο-

(α) *Περίψημα* (παρὰ τὸ «περιψάω») κατὰ τὸν Οἰκουμένιον (ἐν λ.) λέγεται «τὸ σάβανον, ὃ τοὺς ἱδρῶτας τοῦ κάμνοντος ἀποψύχει». Συνεκδοχικῶς δὲ καὶ πᾶν τὸ πρὸς καθαρισμὸν πράγματός τινος ῥυπαροῦ ἢ σκεύους καὶ δοχείου ἀκαθάρτου χρησιμεῦον. Ἀπὸ μεταφορᾶς δὲ τὸ «περίψημα» ὑποδηλοῖ καὶ τὸν εὐτελῆ ἄνθρωπον καὶ φαῦλον καὶ ἀπόβλητον καθ' ἣν σημασίαν ἐκλαμβάνει ἐνταῦθα τὴν λέξιν καὶ ὁ Συγγραφεύς. Ὁ δὲ Φώτιος ἐν τοῖς *Ἀμφιλοχίοις* (Ἐρώτ. ΡΛΓ΄, Τόμ. Α΄, σελ. 732) ἀποφαίνεται ὅτι τὸ «περίψημα» δύναται μὲν σημαίνειν καὶ τὸ ἐν ἀτιμίᾳ, καὶ οἷον ὑπὸ τὰ ἴχνη κείμενον, ἀλλ' ἐγγύτερον τῆς σημασίας ἐστὶν ἡ «ἀπολύτρωσις» καὶ τὸ ὑπέρ τινων προσφερόμενον οἷον «ἱερεῖον, θῦμα» (ἢ καθ' Ἡσύχιον «ἀντίλυτρον, ἀντίψυχον»). Διότι παρὰ τοῖς παλαιοῖς «περίψημα» ἐκαλεῖτο ὁ θυόμενος τοῖς θεοῖς ἐπὶ καθάρσει λοιμοῦ τινος ἢ ἑτέρας νόσου, ὃν περιεστῶτες ταῖς χερσὶ περιψῶντες καὶ ἐφαψώμενοι «περίψημα ἡμῶν, ἔλεγον, γενοῦ». Ἐκεῖθεν οὖν τὴν φωνὴν ταύτην ὁ Ἀπόστολος λαβών, γράφων τοῖς Κορινθίοις λέγει περὶ ἑαυτοῦ «περίψημα πάντων ἐγενόμην», ἤγουν ἱλαστήριον θῦμα. Ἀνάλογον δὲ τῇ φράσει ταύτῃ εὑρίσκει ὁ Φώτιος τὸ «νὴ τὴν ἡμετέραν καύχησιν καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω» (Α΄ Κορινθ. ιε΄, 31). Ἔχει δ', ὡς ἔοικε, τοῦ κριτικωτάτου Φωτίου ἡ γνώμη καὶ τοῦτο ὑπὲρ ἑαυτῆς· ὅτι τὸ «περίψημα» εἰ τὸ ἐν ἀτιμίᾳ ἐσήμαινε, δοτικῇ μᾶλλον ἢ γενικῇ προσῆκε συντάσσεσθαι· οἷον «περίψημα πᾶσι» καὶ οὐ «πάντων».

στόλων, τὴν μωρίαν, τὴν ἀσθένειαν, τὴν ἀτιμίαν καὶ τὰ ἑξῆς, καὶ μὴ τὰ τούτοις ἐναντία· καὶ γινώσκειν προςέτι λείπεσθαι τῆς τελειότητος. Εἰ γὰρ ἡμεῖς οἱ τοσαῦτα διὰ Χριστὸν πάσχοντες ἔτι λειπόμεθα, πολλῷ μᾶλλον ὑμεῖς. Τίς οὖν υἱὸς οὐκ ἂν ἡδέως ἀνάσχοιτο πατρὸς ἀλγοῦντος ὑπὸ τῆς ῥᾳθυμίας αὐτοῦ, καὶ δηκτικωτέροις λόγοις ἐπιστρέφοντος αὐτόν;

15. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας.

«Παιδαγωγοὺς» μὲν λέγει τοὺς ἐν αὐτοῖς διδασκάλους, ὡς ὠφελοῦντας μὲν αὐτούς, οὐ τοσοῦτον δέ, ὅσον ὁ κυρίως διδάσκαλος, ὅς ἦν αὐτός. Καὶ φιλοῦντας μὲν καὶ φροντίζοντας αὐτῶν, οὐχ οὕτως δέ, ὡς ὁ πατήρ. Καὶ ὅτι παρ' αὐτοῦ μαθόντες καὶ δεξάμενοι, ἀνῆγον αὐτούς· οὓς καὶ παρεμυθήσατο, ὅτι «ἐν Χριστῷ», ἤγουν ἐν τοῖς κατὰ Χριστόν. «Πατέρα» δὲ (α) ἑαυτόν. Οὐκ εἶπε δὲ ὅτι (β) διδασκάλους, ἀλλὰ «πατέρας» τὴν ὑπερβολὴν τῆς στοργῆς ἐμφαίνων. Ἵνα δὲ μὴ κολακεία δόξῃ τὸ ῥῆμα, παρέστησε τὸ πρᾶγμα εἰπών·

15. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.

Ἐν γὰρ τῷ προςτάγματι τοῦ Χριστοῦ διὰ τῆς εὐαγγελικῆς παλιγγενεσίας ἐγὼ ὑμᾶς ἐγέννησα, πρῶτος κατασπείρας τὸ κήρυγμα καὶ βαπτισθῆναι παρασκευάσας.

16. Παρακαλῶ οὖν ὑμᾶς μιμηταί μου γίνεσθε.

Εἰ οὖν ἐγὼ ὑμᾶς πνευματικῶς ἐγέννησα, ἐγὼ μόνος ὑμῶν πατήρ· εἰ δὲ ἐγὼ πατήρ, ἐμὲ τὸν πατέρα μιμεῖσθε. Ἐφεσίοις δὲ γράφει «γίνεσθε, φησί, μιμηταὶ τοῦ Θεοῦ» (γ). Ἐπεὶ δὲ νῦν πρὸς ἀσθενεστέρους γράφει, παρεντίθησιν ἑαυτόν. Ἄλλως τε καὶ ὁ τὴν ἀπηκριβωμένην σφραγῖδα μιμησάμενος τὸ ἀρχέτυπον ἐμιμήσατο.

17. Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητόν,

Διὰ τοῦτο· ποῖον; διότι τέκνα μου ἀγαπητά ἐστε. Καὶ ἡ ἀπο-

(α) «Λέγει» δηλονότι. — (β) Τὸ χειρόγρ. «ὃ» ἐκ πλημμελείας προφανῶς τοῦ ἀντιγραφέως ἀντὶ «ὅτι». — (γ) Ἐφεσ. ε', 1.

στολὴ δὲ μετὰ συστάσεως τοῦ προςώπου, «ὅς ἐστι, φησί, τέκνον μου » ἀγαπητόν», ἵνα αἰδεσίμως αὐτὸν ὑποδέξωνται.

17. Καὶ πιστὸν ἐν Κυρίῳ,

Οὐχ ἁπλῶς πιστόν, ἀλλ᾽ ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν· ὥςτε ὀρθῶς διακονήσει καὶ ἀνεπιλήπτως.

17. Ὅς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου

Οὐκ εἶπε διδάξει, ἵνα μὴ δυςανασχετήσωσιν, ὡς παρὰ Τιμοθέου, νέου ὄντος, μαθησόμενοι. Διὸ καὶ «τὰς ὁδούς μου» εἶπε, τουτέστι τὰς ἐμὰς παραγγελίας· ἢ τὴν πολιτείαν μου, τὴν πεῖνάν μου, τὴν δίψαν, τὴν γυμνότητά μου, καὶ ὅσα προείρηκεν. Ἢ τὰ ἔθη καὶ τοὺς νόμους τοῦ Χριστοῦ (α), ἐν οἷς ἀναστρέφομαι. Προμαθόντας γὰρ ὑμᾶς ἐκ μέρους αὐτὸς τρανότερον ἀναμνήσει.

17. Τὰς ἐν Χριστῷ,

Τὰς κατὰ Χριστὸν ἀνυομένας· ἢ διὰ Χριστοῦ συνεργοῦντος.

17. Καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.

« Ἀναμνήσει ὑμᾶς» καθὼς πανταχοῦ διδάσκω· οὐδὲν γὰρ καινὸν πρὸς ὑμᾶς ἢ ἐγὼ εἶπον ἢ αὐτὸς ἐρεῖ.

18. Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες·

Ἐπήρθησαν τῇ ἀπουσίᾳ μου, καταχρησάμενοι πρὸς φιλαρχίαν. Αἰνίττεται δὲ καὶ τὸν ἠσελγηκότα εἰς τὴν ἑαυτοῦ μητρυιάν.

19. Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ,

Τῇ ἐπαγγελίᾳ τῆς ἑαυτοῦ παρουσίας ποιεῖ τούτους ἐναγωνίους.

19. Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν.

Οὐ τὴν εὐγλωττίαν, ἀλλὰ τὴν ἐν ἔργοις δύναμιν. Οὐ γὰρ τῶν λεγόντων, ἀλλὰ τῶν ποιούντων ἡ νίκη.

20. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ᾽ ἐν δυνάμει.

(α) « Ἀναμνήσει» δηλονότι.

Οὐ γὰρ ἐν ῥητορείᾳ καὶ πιθανολογίᾳ ἡ βασιλεία τοῦ Θεοῦ γνωρίζεται καὶ κρατεῖ, ἀλλ' ἐν σημείοις. Τί γὰρ ἡ ἐν λόγοις σοφία δύνατ' ἂν πρὸς τὸ δαίμονας ἀπελάσαι ἢ νεκροὺς ἀναστῆσαι ἢ τοιοῦτόν τι θαυματουργῆσαι; Ταῦτα γὰρ δύναμις, ταῦτα μεγαλειότητος ἀπόδειξις, καὶ τοῦ θεῖον εἶναι τὸ κήρυγμα τῆς βασιλείας τοῦ Θεοῦ. Μή μοι ῥημάτων προβαλλέσθωσαν κόμπους· οὐδὲν γὰρ ἐκείνη πρὸς ἡμᾶς ἡ τέχνη. Δύναμιν ἔργων ἐπιδειξάτωσαν· ταῦτα γὰρ ἕλκει πρὸς τὴν πίστιν· ταῦτα βεβαιοῖ τὸ κήρυγμα.

Β' Κατὰ πορνῶν καὶ πορνείας καὶ τῶν τούτοις κοινωνούντων.

21. Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος;

Ῥάβδον λέγει τὴν κόλασιν, τὴν τιμωρίαν, τὴν ἀναίρεσιν, τὴν πήρωσιν, ὅπερ ἐπὶ τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας ὁ Πέτρος ἐποίησεν (α)· ὅπερ οὗτος ἐπὶ Ἐλύμα τοῦ μάγου (β). Τὸ δὲ τοιαῦτα εἰπεῖν ἀναβαίνοντός ἐστι λοιπὸν ἐπὶ τὸν διδασκαλικὸν θρόνον καὶ τὴν ἐξουσίαν ἀναλαμβάνοντος καὶ φόβον τοῖς ἀπειθοῦσιν ἐπικρεμῶντος. «Πνευματικῆς δὲ πραότητος εἶπε» δεικνὺς ὅτι πνευματικὸν χάρισμα καὶ ἡ πραότης ἐστίν, ἀσκήσει καὶ πόνοις δωρούμενον. Τινὲς δὲ «ῥά» βδον» ἐνόησαν τὴν διὰ τοῦ λόγου πλῆξιν (γ).

(α) Πράξ. ε', 3. 5.— (β) Αὐτόθ. ιγ', 8. 11. — (γ) Κύριλλ. Ἀλεξανδρ. ἐν λ. (Τόμ. Ζ', σελ. 868) «Βούλεσθε, φησί, σοφὴν ἐπίπληξιν οἵᾳ τινὶ ῥάβδῳ ἐπαγάγω τοῖς ἡμαρτη» κόσιν, ἢ ἐν πνεύματι πραΰτητος καὶ ὡς ἐν ἀγάπῃ προσενεχθεὶς παραδράμω σεσιγηκώς; » Ἀλλ' ἦν ἄμεινον αὐτοῖς ἡ ἐπίπληξις ἅμα κόπτουσα τὸ δεινὸν καὶ τὸ ῥᾴθυμον καὶ » τῆς τοιαύτης παρανομίας τὴν ἐπιχείρησιν».

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ

1. Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία,

Καταχρηστικῶς πορνείαν τὴν ἀθεμιτογαμίαν ὠνόμασεν. «Ὅλως » ἀκούεται », ἵνα μὴ λέγω τολμᾶται. Κοινῇ δὲ πᾶσι τὸ ὄνειδος τοῦ ἐγκλήματος, ἵνα, ὡς ὅλης τῆς Ἐκκλησίας αὐτῶν διαβληθείσης, ἐναγώνιοι γένωνται.

1. Καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται,

Οὐδὲ ἐν τοῖς ἀπίστοις, τοῖς ἀκαθάρτοις. Εἶτα λέγει καὶ τὸ εἶδος τῆς ἀκολασίας.

1. Ὥςτε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν.

Ὥςτε τινὰ ἐν ὑμῖν τῇ μητρυιᾷ ἑαυτοῦ μίγνυσθαι.

2. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ,

Ὥςπερ ἐκεῖνος ἐπὶ τῇ εὐγλωττίᾳ καὶ τῇ ἔξω σοφίᾳ, οὕτω καὶ ὑμεῖς ἐπὶ τῷ διδάσκεσθαι ὑπ' αὐτοῦ. Πρότερον δὲ καθελὼν τὴν τοιαύτην σοφίαν καὶ δείξας οὐδὲν συντελοῦσαν εἰς εὐσέβειαν, κἂν μὴ ἁμάρτημα ᾖ προκείμενον, τότε λοιπὸν καὶ περὶ τοῦ ἁμαρτήματος διαλέγεται, καταστέλλων ἐκείνου τὸν τῦφον.

2. Καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε,

Δέον ὑμᾶς μᾶλλον πενθεῖν τὴν διαβολὴν τῆς Ἐκκλησίας, ὑμεῖς δὲ μέγα φρονεῖτε ἐπὶ τῇ σοφίᾳ αὐτοῦ.

2. Ἵνα ἐξαρθῇ ἐκ τοῦ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας;

Δέον πενθῆσαι, ἵνα ὁ Θεὸς ἰδὼν τὸν τοιοῦτον ζῆλον ὑμῶν ἐκκόψῃ τοῦτον ἀφ' ὑμῶν. Οὐκ εἶπε δὲ τὸ ὄνομα τούτου, οὐδὲ λόγου τοῦτον ἠξίωσε, τὴν ὑπερβολὴν οὕτω τῆς ἀποστροφῆς ἐνδεικνύμενος, ὅτι οὐ μόνον ἐμετανόησεν (α), ἀλλὰ καὶ ἀναισχύντως ἐφιλάρχει.

(α) Γράφε « οὐ μετενόησεν ».

3. Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρών·

Ὅρα θυμόν. Οὐκ ἀφίησιν ἀναμεῖναι τὴν παρουσίαν αὐτοῦ, ἀλλ' ὡς λοιμὸν ἀπελαύνει ταχέως, ἵνα μὴ μεταλάβωσι τῆς λύμης καὶ ἕτεροι. «Πνεῦμα» δὲ νῦν τὸ διορατικὸν χάρισμα λέγει, δι'οὗ ὁρᾶν ἔμελλε τὰ γενησόμενα. Καθὼς καὶ ὁ Ἐλισσαῖος τῷ Γιεζῇ ἔλεγεν· «οὐχὶ ἡ »καρδία μου ἦν μετὰ σοῦ»; (α) Ἐφόβησε δὲ αὐτοὺς οὕτω, καὶ πρὸς ἐκπλήρωσιν τοῦ προστάγματος ἔπειξεν.

4. Τὸν οὕτω τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ Κυρίου
5. ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ

Κέκρικα, φησί, καὶ ἀπεφηνάμην τὸν οὕτω τοῦτο κατεργασάμενον, τὸν τοιοῦτον ἀκόλαστον, τὸν οὕτως ἀσελγῆ παραδοῦναι τῷ διαβόλῳ κολασθησόμενον. Εἶτα τὰ ἑξῆς· ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, τοῦ ἕκαστα βλέψαντος· τουτέστι τοῦ ὀνόματος τοῦ Χριστοῦ, συνάγοντος ἡμᾶς εἰς τὸ ἔργον τοῦτο ἵνα μὴ διὰ τὸν ἡμαρτηκότα βλασφημῆται ἐν τοῖς ἔθνεσιν. Ἢ καὶ ἄλλως· τὸν «τοῦτο κατεργασάμενον» ἐν τῷ ὀνομάζεσθαι Χριστιανόν. Παραδοῦναι δὲ αὐτὸν διὰ τῆς δυνάμεως τοῦ Χριστοῦ, ἢ συμπαραδιδούσης τοῦτον καὶ αὐτῆς. Οὐκ εἶπε δὲ «ἐκδοῦναι», ἀλλὰ «παρα»δοῦναι» ὡς παιδευτὴς τὰς τῆς μετανοίας θύρας οὕτως ἀνοίγων αὐτῷ (β).

5. Εἰς ὄλεθρον τῆς σαρκός,

(α) Δ' Βασιλ. ε', 26. — (β) Ἰδοὺ πῶς ὁ Χρυσόστομος, ᾧ ὁ Συγγραφεὺς ἐν τοῖς πλείστοις παρακολουθεῖ, συντάσσειν παραινεῖ τὸ ἀνωτέρω τοῦ Ἀποστόλου ἐδάφιον (Τόμ. Ι', Ὁμιλ. ΙΕ', σελ. 123). «Τινὲς οὕτως ἀναγινώσκουσι· «Τὸν οὕτω τοῦτο κατεργασά»μενον ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», καὶ ὑποστίξαντες ἐνταῦθα ἢ »μέσην θέντες οὕτως ἐπάγουσι τὸ ἑξῆς λέγοντες· «συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ »πνεύματος παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ». Καί φασι τὴν ἔννοιαν ταύτην εἶναι »τῆς τοιαύτης ἀναγνώσεως· τὸν τοῦτο κατεργασάμενον, φησίν, ἐν τῷ ὀνόματι τοῦ Χρι»στοῦ παράδοτε τῷ Σατανᾷ· τουτέστι τὸν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐνυβρίσαντα... «Ἐμοὶ δὲ ἡ προτέρα ἀληθεστέρα ἔκδοσις εἶναι δοκεῖ. Ποία δὲ αὕτη; «ἐν τῷ ὀνόματι »τοῦ Κυρίου συναχθέντων ὑμῶν»· τουτέστιν αὐτοῦ τοῦ ὀνόματος ὑμᾶς συνάγοντος, »ὑπὲρ οὗ συνέρχεσθε, «καὶ τοῦ ἐμοῦ πνεύματος».

Εἰς κόλασιν τοῦ σώματος. Ἐπειδὴ γὰρ ἀπὸ τῆς σωματικῆς εὐπαθείας τὰ τοιαῦτα ἄτοπα τίκτονται, διὰ τῆς σωματικῆς αὖθις κακοπαθείας ἐξιᾶσθαι ταῦτα κελεύει. «Ὄλεθρον» δὲ λέγει λέπραν ἢ ἄλλην τινὰ νόσον.

5. Ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

Ἵνα ἡ ψυχὴ αὐτοῦ σωθῇ, σωζομένου αὐτῇ δηλονότι καὶ τοῦ σώματος. «Ἡμέραν δὲ τοῦ Κυρίου» λέγει τὴν τῆς δευτέρας παρουσίας αὐτοῦ, τὴν τῆς μελλούσης κρίσεως, δι' ἧς ἐφόβησέ τε τοὺς Κορινθίους πάντας καὶ αὐτῷ τῷ πλημμελήσαντι χρηστὰς ἐνέθηκεν ἐλπίδας καὶ ἔδειξεν ὅτι κηδόμενος αὐτοῦ τὴν παιδείαν ταύτην ἐπήγαγεν, ὡς πατὴρ παιδὶ πεπλημμεληκότι. Οὐκ εἶπε δὲ ὅτι ἐὰν μετανοήσῃ, δεχθήσεται, ἵνα μὴ ἐκλύσῃ τούτου τὸν φόβον καίτοι μετανοήσαντας, δεξάμενος, ὡς εὑρήσομεν ἐν τῇ δευτέρᾳ ἐπιστολῇ (α).

6. Οὐ καλὸν τὸ καύχημα ὑμῶν.

Ὃ ἐπ' αὐτῷ καυχᾶσθε, ὡς ἐπὶ σοφῷ· πολλὰ γὰρ αὐτὸν ἔβλαπτεν, ἐμποδίζον εἰς τὸ μετανοῆσαι. Εἶτα δείκνυσιν ὅτι οὐκ ἐκείνου μόνον κηδόμενος τοῦτο προςέταξεν, ἀλλὰ καὶ αὐτῶν. Καί φησιν·

6. Οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;

Εἰς ἑαυτὴν μεταβάλλει; Οὕτως οὖν καὶ μία ἁμαρτία ἀμελουμένη, ὅλῃ τῇ Ἐκκλησίᾳ λυμαίνεται.

7. Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην,

Οὐ τοῦτο μόνον ἐκβαλεῖν κελεύει, ἀλλὰ πᾶσαν κακίαν· πᾶσα γὰρ ἁμαρτία «ζύμη» παλαιά ἐστιν. «Παλαιὰ» μὲν ὡς σαπρὰ καὶ δυςώδης, «ζύμη» δέ, ὡς μεταδιδοῦσα ἑαυτῆς.

7. Ἵνα ἦτε νέον φύραμα,

Ἕτερον παρὰ τὸ πρότερον. Τότε μὲν γὰρ εἴχετε τὴν δηλωθεῖσαν ζύμην· νῦν δὲ οὐκέτι ἕξετε.

7. Καθὼς ἐστε ἄζυμοι.

(α) Β' Κορινθ. 6', 10.

Καθὼς ἐστε χωρὶς τῆς ζύμης ἐκείνης οἱ λοιποί, «ἄζυμοι» ἀμέτοχοι ζύμης τοιαύτης.

7. Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός.

Ὥςπερ ἐπὶ τῆς παλαιᾶς Διαθήκης μετὰ τὸ τυθῆναι τὸν ἀμνὸν τοῦ Πάσχα, ἤτοι τῆς διαβάσεως, ὅτε διέβησαν ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἑωρτάζετο ἡ ἑορτὴ τῶν ἀζύμων, οὕτω καὶ ἐπὶ τῆς Καινῆς. Ἐπεὶ τὸ Πάσχα ἡμῶν ὁ Χριστός, ὡς διαβιβάσας ἡμᾶς ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν, ἐτύθη ὑπὲρ ἡμῶν ὁ λογικὸς ἀμνός, ἐξαρθῆναι χρὴ τὴν εἰρημένην ζύμην, ὥςπερ καὶ τότε ἐξήρετο πᾶν ζυμωτόν. Τύποι γὰρ ἐκεῖνα τῶν ἡμετέρων, τὰ παλαιὰ τῶν καινῶν.

8. Ὥςτε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας,

Ἑορτάζωμεν τὰ χαριστήρια μὴ ἐν ζύμῃ παλαιᾷ. Εἶτα ἑφηρμήνευσε τί λέγει «ζύμην παλαιάν», ὅτι τὴν «κακίαν καὶ τὴν πονηρίαν», ὅπερ καὶ ἐπὶ τοῦ ἐφεξῆς ἐποίησεν, εἰπών·

8. Ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.

«Ἀλλ' ἐν ἀζύμοις»· λέγω δὲ «ἄζυμα» τὴν εἰλικρίνειαν καὶ καθαρότητα τοῦ βίου καὶ τὴν ἀλήθειαν τῶν δογμάτων. Ἀεὶ δὲ ἑορτάζειν συμβουλεύει καὶ εὐφραίνεσθαι, ὅτι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἐκλήθημεν.

9. Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις.

Ἐν τῇ παρούσῃ γὰρ ἐπιστολῇ πρὸ ὀλίγου ἔγραψεν ἐξᾶραι τὴν παλαιὰν ζύμην, τὸν πεπορνευκότα, ὡς δεδήλωται, αἰνιττόμενος. Δι' οὗ ἐδηλοῦτο τὸ μὴ συναναμίγνυσθαι πόρνοις. Ἵνα δὲ μὴ καὶ περὶ τῶν παρὰ τοῖς ἀπίστοις πόρνων τὴν παραγγελίαν νομίσωσι, διαστέλλει νῦν περὶ ποίων παρήγγειλε·

10. Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου,

Καὶ οὐ πάντως ἔγραψα μὴ συναναμίγνυσθαι τοῖς πόρνοις τῶν ἀπίστων. «Κόσμον γὰρ τοῦτον» ἐκείνους λέγει, ὡς ὅλους κοσμικοὺς καὶ γεώδεις καὶ κάτω συρομένους.

10. Ἢ τοῖς πλεονέκταις ἢ ἅρπαξιν,

Τοῖς τοῦ κόσμου τούτου δηλονότι. «Ἡ ζύμη» γὰρ καὶ τούτους ἐνέφαινε καὶ πᾶσαν ἁμαρτίαν.

10. Ἢ εἰδωλολάτραις·

Ἢ καθολικώτερον εἰπεῖν «εἰδωλολάτραις» ἁμαρτωλοῖς.

10. Ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν.

Εἰ καὶ τούτους φεύγειν μέλλετε, ὀφείλετε λοιπὸν ἐκ τῆς Οἰκουμένης ἐξελθεῖν. Πανταχοῦ γὰρ οἱ ἄπιστοι, πανταχοῦ οἱ ἁμαρτωλοί. Οὐ τοῦτο οὖν ἐπέταξα, ἀλλὰ τί;

11. Νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις, ἀδελφὸς ὀνομαζόμενος, ᾖ πόρνος,

Νῦν δὲ σαφέστερον ἔγραψα ὑμῖν «μὴ συναναμίγνυσθαι». Ἐάν τις κατὰ πίστιν «ἀδελφὸς ὀνομαζόμενος», ἤτοι πιστὸς προςαγορευόμενος, ὑπάρχῃ πόρνος, μένῃ ἐν πορνείᾳ.

11. Ἢ πλεονέκτης ἢ εἰδωλολάτρης,

Τινὲς γὰρ ἔτι προςέκειντο τοῖς εἰδώλοις, δυςαποσπάστως αὐτῶν ἔχοντες διὰ τὴν συνήθειαν. Καὶ τοὺς τὰ εἰδωλόθυτα ἐσθίοντας ὑποφαίνει, περὶ ὧν ὕστερον εἰπεῖν μέλλει πλατύτερον.

11. Ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ·

Καὶ γὰρ καὶ τούτοις φανερώτερον ἐπιτιμᾷ προϊών.

11. Τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Τῷ ὄντι τοιούτῳ, πόρνῳ δηλονότι ἢ πλεονέκτῃ ἢ τὰ ἑξῆς, μηδὲ συνεσθίειν ἐντέλλομαι. «Πόρνον» δὲ λέγει νῦν πάντα τὸν οἱονδήποτε ἀσελγῆ.

12. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;

Τί γάρ μοι χρήσιμον καὶ τοὺς ἀπίστους ἀνακρίνειν, τοὺς οὐ παραδεχομένους τὴν ἐμὴν διδασκαλίαν; Ὥςτε οὐ κωλύω τούτοις συναναμίγνυσθαι, ὅτε χρεία τις ἐπείγει.

12. Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;

«Ἔσω» μὲν ὀνομάζει τοὺς πιστούς, ὡς οἰκείους τῆς πίστεως.

«Ἔξω» δὲ τοὺς ἀπίστους, ὡς ἀλλοτρίους αὐτῆς. Πρὸς τοὺς πρεσβυτέρους δὲ ὁ λόγος κατ' ἐρώτησιν. Οὐχὶ τοὺς πιστοὺς ὑμεῖς κρίνετε ἁμαρτάνοντας; ὡς τοὺς τοιούτους ὑμεῖς διορθοῦσθε; (α).

13. Τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει.

Μεῖζον καὶ φοβερώτερον ἐκείνους κριτήριον ἐκδέχεται.

13. «Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν».

Εὐκαίρως ἐμνημόνευσε τῆς ῥήσεως ταύτης, ἐν τῇ Παλαιᾷ γεγραμμένης (β). Ἅμα μὲν δεικνύων ὅτι καὶ αὐτοὶ τὰ μέγιστα κερδανοῦσιν ἀπαλλαγέντες λοιμοῦ τινος, ἅμα δὲ καὶ ὅτι ἄνωθέν ἐστι τοῦτο νενομοθετημένον.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ

Γ' Περὶ τοῦ μὴ δεῖσθαι δικῶν, καὶ ταῦτα περὶ ἀπίστων·
ἐν ᾧ περὶ τοῦ μὴ πορνεύειν.

1. Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;

Καὶ ἐνταῦθα, ὡς ἐπὶ ὡμολογημένων, ποιεῖται τὴν κατηγορίαν, διδάσκων ὅτι τόλμης ἐστὶ τὸ πρᾶγμα καὶ παρανομίας. Ἐπεὶ γὰρ καὶ ἡ πλεονεξία τοῖς Κορινθίοις ἐπεπόλαζε, ζέων τῇ φροντίδι τῆς διορθώσεως τοῦ ἁμαρτήματος, διαλέγεται περὶ τούτου, κριτηρίου μνησθείς, καί φησι· τολμᾷ τις ὑμῶν διαφερόμενος πρὸς τὸν ὁμόπιστον περί τινος πράγματος κρίνεσθαι ἐπὶ τῶν ἀπίστων; Τούτους γὰρ «ἀδί-»κους» λέγει νῦν, ὡς δωροδοκουμένους ἢ ὡς παρανόμους, ὅσον πρὸς τοὺς νόμους τοῦ Χριστοῦ. «Ἁγίους» δὲ καλεῖ τοὺς πιστούς. Ἐπεὶ δὲ ἡ ἁγιότης βίου μὲν καθαρότητι τούτοις ἐμαρτύρει, οὐ πάντοτε δὲ καὶ ἀκριβείᾳ τοῦ κρίνειν, ὅρα πῶς καὶ τοῦτο μεθοδεύει τὸ μέρος λέγων·

(α) Οὐκ ἔρρωται τὸ χωρίον. Εὐοδοῦται δ', οἶμαι, τὸ νόημα, εἰ πρὸ τοῦ «ὡς» τεθείη τὸ ἐρωτηματικόν· αὐτὸ δὲ τὸ «ὡς» γραφείη «οὐχί» — (β) Δευτερον. ιγ', 5.

2. Ἢ οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν;

Οὐ καθήμενοι καὶ λόγον ἀπαιτοῦντες, ἀλλ' ὥσπερ ὁ Χριστὸς εἴρηκε περὶ τῆς βασιλίσσης τοῦ Νότου καὶ τῶν Νινευϊτῶν, ὅτι κατακρινοῦσι τὴν γενεὰν ἐκείνην τῶν Ἰουδαίων (α)· οὕτω καὶ νῦν οὗτοι, ὅτε εἰς κατάκρισιν τῶν ἀπίστων ἔσονται ἐν ἡμέρᾳ κρίσεως. Τοὺς ἀπίστους γὰρ λέγει «κόσμον», ὡς καὶ ἀνωτέρω εἴρηται. Καὶ ἀπὸ τῆς πίστεως τούτων καὶ ὀρθῆς πολιτείας κατακριθήσεται ἡ ἀπιστία ἐκείνων, ὅτι τὸν αὐτὸν ἥλιον ὁρῶντες, καὶ τῶν αὐτῶν τοῖς ἁγίοις μετέχοντες πάντων, οὐκ ἐμιμήσαντο τὴν πίστιν καὶ τὸν βίον αὐτῶν.

2. Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;

Καὶ εἰ τῇ παραθέσει ὑμῶν καὶ συγκρίσει κατακρίνεται ὁ κόσμος, ὡς εἴρηται, παρὰ τοῦ κρίνοντος Θεοῦ, ἀνάξιόν ἐστι κρίνεσθαι ὑμᾶς ἐν τοῖς ἐλαχίστοις κριτηρίοις τῶν ἀπίστων, τοῖς ἀναξίοις ὑμῶν, καὶ αἰσχύνη ὑμῖν τοῦτο καὶ ὄνειδος.

3. Οὐκ οἴδατε, ὅτι καὶ (*) ἀγγέλους κρινοῦμεν; μήτι γε βιωτικά;

Καὶ τοῦτο κατ' ἐρώτησιν. «Ἀγγέλους» δὲ νῦν λέγει τοὺς δαίμονας, ὡς ὄντας ἀγγέλους πρότερον. Καὶ αὐτοὶ γὰρ ἀπὸ τῆς ἡμετέρας πολιτείας κατακριθήσονται, ὅτι τὰς ἐντολὰς τοῦ Δεσπότου φυλάξαντες τῶν ἀΰλων οἱ ἔνυλοι περιεγενόμεθα. Ἵνα μὴ λέγω, φησί, «βιωτικὰ» ἢ μὴ μόνον βιωτικὰ πράγματα.

4. Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ Ἐκκλησίᾳ τούτους καθίζετε.

Ἀπάγων αὐτοὺς παντελῶς τῶν ἐξωτικῶν δικαστηρίων, φησὶν ὅτι «ἐὰν ἔχητε βιωτικὰ κριτήρια», αὐτοὺς τούτους ἐν τῇ Ἐκκλησίᾳ καθίσατε δικαστάς, «τοὺς ἐξουθενημένους» ἐπὶ ἀμαθείᾳ τοῦ δικάζειν, ἢ ἐπὶ ἀμαθείᾳ ἁπλῶς. Πολλῷ γὰρ τοῦτο εὐσχημονέστερον τοῦ παρὰ τοῖς ἀπίστοις κρίνεσθαι. Καὶ πῶς ἐν τῇ πρὸς Ῥωμαίους ἐκέλευσεν

(α) Ματθ. ιβ', 41. 42.—(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων ὁ «καὶ» οὐ κεῖται.

ὑποτάσσεσθαι πάσῃ ἐξουσίᾳ, κἂν Ἕλλην ὁ δικάζων ᾖ; (α) Ἐκεῖ μὲν μὴ ἀπειθεῖν αὐτοῖς, ἐν οἷς προςήκει πείθεσθαι, διετάξατο. Ἐνταῦθα δὲ μὴ φοιτᾶν πρὸς αὐτοὺς χάριν τοῦ δικάζεσθαι παρακελεύεται.

5. Πρὸς ἐντροπὴν ὑμῖν λέγω.

Τὸ «καθίζετε τοὺς ἐξουθενημένους», ὡς ἀπορούντων ἀξιολόγων ἀνδρῶν, καὶ ὡς εἰς τοσαύτην δυςτυχίαν ἐληλακότων.

5. Οὕτως οὐκ ἔνι ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς δυνήσεται διακρῖναι ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ;

Καὶ τοῦτο κατ' ἐρώτησιν ἐντρέπουσαν. Οὕτως ἐξηυτελίσθητε. «Ἀναμέσον δὲ τοῦ ἀδελφοῦ αὐτοῦ» εἰπών, καὶ τὸν ἀντικρινόμενον ἐνέφηνεν. Ἐντεῦθεν δὲ δῆλον πλέον, ὡς καθαπτόμενος αὐτῶν ἐκέλευσε κριτὰς καθίζειν τοὺς ἐξουθενημένους. Τοῖς σοφοῖς γὰρ μᾶλλον ἐπιτρέπειν βούλεται τὰ τοῦ κρίνειν. Εἶτα ἀναιρεῖ καὶ τὸ ὅλως δικάζεσθαι μετά τινος.

6. Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων;

Καὶ ταῦτα κατ' ἐρώτησιν. Ἀλλ' ὅλως δικάζεται ἀδελφός, φησί, μετὰ ἀδελφοῦ. Καὶ τοῦτο ποιεῖ ἐπὶ ἀπίστων δικαστῶν. Διπλοῦν γὰρ τὸ ἔγκλημα, ὅτι τε κρίνεται καὶ ὅτι ἐπὶ ἀπίστων.

7. Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν.

Λοιπὸν οὖν «ἥττημα ὑμῖν ἐστιν» ὅτι ὅλως κρίσεις ἔχετε μετ' ἀλλήλων. Ἐλάττωμα ὑμῖν τοῦτο καὶ ἁμαρτία.

7. Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε;

Οὐ μᾶλλον ἀδικεῖσθε, παρὰ δικάζεσθε; Εἰ δὲ τὸ μὴ φέρειν ἀδικουμένους ἔγκλημα, τὸ καὶ ἀδικεῖν ἑτέρους πόσης ἄρα κατηγορίας;

7. Διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;

Οὐ ζημιοῦσθε μᾶλλον;

(α) Ῥωμ. ιγ', 1.

8. Ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε· καὶ ταῦτα ἀδελφούς;

Δέον μηδὲ ἀλλοτρίους;

9. Ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομή-
10. σουσι; μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι.

«Μὴ πλανᾶσθε» εἶπε· διότι τινὲς ἔλεγον ὅτι φιλάνθρωπος ὢν ὁ Θεὸς καὶ ἀγαθὸς οὐκ ἐπεξέρχεται τοῖς πλημμελήσασιν. Εἶτα πρῶτον τίθησι τὴν ἤδη προκαταγνωσθεῖσαν πορνείαν. Τινὲς δὲ καὶ ἕτερον προςτιθέασιν ἀρνητικὸν μόριον, «οὐ κληρονομήσουσιν» ἀναγινώσκοντες εἰς πλείονα βεβαίωσιν τῆς ἀπαγορεύσεως (α). Ἄλλοι δὲ ἐπελάβοντο τοῦ Ἀποστόλου ὡς τὴν μέθην καὶ τὴν λοιδορίαν ταῖς χαλεπωτάταις πλημμελείαις συντάξαντος (β), πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι οὐ περὶ κολάσεως ὁ λόγος, ἀλλ᾽ ὅτι ὁμοίως οὗτοί τε κἀκεῖνοι τῆς βασιλείας ἐκπεσοῦνται, ἀμετανόητοι μείναντες. Εἰ δὲ ἐν τῇ κολάσει διαφορὰν ἕξουσιν, ἑτέρου τοῦτο λόγου, καὶ οὐ τοῦ παρόντος. Διὰ μέν τοι τῶν ῥηθέντων καὶ τὰ ἄλλα ἐγκλήματα ἐνέφηνεν· οἷον φόνον, φαρμακείαν, γοητείαν, ἐπιορκίαν καὶ τὰ τοιαῦτα.

11. Καὶ ταῦτά τινες ἦτε·

Καὶ ταῦτα, τὰ μνημονευθέντα, τινὲς ὑμῶν ἦτε πρότερον· οἷον ἄδικοι, μοιχοί, μαλακοὶ καὶ τὰ ἑξῆς.

11. Ἀλλὰ ἀπελούσασθε,

Ἐκαθάρθητε τούτων τῷ θείῳ λουτρῷ τοῦ βαπτίσματος.

11. Ἀλλὰ ἡγιάσθητε,

Τῇ μετοχῇ τοῦ ἁγίου Πνεύματος.

11. Ἀλλ᾽ ἐδικαιώθητε

(α) Θεοδώρ. ἐν λ. Τόμ. Γ΄, σελ. 269. Οἰκουμ. ἐν λ. Ὁ δὲ Χρυσόστομος ἐν λ. (Τόμ. Ι΄, Ὁμιλ. ΙΖ΄, σελ. 136) ἀναγινώσκει ἄνευ τοῦ ἀρνητικοῦ μορίου («οὐχ ἅρπα» γες βασιλείαν Θεοῦ κληρονομήσουσιν»), ᾧ συμφωνεῖ καὶ ὁ Συγγραφεύς. — (β) Ἐπιθι τὰ παρὰ Χρυσοστόμῳ ἔνθ. ἀνωτ.

Δίκαιοι γεγόνατε, οὐ μόνον ἀπαλλαγέντες τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ χαρισμάτων ἀξιωθέντες.

11. Ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ,

Τῶν τοσούτων δὲ καὶ τηλικούτων εὐεργεσιῶν ἐτύχετε διὰ τοῦ Χριστοῦ.

11. Καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

Καὶ διὰ τοῦ ἁγίου Πνεύματος. Ἢ καὶ διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· ἤτοι τοῦ Πατρός, ἄρα καὶ δι' αὐτοῦ.

12. Πάντα μοι ἔξεστι,

Μέλλων ἐπὶ τὸν πεπορνευκότα φέρεσθαι πάλιν προδιασύρει τὴν γαστριμαργίαν, ὡς αἰτίαν τῆς ἀκολαστίας καί φησι· «πάντα μοι ἔξεστι», καὶ τὸ φαγεῖν καὶ τὸ πιεῖν καὶ τὸ τρυφᾶν.

12. Ἀλλ' οὐ πάντα συμφέρει·

Ἀλλ' οὐ τὸ πέρα τοῦ δέοντος φαγεῖν ἢ πιεῖν, οὐδὲ τὸ τρυφᾶν συμφέρει μοι· ἐκκαίει γὰρ εἰς ἀτόπους ἐπιθυμίας.

12. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.

Ἀποστρέψας ἀπὸ τοῦ ἀσυμφόρου, νῦν τοῦτο ποιεῖ καὶ ἀπὸ τοῦ ἐναντίου, δεικνὺς ὅτι μεμετρημένοις μὲν χρώμενος ἐξουσιάζω τοῦ φαγεῖν καὶ πιεῖν· ἀμέτροις δὲ τοὐναντίον πείσομαι· δουλεύσω γὰρ μᾶλλον τῷ πάθει. Ἀλλ' οὐ δουλεύσω τινὶ ἁμαρτήματι, φρένας ἔχων.

13. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν.

«Βρώματα» μὲν λέγει νῦν τὰ περιττά, ἤγουν τὴν τρυφήν· διὸ καὶ «βρώματα» πληθυντικῶς εἶπεν. «Κοιλίαν» δὲ οὐ τὴν σωματικὴν γαστέρα, ἀλλὰ τὴν γαστριμαργίαν, ὡς ὅτε λέγει «ὧν ὁ Θεὸς ἡ κοιλία» (α)· τουτέστιν ἡ ἀδηφαγία. Φησὶν οὖν ὅτι ἡ τρυφὴ τῇ γαστριμαργίᾳ ᾠκείωται, καὶ πρὸς ταύτην ὁρᾷ καὶ φέρει, ἀλλ' οὐ πρὸς Θεόν. Καὶ αὖθις· τὸ πάθος τῆς γαστριμαργίας τῇ τρυφῇ πεφιλίωται, καὶ

(α) Φιλιππ. γ', 19.

πρὸς ταύτην βλέπει καὶ ἄγει, καὶ οὐ πρὸς Θεόν· καὶ ἀλλήλοις ἀεὶ ταῦτα διακονοῦσι, δρόμον τινὰ ἀνήνυτον ἀνελίττοντα.

13. Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει.

Ἀργὰ καὶ ἄπρακτα ποιήσει καὶ παύσει ἐν τῷ σπουδάζοντι καὶ φεύγοντι ταῦτα. Τινὲς δὲ προφητείαν τοῦτο λέγουσι περὶ τῆς μελλούσης καταστάσεως, ὅτι ἐκεῖ ἀργήσει καὶ ἡ τροφὴ αὐτη, καὶ τὸ δοχεῖον αὐτῆς (α). Διὰ δὲ τῶν βρωμάτων καὶ τὰ πόματα περιληπτικῶς νοοῦνται. Εἰ δὲ τὰ σύμμετρα ἀργήσει, πολλῷ μᾶλλον τὰ ἄμετρα.

13. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ,

Τὸ δὲ ἐκ τῶν βρωμάτων τρεφόμενον σῶμα οὐ διὰ τὴν πορνείαν ἐκτίσθη, ἀλλὰ διὰ τὸν Θεόν. Οὐχ ὥςτε πορνεύειν, ἀλλ' ὥςτε ὑποκεῖσθαι τῷ Θεῷ διὰ μέσης τῆς ψυχῆς, καὶ ἕπεσθαι τῷ Κυρίῳ ὡς κεφαλῇ, καὶ οὐ τῇ πορνείᾳ δουλεύειν, ἀλλὰ τῷ Θεῷ. Ἐντεῦθεν οὖν δῆλον ὅτι «κοιλίαν» οὐ τὸ μέλος ὠνόμασε (σῶμα γὰρ καὶ ἡ κοιλία, περὶ οὗ λέγει νῦν εἰδικῶς), ἵνα μὴ νομίσῃ τις αἴτιον γίνεσθαι τοῦτο τῆς πορνείας. Ἡ γὰρ ἀμετρία τῆς τροφῆς καὶ ἡ ἀσωτία αἴτιον.

13. Καὶ ὁ Κύριος τῷ σώματι.

Ἐπίκειται ὡς κεφαλὴ αὐτοῦ.

14. Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ.

Ἔτι καὶ ἀπὸ τῆς παγκοσμίου ἀναστάσεως φοβεῖ καὶ ἀποτρέπει τῆς γαστριμαργίας. Ἐπεὶ γάρ, φησίν, ὁ Χριστὸς κεφαλὴ ἡμῶν, ἤγειρε δὲ τὴν κεφαλὴν ὁ Θεός, ἄρα καὶ ἡμᾶς, τὸ λοιπὸν σῶμα τῆς κεφαλῆς, ἐγερεῖ. Ἐπεὶ δὲ καὶ παράδοξον τοῦτο ἐδόκει καὶ ἄπιστον, προςέθηκε·

14. Διὰ τῆς δυνάμεως αὐτοῦ.

Ἐντεῦθεν ἀξιόπιστον ἐποίησε τὸν λόγον. Ὁ γὰρ Θεὸς πάντα δύναται. Τῷ Πατρὶ δὲ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐπέγραψε, πρὸς εἰδότας γράφων· ᾔδεσαν γὰρ ὅτι ἅπερ ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ

(α) Θεοδώρ. ἔνθα ἀνωτ. Ὁ δὲ Φώτιος (;) παρ' Οἰκουμ. (ἐν λ.) φησί· «τὴν παραίνεσιν ὁ Ἀπόστολος εὐχῇ ἐπεσφράγισεν, ἀντὶ τοῦ «ἂν ποτε καὶ ταύτην, ἤγουν τὴν ἀμετρίαν, καὶ ταῦτα, ἤγουν τὴν τρυφήν, ὁ Θεὸς καταργήσῃ».

Υἱὸς ποιεῖ (α), καὶ ἀδιάφορον τὸ ἀνατιθέναι εἴτε τῷ Πατρί, εἴτε τῷ Υἱῷ τὰς θεοπρεπεῖς ἐνεργείας. Ἐτρύφησας, φησί· τί τὸ πέρας; φθορὰ μόνον. Συνεζεύχθης ὡς κεφαλῇ τῷ Χριστῷ; τί τὸ τέλος; ἀνάστασις, πάντα λόγον ὑπερβαίνουσα.

15. Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν;

Ἐπειδὴ εἶπεν, ὅτι «τὸ σῶμα τῷ Κυρίῳ», νῦν σαφηνίζει τὸν λόγον. Καὶ ἀλλαχοῦ δέ φησιν· «ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ »μέρους» (β). Καὶ πολλάκις τοῦτο γράφει, ποτὲ μὲν εἰς ἔμφασιν ἀγάπης, ποτὲ δὲ εἰς αὔξησιν φόβου, ὥσπερ καὶ νῦν.

15. Ἆρα (*) οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη;

Φοβερὸς ὁ λόγος. Διὸ καὶ ταχέως ἐπήγαγε·

15. Μὴ γένοιτο.

Τοῦτο ποιῆσαι.

16. Ἢ οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν;

Ἓν μετ' αὐτῆς. Καὶ πόθεν δῆλον;

16. «Ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν».

Ἐν τῇ βίβλῳ τῆς Γενέσεως τοῦτο κεῖται περὶ τῆς συναφείας τοῦ ἐννόμου γάμου εἰρημένον (γ). Ὁ δ' Ἀπόστολος μετήνεγκε τοῦτο καὶ πρὸς τὴν παράνομον συνάφειαν.

17. Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν.

Ὁ δὲ κολλώμενος τῷ Χριστῷ διὰ τῆς κατὰ τὴν ὁμοίωσιν καὶ μίμησιν συναφείας ἓν μετ' αὐτοῦ πνευματικῶς ἐστιν.

18. Φεύγετε τὴν πορνείαν.

Διὰ τῆς πορνείας πᾶσαν παράνομον μῖξιν δηλοῖ.

(α) Ἰωάνν. ε', 19. — (β) Α' Κορινθ. ιβ', 27. — (*) Οὕτω καὶ τὸ ἐν τῇ τοῦ Μονάχου Βιβλιοθήκῃ χειρόγραφον «ἆρ' οὖν» (ὅρα F. M. n. Testam. ἐν λ.), παρὰ τὴν κοινὴν γραφὴν «ἄρας». — (γ) Γέν. β', 24.

18. Πᾶν ἁμάρτημα, ὃ ἂν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.

Δεῖξαι χαλεπήν τε καὶ φευκτὴν βουλόμενος τὴν πορνείαν, ἐπεὶ οὐκ ἐνῆν εἰπεῖν, ὅτι πάντων χείρων ἐστίν, ἑτέρως αὐτὴν ηὔξησεν. Εἰδὼς γὰρ ὅτι οἱ ἀκολασταίνοντες λουτρῷ χρῶνται μετὰ τὴν ἁμαρτίαν, ὥςπερ ἀποκαθαίρειν τὸ σῶμα νομίζοντες, ὡς ἤδη μολυνθὲν ὅλον καὶ διόλου βδελυκτὸν γενόμενον, ἐντεῦθεν κατασκευάζει τὸ μέγεθος τῷ ἐγκλήματι καί φησι· πᾶσα ἄλλη ἁμαρτία ἐκτὸς τοῦ σώματός ἐστι· τουτέστιν οὐ ῥυποῖ τὸ σῶμα, ὡς δοκεῖ τισιν, ἀλλὰ τὴν ψυχήν. Ἢ οὐ μολύνει ὅλον τὸ σῶμα, ἀλλ᾽ ἢ μόνον τὰς χεῖρας, ὡς ἐπὶ τοῦ φονέως καὶ τοῦ πλήκτου καὶ τοῦ ἅρπαγος καὶ τῶν τοιούτων· ἢ τὴν γλῶσσαν, ὡς ἐπὶ τοῦ βλαςφημοῦντος καὶ λοιδοροῦντος καὶ συκοφαντοῦντος καὶ ὑβρίζοντος· ἢ ἄλλο τι μέρος. Ὁ δὲ ἀκολασταίνων εἰς ὅλον τὸ ἴδιον σῶμα ἁμαρτάνει· ὅλον ὑβρίζει· ὅλον μολύνει μετὰ τῆς ψυχῆς. Κἂν γοῦν ἀφ᾽ ὧν οἴονταί τινες, παιδεύθητε καὶ βδελύξασθε τὴν πορνείαν, ὡς ῥυπωτικὴν καὶ κατάπτυστον. Τινὲς δὲ (α) καὶ ἑτέρως εἶπον· ὅτι πᾶσα ἁμαρτία οὐκ ἀδικεῖ τὸ σῶμα τοῦ ἁμαρτάνοντος, ὁ δὲ ἀσελγαίνων αὐτὸ τὸ ἴδιον σῶμα ζημιοῖ, λυμαινόμενος καὶ φθείρων τὴν οὐσίαν αὐτοῦ τῇ ἀκολάστῳ ῥύσει καὶ ταλαίπωρον αὐτὸ ἐργαζόμενος.

19. Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ,

Ὅρα πῶς καὶ ὑψηλοὺς αὐτοὺς ἐποίησε, ναοὺς τοῦ ἁγίου Πνεύματος ὀνομάσας, οὗ ἠξιώθησαν βαπτισθέντες, καὶ ἐφόβησε τῷ μεγέθει τῆς παρακαταθήκης. Μὴ τοίνυν μολύνετε τὸν ναὸν τοῦ ἁγίου Πνεύματος.

19. Καὶ οὐκ ἐστὲ ἑαυτῶν;

Κύριοι δηλονότι· οὐ τὸ αὐτεξούσιον δὲ ἀναιρῶν εἶπεν οὕτως· πῶς γὰρ ὁ πρὸ μικροῦ λέγων «πάντα μοι ἔξεστιν», οὐδὲ γὰρ νῦν εἶπεν,

---

(α) Διὰ τοῦ «τινὲς» ὁ Συγγραφεὺς αἰνίσσεται, οἶμαι, κυρίως τὸν Νύσσης Γρηγόριον, ὃς καὶ λόγον ἴδιον συνεγράψατο, θέμα λαβὼν τὸ ῥητὸν τοῦτο τοῦ Ἀποστόλου (Ὅρ. τοῦτον ἐν Τόμ. Γ΄, σελ. 490). Ὅτι τὰ ἐν τῷ κειμένῳ ἠρανίσατο ὁ Συγγραφεὺς ἐξ αὐτοῦ, δῆλον ἐκ τῆς ἀντιπαραβολῆς. Ἐπιθι δὲ καὶ τὰ τοῦ Οἰκουμενίου ἐν λ.

ὅτι ὑπὸ ἀνάγκην ἐστέ, ἀλλ' ὅτι οὐκ ἐξουσιάζετε ἑαυτῶν εἰς τὸ πάλιν ὑποκεῖσθαι τῷ διαβόλῳ καὶ τοῖς ἐπιτάγμασιν αὐτοῦ, λέγω δὴ ταῖς ἁμαρτίαις;

20. Ἠγοράσθητε γὰρ τιμῆς·

Αἰχμαλωτισθέντες γὰρ πρότερον ὑπὸ τοῦ διαβόλου, νῦν ἠγοράσθητε παρὰ τοῦ Χριστοῦ τιμῆς ὑπερτίμου· φημὶ δὴ τοῦ αἵματος αὐτοῦ. Ἀναμιμνήσκει δὲ τοῦ μεγέθους τῆς εὐεργεσίας καὶ τοῦ τρόπου τῆς σωτηρίας ἡμῶν, δεικνὺς ὅτι ἀλλοτριωθέντας ἐκτήσατο πάλιν. Ὥςτε τὸ «οὐκ ἐστε ἑαυτῶν» καὶ οἰκειώσεως τῆς πρὸς τὸν Δεσπότην ἐστιν ἐμφαντικόν.

20. Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν,

Τιμήσατε, θεραπεύσατε τὸν Θεὸν ἐν σώματι καὶ ψυχῇ, μὴ μόνον πράξεων ἀπρεπῶν ἀπεχόμενοι, ἀλλὰ καὶ λογισμῶν πονηρῶν. Πανταχόθεν γὰρ καθαρευόντων ὑμῶν, δοξάζεται ὁ Θεός. Εὐδοκίμησις γὰρ δούλων δόξα τῷ δεσπότῃ.

20. Ἅτινά ἐστι τοῦ Θεοῦ.

Τὸ σῶμα δηλονότι καὶ ἡ ψυχή· δοῦλα γὰρ αὐτοῦ καὶ ὡς ὑπ' αὐτοῦ κτισθέντα, καὶ ὡς κτισθέντα αὐτῷ τιμῆς. Μὴ τοίνυν ὑβρίζετε τὰ τοῦ Δεσπότου.

ΚΕΦΑΛΑΙΟΝ ΕΒΔΟΜΟΝ

Δ' Περὶ γάμου καὶ χηρείας καὶ ἀγαμίας·
ἐν ᾧ περὶ τοῦ μὴ χωρίζεσθαι ἄνδρας γυναικῶν, μηδὲ εἰ ἄπιστοι εἶεν οἱ ἕτεροι·
περὶ ἀγνείας καὶ διγαμίας.

1. Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ
2. ἅπτεσθαι. Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω.

Ἐπειγόμενοι γὰρ ὑψηλοτέρας ἅψασθαι πολιτείας ἠρώτησαν διὰ

γραφῆς, εἰ χρὴ γυναικὸς ἀπέχεσθαι· πρὸς ὃ λοιπὸν ἀντιγράφει, ποιούμενος τὴν ἀρχὴν ἀπὸ τῶν ἐν γάμῳ, «Καλόν, φησί, τῷ ἀνθρώπῳ γυ» ναικὸς μὴ ἅπτεσθαι», ἀλλ' ἐγκρατεύεσθαι τοῦ λοιποῦ καὶ ἁγνίζεσθαι καὶ ἁγιάζεσθαι κατὰ μίμησιν τῶν παρθενευόντων. «Διὰ δὲ τὰς » πορνείας», αἷς περιπίπτουσιν οἱ ἐγκρατεύεσθαι μὴ δυνάμενοι, κεχρήσθωσαν ἀλλήλοις εἰς συνουσίαν (τοῦτο γὰρ δηλοῖ τὸ «ἐχέτωσαν ἀλ» λήλους»), ἵνα διάγοντες ἐν λιμένι μὴ ναυαγήσωσιν. Καλόν, φησί, τὸ πρῶτον, ἤγουν βέλτιον καὶ ἄμεινον, ὡς ἁγνίζον· ἀσφαλὲς δὲ τὸ δεύτερον, ὡς οὐ συγχωροῦν πίπτειν εἰς πορνείαν. Ἀλλ' οὕτω μὲν εἰδικῶς περὶ τῶν ἐν γάμῳ διαγόντων τηνικαῦτα Κορινθίοις, ὑφ' ὧν ἡ ἐρώτησις. Ἐκλάβοι δ' ἄν τις καὶ καθολικώτερον τὸν λόγον, ὅτι καλὸν ἀνθρώπῳ πιστῷ οὐ μόνον τῷ ἐν γάμῳ, ἀλλὰ καὶ τῷ ἀπείρῳ γάμου γυναικὸς μὴ ἅπτεσθαι· ἀλλὰ τὸν μὲν ἁγνίζεσθαι κατὰ μίμησιν, ὡς εἴρηται, τῶν παρθενευόντων, τὸν δὲ ἁγνεύειν κατὰ μίμησιν τῶν ἀγγέλων. Εἶτα τὸ ἑξῆς περὶ τῶν ἐν γάμῳ, καθὼς ἡρμήνευται.

3. Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν διδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί.

Ὀφείλουσι γὰρ ἀλλήλοις εὔνοιαν, ὡς ἰδίοις μέλεσιν· «ἔσονται γάρ, » φησίν, οἱ δύο εἰς σάρκα μίαν» (α). Εὐνοοῦντες δὲ ἀλλήλοις καὶ ὁμογνωμονοῦντες οὐ περὶ τὴν συνουσίαν διαστασιάσουσιν.

4. Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.

Καὶ μὴν τὴν γυναῖκα τῷ ἀνδρὶ κατ' ἀρχὰς ὁ Θεὸς ὑποτάττων, εἶπεν ὅτι «αὐτός σου κυριεύσει» (β). Λοιπὸν οὖν ἐξουσιάζει τοῦ σώματος τοῦ ἀνδρὸς αὐτῆς εἰς μόνον τὸ συνουσιάζειν, ὅτε καὶ βούλοιτο. Περὶ ταύτης γὰρ τῆς ἐξουσίας ὁ λόγος νῦν, ἵνα μὴ ἡ θατέρου μέρους ἐγκράτεια πορνείας αἰτία θατέρῳ γένηται, μὴ δυναμένῳ κρατῆσαι τῆς ἐπιθυμίας. Χρὴ τοίνυν ἕπεσθαι τῷ βουλομένῳ τὸ μὴ βουλόμενον μέρος, ὡς ἐπὶ τῷ ἐρῶντι κειμένης τῆς ἐξουσίας τοῦ συνουσιάζειν διὰ τὴν ἀσθένειαν αὐτοῦ.

(α) Ἐφεσ. ε', 31. — (β) Γέν. γ', 16.

5. Μὴ ἀποστερεῖτε ἀλλήλους,

Τῆς συνουσίας δηλονότι. Ὁ γὰρ μὴ τοῦ ἰδίου σώματος ἐξουσιάζων ἐν ταῖς μίξεσιν εἰ ἀντιτείνοι, πάντως ἀποστερεῖ, μὴ συγχωρῶν τὸ ὑπ' ἄλλην κείμενον ἐξουσίαν.

5. Εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν,

Εἰ μὴ ἐκ συμφώνου ἂν ἀμφότεροι, περιττεύοντος τοῦ «τι». Ἢ «εἰ μή τι ἂν» δόξῃ δηλαδή. Εἶτα λέγει καὶ τὸν καιρόν·

5. Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ·

Εἰ γὰρ καὶ τίμιος ὁ γάμος, ὡς πάλιν οὗτός φησιν, οἷα θεόθεν ἐπιτετραμμένος καὶ ἔννομος, ἀλλ' οὐ μολύνει μέν, ἀσχολίαν δὲ ἐμποιεῖ τοῖς συνουσιάζουσι. τῆς ἐντεῦθεν ἡδονῆς διαχεούσης τὸν νοῦν καὶ χαυνούσης τὴν ψυχήν. Δεῖ δὲ ἡμᾶς ἐν τοῖς εἰρημένοις καιροῖς συντεταγμένους εἶναι καὶ προσέχοντας καὶ πάσης σωματικῆς ἀνέσεως ἀπεσχοινισμένους. «Νηστείαν» δὲ λέγει τὴν ὑπὲρ τῆς μεταλήψεως τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος· ἄτοπον γὰρ Ἰουδαίους μὲν νηπιώδεις ἁγνίζεσθαι ἀπὸ γαμικῆς ὁμιλίας, μέλλοντας ἀκοῦσαι θείας φωνῆς παρὰ τῷ ὄρει Σινᾷ (α), ἡμᾶς δὲ τοὺς ἄνδρας μέλλοντας φρικτοῖς προσιέναι μυστηρίοις, καὶ τηλικαύτης ἀξιωθῆναι χάριτος, μηδ' εἰς τὴν αὐτὴν ἐκείνης ἀφικέσθαι σπουδήν. Καὶ Ἰωὴλ δὲ λέγων «ἁγιάσατε νηστείαν καὶ τὰ ἑξῆς», ἐπήγαγεν· «ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς» (β). Εἰ δὲ νυμφίον καὶ νύμφην, οἷς ἀκμάζει τὰ τῆς ἐπιθυμίας, οἷς ὁ ἔρως ἀκάθεκτος, οὐ χρὴ συνεῖναι κατὰ τὸν τῆς νηστείας καιρόν, πολλῷ μᾶλλον τοὺς οὐκ ἔχοντας ἀνάγκην μίξεως. Καὶ προσευχὴν δὲ οὐ τὴν ἀδιαλείπτως ἐνταλθεῖσαν λέγει· εἰ γὰρ ἐν ταύτῃ συνουσίας ἀφέξονται, πότε συνουσιάσουσιν; «Ἀδιαλείπτως γάρ, φησί, προσεύχεσθε» (γ). Οὐ ταύτην οὖν λέγει νῦν, ἀλλὰ τὴν σπουδαιοτάτην, ὅτε χρεία πικρῶν δακρύων καὶ στεναγμῶν καὶ κακοπαθείας, οὐκ ἀνέσεως καὶ περιπλοκῆς καὶ ἡδυπαθείας. Μόγις γὰρ ἂν καὶ οὕτως ἐξιλεωθείη Θεός, οὐχ ὅτι δυσκατάλλακτός ἐστιν, ἀλλ' ἡ ὑπερβολὴ τῶν ἡμετέρων ἁμαρτημάτων ἐμ-

(α) Ἔξοδ. ιθ', 10. — (β) Ἰωὴλ β', 16. — (γ) Α' Θεσσ. ε', 17.

ποδίζει τῇ ὑπερβολῇ τῆς αὐτοῦ χρηστότητος καὶ οὐκ ἐᾷ ταχέως ἐπικαμφθῆναι.

5. Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε,

Εἶτα λέγει καὶ τὴν αἰτίαν τῆς συνελεύσεως καὶ αὖθις μίξεως·

5. Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

Ἵνα μὴ ἀναγκάζῃ ἡμᾶς εἰς πορνείαν. Προστίθησι δὲ καὶ τὴν αἰτίαν τοῦ πειρασμοῦ, ὅτι «διὰ τὴν ἀκρασίαν ὑμῶν», διὰ τὸ μὴ κρατεῖν τῆς ὀρέξεως. Καὶ ἀνωτέρω δὲ αἴτιον τῆς παραινέσεως τοῦ μὴ χαρίζεσθαι τὴν πορνείαν ἀντέθηκεν· οὐ μόνος γὰρ ὁ διάβολος, ἀλλὰ καὶ ἡ ἀκρασία τῶν ἀνθρώπων ἡ ἐκ ῥᾳθυμίας εἰς ἀσέλγειαν συνελαύνει. Ἵνα δὲ μή τις εἴπῃ· πῶς κελεύεις μὴ ἀποστερεῖν ἀλλήλους, εἴ τις ἁγνεύειν βούλοιτο, ἀπολογεῖται λέγων·

6. Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. Θέλω
7. γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν·

«Κατὰ συγγνώμην»· κατὰ συγκατάβασιν διὰ τὴν ἀσθένειαν ὑμῶν, «οὐ κατ' ἐπιταγὴν» δεσποτικὴν ἢ ἰδίαν. Εἰ γὰρ τὸ ἐμὸν θέλημα βούλεσθε μαθεῖν, θέλω πάντας ἀνθρώπους, τοὺς ἐμοὶ μαθητευομένους, εἶναι ὡς καὶ ἐμαυτόν, γυναικὸς ἀπεχομένους καὶ ἁγνεύοντας(α). Θέλω μὲν οὖν ἐγὼ τοῦτο, οὐ θέλουσι δὲ τοῦτο καὶ πάντες. Ἵνα δὲ μὴ δόξῃ ἑαυτὸν ἐπαίρειν, θεραπεύει τὸν λόγον·

7. Ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.

Ἀλλ' οὐ τῆς ἐμῆς, φησί, τοῦτο σπουδῆς, ἀλλὰ τῆς βοηθείας τοῦ Θεοῦ, συνεφαπτομένου τοῖς σπουδάζουσι καὶ χαριζομένου τὸ κατὰ πρόθεσιν. Ἕκαστος γὰρ ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ· ὃς μέν, ὥστε παρθενεύειν· ὃς δέ, ὥστε ἐν τῷ γάμῳ ἐγκρατεύεσθαι· ὃς δέ, ὥστε τῆς γυναικὸς τελευτησάσης μηκέτι γυναικὸς ἅψασθαι· τὸ γὰρ νικῆσαι τὴν βίαν τῆς φύσεως χάρισμα ἐκ Θεοῦ τοῖς ἀγωνιζομένοις διδόμενον. «Ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰ»κοδομοῦντες» (β).

(α) Θεοδώρ. ἐν λ. Τόμ. Γ', σελ. 273. «Ἑαυτὸν ἀρχέτυπον προὔθηκε τῆς οἰκείας »ἡμῖν ἁγνείας ἀναγκασθεὶς ἀποκαλύψαι τὸν πλοῦτον». — (β) Ψαλμ. ρκϛ', 1.

8. Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις καλὸν αὐτοῖς ἐστιν,
9. ἐὰν μείνωσιν ὡς κἀγώ. Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν.

Εἰπὼν περὶ τῶν ἐν γάμῳ, λέγει νῦν καὶ περὶ τῶν ἐν χηρείᾳ. «Ἀγάμους» γὰρ οὐ τοὺς παρθένους ἐνταῦθά φησιν, ἀλλὰ τοὺς ἀποβαλόντας ὁπωςδήποτε τὰς γαμετάς. Καὶ τοῦτο δῆλον ἀπὸ τῶν «χηρῶν», ἃς τούτοις συνέταξεν. Καλόν, φησίν, αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ἐν ἀγαμίᾳ διὰ τὸ ἀμέριμνόν τε καὶ ἀπερίσπαστον. Ὅπερ δὲ περὶ τῶν ἐν γάμῳ πεποίηκε, τοῦτο ποιεῖ καὶ νῦν. Ὑποδείκνυσι μὲν τὸ κρεῖττον, συγχωρεῖ δὲ καὶ τὸ ἔλαττον διὰ τὴν ἀσθένειαν τῶν πολλῶν. Ὅρα δὲ ὅπως τοῖς ἀγάμοις τούτοις συνέταξεν ἑαυτόν, οὐ τοῖς παρθένοις. «Ἐὰν μείνωσι, φησίν, ὡς κἀγώ», μηκέτι γάμῳ προςομιλοῦντες (α). Εἶτα τίθησι καὶ τὴν αἰτίαν, δι' ἣν συγχωρεῖ τοῖς μὴ δυναμένοις ἐγκρατεύεσθαι·

9. Κρεῖσσον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι.

Κρεῖσσον γάμῳ προςομιλεῖν ἢ πυροῦσθαι τῇ φλογὶ τῆς φιληδονίας, καὶ οἰστρηλατεῖσθαι πρὸς ἀσέλγειαν. «Χήρας» δὲ ἐνταῦθα λέγει οὐ τὰς ἐπηγγελμένας τῷ Θεῷ χηρεύειν ἀεὶ καὶ καταλεγείσας εἰς τὸ τῶν χηρῶν ἀξίωμα (τὰς γὰρ τοιαύτας καὶ σφόδρα καταδικάζει γάμον ἀνθαιρουμένας), ἀλλὰ τὰς ἁπλῶς χήρας φησὶ νῦν, τὰς μήπω ἐπηγγελμένας, ἀλλ' ἐν ἐξουσίᾳ διατελούσας τοῦ γῆμαι.

10. Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος,

Καὶ ἕτερόν τι τοῖς ἐν γάμῳ λέγει, δεσποτικὸν δὲ τοῦτο· διό φησιν· οὐκ ἐγὼ παραγγέλλω, ἀλλ' ὁ Κύριος. Τί δὲ παραγγέλλει;

10. Γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι. Ἐὰν δὲ καὶ χωρισθῇ,

(α) «Ὅρα δὲ ὅπως τοῖς ἀγάμοις τούτοις (τοῖς ἀποβαλοῦσιν ὁπωςδήποτε τὰς γαμετάς) » συνέταξεν ἑαυτόν, οὐ τοῖς παρθένοις». Ἐκ τούτων δῆλον ὅτι ὁ Συγγραφεὺς συντάσσεται τοῖς ἀτόπως δοξάζουσιν ὅτι ὁ Παῦλος ἐκ τῶν γάμῳ ποτὲ προςομιλησάντων ἦν (Ὅρ. Κλήμ. Ἀλεξ. παρ' Εὐσεβ. Ἐκκλ. Ἱστ. Γ', λ'. Ἰγνάτ. ἐν τῇ (διεσκευασμένῃ) πρὸς Φιλαδελφ. ζ'). Τὴν δὲ ὀρθὴν περὶ τούτου γνώμην πρεσβεύουσιν οἱ τάσσοντες τὸν Ἀπόστολον ἐν τῇ τῶν ἀγάμων χορείᾳ (Παρβλ. Tertull. de monog. c. 3. Ambrosiast. ad 2. Cor. 11,2. Hieron. adv. Jovian. I. c. 14. καὶ ep. 22. Θεοδώρ. (ἐν λ.), Οἰκουμ. (ἐν λ.) καὶ Θεοφύλ. (ἐν λ.).

11. μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.

Καὶ ποῦ τοῦτο παρήγγειλεν ὁ Κύριος; ἢ πάντως ἐν Εὐαγγελίοις. ἔνθα φησίν· «ὃ οὖν ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω» (α). Καὶ αὖθις· «ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ »παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι» (β) καὶ τὰ ἑξῆς. Σαφηνίζει δὲ τὸ συνεπαγόμενον ἐκεῖ· «Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω» φησί, μὴ γαμουμένη ἑτέρῳ διὰ τάς, ὡς εἰκός, γινομένας ζηλοτυπίας. Ἢ μὴ δυναμένη ἐγκρατεύεσθαι, τῷ ἀνδρὶ καταλλαγήτω, καὶ συνοικείτω πάλιν αὐτῷ. Ἐὰν γὰρ γαμηθῇ ἑτέρῳ, μοιχᾶται κατὰ τὸν τοῦ Κυρίου λόγον. Ταῦτα δὲ καὶ περὶ τοῦ ἀνδρός.

12. Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω καὶ (*) οὐχ ὁ Κύριος.

Ἐπεὶ ἔν τισι τῶν πρὸ τοῦ κηρύγματος συναφθέντων συνέβαινε τὸν ἄνδρα μὲν ἢ τὴν γυναῖκα πιστεῦσαι, θάτερον δὲ μέρος παραμεῖναι τῇ ἀπιστίᾳ, καὶ λοιπὸν ἐσκέπτετο τὸ πιστεῦσαν μέρος διαζυγῆσαι, περὶ τούτου διαλέγεται νῦν. «Ἐγώ, φησί, λέγω, οὐχ ὁ Κύριος», ἵνα μὴ δόξῃ καὶ τοῦτο ἐντολὴ ὑπὸ Κυρίου παραδοθεῖσα, καθάπερ τὸ προλαβόν. Ἐκεῖνο μὲν γὰρ ἐντεταλμένον ἦν ἐν Εὐαγγελίοις, ὡς δεδήλωται. Διὸ καὶ περὶ ἐκείνου εἴρηκεν «οὐκ ἐγὼ παραγγέλλω, ἀλλ' ὁ Κύ»ριος». Τοῦτο δὲ οὐδαμῶς. Διὸ καί φησιν· «ἐγὼ λέγω, οὐχ ὁ Κύριος». Τῶν νόμων γὰρ καὶ τῶν δογμάτων τοὺς μὲν δι' ἑαυτοῦ. τοὺς δὲ διὰ τῶν Ἀποστόλων δέδωκεν ἡμῖν ὁ Χριστός, εἰς τοῦτο κινήσας αὐτούς. Ὅτι γὰρ οὐ πάντα δι' ἑαυτοῦ τέθεικεν, ἄκουσον τί φησι· «πολλὰ ἔχω »λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι»(γ). Λοιπὸν οὖν καὶ τὰ παρὰ τῶν Ἀποστόλων δογματιζόμενα τοῦ Κυρίου εἰσί. Τοῦτο γὰρ δηλῶν ὁ Παῦλος ἑτέρωθι λέγει· «δοκῶ γὰρ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν» (δ). Τί γοῦν λέγει νῦν ὁ τὸν Χριστὸν λαλοῦντα ἔχων ἐν ἑαυτῷ;

12. Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ
13. οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. Καὶ γυνή, ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν.

(α) Ματθ. ιθ΄, 6. — (β) Αὐτόθ. ε΄, 32. — (*) Ἐν τοῖς δοκιμωτέροις τῶν ἀντιγράφων ὁ «καὶ» παραλείπεται. Ἀλλὰ καὶ ὁ Συγγραφεὺς παραλείπει αὐτὸν ἐν τῇ τοῦ ῥητοῦ ἐξηγήσει. — (γ) Ἰωάνν. ιϛ΄, 12.—(δ) Α΄ Κορινθ. ζ΄, 40.

Εἰ γὰρ συνευδοκοῖ καὶ καταδέχοιτο τοῦτο, πάντως οὐκ ἀναγκάζει πρὸς ἄρνησιν τῆς πίστεως. Εἰ δὲ μὴ ἀναγκάζοι, λοιπὸν οὐ χαλεπαίνει τῷ κηρύγματι καὶ προςδοκία τίς ἐστι μεταβολῆς, τοῦ γαμηλίου πόθου καταλλάττοντος πολλάκις καὶ πείθοντος. Ἵνα δὲ μὴ δοκῇ μιαίνεσθαι τὸ πιστεῦσαν μέρος ἀπὸ τῆς συνουσίας, λύει τὴν τοιαύτην ὑποψίαν λέγων·

14. Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί·

Οὕτω δὲ εἶπεν, ἵνα τῇ ὑπερβολῇ τοῦ ῥήματος τὸν φόβον ἐκλύσῃ. Κεκάθαρται διὰ τῆς πιστῆς γυναικὸς ὅσον πρὸς συνουσίαν.

14. Καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί·

Κατὰ τὸν ῥηθέντα λόγον. Ἀλλ' εἰ ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν, ὡς ἀνωτέρω εἴρηκε (α), πάντως καὶ ὁ κολλώμενος τῇ ἀπίστῳ ἓν σῶμά ἐστιν. Νικᾷ δὲ ἡ καθαρότης τοῦ πιστοῦ τὴν ἀκαθαρσίαν τοῦ ἀπίστου καὶ μεταδίδωσιν ἁγιότητος ὅσον εἰς μόνον συνάφειαν καὶ παιδοποιίαν. Καὶ ἡ μὲν πορνεία μιαρὸν καὶ κωλυόμενον, ὁ δὲ γάμος ἀμίαντον καὶ ἀκώλυτον. Λοιπὸν οὖν τὸ μὴ πιστεῦσαν μέρος καθαρὸν μὲν εἰς συνουσίαν διὰ τὴν καθαρότητα τοῦ πιστεύσαντος, ἀκάθαρτον δὲ τἄλλα διὰ τὴν ἰδίαν ἀπιστίαν.

14. Ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν.

Ἐξ ἡμισείας δηλονότι, ὡς θατέρου μέρους ἐν ἀκαθαρσίᾳ τεκνογονήσαντος.

14. Νῦν δὲ ἅγιά ἐστιν.

Εἰ μὴ ἡγίασται καὶ τὸ μὴ πιστεῦσαν μέρος, ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν. Νῦν δὲ οὐκ ἔστιν ἀκάθαρτα· διότι ἡγίασται κἀκεῖνο, καθὼς δεδήλωται.

15. Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω·

Εἰ δὲ τὸ ἄπιστον μέρος χωρίζεται, στασιάζον καὶ μὴ ἀνεχόμενον τὴν μετὰ τοῦ πεπιστευκότος συνοίκησιν, χωριζέσθω· κρεῖσσον γὰρ χωρίζεσθαι ἢ ἀπορρίπτειν τὴν πίστιν διὰ τὴν ἐκείνου θεραπείαν.

(α) Α' Κορινθ. ς', 16.

15. Οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις.

«Ἀδελφὸν» καὶ «ἀδελφὴν» λέγει τοὺς πιστεύσαντας. «Οὐ δεδού-»λωται», φησίν, ἐν τοῖς τοιούτοις ὥςπερ ἐν ἐκείνοις, ἐφ' ὧν εἴρηκεν, ὅτι οὐκ ἐξουσιάζουσι τῶν ἰδίων σωμάτων. Ἐνταῦθα γὰρ οὐχ οὕτως, ἀλλ' ἠλευθέρωται τῆς τοιαύτης ἐξουσίας, ὥςτε διαζευγνύεσθαι διὰ τὴν πρόδηλον πονηρίαν τοῦ χωριζομένου.

15. Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός·

Μετὰ εἰρήνης, ὥςτε μὴ μάχεσθαι περὶ τοῦ μὴ ἀφιέναι τὸν χωριζόμενον. «Κέκληκε δὲ ἡμᾶς» εἰς τὴν πίστιν. Χρὴ γὰρ μὴ ζυγομαχεῖν καὶ στασιάζειν περὶ τούτου, ἀλλ' ἐᾶν αὐτόν. Τινὲς δὲ ἑτέρως ἡρμήνευσαν, ὅτι «ἐν εἰρήνῃ κέκληκεν ἡμᾶς» ἵνα εἰρηνεύωμεν, εἰ δυνατόν, μετὰ τοῦ χωριζομένου καὶ μὴ λύωμεν τὸ συνοικέσιον, εἰ μήπου πρὸς ἄρνησιν τῆς πίστεως ἀναγκάζοι· τότε γὰρ παντὶ τρόπῳ διαζευκτέον.

16. Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις ἢ μή; (*)

Τοῦτο τὴν ἀναφορὰν ἔχει πρὸς τὸ «εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄ»πιστον» καὶ τὰ ἑξῆς. Ἄδηλον, φησίν, εἰ σύ, τὸ πιστεῦσαν μέρος, σώσεις τὸ μὴ πιστεῦσαν ἢ μὴ σώσεις· εἰκὸς γὰρ τοῦτο καλοκαγαθίᾳ καὶ παραινέσει κατὰ μικρὸν εἰς τὴν εὐσέβειαν ἀναχθῆναι, συναιρομένου τὰ πολλὰ καὶ τοῦ γαμηλίου πόθου καὶ πείθοντος. Ἐπεὶ δὲ ἄδηλον τὸ πρᾶγμα, παραμένειν προςήκει. Μὴ σώσας μὲν γάρ, οὐδὲν ἐβλάβης· σώσας δέ, καὶ ὠφέλησας καὶ ὠφελήθης τὰ μέγιστα.

17. Ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός, ἕκαστον ὡς κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω.

(*) Ἐν ἄλλ. «εἰ μή», ὅπερ ὁ Οἰκουμένιος ἐπισυνάπτει τοῖς ἑπομένοις «ἑκάστῳ ὡς» κ.ἑξ. Ὁ δὲ Θεοφύλακτος ὡς πρὸς τὴν στίξιν τε καὶ τὴν ἐξήγησιν τοῦ «εἰ μή» προςτίθησι τάδε· «τινὲς οὕτως ἀνέγνωσαν· «τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις ἢ μή»; Εἶτα » ἀπ' ἄλλης ἀρχῆς «ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός». Τουτέστι πόθεν οἶδας, κἂν τε σώ» σῃς, κἄν τε καὶ μή; ἄδηλον πάντως. Ἀδήλου δὲ ὄντος, οὐ δεῖ λύειν τὸν γάμον... » Ἀλλ' οὐχ οὕτως ὁ ἐν ἁγίοις Ἰωάννης ἀνέγνω, ἀλλὰ «εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ » Θεός»· ὃ καὶ βέλτιον πάντως· ὡςανεὶ γὰρ εἶπεν ὁ Ἀπόστολος· οὐ γίνεται ὁ χωρι» σμὸς διὰ τὴν ἀπιστίαν «εἰ μὴ ἑκάστῳ» ἀντὶ τοῦ «ἕκαστος» οὕτως ἐχέτω, ὡς ηὐδό» κησεν αὐτὸν ὁ Θεός. Γυναῖκα ἔχων ἄπιστον ἐκλήθης; μένε ἔχων, καὶ μὴ διὰ τὴν ἀπι» στίαν ἐκβάλῃς».

Ὡς ἐμέρισεν ὁ Θεὸς ἑκάστῳ τὰ κατὰ τὴν πίστιν· τουτέστιν ὡς κέκληκεν ὁ Κύριος εἰς τὴν πίστιν ἕκαστον, οὕτω περιπατείτω, οὕτω πολιτευέσθω. Οἷον· ἐκλήθη τις ἔχων γυναῖκα μὴ συντιθεμένην τῇ πίστει; μὴ ἀφιέτω αὐτήν· ἄδηλος γάρ, ὡς εἴρηται, ταύτης ἡ μεταβολή.

17. Καὶ οὕτως ἐν ταῖς Ἐκκλησίαις πάσαις διατάσσομαι.

Ὡς εἶπε δηλονότι. Εἶτα πλατύνει τὸν λόγον, ὃν εἴρηκεν, ὅτι ἕκαστος, ὡς κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω, ἐκτείνων αὐτὸν καὶ εἰς ἑτέρας ὑποθέσεις ὑποπιπτούσας αὐτῷ. Λέγω δὴ περιτομὴν καὶ ἀκροβυστίαν, δουλείαν καὶ ἐλευθερίαν πρὸς τὸ μᾶλλον πεῖσαι περὶ τοῦ προρρηθέντος.

18. Περιτετμημένος τις ἐκλήθη;

Εἰς τὴν πίστιν δηλονότι.

18. Μὴ ἐπισπάσθω.

Μὴ γινέσθω ἀκρόβυστος, ἐπισπώμενος τὸ δέρμα βιαίως. Ἐπεχείρουν γὰρ καὶ τοῦτό τινες διὰ τὸ παυθῆναι τὸν νόμον τῆς περιτομῆς (α).

18. Ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω. Ἡ περι-
19. τομὴ οὐδέν ἐστι καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν,

Οὐδέν εἰσι καθ' ἑαυτά· οὐδὲν ὠφελοῦσι καθ' ἑαυτῶν (β).

19. Ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ.

Ἀλλ' ἡ τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ, τῶν λαμπρυνουσῶν ἀνθρώπου πολιτείαν, ἔστι τι δηλονότι, καὶ αὐτὴ ὠφελεῖ. Τί γὰρ τῆς περιτομῆς ἢ τῆς ἀκροβυστίας ὄφελος τοῖς τἄλλα διεφθαρμένοις, ὧν ὁ βίος ἀπόβλητος; Καὶ μὴν ἐντολὴ Θεοῦ καὶ ἡ περιτομή, ἀλλὰ περὶ τῶν εὐαγγελικῶν λέγει νῦν. Αὕτη δέ, εἰ καὶ ἐντολή ἐστιν, ἀλλ' οὖν οὐδὲν ὠφελεῖ πρὸς εὐεξίαν ψυχικήν, σημασία τις οὖσα μόνον καὶ χαρακτήρ, ὥσπερ οὐδὲ τοῖς ἀλόγοις λυσιτελοῦσιν αἱ σημασίαι πρὸς εὐεξίαν σωματικήν.

(α) Ἡ πρᾶξις ἐκαλεῖτο *ἐπισπασμός*. Περὶ δὲ τῶν ταύτην πραττόντων ὅρ. Οἰκουμ. (ἐν λ.). Ἐκτενέστερα δὲ παρὰ Φαβρικίῳ Bibl. Græca Vol. II, p. 336. — (β) Ἰσ· γραπτέον «καθ' ἑαυτάς».

20. Ἕκαστος ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω.

Διὰ μέσου τῶν εἰρημένων ὑποθέσεων ἐπικρατύνει τὸ «ἕκαστον ὡς » κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω». Ταὐτὸν γὰρ καὶ οὗτος ὁ λόγος παραινεῖ.

21. Δοῦλος ἐκλήθης; μή σοι μελέτω.

Ἐν δουλείᾳ ὤν, ἐκλήθης πρὸς τὴν εὐσέβειαν; μή σοι φροντὶς ἔστω, μηδὲν εἰς αὐτὴν ἀπὸ ταύτης ἐμποδιζομένῳ.

21. Ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι.

Μᾶλλον χρῆσαι τῇ δουλείᾳ· οὐ μόνον γὰρ οὐδὲν παρὰ τοῦτο βλαβήσῃ, ἀλλὰ καὶ μᾶλλον ὠφεληθήσῃ, καθαρότητι βίου τὸν δεσπότην σου καταπλήττων καὶ ἴσως κατὰ μικρὸν ἀφιστῶν τῆς πλάνης, καὶ πλείονα τὸν μισθὸν κερδαίνων· δοῦλος γὰρ καὶ δεσπότης ἡμῶν Χριστὸς γέγονεν, εὖ δουλεύων πολλοῖς κατὰ τὸν Προφήτην.

22. Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν.

Ὁ δοῦλος, ὁ διὰ Χριστοῦ κληθεὶς εἰς τὴν πίστιν, ἀπελεύθερος Χριστοῦ ἐστιν, ἀπὸ τῆς πλάνης καὶ τῆς ἁμαρτίας ἐλευθερωθεὶς δι' αὐτοῦ. Καὶ λοιπὸν οὐδὲν ἀπὸ τοῦ δουλεύειν ἀνθρώπῳ ζημιοῦται πρὸς τὴν ὄντως ἐλευθερίαν. Μόνη γὰρ ἡ δουλεία χαλεπὸν ἡ τῆς ἁμαρτίας καὶ τῶν παθῶν.

22. Ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστι Χριστοῦ.

Καὶ ὁ ἐν ἐλευθερίᾳ κληθείς, ὡς εἴρηται, δοῦλός ἐστι Χριστοῦ, ἀγορασθεὶς διὰ τοῦ τιμίου αἵματος, ὃ ὑπὲρ ἐλευθερίας ἡμῶν ἐξέχεεν. Εἰ τοίνυν ὅ τε πιστεύσας δοῦλος ἀπελεύθερός ἐστι Χριστοῦ, ὅ τε πιστεύσας ἐλεύθερος, δοῦλός ἐστι Χριστοῦ· λοιπὸν καὶ οὗτος κἀκεῖνος ἴσοι ἐν Χριστῷ· ἀμφότεροι γὰρ Χριστοῦ, καὶ οὔτε τοῦτον ἡ κατ' ἄνθρωπον δουλεία βλάπτει, ἀπελεύθερον ὄντα Χριστοῦ, οὔτε μὴν ἐκεῖνον ἡ κατ' ἄνθρωπον ἐλευθερία ὠφελεῖ, δοῦλον ὄντα Χριστοῦ· τί γὰρ τοῦτο πρὸς ἀρετήν;

23. Τιμῆς ἠγοράσθητε·

Αἰχμαλωτισθέντες ὑπὸ τοῦ διαβόλου «τιμῆς ἠγοράσθητε», ἥτις ἐστὶ τὸ αἷμα τοῦ Κυρίου, ὁ θάνατος τῆς σαρκὸς αὐτοῦ. Τοῦτο δὲ καὶ ἀνωτέρω εἴρηκε πρὸς τοὺς κυρίους τῶν δούλων (α).

23. Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων.

Ἄτοπα καὶ παροργίζοντα τὸν Θεὸν ἐπιταττόντων· ἐν μόνοις γὰρ τοῖς τοιούτοις ἐπιτάγμασιν οὐ δεῖ πειθαρχεῖν, οὐ μόνον δεσπόταις, ἀλλ' οὐδὲ ἑαυτοῖς· οὗτος δὲ ὁ λόγος καὶ δούλοις καὶ ἐλευθέροις ἁρμόδιος. Εἰ γοῦν τιμῆς ἠγοράσθητε, ἠλευθερώθητε μὲν ἀπὸ τῶν αἰχμαλωτισάντων, ἐδουλώθητε δὲ τῷ ἠγορακότι, καὶ τοῦτον μᾶλλον θεραπεύειν καὶ πειθαρχεῖν ὀφείλετε.

24. Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ τῷ Θεῷ (*)·

Καὶ τοῦτο πάλιν ἴσον «ἕκαστος ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, ἐν ταύτῃ » μενέτω». Πολλάκις τοῦτο παραινεῖ, τρόπον τινὰ διαμαρτυρόμενος. Τὸ δὲ «παρὰ Θεῷ» ἀντὶ τοῦ ἐνώπιον Θεοῦ· ἢ εὐαρεστῶν Θεῷ.

25. Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω·

Ναὶ μὴν οὐδ' ἐπὶ τῶν ταῖς ἀπίστοις συνεζευγμένων ἐπιταγὴν Κυρίου εἶχε· καὶ ὅμως θαρρούντως εἶπεν ὅτι «ἐγὼ λέγω, οὐχ ὁ Κύριος». Ἀλλ' ἐνταῦθα περὶ μεγάλου καὶ δυςκατορθώτου πράγματος τῆς παρθενείας διαλεχθῆναι βουλόμενος, προθεραπεύει τὰς ψυχὰς τῶν ἀκροατῶν, μονονουχὶ λέγων· μὴ θορυβεῖτε· οὐκ ἐπιταγῆς αὕτη δεσποτικῆς, ἀλλὰ προαιρέσεως ἤρτηται τῶν βουλομένων, τοῦ Κυρίου φήσαντος· «ὁ δυνάμενος χωρεῖν χωρείτω» (β). Διὸ περὶ ταύτης ἐπιταγὴν Κυρίου οὐκ ἔχω εἰς τὸ ἐπιτρέψαι αὐτήν. Ἀλλὰ τί;

25. Γνώμην δὲ δίδωμι

Καὶ οὐδὲ ταύτην ἁπλῶς τίθησιν, ἀλλὰ μεθ' ὑποστολῆς, ἀνεπαχθῆ καὶ εὐπαράδεκτον οὕτω τὴν συμβουλὴν ἐργαζόμενος. Ὅρα γάρ·

25. Ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι.

Ὡς ἐλέῳ Κυρίου πιστὸς γενόμενος· ὡς μὴ μόνον τὴν ἀποστολὴν

(α) Α' Κορινθ. ς', 20.— (*) Ἐν ἄλλ. «παρὰ Θεῷ». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει οὕτω γράφει —(β) Ματθ. ιθ', 12.

καὶ τὴν διδασκαλίαν ἐλέῳ Θεοῦ λαβών, ἀλλὰ καὶ αὐτὸ τὸ πιστεῦσαι. Ὢ πολλῆς μετριοφροσύνης! Ἡ «ὡς ἠλεημένος ὑπὸ Κυρίου» ἀξιόπιστος ἡμῖν εἶναι γνωμοδότης. Καὶ οὐκ εἶπεν, ὅτι συμβουλεύω καὶ παραινῶ, ὡς Ἀπόστολος καὶ διδάσκαλος ὑμῶν, καθάπερ καὶ μετὰ ταῦτα διαλεγόμενος ἔλεγεν ὅτι· «εἰ ἄλλοις οὐκ εἰμὶ Ἀπόστολος, ἀλλά γε »ὑμῖν εἰμι» (α). Οὐδὲν οὖν τοιοῦτον εἶπεν, ἀλλὰ μετὰ πολλῆς φειδοῦς τοῖς ῥήμασι κέχρηται. Ἀντὶ μὲν τοῦ συμβουλεύω, «γνώμην δίδωμι» λέγει. Ἀντὶ δὲ ὡς Ἀπόστολος, «ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς » εἶναι». Ἔτι δὲ συνεσταλμένον τὸν λόγον ποιῶν, τὸ «νομίζω» προςτίθησι·

26. Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην,

«Τοῦτο»· ποῖον; τὴν παρθενείαν δηλαδή. Καὶ ὅτε μὲν περὶ ἐγκρατείας διελέγετο, οὔτε τὸ «νομίζω» προςέθηκεν, οὔτε μὴν αἰτίαν τινά, ἀλλ' ἁπλῶς φησι· «καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ». Νῦν δὲ νομίζω, φησίν, οὐκ ἀμφιβάλλων, ἀλλὰ τῇ τῶν ἀκουόντων κρίσει τὸ πᾶν ἐπιτρέπων. Εἶτα ἀφεὶς εἰπεῖν τὴν ὑψηλοτέραν αἰτίαν, ὅτι ἰσαγγέλους ἀπεργάζεται τοὺς ἀνθρώπους, καὶ ὅσα τῆς παρθενείας καλά, τὴν ταπεινοτέραν λέγει διὰ τὴν ἀσθένειαν τῶν πολλῶν, ὅτι «διὰ τὴν ἐνεστῶσαν ἀνάγκην», τὸν διωγμὸν οὕτω καλῶν, τὸν τοῖς πιστοῖς παρὰ τῶν ἀπίστων ἐπεγειρόμενον· κουφότερον γὰρ μόνον ὄντα τινὰ φέρειν τοὺς πειρασμούς, ἢ γυναῖκα καὶ παῖδας ἐπισυρόμενον, καὶ ταῖς περὶ τούτων φροντίσι κατατεινόμενον, καὶ τοῖς τῶν φιλτάτων πάθεσι καταμεριζόμενον, ἵνα μὴ τὰς ἄλλας μερίμνας καὶ περιστάσεις τοῦ γάμου λέγωμεν, μυρίας ὅσας οὔσας καὶ περιρρεούσας καὶ πολλάκις ἐπαναγκαζούσας ἀπολέγεσθαι καὶ τὴν ζωήν.

26. Ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι.

Παρθένον δηλονότι. Καὶ εἰ καλὸν ἡ παρθενεία, οὐ καλὸν ἄρα ὁ γάμος; καλὸν μὲν καὶ τοῦτο κἀκεῖνο. Ἀλλ' ἡ μέν, φησί, «καλόν», ὁ δὲ νόμῳ καὶ χρείᾳ καλόν. Καὶ ὁ μὲν μετὰ τὴν παρακοὴν καλόν, ἡ δὲ καὶ πρὸ ταύτης, καὶ μετὰ ταύτην, καὶ ὄντως ἀεὶ καλόν. Καὶ ἡ μὲν ἐν παραδείσῳ τὴν ἀρχὴν ἔλαβεν, ὁ δὲ ἔξω τοῦ παραδείσου ἐν τῷ

(α) Α΄ Κορινθ. θ΄, 2.

χωρίῳ τῆς ἐξορίας καὶ καταδίκης. Ἄλλως τε καὶ ἐπὶ τοῦ παρόντος «καλὸν» τὸ συμφέρον καὶ ἄμεινον καλεῖ. Εἰπὼν ὅτι «καλὸν ἀνθρώπῳ » τὸ οὕτως εἶναι» καὶ μηδὲν πλέον προςθείς, διέκοψε τὸν λόγον καὶ γάμου πάλιν ἐμνημόνευσεν, εἶτα παρθενείας αὖθις· καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἄριστοι καὶ προςηνεῖς φάρμακόν τι πικρόν, ἢ τομήν, ἢ καῦσιν, ἤ τι τῶν τοιούτων προςάγοντες, οὐκ ἀθρόον τὸ πᾶν ἐργάζονται, ἀλλ' ἐν τῷ μεταξὺ δόντες ἀναπνεῦσαι τῷ κάμνοντι, οὕτως ἀεὶ τὸ λειπόμενον προςτιθέασιν· οὕτω δὴ καὶ οὗτος, διακόπτων τὸν περὶ παρθενείας λόγον, καὶ τῷ περὶ γάμου τὸ σφοδρὸν αὐτοῦ καὶ τραχὺ ὑποκλέπτων, λανθάνει ποιῶν αὐτὸν προςηνῆ τε καὶ εὐπαράδεκτον.

27. Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν.

Ἐπαναλαμβάνει τὰ προειρημένα, ἀσφαλιζόμενος πλέον αὐτοὺς καὶ βεβαιοτέραν τὴν μνήμην τῶν λεγομένων ἐναπεργαζόμενος. Καὶ ἀνωτέρω γὰρ εἶπεν, ὅτι «διὰ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα » ἐχέτω».

27. Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.

Τοῦτο πρὸς τοὺς ἐν παρθενείᾳ, τοὺς ἐλευθέρους γαμηλίου δεσμοῦ.

28. Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες·

Ἔννομον γὰρ τὸ πρᾶγμα, καὶ βοήθεια τῶν ἀσθενεστέρων. Σὺ μὲν ἐὰν γήμῃς, οὐχ ἥμαρτες. Ὁ δὲ μὴ γήμας, ὡς νικήσας, στεφανοῦται. Πρὸς οὖν τοὺς ἐν παρθενείᾳ μόνον ὁ λόγος, οὐ μὴν καὶ πρὸς τοὺς ἐν χηρείᾳ, καὶ δῆλον ἀπὸ τῶν ἐφεξῆς·

28. Καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν·

Εἰπὼν περὶ ἀνδρὸς παρθενεύοντος, λέγει καὶ περὶ γυναικός· καὶ ἀνωτέρω γὰρ ἐπὶ τῶν ἐν χηρείᾳ οὕτως ἐποίησεν, εἰρηκώς· «λέγω δὲ » τοῖς ἀγάμοις καὶ ταῖς χήραις». «Παρθένον» δὲ λέγει οὐ τὴν καθιερωθεῖσαν Θεῷ, ἀλλὰ τὴν ἁπλῶς παρθενεύουσαν, καὶ μήπω γάμοις ἑαυτὴν ἐπιδοῦσαν· ἐκείνη γὰρ γαμηθεῖσα, καὶ λίαν ἥμαρτεν, ψευσαμένη τὰς εἰς Θεὸν ὁμολογίας αὐτῆς.

28. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι·

Οἱ γήμαντες δηλονότι, καὶ προτιμήσαντες τὸν γάμον τῆς παρθε-

νείας. «Θλῖψιν» δὲ τὴν «ἀπὸ τῆς ἐνεστώσης ἀνάγκης», ὡς προείρηται. «Τῇ σαρκὶ» δὲ ἀντὶ τοῦ διὰ τὰ σαρκικά, οὐ διὰ τὰ πνευματικά, τὸ φροντίζειν ὑπὲρ γυναικός, ὑπὲρ τέκνων, ὑπὲρ οἰκίας καὶ τῶν ἄλλων, καὶ ἀγωνιᾶν καὶ ἀλγεῖν σαρκικῶς πάντοτε καὶ διὰ τὰ σαρκικά, ἵνα μὴ λέγω τὰς ἐπὶ τοῖς τόκοις ὠδῖνας τῶν γυναικῶν, καὶ τὰς ἐν ταῖς ἀποδημίαις ταλαιπωρίας τῶν ἀνδρῶν, ἐφ᾽ ὧν καὶ οὗτοι κἀκεῖναι τῇ σαρκὶ θλίβονται.

28. Ἐγὼ δὲ ὑμῶν φείδομαι.

Ὡς τέκνων. Καὶ οὐκ εἶπε τὸ λοιπόν, ὅτι καὶ βούλομαι διαμένειν ὑμᾶς ἐν παρθενείᾳ, ἵνα μὴ θλίβησθε καὶ ὑμεῖς, ἀλλ᾽ ὡς ἑπόμενον ἀπεσιώπησε τοῦτο καὶ διέκοψε τὸν λόγον, ὡς ἀνωτέρω προπαραδέδοται. Εἶτα συστέλλων τοὺς ἐν γάμῳ καὶ ὑποτέμνων τὴν φιληδονίαν καὶ τὰς βιωτικὰς λύπας καὶ χαρὰς καὶ φιλοκερδείας, φησί·

29. Τοῦτο δέ φημι, ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν·

Ὁ καιρὸς τοῦ παρόντος βίου, ὁ τῆς ἐνταῦθα ζωῆς, ὀλίγος ἐστίν. Διὰ τί δὲ τοῦτο λέγω, ἢ διὰ τί συνεσταλμένος ἐστίν, ἄκουσον·

29. Ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν.

Ἵνα τοῦτο γινώσκοντες, μόνης τῆς αὐταρκείας φροντίζωσι, καὶ περὶ μόνην τὴν συνουσίαν δεδεμένοι καὶ ἐξουσιαζόμενοι, ἐλευθεριάζωσι τἆλλα, μὴ πειθόμενοι ταῖς γαμεταῖς ἐπιταττούσαις τὰ περισσά.

30. Καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες·

Οἱ κλαίοντες διὰ πενίαν, ἵνα εἰδότες ὅτι τὸ τέλος ἐγγύς, ὡς οἱ μὴ κλαίοντες ὦσι καὶ μηκέτι διὰ ταύτην κλαίωσιν.

30. Καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες·

Οἱ χαίροντες ἐπὶ πλούτῳ, ἵνα εἰδότες τοῦτο καὶ οὗτοι, ὡς οἱ μὴ χαίροντες ὦσι καὶ μηκέτι ἐπὶ τούτῳ χαίρωσιν.

30. Καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες·

Ἵνα καὶ οὗτοι τοῦτο γινώσκοντες διατεθῶσιν, ὡς μὴ καθέξοντες

διηνεκῶς, ἀλλὰ μετὰ μικρὸν ἀφαιρεθησόμενοι τὰ ἐωνημένα, ὃ καὶ περιαιρεῖ τὸ πολὺ τῆς φροντίδος καὶ ἀναστέλλει.

31. Καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι.

Συνελὼν ἐπήγαγε καθολικώτερον· καὶ ἵνα οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὦσιν, ὡς μὴ καταχρώμενοι ἐν τῷ μὴ μοχθεῖν εἰκῇ καὶ μάτην, ἐν οἷς οὐ δεῖ, μηδ' ἀναλίσκειν εἰς τὰ περιττά. Χρῆσις μὲν γὰρ ἡ πρὸς τὰ ἀναγκαῖα, κατάχρησις δὲ ἡ πρὸς τὰ περιττά, ὡς καὶ παράχρησις ἡ παρὰ τὸ δέον. Οἱ γὰρ πληροφορηθέντες ὅτι μετὰ μικρὸν τεθνήξονται, καταφρονήσουσι μὲν τῶν εἰρημένων, ὡς μὴ παραμενόντων, φροντίσουσι δὲ τῶν τοῦ μέλλοντος βίου. Ἢ καὶ ἑτέρως ἑρμηνευτέον· ὅτι τὸ τέλος ἐγγύς, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι μετὰ τὸν παρόντα βίον δηλονότι, ὅτε οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, καὶ τὰ λοιπὰ ὁμοίως· ὅτε πᾶσα καὶ λύπη καὶ χαρὰ καὶ πραγματεία τοῦ παρόντος βίου παύεται καὶ ἀνῄρηται.

31. Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

Παρέρχεται ἡ ἰδέα τοῦ κόσμου τούτου ἢ ἡ φαντασία, καὶ χρὴ μὴ πάνυ τι προςέχειν αὐτῷ, ἀλλ' οὕτω βιοῦν, ὡς παροδεύοντας, καὶ πρὸς ἕτερον κόσμον ἐπειγομένους.

32. Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι·

Καὶ ἀνωτέρω περὶ τῶν γαμούντων εἰρηκώς, ὅτι θλῖψιν τῇ σαρκὶ ἕξουσιν, ἐπήγαγεν· «ἐγὼ δὲ ὑμῶν φείδομαι». Καὶ νῦν δὲ πάλιν τὴν ἑπομένην τοῖς γαμοῦσι μέριμναν αὐτοῖς ἐπισείει, κἀντεῦθεν πειρᾶται προτρέπειν εἰς παρθενείαν. Καὶ οὐκ εἰπε· βούλομαι ὑμᾶς ἀστράψαι ἐν οὐρανῷ καὶ πολλῷ δειχθῆναι λαμπροτέρους τῶν γεγαμηκότων, ἀλλὰ τὴν θλῖψιν αὐτῶν ὑποδεικνύει καὶ τὴν μέριμναν. Καὶ περὶ ἀνεξικακίας δὲ διαλεγόμενος καὶ εἰπών· «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε » αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν» (α), οὐκ εἶπεν ὅτι τὸν οὐρανὸν ἕξεις καὶ τὰ οὐράνια ἀγαθά, ἀλλὰ τῇ τοῦ λελυπηκότος τιμωρίᾳ τὴν ἀντίδοσιν ἵστησι· «τοῦτο γάρ, φησί, ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις » ἐπὶ τὴν κεφαλὴν αὐτοῦ». Καὶ πολλαχοῦ κέχρηται τῷ τοιούτῳ τρόπῳ τῆς παρακλήσεως, εὖ εἰδώς, ὅτι τοὺς ταπεινοὺς καὶ χαμαιπε-

(α) Ῥωμ. ιβ', 20.

τεῖς καὶ πρὸς τὴν γῆν ἐπιπίπτοντας ἀπὸ τῶν αἰσθητῶν μάλιστα καὶ γηΐνων πείσειεν ἄν τις, ἡδέων ἢ λυπηρῶν. Ὁ δὲ τοῦ Παύλου διδάσκαλος οὐχ οὕτως, ἀλλὰ περὶ μὲν παρθενείας «εἰσί, φησίν, εὐνοῦχοι, » οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν» (α). Περὶ δὲ ἀνεξικακίας· «ὅπως γένησθε, φησίν, ὅμοιοι τοῦ Πατρὸς ἡμῶν » τοῦ ἐν οὐρανοῖς». Πέτρον γὰρ εἶχεν ἀκροατὴν καὶ Ἰάκωβον καὶ Ἰωάννην καὶ τὸν ἄλλον τῶν Ἀποστόλων χορόν, πολλῷ στερεωτέρους τῶν ἀκροατῶν Παύλου, καὶ μάλιστα Κορινθίους, οἷς καὶ Παῦλος ἐνεκάλει λέγων· «γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύ- » νασθε, ἀλλ᾽ οὐδὲ ἔτι δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε» (β). Ἐπεὶ δὲ καὶ οἱ ἐν παρθενείᾳ μεριμνῶσι, δείκνυσι τὸ διάφορον τῆς τούτων μερίμνης καὶ τῆς τῶν ἐν γάμῳ, ἵνα καὶ ἀπὸ τούτου προτρέψῃ τοὺς ἀκροατὰς ἀνεπαχθῶς εἰς τὸ παρθενεύειν.

32. Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου,

Τὰ ἀρέσκοντα τῷ Κυρίῳ. Εἶτα ἑρμηνεύει τί ἐστι τὸ «μεριμνᾶν τὰ » τοῦ Κυρίου».

32. Πῶς ἀρέσει τῷ Κυρίῳ·

Δι᾽ ἔργων καὶ λόγων καὶ ἐννοιῶν.

33. Ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου,

Τὰ κοσμικά, τὰ βιωτικά.

33. Πῶς ἀρέσει τῇ γυναικί.

Ὅσῳ τοίνυν μεῖζον τὸ ἀρέσκειν Θεῷ τοῦ ἀρέσκειν ἀνθρώπῳ, τοσούτῳ μεῖζον τὸ παρθενεύειν τοῦ γάμου.

34. Μεμέρισται ἡ γυνὴ καὶ ἡ παρθένος.

Γυναῖκα λέγει τὴν ἐν γάμῳ. Διήρηται ταύτης ἐκείνη τῷ διαφόρῳ τῆς μερίμνης, τῷ ἀνομοίῳ τῆς σπουδῆς.

34. Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.

(α) Ματθ. ιθ΄, 12. — (β) Α΄ Κορινθ. γ΄, 2.

Ἐπὶ τῆς προκειμένης ὑποθέσεως «ἄγαμον» ἄρρενα λέγει, ναὶ μὴν καὶ ἄγαμον θήλειαν, τοὺς ἀπειρογάμους, τοὺς παρθενεύειν ἐπαγγειλαμένους, καὶ δῆλον ἀπὸ τοῦ εἰπεῖν μεταξύ, ὅτι «μεμέρισται ἡ γυνὴ » καὶ ἡ παρθένος». «Μεριμνᾷ τὰ τοῦ Κυρίου», φησίν, ἵνα ᾖ ἁγία· ἡ παρθένος γὰρ οὐκ ἀρκεῖ μόνη εἰς τὸ ἁγιάζειν, εἰ μὴ καὶ τὸ «μεριμνᾶν » τὰ τοῦ Κυρίου» προστεθείη αὐτῇ. Καὶ γὰρ οὐδὲ τὰς πέντε μωρὰς ἴσχυσεν ὠφελῆσαι μόνη (α). Τοῦτο γοῦν ἐξελαύνει πᾶν ἀπαρέσκον Θεῷ, τοῦτο τελειοῖ τὴν παρθενείαν, τοῦτο τῶν ὡς ἀληθῶς παρθενευόντων ἴδιον. Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν· «ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύ-» ματι». Μὴ σώματι μόνον, ὡς τῆς παρθενείας μὲν ἁγιαζούσης τὸ σῶμα μόνον· ἤγουν ἁγνιζούσης, τοῦ δὲ «μεριμνᾶν τὰ τοῦ Κυρίου» ἁγιάζοντος καὶ τὴν ψυχὴν καθ' ὃν λόγον ἡ μὲν μεριμνῶσα τὰ τοῦ ἀνδρὸς τῷ ἐλάττονι μέρει παρθενεύει, κἂν ἀπειρόγαμος ἔτι ᾖ· ἡ δὲ μεριμνῶσα τὰ τοῦ Κυρίου τῷ μείζονι μέρει παρθενεύει, κἂν μὴ ἀπειρόγαμος ᾖ. Εἴποι δ' ἄν τις, ὅτι καὶ μὴν καὶ οἱ ἐν παρθενείᾳ μεριμνῶσι κοσμικά, περὶ τροφῆς καὶ ἐνδύματος. Καὶ αὖθις οἱ ἐν γάμῳ μεριμνῶσι τὰ τοῦ Κυρίου, σωθῆναι θέλοντες. Ἀλλὰ περὶ τῆς κυριωτάτης μερίμνης ὁ Παῦλος λέγει, τῆς πῶς ἀρέσουσι, πῶς εὐαρεστήσουσιν.

35. Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω,

«Τοῦτο»· ποῖον ; τὸ ὅτι ὁ ἄγαμος καὶ ἡ ἄγαμος μεριμνῶσι τὰ τοῦ Κυρίου, καὶ τὰ τοιαῦτα ἐγκώμια τῆς παρθενείας. Τοῦτο, φησί, λέγω πρὸς τὸ συμφέρον ὑμῶν· διότι συμφέρει ὑμῖν, καὶ οὐχ ἵνα δεσμὸν ὑμῖν ἐπιβάλω, ἕλκοντα βιαίως εἰς τὸ παρθενεύειν. Οὐχ ἵνα βρόχον ἐπιβάλω ἄγχοντα παρθενεύειν. Οὐχ ἵνα ἀνάγκην ἐπιθήσω μὴ βουλομένοις.

35. Ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως.

Ἀλλὰ πρὸς εὐσχημοσύνην καὶ εὐχέρειαν τοῦ προσεδρεύειν τῷ Κυρίῳ ἀπερισπάστως. Τί γὰρ εὐσχημονέστερον τοῦ παρθενεύοντος ὡς δεδήλωται ; Τί δὲ εὐπροσεδρότερον ;

36. Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν

(α) Ματθ. κε', 2. 3. 8.

ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι· ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν.

Εἰ δέ τις πατὴρ ἀσχημονεῖν νομίζει διὰ τὴν παρθένον θυγατέρα αὐτοῦ, ὅτι μὴ ἐξέδοτο αὐτὴν ἀνδρί, ἐὰν ᾖ αὕτη ὑπερακμάζουσα, καὶ διὰ τοῦτο αἰσχύνεται, «καὶ οὕτως ὀφείλει γίνεσθαι»· τουτέστι καὶ ἀναγκαῖον ἐκδοθῆναι αὐτήν· «ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει»· οὐ γὰρ κεκώλυται ὁ γάμος, εἰ καὶ ἡ παρθενία κρείττων.

37. Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ,

Ἑδραῖος τὴν καρδίαν, μὴ σαλευόμενος ὑπὸ τῆς δοκούσης ἀσχημοσύνης τοῦ μήπω ἐκγαμίσαι τὴν ὑπέρακμον παρθένον αὐτοῦ. Καθάπτεται δὲ διὰ τούτου λεληθότως τοῦ νομίζοντος ἀσχημονεῖν.

37. Μὴ ἔχων ἀνάγκην,

Μὴ ἀναγκαζόμενος ὑπὸ τῆς εἰρημένης αἰσχύνης ἐκδοῦναι αὐτήν, ὡς ὁ προδηλωθείς, ἅτε καταφρονῶν αὐτὸς τῆς τοιαύτης αἰσχύνης. Ἢ «μὴ ἔχων ἀνάγκην» ἐν τῷ μὴ ἀναγκάζεσθαι παρὰ τῆς θυγατρὸς εἰς τὸ ἐκγαμίσαι, ἢ παρὰ μνηστῆρος ἤ τινος ἄλλης περιστάσεως.

37. Ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος,

Ἐξουσίαν τοῦ ποιεῖν ὃ θέλει, εἴτε ἐκδοῦναι, εἴτε παρθένον ἐᾶν αὐτήν.

37. Καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ,

Τοῦτο προκέκρικεν ἐν ἑαυτῷ. Τοῦτο· ποῖον;

37. Τὸ τηρεῖν τὴν ἑαυτοῦ παρθένον,

Τὸ φυλάττειν οὕτως, ἐν παρθενείᾳ δηλονότι, τὴν ἑαυτοῦ παρθένον.

37. Καλῶς ποιεῖ.

Περιποιεῖται γὰρ αὐτῇ τὸ ἀμέριμνον καὶ ἀπερίσπαστον.

38. Ὥςτε καὶ ὁ ἐκγαμίζων καλῶς ποιεῖ·

Καλῶς· ὑπ᾽ ἀνάγκης γάρ τινος, ὡς προδεδήλωται, τοῦτο ποιεῖ.

38. Ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ.

«Κρεῖσσον» ὡς τὸ κρεῖττον προκρίνον καὶ τὸ εὔσχημον καὶ εὐπρόςεδρον τῷ Κυρίῳ τῇ θυγατρὶ χαριζόμενος. Συγγνωστὸς μὲν οὖν ὁ πρῶτος, ἐπαινετὸς δὲ ὁ δεύτερος, ὅτι καλὸν μὲν καὶ τὸ ἐκγαμίζειν, κρεῖσσον δὲ τὸ μὴ ἐκγαμίζειν. Αἱ δὲ τούτου αἰτίαι προερρήθησαν.

39. Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς·

Δέδεται ὑπὸ νόμου δεσποτικοῦ, τοῦ περὶ τοῦ μὴ χωρίζεσθαι, καθὼς ἀνωτέρω δεδήλωται (α). Κατέχεται εἰς τὸ μὴ γαμεῖσθαι ἑτέρῳ· προείρηκε γάρ· «ἐὰν καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλ-» λαγήτω» (β).

39. Ἐὰν δὲ καὶ κοιμηθῇ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι·

Ἐλευθέρα τοῦ ῥηθέντος δεσμοῦ εἰς τὸ γαμηθῆναι ᾧ θέλει.

39. Μόνον ἐν Κυρίῳ.

Μόνον εὐαρέστως Κυρίῳ, παιδογονίας χάριν, ἀλλὰ μὴ διὰ φιληδονίαν καὶ ἀκρασίαν.

40. Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ,

Οὕτως ὡς ἔνι πρὸ τῆς δευτερογαμίας· ἤγουν ἄγαμος.

40. Κατὰ τὴν ἐμὴν γνώμην·

Καθὼς ἐγνωμοδότησα προλαβών, ἐν οἷς εἶπε· «λέγω δὲ τοῖς ἀγά-» μοις καὶ ταῖς χήραις καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς καὶ ἐγώ». Ἵνα δὲ μὴ δόξῃ εὐκαταφρόνητος ἡ γνώμη αὐτοῦ, ὡς μὴ κατ' ἐντολὴν οὖσα δεσποτικήν, ἐπήγαγε·

40. Δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν·

Καὶ ὑπὸ τούτου κινεῖσθαι πρὸς τὸ διδάσκειν. «Δοκῶ», φησίν, ὑπονοεῖν, εἰ μὴ πλανῶμαι. Ἐπιεικείας δὲ τοῦτο καὶ μετριοφροσύνης, κατασκευαζούσης ἀξιόπιστον μᾶλλον τὴν εἰςήγησιν.

(α) Ἤτοι ἐν στίχ. 10 τοῦ παρόντος κεφ. — (β) Ὁμ. ἐν στίχ. 11.

ΚΕΦΑΛΑΙΟΝ ΟΓΔΟΟΝ

Ε' Περὶ ἀδιαφορίας ἐδεσμάτων καὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος· ἐν ᾧ περὶ συμπεριφορᾶς, περὶ τῆς ἑαυτοῦ πολυπλόκου συμπεριφορᾶς, περὶ τοῦ μὴ κοινωνεῖν δαίμοσι, περὶ τοῦ μὴ ἀδιαφορεῖν ἐν ὠνίοις καὶ κλήσεσιν.

1. Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν.

Πολλοὶ κατὰ τὴν πίστιν τελειότεροι καὶ γνῶσιν πλείονα τῶν ἄλλων ἔχοντες, εἰδότες ὅτι «οὐ τὰ εἰςερχόμενα κοινοῖ τὸν ἄνθρωπον» ὅ περὶ τῶν βρωμάτων εἶπεν ὁ Χριστός (α), καὶ ὅτι τὰ εἴδωλα, ξύλα καὶ λίθοι, καὶ δαίμονες ὄντα, οὔτε βλάψαι οὔτε ὠφελῆσαι δύνανται, εἰς ναοὺς εἰδώλων εἰσίεσαν, καὶ εἰδωλόθυτα ἤσθιον, βλάπτοντα μὲν καὶ ἑαυτοὺς τῷ κοινωνεῖν τραπέζης εἰδώλων, μάλιστα δὲ τοὺς ἀτελεστέρους καὶ μήπω τέλεον τοῦ φόβου τῶν εἰδώλων ἀπηλλαγμένους. Βλέποντες γὰρ τοὺς τελειοτέρους τοῦτο ποιοῦντας, ἤσθιον ταῦτα καὶ αὐτοί, οὐ μεθ' ἧς ἐκεῖνοι γνώμης· ἠγνόουν γὰρ αὐτήν, ἀλλ' ὡς ὄντως θυσίας, καὶ ὑπεσπῶντο πρὸς τὴν τῶν εἰδώλων αὖθις τιμήν. Τοῦτο οὖν ὁ Ἀπόστολος διαστέλλων καὶ διορθούμενος, πρῶτον μὲν τὴν γνῶσιν τῶν τελειοτέρων καθαιρεῖ, ᾗ θαρροῦντες, ἀδεῶς ἤσθιον τὰ εἰδωλόθυτα. Εἶτα καὶ εἰς προφανεῖς ἐλέγχους ἐκβαίνει. Καταστέλλει δὲ αὐτὴν οὐ τῷ διασύρειν αὐτήν, ὥςπερ καὶ τὴν ἔξω σοφίαν (πῶς γὰρ ἐνῆν, καλὴν οὖσαν;), ἀλλὰ τῷ κοινοποιεῖν πρὸς ἅπαντας τὸ τούτων ἐξαίρετον. Καί φησι· «περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν πάντες» οἱ πιστοί, οἱ τελειότεροι δηλονότι· ᾗ καὶ τοὺς ἀτελεῖς ἐπισπᾶται, ἵν' ἔχοι ῥᾷον πειθομένους, ὅτι οὐ βλάπτουσι τοὺς ὀρθῶς μεταλαμβάνοντας αὐτῶν· ἤγουν, ὡς Θεοῦ κτισμάτων. «Οἴδαμεν» δὲ τοῦτο· διότι γνῶσιν ἔχομεν πάντες τῶν τοιούτων, καὶ οὐχ ὑμεῖς μόνοι. Οὕτω καταβαλὼν τὸν τῦφον αὐτῶν, δείκνυσιν ὅτι καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ καλὴ γνῶσις ἀτελής ἐστι, μὴ συνεζευγμένην ἔχουσα τὴν ἀγάπην. Καὶ οὐκ ἀτελὴς μόνον, ἀλλὰ καὶ βλαβερά, φυσίωσιν ἐμποιοῦσα.

(α) Ματθ. ιε', 11.

1. Ἡ γνῶσις φυσιοῖ,

Μόνη οὖσα.

1. Ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

Οὐ μόνη, ἀλλὰ μετὰ τῆς γνώσεως· ἑκατέρα γὰρ ἀνόνητος χωρὶς τῆς ἑτέρας. Ἡ δὲ ἀγάπη, φησί, συζευχθεῖσα τῇ γνώσει αὔξει τὴν οἰκοδομὴν τῆς ἐκκλησίας, προςτίθησιν εἰς αὐτήν. Ἐμφαίνει δὲ διὰ τούτων, ὅτι γνῶσιν ἔχοντες, εἴπερ ἔχετε (α) καὶ ἀγάπην, ἐφείδεσθε τῶν ἀτελεστέρων ἀδελφῶν, βλαπτομένων ἀπὸ τοῦ ὑμᾶς ἐσθίειν εἰδωλόθυτα.

2. Εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι.

Ἔτι καὶ τρίτον τίθησιν εἰς καθαίρεσιν τοῦ φρονήματος αὐτῶν, ὅτι οὐδὲ ὡς χρὴ γινώσκουσιν, ὃ γινώσκουσιν. Καθολικῶς δέ φησιν· «εἰ » δέ τις δοκεῖ εἰδέναι τι» οἱονδήποτε, οὐδέπω ἔγνωκεν αὐτὸ ὡς χρὴ γνῶναι. Οὕτω δὲ καὶ παρεμυθήσατο τούτους, ὡς καὶ τῶν πάνυ γνῶσιν ἐχόντων οὐκ εἰδότων ὡς δεῖ γινώσκειν.

3. Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ.

Οὗτος ᾠκείωται αὐτῷ. Οἰκειωθεὶς δέ, μεταλαμβάνει γνώσεως ἀκριβεστέρας καὶ ἀναλογούσης τῷ μέτρῳ τῆς ἀγάπης. Οὐκ εἶπε δὲ ὅτι οὗτος ἔγνω τὸν Θεόν· οὐ γὰρ ἡμεῖς αὐτὸν ἔγνωμεν, ἀλλ' αὐτὸς ἡμᾶς. Δι' ὃ καὶ ἔλεγεν· «οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς » ἐξελεξάμην» (β). Διὰ τοσούτων δὲ χαλάσας αὐτῶν τὴν ὀφρύν, ἄρχεται δογματίζειν·

4. Περὶ δὲ τῆς βρώσεως τῶν εἰδωλοθύτων, οἴδαμεν, ὅτι εἴδωλον οὐδὲν ἐν κόσμῳ,

Περὶ δὲ τῆς βρώσεως τῶν εἰδωλοθύτων ἐξετάζοντες νῦν καὶ πολυπραγμονοῦντες, οἴδαμεν, ὅτι ἐν τῷ κόσμῳ οὐκ ἔστιν εἴδωλον οὐδέν· εἰ γὰρ καί εἰσι τῷ φαίνεσθαι, ἀλλά γε τῷ μὴ εἶναι, ὃ λέγονται, οὐκ εἰσιν. Λέγονται μὲν γὰρ θεοί, οὐκ εἰσι δέ. Ἢ καὶ ἄλλως· οἴδαμεν, ὅτι ἐν τῷ κόσμῳ τὸ εἴδωλον οὐδέν ἐστιν, οὐκ ἔχει τινὰ ἰσχύν.

(α) Ἴσ. γραπτέον «εἴχετε» (β) Ἰωάνν. ιε', 16.

4. Καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰμὴ εἷς.

Ὁ ὄντως ὤν. Ἵνα δὲ μὴ δόξῃ μάχεσθαι τοῖς φανεροῖς, ἅτε καὶ εἰδώλων ὄντων, ὅσον τῷ φαίνεσθαι, καὶ θεῶν ἑτέρων λεγομένων, ἐπήγαγε·

5. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, ὥςπερ εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί· ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ,

Εἴπερ γάρ εἰσι λεγόμενοι θεοί, ὥςπερ εἰσίν (εἰσὶ γὰρ τῷ λέγεσθαι μόνον)· «ἀλλ' ἡμῖν εἷς Θεός, ὁ Πατήρ». «Ἐν οὐρανῷ» μὲν οὖν λέγει τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἄλλους ἀστέρας, ὅσους ἡ πλάνη τῶν ἀνοήτων ἐθεοποίησεν. «Ἐπὶ γῆς» δὲ τοὺς δαίμονας καὶ ὅσους ἐξ ἀνθρώπων ἐθεοποίησαν. «Κυρίους δὲ πολλοὺς» αὐτὰ τὰ εἴδωλά φησιν, οἷς ἐδούλευον· ἢ τοὺς ὑπερέχοντας ἐν ἐξουσίᾳ ἀνθρώπους. Σκόπει δὲ πῶς ἀνωτέρω μὲν εἶπεν ὅτι «οὐδεὶς Θεὸς ἕτερος εἰμὴ εἷς»· ἐπεὶ δὲ παντελῶς τοὺς ψευδωνύμους Θεοὺς ἐξέβαλε, τότε λοιπὸν ἀκριβολογεῖ, καί φησιν ὅτι «ὁ Πατήρ». Εἶτα προςτίθησι καὶ τὸ μέγιστον δεῖγμα τῆς θεότητος·

6. Ἐξ οὗ τὰ πάντα,

Παρήχθη, ἐκτίσθη· τοῦτο γὰρ καὶ τοὺς λεγομένους θεοὺς οὐκ ὄντας ἐλέγχει.

6. Καὶ ἡμεῖς εἰς αὐτόν.

Ὁρῶμεν ὡς εἰς δημιουργὸν ἢ προνοητήν. Ἢ «εἰς αὐτὸν» πιστεύομεν.

6. Καὶ εἷς Κύριος Ἰησοῦς Χριστός,

Καθάπερ ἐπὶ τοῦ Πατρὸς τὸ «εἷς Θεὸς» οὐ τῆς θεότητος ταύτης ἀλλοτριοῖ τὸν Υἱόν, ὥςπερ οὐδὲ τὸ Πνεῦμα, οὕτω καὶ ἐπὶ τοῦ Υἱοῦ τὸ «εἷς Κύριος» οὐ τῆς κυριότητος ταύτης ἀλλοτριοῖ τὸν Πατέρα, ὥςπερ οὐδὲ τὸ Πνεῦμα, ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται κἀκεῖνο καὶ τοῦτο τῶν κτιστῶν καὶ ἑτερουσίων· πολλάκις γὰρ καὶ τὸν Πατέρα Κύριον καλεῖ ἡ Γραφή, ὡς τὸ «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου» (α).

(α) Ψαλμ. ρθ΄, 1.

Καὶ τὸν Υἱὸν αὖθις Θεόν, ὡς τὸ «ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, » ὁ ὢν ἐπὶ πάντων Θεός» (α). Καὶ ἀδιαφόρως ἀμφότερα τίθησιν ἐπ' ἀμφοτέρων. Οὐκ ἐμνημόνευσε δὲ νῦν τοῦ ἁγίου Πνεύματος οἰκονομικῶς. Ἐπεὶ γὰρ πρὸς Ἕλληνας ἀπέτεινε τὸν λόγον, πολλοὺς θεοὺς λέγοντας καὶ πολλοὺς κυρίους, εἰκότως τὸ «Θεὸς» μὲν μόνῳ τῷ Πατρὶ προσένειμε, τὸ «Κύριος» δὲ μόνῳ τῷ Υἱῷ, ἵνα μὴ δόξῃ καὶ αὐτὸς πολλοὺς θεοὺς καὶ πολλοὺς Κυρίους εἰςάγων. Διὸ καὶ συνεχῶς τίθησι τὸ «εἷς». Ὡς οὖν φειδόμενος τῆς ἀσθενείας τῶν ἀκροωμένων, καὶ μὴ βουλόμενος ἀφορμὴν ἀντιλογίας δοῦναι τοῖς πολυθέοις, ἀπεσιώπησε, τό γε νῦν ἔχον, περὶ τοῦ ἁγίου Πνεύματος. Ὅτε δὲ οὐχ ὑποπτεύει τι τοιοῦτον, συνάπτει καὶ τοῦτο, ὡς τὸ «ἡ χάρις τοῦ Κυρίου » ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ » κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν» (β)· καὶ πολλὰ τοιαῦτα.

6. Δι' οὗ τὰ πάντα,

Ἐγένετο. «Πάντα γάρ, φησί, δι' αὐτοῦ ἐγένετο» (γ).

6. Καὶ ἡμεῖς δι' αὐτοῦ.

Γεγόναμεν ἢ προνοούμεθα, ἢ πιστεύομεν.

7. Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις·

Ἡ ἀκριβής, ἡ περὶ τοῦ Θεοῦ, ἢ ἡ περὶ τῶν εἰδώλων. Ἐνταῦθα δὲ παρεμυθήσατο τοὺς τελειοτέρους. Χρὴ γὰρ νῦν μὲν καθάπτεσθαι, νῦν δὲ παρηγορεῖν τοὺς ἁμαρτάνοντας· τὸ μέν, ἵνα ταπεινῶνται· τὸ δέ, ἵνα μὴ καταπέσωσιν.

7. Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι, ὡς εἰδωλόθυτα ἐσθίουσι,

Τῇ γνώσει, τῇ οἰκειώσει τοῦ εἰδώλου, ἢ τῇ προτέρᾳ διανοίᾳ τῇ περὶ τοῦ εἰδώλου. Ἔτι γὰρ σχέσιν ἔχοντες πρὸς τὰ εἴδωλα, καὶ μήπω τούτων τελείως καταφρονήσαντες, ὡς εἰδωλόθυτα ἐσθίουσι τὰ εἰδωλόθυτα, καὶ οὐχ ὡς κτίσματα τοῦ Θεοῦ· τουτέστιν ὡς θυσίαν θεῶν.

(α) Ῥωμ. θ', 5.—(β) Β' Κορινθ. ιγ', 13.—(γ) Ἰωάνν. α', 3.

7. Καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται·

Καὶ ἡ διάνοια αὐτῶν ἀσθενοῦσα πρὸς τὸ ἀποστῆναι τοῦ τοιούτου πράγματος μολύνεται εἰδωλολατροῦσα. Ἐνέφηνε δὲ ὅτι ὑμᾶς ὁρῶντες ἐσθίοντας εἰδωλόθυτα τοῦτο ποιοῦσι.

8. Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ·

Βρῶμα οἱονδήποτε οὐκ οἰκειοῖ ἡμᾶς τῷ Θεῷ. Πρῶτον μὲν οὖν δείκνυσιν, ὅτι οὐκ ἔστι κατόρθωμα τὸ τὰ εἰδωλόθυτα ἐσθίειν, ὡς ἁπλῶς κτίσματα τοῦ Θεοῦ. Εἶτα προϊὼν ἐκκαλύπτει καὶ τὴν ἐντεῦθεν γινομένην βλάβην.

8. Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα.

«Οὔτε γὰρ ἐὰν φάγωμεν» ἐκεῖνο τὸ βρῶμα, περισσεύομεν παρὰ τῷ Θεῷ, ἤγουν πλέον ἔχομεν, εὐδοκιμοῦμεν ὡς κατωρθωκότες· «οὔτε ἐὰν » μὴ φάγωμεν» αὐτό, ὑστερούμεθα παρὰ τῷ Θεῷ, τουτέστιν ἐλαττούμεθα, ὡς πλημμελήσαντες.

9. Βλέπετε δὲ μὴ (*) ἡ ἐξουσία ὑμῶν αὕτη πρόςκομμα γένηται τοῖς ἀσθενέσι τῶν ἀδελφῶν.

«Βλέπετε» εἶπε, φοβῶν αὐτούς. Ἐξουσίαν δὲ φήσας, ἔδειξεν ὅτι προπετείας ἦν ὅπερ ἐποίουν καὶ αὐθαδείας καὶ ἀλαζονείας. Ἐξουσίαν μὲν γὰρ εἶχον τοῦτο ποιεῖν, ἀλλ᾽ οὐχὶ βλαπτομένων τῶν ἀδελφῶν αὐτῶν ὡς ἀσθενῶν. «Πρόςκομμα» δὲ ἤτοι βλάβης ἀφορμή.

10. Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ καθήμενον (**) οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;

Κατ᾽ ἐρώτησιν ἀναγνωστέον· «Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα » γνῶσιν» τελειοτέραν, τὸν εἰδότα τὸ καλὸν πλέον αὐτοῦ «κατακεί- » μενον» ἐν ναῷ εἰδώλων, ἤγουν ἐσθίοντα, ἄρα οὐχ ἡ διάνοια αὐτοῦ,

(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων «Βλέπετε δὲ μήπως» ἀναγινώσκεται. — (**) Συνήθης γραφὴ «κατακείμενον», ἣν ἐκ τῆς ἐξηγήσεως φαίνεται ὅτι δέχεται καὶ ὁ Συγγραφεύς.

ἀσθενοῦς ὄντος, αὐξηθήσεται, στερεωθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν, ἀμφίβολος οὖσα πρότερον καὶ σεσαλευμένη; Ἀγνοῶν γὰρ τὸν σὸν λογισμόν, μεθ' οὗ τὸ πρᾶγμα ποιεῖς, προτροπὴν τοῦτο λογίσεται πάντως.

11. Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει,

Ὑφελκόμενος εἰς εἰδωλολατρείαν. Τινὰ μὲν οὖν τῶν ἀντιγράφων «ἐπὶ τῇ σῇ γνώσει» γράφουσιν. Ὁ δὲ Χρυσόστομος «ἐπὶ τῇ σῇ βρώ-» σει» λέγει διαρρήδην (α).

11. Δι' ὃν Χριστὸς ἀπέθανεν.

Οὐ τοσοῦτον ἔθετο λόγον ὁ Χριστός, ὡς καὶ ἀποθανεῖν δι' αὐτόν. Ὥστε τέσσαρα ἐνταῦθα τὰ ἐγκλήματα· ὅτι ἀδελφὸς ὁ ἀπολούμενος· ὅτι ἀσθενῶν· ὅτι Χριστῷ φροντίδος ἠξιωμένος· ὅτι διὰ βρῶμα. Καὶ ὁ μὲν Χριστὸς δι' αὐτὸν ἀπέθανε, σὺ δὲ δι' αὐτὸν οὐδὲ βρώματος εὐτελοῦς ἀπέχῃ;

12. Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

«Τύπτοντες» ἀντὶ τοῦ σκανδαλίζοντες, βλάπτοντες. Εἶπε δὲ «τύ-» πτοντες» ὥςτε τῇ ἐμφάσει τῆς λέξεως τὴν ὠμότητα τούτων ἐλέγξαι. Ὁ γὰρ τύπτων τὸν νοσοῦντα ἀπηνής ἐστι καὶ ἀπάνθρωπος. «Εἰς» Χριστὸν δὲ ἁμαρτάνετε» ὡς τὰ τῶν ἰδίων οἰκετῶν οἰκειούμενοι, καὶ ὅτι εἰς τὸ σῶμα καὶ τὰ μέλη αὐτοῦ τελοῦσιν οἱ ἀπολλύμενοι, καὶ ὅτι τὸ ἔργον, ὅπερ διὰ τῆς ἑαυτοῦ σφαγῆς ᾠκοδόμησε, καθαιρεῖτε.

13. Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

Διότι ὁ διὰ βρῶμα βλάπτων, ὡς εἴρηται, τὸν ἀδελφόν, εἰς αὐτὸν τὸν Χριστὸν ἁμαρτάνει. Τέλος ἐγώ, εἰ βρῶμα κρέατος οἱονδήποτε, μήτι γε εἰδωλόθυτον, σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ κρέα ὅλως [φάγω] (β) παρ' ὅλην τὴν ζωήν. Τοῦτο γὰρ δηλοῖ «εἰς τὸν αἰῶνα».

(α) Τόμ. Ι', Ὁμιλ. Κ', σελ. 167. — (β) Ἡ παρεντεθειμένη λέξις, λείπουσα ἐν τῷ χειρογράφῳ, προςετέθη κατ' εἰκασίαν ἡμετέραν.

Τὸ δὲ «κρέα» ἔστι μὲν νοῆσαι καὶ ἑνικῶς κατὰ ἰδίωμα μιᾶς τῶν διαλέκτων, ἔστι δὲ καὶ πληθυντικῶς. Ὥςπερ γὰρ τὸ «κρέα τοῦ κρέαος»· οὕτω καὶ τὰ «κρέαα καὶ κρέα». Ἵνα δὲ μή τις εἴπῃ, κομπάζεις εἰκῇ καὶ φιλοσοφεῖς ἐν λόγοις μόνον, δείκνυσιν ὅτι ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τινὰ καὶ τῶν συγκεχωρημένων ἀπέσχετο. Δηλώσει δὲ προβαίνων ὁ λόγος.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΑΤΟΝ

1. Οὐκ εἰμι Ἀπόστολος;

Τοῦ Χριστοῦ προςτάξαντος τοῖς Ἀποστόλοις ἀπὸ τῶν μαθητευομένων αὐτοῖς λαμβάνειν τὰ πρὸς τροφήν· «ἄξιος γάρ, φησίν, ὁ ἐρ»γάτης τῆς τροφῆς αὐτοῦ ἐστιν» (α), ἐπεὶ οὕτως ἐποίουν οἱ Ἀπόστολοι, αὐτὸς δὲ οὐδὲν ἐλάμβανεν, ἵνα μή τις ἔχοι λέγειν, ὅτι σὺ οὐκ εἶ Ἀπόστολος, ἠναγκάσθη προςμαρτυρῆσαι ἑαυτῷ τὰ τῶν Ἀποστόλων γνωρίσματα. Κατ' ἐρώτησιν δέ φησιν, οὐκ εἰμι Ἀπόστολος κἀγώ, ὡς Πέτρος καὶ οἱ λοιποί;

1. Οὐκ εἰμι ἐλεύθερος;

Ὅσον λαμβάνειν τὰ πρὸς τροφήν; εἰς τοῦτο γὰρ τὴν ἐξουσίαν αὐτὸς ἔχω, καὶ οὐχ ὑπόκειμαι τινί, ἀπάγοντί με τοῦ λαμβάνειν.

1. Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα;

Ὥςπερ οἱ λοιποὶ Ἀπόστολοι, ἵνα μηδ' ἐν τούτῳ λείπωμαι τούτοις; Καὶ τοῦτο δὲ καὶ τὸ πρὸ τούτου καὶ τὸ μετὰ τοῦτο κατ' ἐρώτησιν ὁμοίως ἀναγνωστέον. Ἵνα δὲ μὴ πάλιν εἴποι τις· ἀλλ' οὐκ ἐργάζῃ σύ, ἐπήγαγεν·

1. Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ;

(α) Ματθ. ι', 10.

Οὐχ ὑμᾶς αὐτοὺς ἐγὼ εἰργασάμην πιστούς, τοῦ Κυρίου συνεργοῦντος;

2. Εἰ ἄλλοις οὔκ εἰμι Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί·

Καὶ μὴν τῇ Οἰκουμένῃ ἦν Ἀπόστολος, ἀλλὰ κατὰ συνδρομὴν τοῦτο τίθησι, συντρέχων τῷ λόγῳ τοῦ ἴσως ἐροῦντος ὅτι οὐκ εἶ Ἀπόστολος· «ἀλλά γε ὑμῖν εἰμί»· ἐγὼ γὰρ ὑμῖν ἐκήρυξα, καὶ πάντα ἐνεδειξάμην τὰ χαρακτηρίζοντα τὸν Ἀπόστολον.

2. Ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε.

Ἡ γὰρ ἀπόδειξις τοῦ εἶναί με Ἀπόστολον ὑμεῖς ἐστε. Κἄν τις ἔρηταί με· πόθεν δῆλον ὅτι Ἀπόστολος εἶ, τοὺς ἄλλους πάντας ἀφείς, ὑμᾶς προβαλοῦμαι μάρτυρας.

2. Ἐν Κυρίῳ.

Τῆς ἐμῆς διὰ Κυρίου ἀποστολῆς.

3. Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, ἔστιν αὕτη.

Τοῖς ἐμὲ ἐξετάζουσιν, εἴ εἰμι Ἀπόστολος, ἢ εἰ οὐ λαμβάνω κἀγὼ τὰ πρὸς τροφήν, ἡ ἀπολογία μού ἐστιν αὕτη· τουτέστιν ὑμεῖς, παρ' οἷς καὶ λόγῳ καὶ ἔργῳ τὰ τοῦ Ἀποστόλου ἐπεδειξάμην, διδάσκων καὶ σημεῖα ἐργαζόμενος καὶ βίον ἄληπτον καὶ ἀποστολικὸν ἔχων καὶ μηδὲ τὰ πρὸς τροφὴν παρ' ὑμῶν λαμβάνων, ἅπερ ἐφεῖταί μοι, ὡς Ἀποστόλῳ καὶ ἐργάτῃ.

4. Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;

Ἀφ' ὑμῶν δηλονότι τῶν μαθητῶν ἡμῶν; Καὶ τοῦτο δὲ κατ' ἐρώτησιν, ὥςπερ καὶ τὰ ἐφεξῆς τρία. Εἶτα τίθησι καὶ ἕτερα, ἅπερ, ἐξὸν αὐτῷ ποιεῖν, οὐκ ἐποίει·

5. Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν;

Πολλοῖς γὰρ τῶν Ἀποστόλων γυναῖκες ἠκολούθουν μαθήτριαι, θερμὴν ἐνδεικνύμεναι πίστιν καὶ συνεργοῦσαι τῷ κηρύγματι. «Ἀδελ»φὴν» δὲ ἀντὶ τοῦ ὁμόπιστον (α).

(α) Θεοδώρ. ἐν λ. Κλήμ. Ἀλεξ. Στρωμ. Λόγ. Γ', κεφ. ζ', σελ. 1157. «Οὗτοι μὲν

5. Ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου;

Οἱ τοῦ Ἰωσὴφ υἱοί, τοῦ χρηματίσαντος πατρὸς τοῦ Χριστοῦ, ὅσον ἐπὶ τὸ μνηστεύσασθαι τὴν κατὰ σάρκα μητέρα αὐτοῦ. Μετὰ τοὺς ἄλλους δὲ Ἀποστόλους τέθεικε τούτους, ὡς ἐλάττους ἔτι τούτων ὄντας.

5. Καὶ Κηφᾶς;

Τελευταῖον ἔταξε τὸν Πέτρον καθ' ἕτερον λόγον, ὡς κορυφαῖον. Τελευταία γὰρ ἡ ἰσχυροτέρα τίθεται ἀπόδειξις.

6. Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;

Καὶ Βαρνάβας γὰρ οὐκ ἐλάμβανε τὰ πρὸς τροφήν, ἀλλ' ὥςπερ ὁ Παῦλος, ἐργαζόμενος ταῖς ἰδίαις χερσὶν ἐτρέφετο, τῶν ἄλλων Ἀποστόλων οὐκ ἐργαζομένων ταῖς χερσίν, ἀλλὰ κατὰ τὴν τοῦ Κυρίου παραγγελίαν ἀπὸ τῶν μαθητῶν τρεφομένων. Ἔχομεν τοίνυν, φησί, καὶ ἡμεῖς, ὡς Ἀπόστολοι, ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι, ἀλλ' οὐ χρώμεθα ταύτῃ. Εἶτα ἐπὶ παραδείγματα ἔρχεται καὶ τὴν κοινὴν συνήθειαν·

7. Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ;

Ἰδίοις σιτηρεσίοις, ταῖς οἴκοθεν τροφαῖς. Σκόπει δὲ πῶς οἰκεῖα καὶ σύμφωνα τὰ παραδείγματα· στρατεία γὰρ ἔοικε τὸ κήρυγμα, πολέμους ἔχων καὶ κινδύνους.

7. Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;

Ἀμπελὼν γὰρ ἐνταῦθα ἡ Ἐκκλησία, δεομένη πόνων καὶ ἐπιμελείας πολλῆς.

7. Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει;

» (οἱ Ἀπόστολοι) οἰκείως τῇ διακονίᾳ ἀπερισπάστῳ τῷ κηρύγματι προςανέχοντες, οὐχ » ὡς γαμετάς, ἀλλ' ὡς ἀδελφὰς περιῆγον τὰς γυναῖκας, δι' ὧν καὶ εἰς τὴν γυναικωνῖτιν » ἀδιαβλήτως παρειςεδύετο ἡ τοῦ Κυρίου διδασκαλία».

Καὶ ποίμνη πάλιν ἡ Ἐκκλησία τῶν πιστῶν, χρῄζουσα κηδεμονίας. Ὥςτε οἱ Ἀπόστολοι καὶ στρατιῶται ἦσαν πνευματικοὶ καὶ γεωργοὶ ψυχῶν καὶ ποιμένες λογικῶν θρεμμάτων. Δείξας δὲ καὶ ἀπὸ τῆς συνηθείας, ὅτι οὐ κεκώλυται λαμβάνειν ἀπὸ τῶν μαθητῶν τὰ πρὸς τροφήν, καὶ ἐπὶ τρίτον βαδίζει κεφάλαιον καί φησι·

8. Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ;

Ἐρωτηματικῶς προάγει τὸν λόγον, ὅπερ ἐπὶ τῶν σφόδρα ὡμολογημένων εἴωθε λέγεσθαι. Μὴ κατὰ ἀνθρώπινον λογισμὸν ταῦτα λέγω; δηλονότι τὰ περὶ τοῦ μὴ κωλύεσθαι τὸν διδάσκαλον τρέφεσθαι ἀπὸ τῶν μαθητῶν. Μὴ κατὰ ἀνθρώπινον παράδειγμα ταῦτα ἰσχυρίζομαι; Ἔχω καὶ ἀπὸ παλαιοῦ θείου νόμου τοῦτο δεῖξαι·

8. Ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ Δευτερονο-
9. μίῳ (*) γέγραπται· «οὐ φιμώσεις βοῦν ἀλοῶντα» (α). Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;

Τῷ ταῦτα διὰ Μωϋσέως νομοθετήσαντι; Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ ἐν τῇ προκειμένῃ νουθεσίᾳ; Τὸ «μέλει» γὰρ οὐ καθολικῶς ἔλαβεν, ἀλλ' ἐπὶ τῆς παρούσης νομοθεσίας· ἐν ἄλλοις γὰρ μέλει αὐτῷ· ὡς γὰρ πάντων ποιητής, πάντων ἐστὶ καὶ προνοητής. Ἀλλὰ τέως ἐπὶ τοῦ παρόντος οὐ μέλει αὐτῷ περὶ τῶν βοῶν τοσοῦτον, ἵνα καὶ νομοθετήσῃ περὶ τοῦ μὴ φιμοῦν αὐτούς.

10. Ἢ δι' ἡμᾶς πάντως λέγει;

Τὸ «πάντως» βεβαιωτικόν ἐστι καὶ οὐ δίδωσιν ἀντιλέγειν· τὰ γὰρ στόματα τῶν βοῶν ἀφίμωτα συγχωρούμενα κέκραγεν, ὅτι συγκεχώρηνται οἱ γεωργοὶ τρέφεσθαι ἀπὸ τῶν γεωργημάτων αὐτῶν, ἤγουν οἱ διδάσκαλοι.

10. Δι' ἡμᾶς γὰρ ἐγράφη,

Δι' ἡμᾶς τοὺς διδασκάλους, τοὺς λογικοὺς βόας τοῦ Κυρίου. Εἶτα ἀπὸ τῶν βοῶν μετῆλθεν ἐπὶ τὸν γεωργόν·

(*) Ἀντὶ «ἐν γὰρ τῷ Δευτερονομίῳ» γράφε «ἐν γὰρ τῷ Μωϋσέως νόμῳ», ὡς πάντα τὰ γνωστά μοι τῶν ἀντιγράφων διδόασιν. Φανερὸν δ' ὅτι ἡ τοῦ ἡμετέρου χειρογράφου γραφή, οὖσα πρότερον ἐν τῇ ᾤᾳ ὡς ἐπεξήγησις γεγραμμένη, μετηνέχθη παρὰ τῶν ἀντιγραφέων εἰς τὸ κείμενον. — (α) Δευτερον. κε', 4.

10. Ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν·

Ἐπ' ἐλπίδι ἀμοιβῆς τῶν καταβαλλομένων πόνων.

10. Καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν,

Ἀπολαύειν ἤδη. Ἐπὶ μὲν οὖν τοῦ ἀροτριῶντος τὴν ἐλπίδα μόνην τέθεικεν· οὔπω γὰρ καρπός. Ἐπὶ δὲ τοῦ ἀλοῶντος ἔδωκε τὴν ἀπόλαυσιν. Διὰ δὲ τοῦ «ἀροτριᾶν» καὶ τοῦ «ἀλοᾶν» τὸν πολὺν κάματον τῶν Ἀποστόλων ἐνέφηνεν ἔν τε τῷ ἀνασπᾶν τοὺς ἀκανθώδεις λογισμοὺς τῶν ψυχῶν καὶ πᾶν εἴ τι λυμαντικὸν τοῦ θείου σπόρου καὶ ἐν τῷ καταβάλλειν αὐτὸν εἰς αὐτοὺς καὶ ἐν τῷ ἀλοᾶν καὶ ἀποκαθαίρειν τὸν καρπόν. Εἶτα ἵνα μὴ λέγῃ τις· αὕτη οὖν ἡ τῶν τοσούτων πόνων ἀμοιβή, τὸ φαγεῖν μόνον ἀπὸ τοῦ καρποῦ; προςέθηκεν·

10. Ἐπ' ἐλπίδι.

Τῇ τῆς μελλούσης μισθαποδοσίας.

11. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

Καὶ τέταρτον εἰςάγει λογισμὸν ὑπὲρ τοῦ δεῖ λαμβάνειν τὰ πρὸς τροφήν. Καὶ ἵνα μὴ μέγα φρονῶσιν οἱ παρέχοντες, δείκνυσιν ὅτι μείζονα λαμβάνουσιν ὧν διδόασι, καὶ τοσοῦτον, ὅσον τὰ πνευματικὰ μείζω τῶν σαρκικῶν. Κατ' ἐρώτησιν δὲ κἀνταῦθα· ὅτι μέγα ὑμῖν τοῦτο δοκεῖ; «Πνευματικὰ» μὲν οὖν ὅσα περὶ θεογνωσίας καὶ δογμάτων καὶ ἀρετῶν. «Σαρκικὸς δὲ θερισμὸς» ἡ λῆψις τῆς σωματικῆς τροφῆς.

12. Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Αἰνίττεται δὲ τοὺς ψευδαποστόλους, πρὸς οὓς ὕστερον ἀποδύεται· οἵτινες ἀναιδῶς, ὡς διδάσκαλοι, κατεξουσίαζον αὐτῶν, καὶ οὐ μονον ἐλάμβανον, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς αὐθεντίας. Ἐπιφέρει τοίνυν καὶ ἕτερον λογισμὸν ἀπὸ τῆς τούτου ἐξουσίας· ὅτι εἴπερ οὗτοι κατεξουσιάζουσιν ὑμῶν, οὐ πολλῷ μᾶλλον ἡμεῖς, οἱ κύριοι διδάσκαλοι; ὥςτε καὶ διὰ τοῦτο χρὴ λαμβάνειν.

12. Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ·

Οὐκ ἐχρησάμεθα ταύτῃ εἰς τὸ λαμβάνειν ἀφ' ὑμῶν. Διὰ πολλῶν δὲ δείξας, ὅτι ἐξῆν λαμβάνειν· τότε ἐπήγαγεν, ὅτι οὐ λαμβάνομεν·

12. Ἀλλὰ πάντα στέγομεν,

Τὰ τοῦ λοιμοῦ καὶ τῆς ἄλλης ἐνδείας καὶ κακοπαθείας. «Πάντα» δὲ ὑπομένομεν ἑκόντες·

12. Ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.

Ἵνα μὴ μέλησίν τινα καὶ ἀναβολὴν τῷ κηρύγματι δῶμεν, ἐγκοπτομένῳ τῇ λήψει καὶ τῷ καιρῷ ταύτης καὶ ἀναγκαζούσης τῆς ἐνδείας, οὐκ εἴξαμεν.

13. Οὐκ οἴδατε, ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν;

Οὐκ ἠρκέσθη τοῖς προλαβοῦσιν, ἀλλ' ἔτι προςτίθησιν, ἐπὶ τὸ οἰκειότερον ἀναδραμὼν παράδειγμα, τὸ τῶν ἱερέων· οὐκ οἴδατε, φησίν, ὅτι ἐν τῷ παλαιῷ Νόμῳ οἱ ἱερουργοῦντες ἐκ τοῦ ἱεροῦ τρέφονται; Καὶ οὐκ εἶπεν, ὅτι ἐκ τῶν προςφερόντων τῷ ἱερεῖ λαμβάνουσιν· οὐκέτι γάρ εἰσι τῶν προςφερόντων, ἀλλὰ τοῦ ἱεροῦ γίνονται· τουτέστι τοῦ ναοῦ ἢ τοῦ θυσιαστηρίου.

13. Οἱ τῷ θυσιαστηρίῳ προςεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται;

Τὸ αὐτὸ λέγει φανερώτερον. «Συμμερίζονται» δὲ εἰπών, οὐ τὴν ἐξ ἴσου λέγει διανομήν, ἀλλ' ὅτι μέρος ἀποφέρονται τὸ νενομοθετημένον (α).

14. Οὕτω καὶ ὁ Κύριος διετάξατο τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν.

«Ἄξιος γάρ, φησίν, ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι» (β). Τὸ πάντων δὲ ἰσχυρότερον τελευταῖον τέθεικεν. Ὥςπερ δὲ ἐπὶ τῶν ἱερουργούντων ἐκ τοῦ ἱεροῦ εἶπε καὶ ἐκ τοῦ θυσιαστηρίου, οὕτω καὶ ἐπὶ

(α) Δευτερον. ιη', 3. «Αὕτη ἡ κρίσις τῶν ἱερέων τὰ παρὰ τοῦ λαοῦ παρὰ τῶν θυόν» των τὰ θύματα, ἐάν τε μόσχον, ἐάν τε πρόβατον, καὶ δώσεις τὸν βραχίονα τῷ ἱερεῖ, » καὶ τὰ σιαγόνια καὶ τὸ ἔνυστρον». — (β) Ματθ. ι', 10. Λουκ. ι', 7.

τῶν εὐαγγελιζομένων, ἐκ τοῦ Εὐαγγελίου· τῷ γὰρ Εὐαγγελίῳ δίδονται τὰ διδόμενα.

15. Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων.

Οὐδενὶ τῶν παραδειγμάτων καὶ τῶν ἐκεῖθεν ἐξιὼν ἐχρησάμην εἰς τὸ λαβεῖν. Τοῦτον δὲ ἅπαντα τὸν λόγον ἐκίνησε διὰ τοὺς τῇ βρώσει τῶν εἰδωλοθύτων σκανδαλίζοντας τοὺς ἀτελεστέρους, ὡς προδιείληπται· οἳ καὶ τῶν Ἀποστόλων ἀποδέοντες καὶ μηδὲ νόμον ἔχοντες ἐπιτρέποντα καὶ ἐπὶ βλάβῃ τοῦ Εὐαγγελίου τοῦτο ποιοῦντες, καὶ οὐδὲ λιμοῦ τούτους ἀναγκάζοντος, ἤσθιον τὰ κεκωλυμένα.

15. Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί·

«Οὐκ ἔγραψα δὲ ταῦτα» τὰ παραδείγματα, ἵνα οὕτως, ὡς ταῦτα διδόασι, «γένηται ἐν ἐμοί»· τουτέστιν ἵνα λαμβάνω ἀφ᾽ ὑμῶν (α)·

15. Καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ·

«Μᾶλλον ἀποθανεῖν» λιμῷ καὶ τῇ ἐνδείᾳ τῶν ἀναγκαίων, ἢ ἵνα κενώσῃ τις ἀπ᾽ ἐμοῦ τὸ καύχημά μου· ἵνα κενόν με τούτου ποιήσῃ. Οὐκ εἶπε δὲ ὅτι τὸν νόμον, ὃν ἐμαυτῷ ἐθέμην, ἀλλ᾽ ὅτι «τὸ καύχημα»· ἐμφαίνων οὕτω τὴν ὑπερβολὴν τῆς ἐπὶ τῷ πράγματι χαρᾶς, ὅτι οὐ μόνον οὐκ ἀνιᾶται ἀδαπάνως αὐτοῖς εὐαγγελιζόμενος, ἀλλὰ καὶ λίαν χαίρει. Λέγει δὲ «καύχημα» τὸ ἀδαπάνως εὐαγγελίζεσθαι.

16. Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα·

Ἐὰν εὐαγγελίζωμαι τρεφόμενος (β) ἀφ᾽ ὑμῶν, οὐκ ἔστι μοι χαρᾶς ὑπερβολή· πληρῶ γάρ, ὡς δοῦλος, τὸ προστεταγμένον. Καὶ χαίρω μέν, οὐ τοσοῦτον δέ, ὅσον ὅτε μηδὲν λαμβάνω. Τότε γάρ, ὑπερβαίνων τὴν ἐντολήν, ὑπερβολικῶς ἥδομαι· φιλοτιμία γὰρ τῆς ἐμῆς προαιρέσεως τὸ μηδὲν λαμβάνειν ἐν τῷ κηρύττειν. Εἶτα κατασκευάζει τὸν λόγον·

(α) Τῶν ἀπ᾽ ἀρχῆς μέχρι τῆσδε τῆς σελίδος ἀντιγραφέντων ἐν Ῥώμῃ ἐκ τοῦ κώδικος (τῇ 15 Σεπτεμβρίου 1879) ἐσπευσμένως πως διὰ τὸ κατεπεῖγον τοῦ χρόνου, ἡ παρείσφρησις μικρῶν τινων παροραμάτων οὐ πάνυ τι ἀπίθανον. Τὰ δ᾽ ἀπὸ τούτου τοῦ μέρους καὶ ἐφεξῆς μέχρι τοῦ τέλους τῆς ὅλης συγγραφῆς ἀπετυπώθησαν ἡμῖν διὰ τῆς φωτογραφίας καὶ ἡ ἀντιγραφὴ αὐτῶν ἐγένετο μετὰ πάσης τῆς δυνατῆς ἐπιμελείας τε καὶ ἀκριβείας.— (β) Τὸ χειρόγρ. «στεφόμενος».

16. Ἀνάγκη γάρ μοι ἐπίκειται.

Ἀπὸ τοῦ ἀποστείλαντος εὐαγγελίζεσθαι Δεσπότου.

16. Οὐαὶ δέ μοι ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι.

Κόλασίς μοι ἀπόκειται, ὡς καταφρονητῇ, ἐὰν μὴ κηρύσσω.

17. Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω·

«Τοῦτο»· ποῖον; τὸ εὐαγγελίζεσθαι δηλονότι, ἢ τὸ ἀδαπάνως εὐαγγελίζεσθαι. «Ἑκὼν» δέ, ἀντὶ τοῦ ἐξ οἰκείας προαιρέσεως καὶ μὴ κελευσθείς.

17. Εἰ δὲ ἄκων, διακονίαν πεπίστευμαι.

Οὐκ εἶπεν ὅτι «μισθὸν οὐκ ἔχω»· πῶς γάρ; ἀλλ' ὅτι «διακονίαν »πεπίστευμαι» ὡς δοῦλος, καὶ πληρῶ τὸ προςτεταγμένον. Πάλιν οὖν κἀνταῦθα τὸ «ἄκων» ἀντὶ τοῦ οὐκ ἐκ προηγουμένης ἰδίας προαιρέσεως, ἀλλ' ἑπομένης τῷ κελεύσαντι Δεσπότῃ· μέγα μὲν γὰρ τὸ κηρύσσειν, μεῖζον δὲ γίνεται, ὅταν ἀδαπάνως γίνηται. Καὶ ἐπικερδὲς μὲν τὸ κατ' ἐντολὴν τοῦτο ποιεῖν, ἐπικερδέστερον δὲ τὸ ποιεῖν τοῦτο κατὰ προαίρεσιν αὐθαίρετον. Καὶ καθ' ἕτερον δὲ λόγον, εὐλόγως ἐπὶ τοῦ προκειμένου παρεσιώπησε τὸν μισθόν, εἰρηκότος τοῦ Κυρίου τοῖς Ἀποστόλοις· «ὅταν πάντα ποιήσητε τὰ ἐντεταλμένα δηλαδή, λέγετε »ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν» (α).

18. Τίς οὖν μοί ἐστιν ὁ μισθός;

Τί οὖν μοί ἐστι τὸ ἔμμισθον ἔργον; Εἶτα πάλιν αὐτὸς λέγει τοῦτο καὶ δείκνυσιν·

18. Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ,

Τοῦτό μοι τὸ ἔμμισθον· ἵνα εὐαγγελιζόμενος ἀδάπανον ποιήσω τὸ κήρυγμα τοῦ Χριστοῦ.

18. Εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ Εὐαγγελίῳ.

(α) Λουκ. ιζ', 10.

«Ἀδάπανον» κατὰ τὸ μὴ χρήσασθαι τῇ ἐξουσίᾳ μου τῇ τοῦ λαμβάνειν καὶ τρέφεσθαι ἐν τῷ εὐαγγελίζεσθαι. Κατάχρησιν γὰρ καταχρηστικῶς τὴν χρῆσιν ὠνόμασεν. Ἔδειξε δὲ ὅτι καὶ οἱ ἄλλοι Ἀπόστολοι ἀπὸ τοῦ Εὐαγγελίου τρεφόμενοι ἐξουσίαν ἔχουσι τοῦτο ποιεῖν, δεδομένην αὐτοῖς ἀπὸ τοῦ Κυρίου καὶ οὐχ ἁμαρτάνουσιν.

19. Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα,

Οὐ μόνον οὐκ ἐχρησάμην, φησί, τῇ δηλωθείσῃ μοι ἐξουσίᾳ, ἀλλὰ καὶ ἑτέρως πεποίηκα· ἐλεύθερος γὰρ ὢν ἐκ πάντων ἀνθρώπων, καὶ μηδενὶ τούτων ὑποκείμενος, πᾶσιν ἐμαυτὸν ἐδούλωσα τῷ θεραπεύειν τὰς ψυχικὰς τούτων ἀρρωστίας, καὶ συγκαταβαίνειν ταῖς ἀσθενείαις αὐτῶν. Καὶ γὰρ κηρύξας τούτοις προςετάγην καὶ ἀπαγγέλλειν τὰ ἐμπιστευθέντα. Τὸ δὲ μυρία μηχανᾶσθαι καὶ ἐπινοεῖν εἰς ὠφέλειαν καὶ σωτηρίαν αὐτῶν τοῦτο τῆς ἐμῆς ἦν σπουδῆς καὶ προαιρέσεως. Σφόδρα γὰρ ἀγαπῶν τὸν Θεὸν ὑπερέβαινε τὰ σκάμματα, καὶ πάντα ἔπραττεν ὑπὲρ τοῦ προςαγαγεῖν αὐτῷ πολλούς.

19. Ἵνα τοὺς πλείονας κερδήσω.

«Κερδήσω» εἰς τὴν πίστιν. Ἀγρεύσω τῷ Χριστῷ. Λοιπὸν δὲ λέγει καὶ τὰ εἴδη τῆς ῥηθείσης δουλείας·

20. Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω·

Καὶ πότε ἐγένετο τοῦτο; Ὅτε δηλονότι περιέτεμε τὸν Τιμόθεον (α), ἵν᾽ οὕτω παραδεχθεὶς καθέλῃ τὴν περιτομήν. Κατέβη γάρ, ἵνα ἀναγάγῃ, ἐπεκλίθη τοῖς κειμένοις, ἵνα ἀναστήσῃ τούτους. «Ὡς Ἰουδαῖος» δὲ εἶπεν, ἐμφαίνων τὴν ὑπόκρισιν τοῦ πράγματος καὶ τὴν οἰκονομίαν.

20. Τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω·

Ἡ ἐπεξήγησίς ἐστι τοῦ προτέρου τοῦτο· ἢ «Ἰουδαίους» μὲν εἶπε τοὺς ἐκ προγόνων καὶ ἐξ ἀρχῆς Ἰουδαίους ὄντας, «ὑπὸ νόμον» δὲ τοὺς προςηλύτους. Ἢ τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας μέν, ἔτι δὲ τῷ νόμῳ δουλεύοντας· οὐκέτι γὰρ ἦσαν Ἰουδαῖοι, ἀλλ᾽ ὑπὸ νόμον

(α) Πράξ. ις΄, 3.

τέως. Καὶ πότε τούτοις ἐγένετο «ὑπὸ νόμον»; ὅτε ἐξυρᾶτο καὶ ἔθυεν (α), ἵνα παραδεξάμενοι τοῦτον οὕτω πεποιηκότα λοιπὸν ἀπαλλαγῶσι τοῦ νόμου μεταπεισθέντες.

21. Τοῖς ἀνόμοις, ὡς ἄνομος,

Φησὶν ὁ Χρυσόστομος ὅτι τινὲς ἦσαν τότε ἐκτὸς μὲν τοῦ μωσαϊκοῦ νόμου, μήτε δὲ Ἰουδαῖοι ὅλως, μήτε Ἕλληνες, μήτε Χριστιανοὶ τυγχάνοντες (τοιοῦτος δὲ ἦν ὁ Κορνήλιος), παρ' οἷς ὁ Ἀπόστολος οὕτος ὑπεκρίθη τινά (β). Λέγοι δ' ἂν «ἀνόμους» ὅσον πρὸς τὸν εἰρημένον νόμον, καὶ τοὺς Ἀθηναίους, παρ' οἷς ὑπεκρίθη τὰ ἐκείνων τῷ δέξασθαι τὸ ἐπίγραμμα τοῦ βωμοῦ, ὡς καλόν, καὶ ἀπὸ τούτου δημηγορῆσαι, καὶ ἀποχρήσασθαι τοῦτο πρὸς παραίνεσιν (γ). Εἶεν δ' ἂν ἄνομοι τοιοῦτοι καὶ οἱ ἐξ ἐθνῶν πεπιστευκότες, οἷς συγκατέβαινε συγχωρῶν μικρά, ἵνα κατορθώσῃ μεγάλα, καὶ ἐνδιδοὺς ὀλίγα, ἵνα λάβῃ πολλά. Ἵνα δὲ μὴ νομίσῃ τις μεταβολὴν γνώμης εἶναι τὸ πρᾶγμα, ἐπήγαγε·

21. Μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστῷ,

Μὴ ὢν ἀμαθὴς τοῦ νόμου τοῦ Θεοῦ· δηλονότι τοῦ μωσαϊκοῦ, ἀλλὰ προςέτι καὶ ἐγγεγυμνασμένος τῷ νόμῳ τοῦ Χριστοῦ, τῷ πολλῷ μείζονι.

21. Ἵνα κερδήσω ἀνόμους.

Πανταχοῦ τὴν αἰτίαν τῆς συγκαταβάσεως προβάλλεται.

22. Ἐγενόμην τοῖς ἀσθενοῦσιν (*) ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω.

Τοὺς παρὰ Κορινθίοις ἀσθενεῖς κατὰ πίστιν αἰνίττεται, ὑπὲρ ὧν καὶ τἄλλα εἴρηται. Διὸ καὶ τελευταῖον ἔταξε τοῦτο, ὡς οἰκειότερον. Συγκατέβη δὲ καὶ τοῖς κατὰ Ῥώμην τὴν πόλιν ἀσθενέσιν, ὅτε περὶ βρωμάτων ἐνεκάλει τοῖς τελειοτέροις (δ).

22. Τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω.

(α) Αὐτόθ. κα'.— (β) Χρυσόστ. ἐν λ. Τόμ. Ι', Ὁμιλ. ΚΒ', σελ. 183.— (γ) Πράξ. ιζ', 16-23. — (*) Ἐν ἄλλ. «τοῖς ἀσθενέσιν»· οὕτω καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει.— (δ) Ῥωμ. ιε', 1.

«Πᾶσι μὲν γέγονα πάντα», οὐ πάντας δὲ σῶσαι προςεδόκησα, ἀλλά τινας τῶν πάντων. Ὥςπερ γὰρ πάντας σωθῆναι ἀδύνατον, οὕτω καὶ πάντας ἀπολέσθαι ἀμήχανον. Καὶ ὁ σπείρων γὰρ ἔσπειρε μὲν πανταχοῦ, οὐ πᾶς δὲ ὁ σπόρος ἐκαρποφόρησεν. Ἀγαπητὸν δὲ καὶ τὸ τινὰς σῶσαι.

23. Τοῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι.

«Τοῦτο δὲ ποιῶ», φησί, τὸ «τοῖς πᾶσι γίνεσθαι τὰ πάντα», διὰ τὸ κήρυγμα, ἵνα συνειςαγάγω τι τούτῳ καὶ οἴκοθεν· ἵνα προςθήσω τῇ ἐντολῇ τοῦ κηρύττειν καὶ τοὺς τρόπους καὶ τὰς οἰκονομίας τῆς ἰατρείας τῶν ἀσθενῶν, ὡς προείρηται. Ἢ καὶ ἑτέρως· καθάπερ ἔλεγεν «ἐκ τοῦ » Εὐαγγελίου ζῆν» (α), τουτέστιν ἐκ τῶν πιστευόντων· οὕτως «Εὐαγ- » γέλιον» κἀνταῦθα λέγει τοὺς πιστεύοντας· ἵνα, φησί, συγκοινωνὸς τούτοις γένωμαι τῶν ἀντιδόσεων. Τοῦτο δὲ εἶπεν οὐχ ὡς ἐπὶ μισθῷ ταῦτα πράττων, ἀλλὰ μετριοφρονῶν τε τῷ ποιεῖν ἑαυτὸν ἕνα τῶν μαθητῶν ἑαυτοῦ ἐν τῇ ἀντιδόσει τῶν πόνων καὶ τοὺς τελειοτέρους τῶν Κορινθίων διεγείρων εἰς ἐπιμέλειαν τῶν ἀσθενεστέρων ἐφέσει τῆς κοινωνίας τῶν ἀντιδόσεων.

24. Οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον;

Οὐ τοῦτό φησιν, ὅτι ὥςπερ ἐπὶ τῶν σταδιοδρομούντων, οὕτω καὶ ἐπὶ τῶν τρεχόντων τὸν δρόμον τῆς εὐσεβείας εἷς λαμβάνει τὸν στέφανον· ἀλλ' ὅτι ὥςπερ ἐκεῖ οὐκ ἀρκεῖ τὸ τρέχειν ἁπλῶς, εἰ μὴ προςγένηται καὶ τὸ ἀμέμπτως καὶ τὸ μέχρι τοῦ τέρματος (διὸ καὶ μόνος λαμβάνει τὸ βραβεῖον ὁ οὕτω δραμών), οὕτω καὶ ἐνταῦθα οὐκ ἀρκεῖ τὸ πιστεύειν καὶ ἁπλῶς ἀγωνίζεσθαι, εἰ μὴ προςείη καὶ τὸ ἀλήπτως καὶ τὸ μέχρι τέλους. Πᾶς οὖν ἐκεῖνος στεφανωθήσεται ὁ οὕτως ἀγωνιζόμενος.

24. Οὕτω τρέχετε,

Οὕτως ἀμέμπτως, μηδένα σκανδαλίζοντες, μηδ' ἄλλως ἐξαμαρτάνοντες περὶ τὸν δρόμον καὶ τὸν ἀγῶνα.

(α) Ἀνωτ. στίχ. 14.

24. Ἵνα καταλάβητε.

Τὸ τέρμα· τὸ βραβεῖον.

25. Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται.

Πάντων ἀπέχεται τῶν ἁμαρτημάτων καὶ μόνῳ τῷ ἀγῶνι προςέχει, ὅπερ καὶ ἐπὶ τῶν ἀγωνιζομένων ἐν τοῖς ἔξω θεάτροις εἴωθε γίνεσθαι. Ἀλλ' ἐκεῖνοι μὲν ἀπέχονται ἀδηφαγίας καὶ μέθης καὶ πορνείας καὶ τῶν τοιούτων, ἵνα μὴ τὸ σῶμα βλαβὲν ἀσθενέστερον γένηται· τοῖς δὲ τῆς ἀρετῆς ἀγωνισταῖς περὶ τῆς ψυχῆς ὁ λόγος, ἣν καὶ τὰ τυχόντα βλάπτουσιν ἁμαρτήματα, καὶ χρεία προσοχῆς ἀκριβεστέρας, ὅσῳ καὶ ὁ ἀγὼν μείζων καὶ ὁ στέφανος ὑψηλότερος.

25. Ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν·

« Ἀγωνίζονται » δηλονότι.

25. Ἡμεῖς δὲ ἄφθαρτον.

Ἡμεῖς δὲ ἀγωνιζόμεθα, ἵνα ἄφθαρτον στέφανον λάβωμεν. Ταῦτα γὰρ κἀνταῦθα συνεξακούονται. Οὕτω παιδεύσας αὐτοὺς ἀπὸ τῶν ἔξωθεν ἀγωνιστῶν, καὶ ἑαυτὸν εἰς μέσον ἄγει λοιπόν· ὅπερ ἄριστος τρόπος διδασκαλίας ἀπὸ τῶν καθ' ἑαυτὸν παιδεύειν τοὺς μαθητάς, ὅ καὶ πολλαχοῦ ποιεῖν εἴωθεν.

26. Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως·

« Ὡς οὐκ ἀδήλως τρέχων ». Ὡς οὐκ εἰκῇ καὶ μάτην, ἀλλ' ὡς εἰδὼς πῶς τρέχω, καὶ ποῖ φέρομαι. Καὶ πᾶν εἴ τι ποιῶ πρὸς ὠφέλειαν ποιῶ τῶν [πιστευσάντων] (α) καὶ οὐδὲν ὡς ἔτυχεν, ἢ πρὸς βλάβην· προςέχω γάρ.

26. Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων.

Πάλιν τὸ αὐτὸ ἐμφαίνει. Οὕτω, φησίν, ἀγωνίζομαι, ὡς οὐ μάτην πονῶν. Παροιμία γάρ ἐστι δημώδης τὸ « ἀέρα παίεις » ἐπὶ τῶν ματαιοπονούντων λεγομένη. Σὺ δὲ οὐ μόνον εἰκῇ καὶ μάτην ἐν εἰδωλείῳ

(α) Ἡ παρεντεθειμένη λέξις ἡμετέρα ἐστὶ συμπλήρωσις τῆς παραλειφθείσης κατὰ παραδρομὴν τοῦ τὸν κώδικα ἀντιγράψαντος.

ἐσθίεις, καὶ εἰς οὐδὲν χρήσιμον τὴν ἐν τούτῳ τελειότητα τῆς πίστεως ἐπιδεικνύεις εἰμὴ καὶ μᾶλλον εἰς βλάβην τοῦτο ποιεῖς τῶν ἀσθενεστέρων, ὡς προδεδήλωται, καὶ σεαυτοῦ πάντως. Ἀλλὰ τοῦτο μὲν ὕστερον εἰπεῖν μέλλει καὶ βαθεῖαν αὐτοῖς δοῦναι τὴν πληγήν· νῦν δὲ τοῦτο μόνον ὑποδηλοῖ, ὅτι μάτην ἐπιδείκνυται τὴν ἐν τῷ ἐσθίειν τὰ εἰδωλόθυτα φιλοσοφίαν.

27. Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα,

Ἐνταῦθα παραδείκνυσιν ὅτι ἐπιθυμίᾳ γαστρὸς κατεχόμενοι καὶ ἀνιέντες αὐτῇ τὰς ἡνίας προσχήματι τελειότητος τὴν γαστριμαργίαν ἑαυτῶν ἐπλήρουν. « Ὑπωπιάζειν » δὲ λέγεται τὸ τύπτειν τὸ πρόσωπον. Τύπτω, φησί, τὸ σῶμά μου τῇ ἐγκρατείᾳ τῆς τροφῆς, καὶ παιδεύω καὶ καταστέλλω.

27. Καὶ δουλαγωγῶ,

Ὡς δοῦλον τῆς ψυχῆς ἄγω καὶ ὑποτάττω αὐτῇ. Τὸ μὲν οὖν « ὑπωπιάζειν » παιδευτοῦ· τὸ δὲ « δουλαγωγεῖν » δεσπότου. Καὶ τοῦτο δὲ κἀκεῖνο προνοίας.

27. Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Μήπως ἄλλους προςαγαγὼν τῷ Χριστῷ, αὐτὸς ἀπόβλητος γένωμαι, καταρρᾳθυμήσας ἐμαυτοῦ, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς ἐνδούς. Εἰ δὲ Παῦλος ὁ τοσαῦτα καὶ τηλικαῦτα ἀγωνισάμενος, καὶ σχεδὸν ἀγγέλοις ἁμιλλώμενος, ἐδεδίει ἔτι τὴν τοῦ σώματος ἐπανάστασιν, τί ἂν εἴποιμεν ἡμεῖς οἱ τῆς ἀκριβείας ἀμελοῦντες;

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ

1. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί,

Δείκνυσιν ὅτι οὐ σφόδρα ἦσαν ταῦτα πεπαιδευμένοι, ἅπερ εἰπεῖν μέλλει. Τίνα δὲ ταῦτα;

1. Ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν·

Τίνος ἕνεκεν τοῦτό τε καὶ τὰ ἑξῆς λέγει; Ἵνα δείξῃ ὅτι, ὥςπερ ἐκείνους οὐκ ὤνησε τὸ τοσαύτης ἀπολαῦσαι δωρεᾶς, ἀλλ' ἀνάξιοι φανέντες ἀπώλοντο διαφόρως, οὕτως οὐδὲ τούτους ὀνήσει τὸ βαπτίσματος Χριστοῦ καὶ μυστηρίων πνευματικῶν ἀπολαῦσαι, εἰ μὴ μέλλοιεν ἐπιδείξασθαι βίον ἄξιον τῆς τοσαύτης χάριτος. «Ὑπὸ τὴν νεφέλην, » φησίν, ἦσαν» τὴν ἐπισκιάζουσαν αὐτοῖς ἐν ἡμέρᾳ, ὡς περί τε ταύτης καὶ τῶν ἐφεξῆς ἡ βίβλος τῆς Ἐξόδου διέξεισιν (α).

1. Καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον·

Τῆς Ἐρυθρᾶς, σχισθείσης αὐτῆς ἄχρι τῆς γῆς (β).

2. Καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ·

« Εἰς τὸν Μωϋσῆν » ἀντὶ τοῦ κατὰ Μωϋσῆν ἐβαπτίσθησαν τυπικῶς. « Ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ » ὥςπερ καὶ ἡμεῖς κατὰ τὸν Χριστὸν βαπτιζόμεθα ἀληθινῶς ἐν τῷ ἁγίῳ Πνεύματι καὶ ἐν τῷ ὕδατι τῆς κολυμβήθρας. Τὸ γὰρ ἔλαιον καὶ τὸ μύρον ὕστερον ὡρίσθησαν. Ἐκείνοις μὲν τοῦ Μωϋσέως ἄρχοντος καὶ διατάττοντος (τοῦτο γάρ ἐστι τὸ «κατὰ τὸν Μωϋσῆν»)· ἡμῖν δὲ τοῦ Χριστοῦ, οὗ τύπος ὁ Μωϋσῆς· ὥςπερ ἥ τε νεφέλη τοῦ Πνεύματος ἥ τε θάλασσα τοῦ ὕδατος (γ).

3. Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον· καὶ πάν-
4. τες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον·

«Βρῶμα» μὲν λέγει τὸ μάννα· «πνευματικὸν» δέ, ὡς ὑπερφυῶς καὶ τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος χορηγούμενον (δ). Καὶ «πόμα» μὲν τὸ ἐκ πέτρας ῥυὲν ὕδωρ, «πνευματικὸν» δέ, ὡς ὑπερφυῶς καὶ

(α) Ἔξοδ. ιγ΄, 21. 22. Ἀριθ. θ΄, 15-23. — (β) Ἔξοδ. ιδ΄. — (γ) Ὁ Φώτιος (παρ' Οἰκουμεν. ἐν λ.) τὸ ἀπόρημα, πῶς ὁ Ἀπόστολος λέγει ὅτι οἱ Ἑβραῖοι *ἐβαπτίσθησαν*, ὅτε ἀβρόχοις ποσὶ διῆλθον τὴν Ἐρυθράν, λύει οὑτωσίν· « Εἰ γὰρ καὶ μὴ τῷ » ὕδατι ἐκαλύφθησαν, ἀλλ' οὖν ἐν ἐκείνῳ τῷ χώρῳ τοῦ ὕδατος γεγονότες ἐπορεύοντο, » ἐν ᾧ ἀνάγκη τοὺς διαπορευομένους ὅλῳ βαπτίζεσθαι τῷ ὕδατι, κατὰ φύσιν ἔχοντος » τοῦ ὕδατος ». — (δ) Ἔξοδ. ιϛ΄.

τοῦτο καὶ θείᾳ δυνάμει παρεχόμενον (α). Τύποι δὲ κἀνταῦθα τὸ μάννα μὲν τοῦ θείου σώματος· τὸ ὕδωρ δὲ τοῦ τιμίου αἵματος.

4. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας.

Ἐπορίζοντο τὸ πόμα ἐκ πνευματικῆς πηγῆς, ἐκ θείας δυνάμεως ἀκολουθούσης αὐτοῖς πανταχοῦ καὶ χορηγούσης ἐν ἀπόροις (β).

4. Ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

Ἡ δὲ ἀκολουθοῦσα πνευματικὴ πηγὴ ἦν ὁ Χριστός, ὁ παρὼν αὐτοῖς πανταχοῦ καὶ πάντα θαυματουργῶν, ὡς δύναμις τοῦ Θεοῦ καὶ Πατρός. Οὗτος γάρ ἐστιν ὁ κἀκείνοις τοὺς τύπους καὶ ἡμῖν τὰς ἀληθείας παρέχων.

5. Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός.

« Εὐηρεστήθη ». Καὶ μὴν πάντες ἀπώλοντο, πλὴν Ἰησοῦ υἱοῦ Ναυῆ καὶ Χάλεβ υἱοῦ Ἰεφωνῆ (γ). « Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν » εἶπεν, ἵνα μὴ καὶ τούτοις πανωλεθρίαν προφητεύσας σφόδρα λυπήσῃ. Ἢ καὶ διότι οἱ υἱοὶ ἐκείνων οὐ συνδιεφθάρησαν τοῖς πατράσιν. Πλείους δὲ τῶν υἱῶν ἦσαν οἱ πατέρες, εἰ καὶ μὴ τῷ πλήθει, ἀλλά γε τῇ δυνάμει.

5. Κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ (δ).

Ἔπεσον, ἀπέθανον, παροργίσαντες τὸν Θεόν.

6. Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν,

Ὡς αἱ εἰς αὐτοὺς εὐεργεσίαι καὶ χάριτες τύποι ἦσαν τῶν εἰς ἡμᾶς εἰ μὴ προςέχομεν. Καὶ ὥςπερ ἐκεῖνοι φειδοῦς οὐκ ἠξιώθησαν, οὕτως οὐδὲ ἡμεῖς, κακῶς βιοτεύοντες.

6. Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν,

Ὥςτε μὴ γίνεσθαι ἡμᾶς ἐπιθυμητὰς ψυχοβλαβῶν πραγμάτων, σωφρονιζομένους τῇ κολάσει τῶν ἐπιθυμησάντων παρ' ἐκείνοις. Ἐκ τῆς ἐπιθυμίας δὲ ἤρξατο, αἰνιττόμενος κἀνταῦθα ὅτι ἐξ ἐπιθυμίας βρωμάτων εἰς τὰ εἰδωλεῖα εἰςῄεσαν.

(α) Αὐτόθ. ιζ΄, 6. Ἀριθ. κ΄, 8-12.—(β) Ἔξοδ. ιζ΄, 6. Ἀριθ. κ΄, 8-12.—(γ) Αὐτόθ. ιδ΄, 3. Σημειωτέον ὅτι ἐν ἄλλ. γράφεται « Ἰεφοννῆ ».—(δ) Ἀριθ. ιδ΄, 16. 29. 32.

6. Καθὼς κἀκεῖνοι ἐπεθύμησαν (α).

Ἐν τῇ ἐρήμῳ γὰρ ἐπεθύμησαν τῶν ἐν Αἰγύπτῳ βρωμάτων.

7. Μηδὲ εἰδωλολάτραι γίνεσθε,

Τῇ ὑπολήψει τῶν ὁρώντων ὑμᾶς ἐν εἰδωλείοις ἀνακειμένους, ἢ πρὸς τοὺς βλαπτομένους ἀπὸ τῆς τῶν τελειοτέρων ἀδιαφορίας ὁ λόγος, καὶ ὑποσυρομένους εἰς δεισιδαιμονίαν· ἢ καὶ ὅτι ἡ γαστριμαργία φέρει πολλάκις εἰς εἰδωλολατρείαν.

7. Καθώς τινες αὐτῶν·

Τῶν Ἑβραίων.

7. Ὥςπερ γέγραπται·

Ἐν τῇ βίβλῳ τῆς Ἐξόδου. Τί δὲ γέγραπται;

7. «Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν» (β).

Ἐμπλησθέντες γὰρ ἐχόρευον περὶ τὸν μόσχον, ὃν ἔστησαν ἑαυτοῖς Θεόν. Χορεύοντες δὲ περὶ αὐτόν, εἰδωλολάτρουν οὕτως.

8. Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν,

Ὅτε ἐτελέσθησαν τῷ Βεελφεγώρ, δι' ἔρωτα τῶν Μανιανιτίδων γυναικῶν, ὡς ἡ βίβλος τῶν Ἀριθμῶν ἱστορεῖ. Πάλιν δὲ τῆς πορνείας ἀναμιμνήσκει, πλέον ἀσφαλιζόμενος καὶ διδάσκων ὅτι ἐκ γαστριμαργίας καὶ τοῦτο γίνεται.

8. Καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες (γ).

Τὰς μὲν τῶν ἄλλων ἁμαρτημάτων κολάσεις παρεσιώπησε, λέγω δὴ τῆς ἐπιθυμίας τῶν βρωμάτων καὶ τῆς εἰδωλολατρείας. Τὴν δὲ τῆς πορνείας εἶπεν ὅτι καὶ πλεῖον ἐνταῦθα γέγονεν ἡ κόλασις, καὶ ἵνα φοβήσῃ πλέον.

9. Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθὼς καί τινες αὐτῶν ἐξεπείρασαν (δ).

(α) Αὐτόθ. ια', 4. Ψαλμ. οη', 29. — (β) Ἔξοδ. λβ', 6. — (γ) Ἀριθ. κε', 1. 9. — (δ) Αὐτόθ. κα', 5-7.

Τὸν Θεὸν δηλονότι, ἐν τῷ καταγογγύζειν αὐτοῦ, ὅτε ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ (α).

9. Καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο.

Δακνόντων αὐτούς, ὡς ἡ δηλωθεῖσα Βίβλος διδάσκει (β).

10. Μηδὲ γογγύζετε,

Ἐν τοῖς πειρασμοῖς· μηδὲ δυσανασχετεῖτε, ὡς ἂν μὴ τοῦτο προςῇ, καὶ κόλασις ἕψεται. Διὸ καὶ οἱ Ἀπόστολοι μαστιζόμενοι ἔχαιρον· καὶ Παῦλος ἐν τοῖς παθήμασιν ἐκαυχᾶτο (γ).

10. Καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν,

Ἐν ἑτέρῳ τόπῳ καὶ χρόνῳ (δ).

10. Καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

Τῆς τιμωρητικῆς τοῦ Θεοῦ δυνάμεως, ὅτε ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου καὶ κατέφαγε μέρος τῆς παρεμβολῆς, ὡς ἡ μνημονευθεῖσα Βίβλος διέξεισιν (ε).

11. Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις·

Τὰ τῶν κολάσεων τῶν ἐπὶ ταῖς ῥηθείσαις ἁμαρτίαις ἐγίνοντο ἐκείνοις τύποι τῶν ἡμετέρων κολάσεων. Ὅσον οὖν ἀλήθεια μείζων τοῦ τύπου, τοσοῦτον καὶ αἱ ἡμέτεραι κολάσεις μείζους ἐκείνων ἔσονται. Καὶ χαλεπωτέρας δώσομεν δίκας, ὅσῳ καὶ μειζόνων εὐεργεσιῶν ἠξιώθημεν· ὧν γὰρ αἱ τιμαὶ μείζους, τούτων καὶ αἱ τιμωρίαι μείζους. Ἐκεῖνο μέν, κατορθούντων· τοῦτο δέ, σφαλλομένων. Τύποι δὲ ἐγίνοντο, οὐχ ἵν' ἐκεῖνοι δι' ἡμετέραν παίδευσιν κολασθῶσιν, ἀλλ' ἵνα

(α) Ἐπείραζον δὲ τὸν Χριστὸν καὶ οἱ Κορίνθιοι ἢ ὅτι σημεῖα ἐζήτουν, ὥς φησιν ὁ Οἰκουμένιος (ἐν λ.) καὶ ὁ Θεοφύλακτος (ἐν λ.), ἢ διότι τῷ τῶν διαφόρων γλωσσῶν χαρίσματι κατὰ φιλοτιμίαν μᾶλλον ἢ χρείαν ἐχρῶντο, ὡς διδάσκει ὁ Θεοδώρητος (ἐν λ. Τόμ. Γ', σελ. 304). — (β) Ἀριθ. κα', 7. — (γ) Κατὰ Θεοδώρητον (ἔνθα ἀνωτ.) «ἐγόγγυζον καὶ οἱ τῶν ἐλαττόνων χαρισμάτων τετυχηκότες (Κορίνθιοι), ἐπειδὴ μὴ » πάντων ἦσαν ἠξιωμένοι». — (δ) Οἰκουμέν. (ἐν λ.) «Ἐγόγγυσαν Ἰουδαῖοι εἰς Μερ» ρὰν διὰ ὕδωρ· πικρὸν γὰρ ἦν (Ἔξοδ. ιε', 22. 23). Πάλιν ἐγόγγυσαν οὐκ ὄντος » ὕδατος... (Αὐτόθ. ιζ', 2-7. Ἀριθ. κ', 10). Πάλιν, ὅτε ἐπέμφθησάν τινες ἐκ τοῦ » λαοῦ κατασκέψασθαι τὴν γῆν Χαναάν. Πάλιν ἐγόγγυσαν, ὅτε ἐκέλευσε Μωϋσῆς τῷ » λαῷ ποιῆσαι σάλπιγγας ἀργυρᾶς (Ἀριθ. ι', 1. ια', 3. ιδ', 16)».—(ε) Ἀριθ. ϛ', 37.

ἡμεῖς εἰς ἐκείνους βλέποντες, οὕτω κολασθέντας, παιδευώμεθά τε καὶ φυλαττώμεθα.

11. Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν,

Ἵνα ἀναγινώσκοντες μὴ ἐπιλανθανώμεθα.

11. Εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.

Εἰς οὓς ἦλθε τὰ τέλη τῶν αἰώνων τῆς ἐν τῷ παρόντι κόσμῳ ζωῆς, οἵτινες ἐγγὺς τῆς παγκοσμίου συντελείας ἐσμέν. Τοῦτο δὲ εἶπε, φοβῶν καὶ κατασείων τὰς ψυχὰς αὐτῶν, καὶ τοῦ φρικτοῦ κριτηρίου μνήμην ἐμβάλλων αὐτοῖς, ὡς οὐκ εἰς μακρὰν ἐπιστησομένου. Καὶ ἄλλως δέ· οἱ τελευταιότεροι τῶν προλαβόντων αἰώνων τέλη τῶν ὀπίσω λέγοιντ' ἄν (α).

12. Ὥςτε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ.

Πάλιν κἀντεῦθεν τὸν τῦφον καθαιρεῖ τῶν ἐπὶ τῇ γνώσει θαρρούντων καὶ δοκούντων ἡδραιῶσθαι. Εἰ γὰρ οἱ τοσαύτης χάριτος ἀπολαύσαντες, δι' οὓς τοσαῦτα σημεῖα καὶ τέρατα ὁ Θεὸς ἐποίησεν, ἔπεσον, ὡς προείρηται, πολλῷ μᾶλλον ἡμεῖς, ἐὰν μὴ νήφωμεν. Ὁ γὰρ δοκῶν ἑστάναι τῇ δοκήσει ἕστηκεν, οὐ τῇ ἀληθείᾳ· διὸ καὶ ὡς ἔτι ἀνέδραστος εὐπερίτρεπτός ἐστιν.

13. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰμὴ ἀνθρώπινος·

Ἐπεί τινες ὑπομείναντες πειρασμοὺς ὑπὸ τῶν ἀπίστων ἐφρόνουν κἀντούτοις μέγα, καταστέλλει καὶ τὸ ἐν τούτοις φύσημα, λέγων· «πειρασμὸς μέγας οὐκ ἔλαβεν ὑμᾶς, εἰμὴ ἀνθρώπινος»· τουτέστι μικρός, σύμμετρος· τὸ γὰρ ἀνθρώπινον ἐπὶ τοῦ μικροῦ λέγειν εἴωθε, ὡς τὸν «ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν» (β).

13. Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε,

Ἐπειδὴ ἐφόβησε, πάλιν ἀνίστησιν αὐτούς, καί φησιν· ἀξιόπιστος ὁ Θεὸς εἰπὼν διὰ τοῦ Δαυὶδ «πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ

(α) Ἔπιθι καὶ ὅσα εἰς ἐξήγησιν τοῦ ἀποστολικοῦ τούτου ῥητοῦ λέγει ἐν τοῖς Ἀμφιλοχ. ὁ Φώτιος (Ἐρώτ. Ζ', σελ. 109).— (β) Ῥωμ. ϛ', 19.

» πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος» (α)· ὅς οὐκ ἐάσει πειρασθῆναι πλέον τῆς δυνάμεως ὑμῶν, εἰδὼς ἀκριβῶς πόσον ὑπομένειν δύνασθε, καὶ μετρῶν πρὸς τὴν δύναμιν τὸ βάρος.

13. Ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν,

Ἀλλὰ σὺν τῷ παραχωρῆσαι ἐπελθεῖν τὸν πειρασμόν, ἅμα ποιήσει καὶ τὴν ἔκβασιν τούτου, ἤτοι τὴν ἀπαλλαγήν· τουτέστι ταχέως ἐπάξει καὶ τὴν πλήρωσιν καὶ παῦσιν αὐτοῦ.

13. Τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.

Ὥςτε δύνασθαι ὑμᾶς ὑπενεγκεῖν αὐτόν, ὀλιγοχρόνιον γενόμενον.

14. Διόπερ, ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας.

Τῆς ἀνωτέρω ῥηθείσης.

15. Ὡς φρονίμοις λέγω·

Ὃ ἐρῶ.

15. Κρίνατε ὑμεῖς ὅ φημι.

Ἐπειδὴ μέγα ἐφθέγξατο, καὶ τὴν κατηγορίαν ηὔξησεν, εἰδωλολατρείαν τὸ πρᾶγμα καλέσας, ἵνα μὴ δόξῃ φορτικὸς αὐτοῖς, ἐπιτρέπει τὴν κρίσιν τοῦ λόγου, ὅπερ ἐστὶ σφόδρα θαρροῦντος ταῖς οἰκείαις δικαιολογίαις. Κατ' ἐρώτησιν δὲ καὶ ταῦτα·

16. Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι;

Τὸ μυστικὸν αἷμα τοῦ Χριστοῦ, τὸ ἐν τῷ ποτηρίῳ, καλεῖ «ποτή» ριον εὐλογίας καὶ κοινωνίας». «Ποτήριον» μέν, ὡς πινόμενον· «εὐ» λογίας» δέ, ὡς τοῦ ἱερέως μετὰ χεῖρας αὐτὸ λαμβάνοντος καὶ εὐλογίας ἐπιλέγοντος, ἤγουν εὐχαριστίας πρὸς τὸν Χριστόν, ὅτι τῆς πλάνης ἡμᾶς ἀπήλλαξεν· ὅτι μακρὰν ὄντας ἐγγὺς ἐποίησεν· ὅτι ἀδελφοὺς ἑαυτοῦ καὶ συγκληρονόμους· ὅτι τὸ αἷμα αὐτοῦ ὑπὲρ ἡμῶν ἐξέχεεν· ὅτι καὶ αὐτοῦ τοῦ ἰδίου αἵματος ἡμῖν μεταδίδωσιν. «Κοινωνίαν» δέ, ὡς μετάληψιν καὶ ὡς ἕνωσιν, ἑνουμένων ἡμῶν διὰ τούτου

(α) Ψαλμ. λγ΄, 19.

τῷ οὗ ἐστιν αἷμα. «Πᾶς γάρ, φησίν, ὁ τρώγων μου τὴν σάρκα καὶ » πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ» (α).

16. Ὁ ἄρτος, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν;

«Ὃν κλῶμεν» εἰς μετάδοσιν· ὃν μερίζομεν. Τὸ δὲ «κλῶμεν» προςέθηκεν ἐμφαίνων ὅτι, ὅπερ ἐπὶ τοῦ σταυροῦ οὐκ ἔπαθε, τοῦτο νῦν πάσχει διὰ σέ· καὶ κατακλώμενος ἀνέχεται, ἵνα πάντες φάγωσιν. «Τὸ ποτήριον» δὲ προςέταξεν, ὅτι καὶ ἐν τοῖς εἰδωλείοις τὸ αἷμα πρῶτον ἐχεῖτο.

17. Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν·

Εἰπὼν «κοινωνίαν» ἔδειξεν ὅτι διὰ ταύτης οὐ μόνον τῷ Χριστῷ ἑνούμεθα, ἀλλὰ καὶ ἀλλήλοις. Διὸ καὶ σαφηνίζει τὸν λόγον· εἶπον γάρ, φησί, «κοινωνίαν»· διότι εἷς ἄρτος οἱ πολλοί ἐσμεν, ἓν σῶμα, κεφαλὴν ἔχον τὸν Χριστόν. Εἶτα κατασκευάζει πῶς ἓν σῶμά ἐσμεν·

17. Οἱ (*) γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.

Οἱ δὲ ἐκ τοῦ ἑνὸς μεταλαμβάνοντες τὸ αὐτὸ ἐκείνῳ τε καὶ ἀλλήλοις γίνονται καὶ ἓν ἀποτελοῦνται. Τοῦ γὰρ πλήθους τῶν πιστευσάντων, φησίν, ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία (β). Εἶτα κέχρηται καὶ ἀπὸ τῆς Παλαιᾶς παραδείγματι περὶ κοινωνίας·

18. Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα·

«Τὸν κατὰ σάρκα Ἰσραήλ», ἤτοι τοὺς σωματικῶς λατρεύοντας Ἰσραηλίτας. Ἡμεῖς γὰρ καὶ κατὰ πνεῦμα Ἰσραὴλ καὶ πνευματικῶς λατρεύομεν.

18. Οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Ἤσθιον δὲ τὰς θυσίας, ἤτοι μέρη τινὰ τῶν θυομένων οἱ ἱερεῖς. Οὐκ εἶπε δὲ ἐπὶ τούτων ὅτι κοινωνοὶ τοῦ Θεοῦ εἰσι· καὶ γὰρ τὸ τῷ Θεῷ ἀφοριζόμενον κατεκαίετο (γ). Εἰπὼν

(α) Ἰωάνν. ς', 54. — (*) Ἐν τῷ χειρογρ. πλημμελῶς πάντως κεῖται «εἰ». — (β) Πράξ. δ', 32. — (γ) Ἔξοδ. κθ', 13. Λευϊτ. γ', 3.

δὲ ὅτι κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί, καὶ δείσας μήποτε ὑπολάβωσιν οἱ ἀκούοντες ὅτι, ἐπεὶ ὁ τὴν θυσίαν ἐκεῖ προςδεχόμενος Θεὸς ἠδύνατο βλάψαι, ἄρα καὶ τὰ τὴν θυσίαν ἐνταῦθα λαμβάνοντα εἴδωλα δύνανται βλάψαι τοὺς μὴ θύοντας, ἐπήγαγε·

19. Τί οὖν φημι;

Σαφηνείας ἕνεκεν ἡ ἐρώτησις.

19. Οὐχ (*) ὅτι εἴδωλόν τί ἐστιν, ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν·

Οὐ λέγω ὅτι εἴδωλον οἱονδήποτέ τί ἐστιν· ὅτι τι ὅλως ἐστίν· ὅτι τι δύναται, ἵνα καὶ δυνηθῇ βλάψαι. Ἢ ὅτι εἰδωλόθυτον οἱονδήποτέ τι ὅλως ἐστίν, τί ὅλως δύναται, ἵνα καὶ δυνηθῇ ὠφελῆσαι τὸν μετέχοντα; Οὕτω μὲν κατὰ ἀπόφασιν ἡρμήνευσεν ὁ Χρυσόστομος μετὰ τοῦ ἀρνητικοῦ μορίου (α). Τινὰ δὲ τῶν ἀντιγράφων, τὸ ἀρνητικὸν μόριον οὐκ ἔχοντα προςκείμενον, κατ' ἐρώτησιν ἀναγινώσκειν διδόασιν, ὅτι εἴδωλόν τί ἐστιν; ἢ τὸ εἰδωλόθυτόν τί ἐστιν; οἷς ἔξωθεν ἐπινοεῖται τὸ «οὐδαμῶς».

20. Ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη δαιμονίοις θύει, καὶ οὐ Θεῷ·

Ἀλλὰ τοῦτό φημι· τοῦτο κατασκευάζω δι' ὧν εἴρηκα· ὅτι ἐσθίοντες τὰ εἰδωλόθυτα τοῖς εἰδώλοις κοινωνεῖτε, ἤγουν τοῖς δαιμονίοις. Ἃ γὰρ θύει τὰ ἔθνη, ταῦτα δαιμονίοις θύει, καὶ οὐ Θεῷ, τῷ ὄντως Ὄντι.

20. Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι.

Τῷ κοινωνεῖν ἀλλήλοις τῶν εἰδωλοθύτων· καὶ γὰρ ἐφ' ἡμῶν οἱ κοι-

---

(*) Ἐν ἄλλ. τὸ μὲν «οὐχ» παραλείπεται, τίθεται δὲ ἐν τέλει τοῦ στίχου καὶ τὸ ἐρωτηματικὸν σημεῖον. Τὸν δὲ λόγον, δι' ὃν ὁ Συγγραφεὺς ἐγκρίνει τὴν μετὰ τοῦ ἀρνητικοῦ μορίου καὶ ἄνευ τοῦ ἐρωτηματικοῦ σημείου γραφὴν εὑρίσκομεν ἐν τῇ ἐξηγήσει. — (α) Ἄπορον πῶς οὕτω ῥητῶς διαβεβαιοῦται τοῦτο ὁ Συγγραφεύς. Αἱ γὰρ ἐκδόσεις τῶν Χρυσοστομικῶν ἔργων τὴν κοινὴν ἔχουσι γραφήν· ἤτοι· «τί οὖν φημι; ὅτι εἴδωλόν » τί ἐστιν, ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν;» Ἡ δὲ ἐξήγησις τοῦ ῥητοῦ κατὰ Χρυσόστομον (Τόμ. Ι', Ὁμιλ. ΚΔ', σελ. 202) ὧδε ἔχει· «Ταῦτα δὲ λέγω, φησί, καὶ ἀπάγω, οὐχ » ὡς δυναμένων βλάψαι τι τῶν εἰδώλων ἢ ἰσχὺν ἐχόντων· οὐδὲν γάρ ἐστιν· ἀλλὰ βού- » λομαι καταφρονεῖν αὐτῶν ὑμᾶς. Καὶ εἰ βούλει καταφρονεῖν, φησί, τίνος ἕνεκεν μετὰ » σπουδῆς αὐτῶν ἡμᾶς ἀπάγει; ὅτι οὐ προςάγεται τῷ Δεσπότῃ τῷ σῷ».

νωνοῦντές τινι τραπέζης σχέσιν τινὰ καὶ φιλίαν πρὸς αὐτὸν λαμβάνουσιν.

21. Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων. Οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων.

Ὁ μὲν γὰρ βασιλεύς· οἱ δέ, ἀποστάται καὶ ἐχθροί. Ἐναντίον οὖν ἀλλήλοις ὄντων, οὐ δύνασθε τοῖς ἐναντίοις κοινωνεῖν. Οἱ γὰρ τῆς δαιμονικῆς τραπέζης μεταλαμβάνοντες ἀνάξιοι γίνονται τῆς θείας· καὶ εἰ μεταλάβωσιν, οὐ λογίζονται μεταλαβεῖν.

22. Ἢ παραζηλοῦμεν τὸν Κύριον;

Ἢ τοῦτο ποιοῦντες παρακνίζομεν τὸν Κύριον; ἐρεθίζομεν εἰς ὀργήν, αὐτομολοῦντες πρὸς τοὺς ἐχθροὺς αὐτοῦ; Εἶτα ἐντρεπτικῶς ἐρωτᾷ·

22. Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

Ὥςτε καταφρονῆσαι τῆς ὀργῆς αὐτοῦ; Εἶδες πῶς διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς διέσεισεν αὐτῶν τὰ νεῦρα καὶ σφόδρα καθήψατο;

23. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει·

Εἴρηκε τοῦτο καὶ ἀνωτέρω (α). Νῦν δὲ ἐπείπερ εἰκὸς ἦν τινας λέγειν, ὅτι κύριοί ἐσμεν ἑαυτῶν, καὶ οὐδὲν βλαπτόμεθα ἐσθίοντες εἰδωλόθυτα (ἐστηρίγμεθα γὰρ τῇ εὐσεβείᾳ), παραινεῖ μὴ τοῦτο μόνον σκοπεῖν, ἀλλ' εἰ μὴ βλάβην ἔχει τὸ πρᾶγμα, εἰ μὴ καταστροφήν.

23. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ.

Ἐφ' ἑαυτοῦ κἀνταῦθα προάγει τὸν λόγον καί φησι· «πάντα μοι » ἔξεστι» πράττειν, ὅσα ῥητῶς οὐκ ἐκώλυσε θεῖος νόμος. Καὶ εἰπὼν μὲν ὅτι «οὐ πάντα συμφέρει», ἐδήλωσε τὴν βλάβην τῶν ἐσθιόντων. Εἰπὼν δὲ ὅτι «οὐ πάντα οἰκοδομεῖ», παρέστησε τὴν ζημίαν τῶν ἀσθενεστέρων, οἳ κατεστρέφοντο, καθὼς ὀπίσω διαφόρως δεδήλωται.

24. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος.

Τοῦτο πολλαχοῦ τῶν ἐπιστολῶν αὐτοῦ τίθησιν ὡς ἀναγκαιότα-

(α) Α' Κορινθ. ς', 12.

τον (α). Οὐχ ἁπλῶς δὲ κελεύει μὴ ζητεῖν τὸ οἰκεῖον συμφέρον, ἀλλ' ὅταν τοῦτο βλάπτῃ τὸν ἀδελφόν. Τότε γὰρ τὸ ἐκείνου συμφέρον χρὴ προτιμᾶν καὶ προαιρεῖσθαι τοῦ ἰδίου, ὃ καὶ ὁ Παῦλος ἐποίει, πάντα πᾶσι γινόμενος, καὶ πᾶσιν ἀρέσκων τῷ τὰ ἐκείνων προτιμᾶν καὶ συγκαταβαίνειν ταῖς ἀσθενείαις αὐτῶν φειδοῖ τῆς βλάβης αὐτῶν.

25. Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε,

Ἵνα μὴ καὶ τῶν ἐν ἀγορᾷ πωλουμένων ἀπόσχωνται (β) ὡς ἴσως εἰδωλοθύτων, καὶ περιστῶσί τινες εἰς ἀπορίαν τροφῆς, λύει τὴν ἐντεῦθεν ὑποψίαν καὶ ἐπιτρέπει φαγεῖν. «Μάκελλον» δὲ ὁ τόπος, ἐν ᾧ τὸ κρέας ἐπωλεῖτο. Ἐὰν γὰρ ἀγνοῶν φάγῃ τις εἰδωλόθυτον, ἀνέγκλητός ἐστι· τῆς ἀγνοίας γὰρ τὸ πρᾶγμα, καὶ οὐ τῆς λαιμαργίας οὐδὲ τῆς ἀδιαφορίας.

25. Μηδὲν ἀνακρίνοντες

Μηδόλως πολυπραγμονοῦντες εἴ ἐστιν εἰδωλόθυτον ἢ μή.

25. Διὰ τὴν συνείδησιν.

Ἵνα ἠρεμοῦσαν ἔχητε τὴν συνείδησιν· ἵνα μὴ ἅπαξ εἰδωλόθυτα εὑρόντες καὶ τὰ καθαρὰ ὑποπτεύητε, κεντούσης ὑμᾶς καὶ θορυβούσης τῆς συνειδήσεως δι' ἐκεῖνα τὰ μὴ καθαρά.

26. «Τοῦ Κυρίου γὰρ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς» (γ).

«Ἡ γῆ», ἐξ ἧς τὰ πωλούμενα. «Πλήρωμα» δὲ ἡ ὁλότης. Δαυϊδικὸν δὲ τὸ ῥητόν. Εἰ δὲ τοῦ Κυρίου ἡ γῆ, τοῦ Κυρίου ἄρα καὶ τὰ τῆς γῆς, καὶ οὐδὲν ἀκάθαρτόν ἐστι κατὰ τὴν ἰδίαν φύσιν, ἀλλὰ καθ' ἕτερον λόγον ἀκάθαρτον γίνεται. Ὑμεῖς δέ, μὴ τῆς συνειδήσεως ἐνοχλούσης, ὡς τοῦ Κυρίου κτίσματα ἀδιακρίτως ταῦτα ἐσθίετε.

27. Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε,

Τῇ θελήσει τούτων τὸ πᾶν ἐπέτρεψεν· εἰκὸς γὰρ ἀπελθόντας ἑλκύ-

---

(α) Πρβλ. Ῥωμ. ιε΄, 2. Α΄ Κορινθ. ι΄, 33. — (β) Ἦσαν γὰρ κατὰ Θεοδώρητον (Τόμ. Γ΄, σελ. 308) πλήρεις αἱ πόλεις κατ' ἐκεῖνο τοῦ χρόνου τῶν τοιούτων κρεῶν.— (γ) Ψαλμ. κγ΄, 1.

σαι τινὰς εἰς τὴν πίστιν. Κἀνταῦθα δὲ δειλίας ἀπαλλάττει καὶ ὑποψίας τῶν παρατιθεμένων.

27. Μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

Ὡς καὶ ἐπὶ τῶν ἐν μακέλλῳ πωλουμένων εἴρηται.

28. Ἐὰν δέ τις ὑμῖν εἴπῃ· τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε,

Εἶτα λέγει καὶ τὴν αἰτίαν·

28. Δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν.

Δι' ἐκεῖνον καὶ διὰ τὴν ἐκείνου συνείδησιν, ἤτοι διάκρισιν. Μὴ δυνάμενος γὰρ διακρῖναι καὶ γνῶναι δι' ἣν αἰτίαν ἐσθίετε, μετὰ τὸ μαθεῖν ὅτι εἰδωλόθυτόν ἐστιν, ἐρεῖ ὅτι μῦθος τὰ Χριστιανῶν. Εἴδωλα φεύγουσι, καὶ εἰδωλόθυτα ἐσθίουσιν· ἐγκράτειαν ἐπαινοῦσι, καὶ γαστριμαργίᾳ δουλεύουσιν.

28. «Τοῦ Κυρίου γὰρ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς».

Εἰ γὰρ μὴ δι' ἐκεῖνον, ὡς εἴρηται, ἐχρῆν φαγεῖν καὶ μετὰ τὸ μαθεῖν· τοῦ Κυρίου γάρ εἰσιν, ὡς προδεδήλωται (α).

29. Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου.

Οὐ τὴν τοῦ κληθέντος, ἀλλὰ τὴν τοῦ μηνύσαντος. Ἀλλ' ἴσως εἴποι τις ἄν· διὰ τί φροντίζεις τοῦ μηνύσαντος; εἶπας γὰρ προλαβών· «τί » γάρ μοι καὶ τοὺς ἔξω κρίνειν» ; (β). Οὐκ ἐκείνου φροντίζω, φησίν, ἀλλ' ὑμῶν, ἵνα μὴ καταγινώσκησθε. Διὸ καὶ ἐπήγαγεν·

29. Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως ;

Οἰκειοῦται τὰ τῶν ἀδελφῶν καὶ ἐφ' ἑαυτοῦ ποιεῖται τὸν λόγον, καί φησιν· ἔχομεν ἐλευθερίαν καὶ ἐξουσίαν φαγεῖν καὶ μετὰ τὸ μαθεῖν, τῆς πίστεως χαρισαμένης μοι τὸ μὴ μολύνεσθαι ἀπὸ τῶν τοιούτων.

(α) Σαφέστερον ὁ Θεοδώρητος (ἔνθα ἀνωτ.)· «Καὶ ἐπὶ τοῦ ἐσθίειν τοῦτο (δηλ. τὸ «τοῦ » Κυρίου ἡ γῆ κτλ.) τέθεικεν, καὶ ἐπὶ τοῦ μὴ ἐσθίειν· διδάσκων ὡς καὶ μεταλαμβάνοντας » εἰδέναι δεῖ, ὅτι τοῦ Θεοῦ πάντα ποιήματα, καὶ αὖ πάλιν μὴ ἐσθίοντας τοῦτο προσήκει » πεπεῖσθαι». — (β) Α' Κορινθ. ε', 12.

οὐδὲ γὰρ ὁ ἥλιος τοῦτο πάσχει τὰς ἀκτῖνας τοῖς ῥύποις ἐπιβάλλων. Ἀλλ᾽ἵνα τί ἡ ἐλευθερία μου αὕτη κατακρίνεται ὑφ᾽ ἑτέρας συνειδήσεως, τῆς τοῦ μηνύσαντος, συνειδότος ὅτι εἰδὼς ἐσθίω τὸ εἰδωλόθυτον, δέον μὴ κατακριθῆναι ταύτην μηδὲ γενέσθαι μοι αἰτίαν καταγνώσεως, διαβαινούσης εἰς ὅλην τὴν Ἐκκλησίαν;

30. Εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;

Εἰ δὲ ἐγὼ χάριτι τῆς πίστεως, ὡς προείρηται, μεταλαμβάνω ἀβλαβῶς οὗ ἂν ἐθέλω βρώματος, διὰ τί βλασφημοῦμαι ἐπὶ τῇ ἐλευθερίᾳ μου ταύτῃ, ὑπὲρ ἧς ἐγὼ εὐχαριστῶ, ὡς ἀπαλλαγεὶς τῆς ἰουδαϊκῆς παρατηρήσεως τῶν βρωμάτων καὶ ἀνώτερος τῶν μολυσμάτων γενόμενος, δέον ἀπεχόμενον μετὰ τὸ μαθεῖν μὴ βλασφημεῖσθαι παρὰ τοῦ μηνύσαντος;

31. Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

Ἀπὸ τοῦ προκειμένου ἐπὶ καθολικὴν ἐξῆλθε παραίνεσιν, ἕνα κάλλιστον ὅρον ἡμῖν διδοὺς τὸ διὰ πάντων, ὧν ποιοῦμεν, δοξάζεσθαι τὸν Θεόν. Τοῦτο δὲ ἔσται, πάντα ποιούντων εὐαρέστως αὐτῷ.

32. Ἀπρόςκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ.

Μηδὲ μίαν παρέχετε λαβὴν εἰς τὸ καταγνωσθῆναι καὶ βλασφημηθῆναι. Ὅ τε γὰρ Ἰουδαῖος μᾶλλόν σε μισήσει, καὶ ὁ Ἕλλην πλέον καταγελάσεται, ὡς ὑποκριτοῦ, καὶ ὁ ἀδελφὸς σκανδαλισθήσεται. Χρὴ δέ, ἐν οἷς δυνατόν, μηδὲ τοὺς ἔξω σκανδαλίζειν, ἵνα μὴ βλασφημῆται ἡ Ἐκκλησία, καὶ ἵνα μὴ οἱ προςιέναι μέλλοντες ἐμποδίζωνται.

33. Καθὼς κἀγὼ

Γίνομαι δηλονότι.

33. Πάντα πᾶσιν ἀρέσκω,

Πῶς δὲ ἀρέσκει;

33. Μὴ ζητῶν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν,

Ὡς ἀνωτέρω διείληπται· «ἐγενόμην γάρ, φησί, τοῖς πᾶσι τὰ »πάντα» (α), οἷς ἐκεῖνοι ἀρέσκονται. «Τὰ πάντα» δέ, ὅσα οἰκονομικῶς γινόμενα οὐ λυμαίνεται τῇ εὐσεβείᾳ.

33. Ἵνα σωθῶσιν.

Οὕτω θηρευόμενοι.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΔΕΚΑΤΟΝ

1. Μιμηταί μου γίνεσθε,

Ἐν τοῖς τοιούτοις· ἐν τῷ μὴ παρέχειν λαβὴν διαβολῆς· ἐν τῷ ζητεῖν τὸ συμφέρον τῶν πολλῶν.

1. Καθὼς κἀγὼ Χριστοῦ.

Τοῦ καταφρονήσαντος καὶ τῆς ἑαυτοῦ ζωῆς ὑπὲρ τοῦ ζῆσαι ἡμᾶς.

ϛ' *Περὶ σχήματος ἀνδρῶν καὶ γυναικῶν ἐν εὐχαῖς καὶ προφητείαις.*

2. Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε,

Ἀπαρτίσας τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ἐφ' ἕτερον μέτεισι κεφάλαιον, ὃ καὶ αὐτὸ ἔγκλημα μὲν ἦν, οὐ τοσοῦτον δέ. Μεταξὺ γὰρ τῶν μεγάλων τίθησι τὰ κουφότερα, διακόπτων τὴν συνέχειαν τῆς σφοδροτέρας ἐπιτιμήσεως. Τί δὲ τὸ προκείμενον; αἱ μὲν γυναῖκες γυμνῇ τῇ κεφαλῇ καὶ ηὔχοντο παρ' αὐτοῖς καὶ προεφήτευον· γυναῖκες γὰρ τότε προεφήτευον, ὡς αἱ τοῦ Φιλίππου θυγατέρες (β). Οἱ δὲ ἄνδρες καὶ ἐκόμων, καὶ κεκαλυμμένῃ τῇ κεφαλῇ ηὔχοντό τε καὶ προεφήτευον. Ἑλληνικὸν δὲ καὶ τοῦτο κἀκεῖνο. Ἐπεὶ οὖν ὅτε παρῆν αὐ-

---

(α) Ῥωμ. θ', 22. — (β) Πράξ. κα', 10.

τοῖς καὶ ὑπὲρ τούτων παρήγγειλε, καὶ οἱ μὲν ἤκουσαν, οἱ δὲ ἠπείθησαν, γράφει νῦν, ἐπαινῶν μὲν τοὺς πεισθέντας, καθαπτόμενος δὲ τῶν παρακουσάντων. Ἐπαινῶ, φησίν, ὑμᾶς τοὺς πεισθέντας, ὅτι πάντα τὰ παραγγέλματά μου διὰ μνήμης ἔχετε καὶ τελεῖτε.

2. Καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε.

Ἄρα πολλὰ καὶ ἀγράφως παρεδίδου τότε.

3. Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι·

Καινὴ τέθειται ἡ παραίνεσις, ἑδραιοτέρους μὲν ποιοῦσα τοὺς πεισθέντας, συμπείθουσα δὲ τοὺς ἄλλους, ἅμα δὲ καὶ πλέον διδάσκει τι νῦν, ὧν τότε παρέδωκεν· αἰτιολογεῖ γάρ. «Παντὸς δὲ ἀνδρὸς» τοῦ πιστοῦ δηλονότι· ἔδειξε γὰρ προλαβὼν ὅτι σῶμά ἐσμεν τοῦ Χριστοῦ (α), κεφαλὴν ἔχοντες αὐτόν.

3. Κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ·

Ὡς αἴτιος καὶ γεννήτωρ· ἐκ τοῦ Ἀδὰμ γὰρ ἡ Εὔα, καὶ ἐκ τοῦ ἀνδρὸς ἡ γυνή. «Ἀνὴρ» δὲ κατὰ ἀναγωγήν ἐστι νοῦς πρακτικὴν φιλοσοφίαν μετερχόμενος· ἢ νοῦς φυσικὴν θεωρίαν εὐσεβῶς ἀσκῶν· ἢ νοῦς μυστικῆς θεολογίας ἐπιμελούμενος. «Γυνὴ» δὲ τοῦ μὲν πρακτικοῦ νοῦ, ἡ ἕξις τῆς πράξεως, γεννῶσα τοὺς κατ' ἀρετὴν λόγους καὶ τρόπους· τοῦ δὲ θεωρητικοῦ τῆς φύσεως νοῦ, ἡ αἴσθησις, δι' ἧς ἐπιβατεύει τῆς τῶν αἰσθητῶν φύσεως, καὶ ἐν αὐτοῖς θειοτέρους ἀναλέγεται λόγους, διὰ ταύτης οἷον γεννῶν αὐτούς. Τοῦ δὲ θεολογικοῦ νοῦ, ἡ πάσης αἰσθητῆς φαντασίας καθαρεύουσα διάνοια, γεννῶσα τὰ θεολογικὰ μυστήρια. «Χριστὸν» δὲ νοήσομεν τὴν ἐνεργῆ καὶ ἔμπρακτον πίστιν. Τοῦ τοίνυν τοιῶσδε ἔχοντος νοῦ κεφαλὴ καὶ ἀρχὴ ἡ ῥηθεῖσα πίστις. Ταύτης δὲ πάλιν ἀρχὴ ὁ Θεός. Καὶ αὖθις τοῦ μὲν πρακτικοῦ νοῦ προσευχὴ μὲν ἡ αἴτησις τῆς ἐπιστημονικῆς γνώσεως τῶν ὄντων· προφητεία δὲ ἡ τῶν ἐν αὐτοῖς λόγων διδασκαλία. Τοῦ δὲ θεολογικοῦ νοῦ προσευχὴ μὲν ἡ παράστασις καὶ ἕνωσις πρὸς Θεὸν καὶ ἄφθεγκτος ὁμιλία· προφητεία δὲ ἡ περὶ θεολογίας μυσταγωγία. Ἑκάστου δὲ νοῦ τῶν εἰρημένων ἀκάλυπτος ἡ κεφαλή, ὅτε μηδὲν

(α) Α΄ Κορινθ. ι΄, 17.

ὑπὲρ ἄνω θήσει τῆς πίστεως, ἢ ὁρατὸν ἢ αἰσθητὸν ἢ νοητὸν τῶν ὅσα κτιστά. Κεκαλυμμένη δὲ ἡ κεφαλή, τῆς μὲν πρακτικῆς ἕξεως, ὅτε ὁ ἀνὴρ αὐτῆς νοῦς κομᾷ πολλοῖς πρακτικοῖς λογισμοῖς καὶ ἤθεσι· τῆς δὲ αἰσθήσεως, ὅτε ὁ ῥηθεὶς ἀνὴρ αὐτῆς νοῦς κοσμεῖται πολλοῖς εὐσεβέσι λόγοις καὶ θεωρήμασι· τῆς δὲ καθαρᾶς διανοίας, ὅτε ὁ δηλωθεὶς ἀνὴρ αὐτῆς νοῦς πυκάζεται ταῖς ὑπὲρ νόησιν ἀρρήτοις τῶν θείων δογμάτων ἐπιβολαῖς.

3. Κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός.

Ὁ Πατήρ, ὡς αἴτιος καὶ γεννήτωρ. Ἀλλ' ὁ μὲν ἀνὴρ καὶ πρὸ τῆς γυναικὸς πέπλασται καὶ κατάρχει ταύτης. Ὁ δὲ Θεὸς καὶ συνάναρχος τῷ Υἱῷ χρονικῶς καὶ ἰσότιμος. Ἀλλὰ τὸ μὲν «παντὸς ἀν»δρὸς κεφαλὴ ὁ Χριστός ἐστιν»· ἔτι δὲ καὶ τὸ «κεφαλὴ γυναικὸς ὁ »ἀνήρ» εὐλόγως παρείληπται, συμβαλλόμενα πρὸς ὅ μέλλει κατασκευάσαι. Τὸ δὲ «κεφαλὴ Χριστοῦ ὁ Θεὸς» προσέθηκεν, ἵνα μὴ νομίσῃ τις ἀγέννητον εἶναι καὶ τὸν Υἱόν, ἀλλ' ὑπὸ ἀρχὴν τὴν κατὰ τὸ αἴτιον (α).

4. Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.

«Κατὰ κεφαλῆς ἔχων» κάλυμμα δηλονότι. Οὐκ ἀεὶ δὲ τὸν ἄνδρα ἀκάλυπτον τὴν κεφαλὴν ἔχειν κελεύει, ἀλλ' ἐν τῷ καιρῷ τῆς προσευχῆς καὶ προφητείας. Πῶς δὲ καταισχύνει τὴν κεφαλὴν ἑαυτοῦ, ἤτοι τὸν Χριστόν; Ὡς ἐν καιρῷ τοιούτῳ χωρὶς τοῦ δοθέντος αὐτῷ ἀξιώματος προσιών. Ἀξίωμα γὰρ καὶ σύμβολον κυριαρχίας ἐκ φύσεως δέδοται τῷ ἀνδρὶ παρὰ τοῦ δημιουργοῦ λόγου τὸ ἀκάλυπτον ἔχειν τὴν κεφαλήν· ὥςπερ καὶ τῇ γυναικὶ σύμβολον ὑποταγῆς τὸ κεκαλυμμένην ἔχειν τὴν κεφαλήν. Ὥςπερ τοίνυν ὁ ἐν τοῖς ὡρισμένοις καιροῖς

(α) Ἐκ τῶν ἀνωτέρω λόγων τοῦ Ἀποστόλου· «κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ »δὲ Χριστοῦ ὁ Θεός» οἱ περὶ τὸν Ἄρειον καὶ Εὐνόμιον ἐπενόουν ἐλάττωσίν τινα τῷ Υἱῷ· ἐχρῶντο γὰρ τῷδε τῷ συλλογισμῷ· «ὥςπερ ὁ ἀνὴρ ἄρχει τῆς γυναικός, οὕτω καὶ ὁ Πα»τὴρ τοῦ Χριστοῦ. Οὐκοῦν καὶ ὥςπερ ὁ Χριστὸς τοῦ ἀνδρός, οὕτω καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ». (Ὅρ. Χρυσόστ. Τόμ. Ι', Ὁμιλ. ΚϚ', σελ. 214). Ἀλλ' ἐνταῦθα ὁ Συγγραφεύς, ἐάσας τὸν νηφαλιώτατον Χρυσόστομον, παρακολουθεῖ τῷ Ὁμολογητῇ Μαξίμῳ, ἡδέως προσκειμένῳ τῇ τροπολογικῇ μεθόδῳ τῆς τῶν θείων Γραφῶν ἑρμηνείας. Πρβλ. Περὶ διαφόρων Ἀπόρων τῆς ἁγίας Γραφῆς, Ἐρώτ. ΚΕ'.

τῷ βασιλεῖ προςιὼν δίχα τοῦ παρασήμου τῆς ἀρχῆς ἄρχων ὑβρίζει τὸν βασιλέα, καταφρονῶν τοῦ ἀξιώματος, ᾧ τετίμηται, οὕτω δὴ καὶ οὗτος.

5. Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς·

Ὑβρίζει τὸν ἄνδρα, ὡς ἁρπάζουσα τὸ ἀξίωμα αὐτοῦ, καὶ οὕτω κατεξανισταμένη αὐτοῦ.

5. Ἓν γάρ ἐστι καὶ τῷ αὐτῷ τῇ ἐξυρημένῃ. Εἰ γὰρ οὐ κατα-
6. καλύπτεται γυνή, καὶ κειράσθω.

Ὥςπερ γὰρ ἡ ἐξυρημένη τὸ φυσικὸν ἀπέθετο κάλυμμα τῆς κεφαλῆς, οὕτω καὶ αὕτη τὸ ἐπίκτητον.

6. Εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.

Αἰσχρὸν γὰρ τοῦτο καὶ εἰς αἰσχύνην οὐ μόνον τοῦ ἀνδρός, οὗ κατεξανίσταται, ἀλλὰ καὶ ἑαυτῆς, τὸν φυσικὸν κόσμον ἀποβαλλούσης καὶ τὴν εὐσχημοσύνην. «Κατακαλυπτέσθω» οὖν ἀεὶ τῷ τε φυσικῷ καλύμματι καὶ τῷ ἐπικτήτῳ, εἴ γε ἀεὶ αἰσχρὸν αὐτῇ τὸ κείρεσθαι ἢ ξυρᾶσθαι. Οὐκ εἶπε δὲ ἁπλῶς ὅτι «καλυπτέσθω», ἀλλ' ὅτι «κατα» καλυπτέσθω», τὸ διπλοῦν οὕτω κάλυμμα ἐμφαίνων.

7. Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων·

Οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν ἐν τῷ προςεύχεσθαι ἢ προφητεύειν, ἀλλ' ἔχειν τὸ δηλωθὲν ἀξίωμα τῆς ἀρχῆς· εἰκὼν γάρ ἐστιν οὗτος τοῦ Θεοῦ κατὰ τὸ ἄρχειν ἄρχει γὰρ καὶ ὁ ἀνὴρ τῆς γυναικὸς καὶ τῶν ἐπιγείων πάντων. Καὶ «δόξα» αὐτοῦ ἐστιν, ὡς τῶν ἐπὶ γῆς κτισμάτων αὐτοῦ τὸ κάλλιστον ὢν καὶ τιμιώτατον.

7. Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.

Ὡς ἐξαίρετόν τι οὖσα τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ τελούντων. «Πρὸς » τὸν ἄνδρα σου γάρ, φησίν, ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυ» ριεύσει» (α). Πρὸς μέντοι τὰ ἄλογα ζῷα καὶ ἡ γυνὴ εἰκών ἐστι

(α) Γέν. γ', 16.

τοῦ Θεοῦ· περὶ γὰρ ἀμφοτέρων εἶπεν ὁ Θεὸς κατ' ἀρχὰς ὅτι «καὶ ἀρ»χέτωσαν πάντων τῶν ἐπὶ γῆς» (α).

8. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός,

Κατ' ἀρχάς.

8. Ἀλλὰ γυνὴ ἐξ ἀνδρός.

Ἡ Εὔα ἐκ τοῦ Ἀδάμ. Τὸ δὲ «ἔκ τινος» δόξα τῷ «ἐξ οὗ» ἐστιν.

9. Οὐ γὰρ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.

Ἡ Εὔα διὰ τὸν Ἀδάμ· «ποιήσωμεν γάρ, φησίν, αὐτῷ βοηθὸν »κατ' αὐτόν» (β). Ἰδοὺ τέσσαρες ὑπεροχαί, ἃς ἔχει ὁ ἀνὴρ κατὰ τῆς γυναικός· ὅτι αὐτὸς κεφαλὴ αὐτῆς· ὅτι αὕτη εἰς δόξαν αὐτοῦ· ὅτι αὕτη ἐξ αὐτοῦ· ὅτι αὕτη δι' αὐτόν. Ἀναγκαίως οὖν αὐτῷ ὑποτέτακται, καὶ ὀφείλει ἔχειν τὸ σύμβολον τῆς ὑποταγῆς «τὸ κατακεκαλύφθαι »τὴν κεφαλήν», ὃ μετὰ καὶ ἄλλων συμβόλων ἔλαβεν.

10. Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς,

Διὰ τὰ ῥηθέντα. «Ἐξουσίαν» δὲ λέγει τὸ σύμβολον τῆς ὑποταγῆς «τὸ κατακεκαλύφθαι», ὃ πρὸς τὸν ἄνδρα σύμβολον ἐξουσίας ἐστίν, ἧς ἔχει κατὰ τῆς γυναικός.

10. Διὰ τοὺς ἀγγέλους.

Τοὺς ἐφόρους τῆς Ἐκκλησίας (γ)· τοῦ ἀνδρὸς γὰρ ἴσως καταφρονοῦσα, τούτους αἰδεσθήτω, δυςφοροῦντας ἐπὶ τῇ ἀταξίᾳ. Ἐπεὶ δὲ πολλὴν ὑπεροχὴν δέδωκε τῷ ἀνδρί, προστίθησι θεραπείαν, ἵνα μήτε ὁ ἀνὴρ ἐπαρθῇ πλέον τοῦ δέοντος, μήτε ἡ γυνὴ σφόδρα ταπεινωθεῖσα ἀλγῇ.

11. Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός,

(α) Αὐτόθ. α', 26. — (β) Αὐτόθ. β', 18. — (γ) Κύριλλ. Ἀλεξ. Τόμ. Ζ', σελ. 884. «Δῆλον δὲ ὅτι τοὺς ταῖς Ἐκκλησίαις ἐνιδρυμένους (Ἀγγέλους) παρὰ Θεοῦ· δυς»φοροῦσι γὰρ λίαν εἰ ἀμελοῖτο πρός τινος ὁ τοῦ πρέποντος νόμος, ὡς καὶ εἰδότες ὑπὲρ »ἡμᾶς τὴν τοῦ δημιουργήσαντος βούλησιν».

Μετὰ γὰρ τοὺς πρωτοπλάστους οὔτε ἀνὴρ γεννᾶται χωρὶς γυναικός, ἤγουν μητρός· οὔτε γυνὴ χωρὶς ἀνδρός, ἤγουν πατρός.

11. Ἐν Κυρίῳ.

Τοῦ δημιουργοῦ Λόγου ζωοποιοῦντος.

12. Ὥςπερ ἡ γυνὴ (*) ἐκ τοῦ ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός·

Οὐκ εἶπεν ὅτι «ἐκ τῆς γυναικός»· τοῦτο γὰρ ἀνδρός ἐστι τὸ σπέρμα «διὰ τῆς γυναικὸς», ὡς διὰ γῆς, τελεσιουργούμενον.

12. Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.

Ὅς ἐστι πρῶτον αἴτιον, ὡς δημιουργὸς τῆς φύσεως.

13. Ἐν ὑμῖν αὐτοῖς κρίνατε,

Ὑμεῖς κρίνατε ὅ φημι. Ἐρωτηματικῶς δὲ προάγει τὸν λόγον·

13. Πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προςεύχεσθαι;

Εἶτα δείκνυσι τὸ ἀπρεπὲς ἀπὸ τῆς φύσεως, καὶ τῆς παρὰ πᾶσι βαρβάροις συνηθείας·

14. Ἢ οὐδὲ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν;

Οὕτω γὰρ ἐδόκει τοῖς βαρβάροις, οὓς ἡ φύσις, ἀλλ᾽ οὐ γραπτὸς νόμος ἐπαίδευσεν. Οἱ γὰρ Ἕλληνες ἐκόμων. Ὅρα δὲ πῶς κωλύει κομᾶν τὸν ἄνδρα·

15. Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν·

Κόσμος, τιμή. Διὸ ἐπιτρέπονται τῇ κόμῃ, καὶ πολλῆς αὐτὴν ἀξιοῦσιν ἐπιμελείας.

15. Ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται.

Τὸ δὲ «περιβόλαιον» οὐ σκέπει μόνον, ἀλλὰ καὶ κοσμεῖ. Εἰ δ᾽ «ἀντὶ

(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων «ὥςπερ γὰρ ἡ γυνή».

»περιβολαίου δέδοται», τίνος ἕνεκεν χρεία ἑτέρου περιβολαίου; Ἵνα δηλονότι μὴ ἀπὸ τῆς φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς προαιρέσεως ὁμολογῶσι τὴν ὑποταγήν. Νόμος δὲ Θεοῦ καὶ ἡ φύσις.

16. Εἰ δέ τις δοκεῖ φιλόνικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν,

Εἰ δέ τις φαίνεται φιλόνικος εἶναι ἀντιτείνων ἔτι πρὸς τὴν παραίνεσιν, ἡμεῖς οἱ πιστοὶ ἀπειθεῖν συνήθειαν οὐκ ἔχομεν, οὐδ' εἰθίσμεθα ἀντιτείνειν τοῖς διδασκάλοις.

16. Οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ.

Αἱ κατὰ τὴν Οἰκουμένην. Ἀλλότριος οὖν καὶ ἡμῶν καὶ τῶν Ἐκκλησιῶν πασῶν ὁ τοιοῦτος.

Ζ' Περὶ κοινωνίας θεοπρεποῦς, οὐ πλησμονικῆς.

17. Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ,

Περὶ τούτου δὲ παραγγέλλων ὑμῖν, ὃ μέλλω ἐρεῖν. Περὶ τούτου νουθετῶν οὐκ ἐπαινῶ ὑμᾶς, ὅτι καὶ εἰς τοῦτο ἐδεήθητε παραγγελίας. Εἶτα λέγει καὶ τὸ πρᾶγμα·

17. Ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.

Ὅτι οὐκ ἐπ' ὠφελείᾳ ἀλλήλων, ἀλλ' ἐπὶ βλάβῃ τὰς συνελεύσεις ποιεῖτε. Ἔθος γὰρ ἦν αὐτοῖς ἐν τακταῖς ἡμέραις μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν συνέρχεσθαι ἀλλήλοις εἰς κοινὴν ἑστίασιν, τῶν μὲν πλουσιωτέρων τὰ ἐδέσματα χορηγούντων, τῶν δὲ πενεστέρων καλουμένων εἰς τὴν κοινὴν ταύτην τράπεζαν. Ὅπερ ἔθος ἠμείφθη κατὰ μικρὸν καὶ παρεφθάρη, ὡς ἐρεῖ προβαίνων·

18. Πρῶτον μὲν γάρ, συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν·

Οὐ γὰρ κοινῇ κατὰ τὸ ἔθος εἱστιῶντο, ἀλλ' ἕκαστος πλούσιος οὓς ἐβούλετο ᾑρεῖτο συσσίτους. «Πρῶτον» δέ, ἀντὶ τοῦ πρὸ τῶν ἄλλων αἰτιαμάτων.

18. Καὶ μέρος τι πιστεύω.

Καὶ ἐκ μέρους πιστεύω τοῖς μηνύσασιν. Οὐκ εἶπε δὲ ὅτι ἁπλῶς πιστεύω, ἵνα μὴ σφόδρα λυπήσῃ, καὶ ἀναισχυντοτέρους ἐργάσηται.

19. Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι,

Ἀναγκαῖον καὶ σχίσματα ἐν ὑμῖν εἶναι. Ταῦτα γὰρ «αἱρέσεις» λέγει, καὶ οὐ τὰς ἐν δόγμασιν, ἀλλὰ τὰς ἐν τῇ αὐτῇ ἐκκλησίᾳ ἰδιαζούσας συντροφίας, τοῦ μὲν τούτους, τοῦ δὲ ἐκείνους αἱρουμένου εἰς τὸ συσσίτιον. Ἀναγκαῖον δὲ τοῦτο· διότι, κατὰ τὸν τοῦ Κυρίου λόγον, «ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα» (α)·

19. Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν.

Τοῦ Θεοῦ παραχωροῦντος, ἵνα οἱ δόκιμοι, μὴ ἡττώμενοι, φανερωθῶσιν. Οὐ τοὺς πένητας δὲ νῦν παραμυθεῖται μόνον, ἀλλὰ καὶ τοὺς τὸ ἔθος μὴ διαφθείροντας ἐγκωμιάζει.

20. Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν.

Συνερχομένων οὖν ὑμῶν εἰς μίαν ἐκκλησίαν, οὐκ ἔστι κατὰ μίμησιν τοῦ Κυριακοῦ ἐκείνου δείπνου δεῖπνον φαγεῖν· εἰ καὶ εἰς μίμησιν ἐκείνου τοῦτο ποιεῖν δοκεῖτε. Διὸ καὶ «δεῖπνον» ἐνταῦθα τὸ ἄριστον ὠνόμασεν· ἐκεῖνο μὲν γὰρ πάντας εἶχε συγκατακεκλιμένους καὶ συνεσθίοντας ὁμοίως. Ἐνταῦθα δὲ οὐχ οὕτως· καίτοι οὐ τοσοῦτον ὧδε τὸ μέσον τῶν τε πλουσίων καὶ τῶν πενήτων, ὅσον ἐκεῖ τὸ μέσον τοῦ τε Κυρίου καὶ τῶν Ἀποστόλων· μᾶλλον δὲ καὶ τοῦ προδότου, ὅς καὶ αὐτὸς ἐπίσης αὐτοῖς μετέσχε τοῦ δείπνου. Εἶτα ἑρμηνεύει πῶς οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν. Ἐνταῦθα δὲ σαφηνίζει καὶ ἃς εἶπεν αἱρέσεις·

21. Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν,

Πρὸ τῶν ἄλλων λαμβάνει· πρὸ τοῦ τοὺς ἄλλους κατακλιθῆναι· ἢ πρὸ τῶν πενήτων λαμβάνει, μὴ ἐκδεχόμενος αὐτούς, ἀναμένοντας

(α) Ματθ. ιη', 7. Ὁ δὲ Θεοδώρητος (ἐν λ. Τόμ. Γ', σελ. 316) ὧδέ πως ἑρμηνεύει· «Τὸ «δεῖ» οὐκ ἀναγκαστικόν. Τοιοῦτόν ἐστι καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· «Τὰ σκάνδαλα ἐλθεῖν ἀνάγκη». Ὡς ἀκριβῶς γὰρ τὰ ἐσόμενα προορῶν, ὃ προεῖδε προεί»ρηκεν, οὐκ αὐτὸς γενέσθαι ἠνάγκασεν».

κλιθῆναι. «Ἕκαστος» δέ, πλούσιος δηλονότι. Εἰπὼν δὲ «ἕκαστος», πολλὰ σχίσματα ἐνέφηνεν. Παρατιθέντες γὰρ οἱ πλούσιοι τὰ ἑαυτῶν ἐσιτοῦντο μὴ περιμένοντες τοὺς ἄλλους, ὃ καὶ ζημία ἦν καὶ αἰσχύνη τῶν πενεστέρων ἀδελφῶν.

21. Καὶ ὃς μὲν πεινᾷ,

Μὴ εὑρίσκων φαγεῖν.

21. Ὃς δὲ μεθύει·

Ὑπερκορὴς γεγονώς. Εἶτα σφοδρότερον ἐπεξέρχεται τοῖς οὕτω ποιοῦσι·

22. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν;

Εἰ διὰ τὸ ἐσθίειν ἁπλῶς καὶ πίνειν συνέρχεσθε; τουτέστι δι' οἰκείαν ἀπόλαυσιν, καὶ οὐ διὰ κοινωνίαν τῶν πενήτων, τί καὶ συνέρχεσθε ἐπὶ ἑστίασιν εἰς τὴν ἐκκλησίαν ἔχοντες ἰδίας οἰκίας;

22. Ἢ τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε,

Ἀπὸ τῆς τῶν πενήτων ὕβρεως ἐπὶ τὴν Ἐκκλησίαν μετήγαγε τὸ ἔγκλημα, ἵνα φοβερώτερον ποιήσῃ τὸν λόγον. Ὥςπερ γὰρ τὸ Κυριακὸν δεῖπνον, ἤτοι τὸ δεσποτικόν, τὸ κοινὸν πάντων τῶν συνδούλων, ποιεῖτε ἰδιωτικὸν καὶ ὑβρίζετε τοῦτο, οὕτω καὶ τὸν Κυριακὸν τόπον πάντως, ὡς οἰκίᾳ τῇ ἐκκλησίᾳ χρώμενοι. Κοινωνίας γὰρ ὄνομα καὶ ἑνώσεως ἡ Ἐκκλησία.

22. Καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;

Οὐ μόνον λιμαγχονεῖτε, ἀλλὰ καὶ καταισχύνετε τῷ καταφρονεῖν αὐτῶν. Εἶτα χαλᾷ τὸν τόνον τῆς ἐπιτιμήσεως καὶ δίδωσιν ἀναπνεῦσαι·

22. Τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς ἐν τούτῳ;

Ἐφ' οἷς οὕτω ποιεῖτε; κατ' ἐρώτησιν καὶ ἐνταῦθα.

22. Οὐκ ἐπαινῶ.

Πῶς γὰρ τοὺς οὕτως ἁμαρτάνοντας; ἐγὼ γὰρ οὐχ οὕτω μιμεῖσθαι τὸ Κυριακὸν ἐκεῖνο δεῖπνον ὑμᾶς ἐδίδαξα.

23. Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν,

Ἐδιδάχθην ἀπὸ τοῦ Κυρίου τοῦτο, ὃ καὶ ἐδίδαξα ὑμᾶς. Τί δὲ τοῦτο;

23. Ὅτι ὁ Κύριος (*) ἐν τῇ νυκτί, ῇ παρεδίδοτο, ἔλαβεν ἄρτον·
24. καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Ταῦτα πάντα καὶ τὰ ἑξῆς, ὅσα περὶ τοῦ ποτηρίου ἐν τῷ Εὐαγγελίῳ κατὰ λέξιν ἡρμήνευται (α). Τίνος δὲ ἕνεκεν ταῦτα νῦν λέγει; ἵνα ἐκ τούτων ἐντρέψῃ πλέον αὐτούς, ὡς οὐ μόνον οὐ μιμουμένους τὸ μυστικὸν τοῦτο δεῖπνον, ἀλλὰ καὶ τἀναντία ποιοῦντας. Ὁ μὲν γὰρ Κύριος καὶ σῶμα γέγονεν ὑπὲρ πάντων, καὶ ἀπέθανεν ὑπὲρ πάντων (τοῦτο γὰρ ἡ κλάσις καὶ τὸ αἷμα δηλοῦσι), καὶ τοῦ ἰδίου σώματος καὶ αἵματος μετέδωκε πᾶσιν. Σὺ δέ, φησίν, οὐδὲ σιτίων εὐτελῶν καὶ φθαρτῶν τοῖς πένησι μεταδίδως. Εἶτα οἴει Κυριακὸν δεῖπνον ἐσθίειν;

25. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι,

Ἔλαβε δηλονότι.

25. Λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι. Τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

« Ὁσάκις ἂν πίνητε » τοῦτο. Εἰ τοίνυν ἀνάμνησιν θανάτου υἱοῦ σου τελῶν ἢ πατρὸς ἢ ἄλλου τῶν γνησίων(β), οὐκ ἂν ἠνέσχου μὴ συγκαλέσαι καὶ πένητας· οὐ φρίττεις ἀνάμνησιν θανάτου δεσποτικοῦ τελῶν καὶ παρορῶν αὐτούς, καὶ οὕτω τὴν ὑπέρτιμον ἀνάμνησιν ταύτην καθυβρίζων;

26. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε,

Μηνύετε. «Ἄρτον» δὲ καὶ «ποτήριον» λέγει τὸ σῶμα καὶ αἷμα τοῦ

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «Κύριος Ἰησοῦς».—(α) Ἔπιθι τὴν εἰς τὸν Ματθαῖον (ς', 26) ἑρμηνείαν τοῦ Συγγραφέως. — (β) Ἀντὶ « τῶν γνησίων » γραπτέον ἴσως « τῶν πλησίον ».

Κυρίου. Καταγγέλλοντες δὲ καὶ ἀναμιμνησκόμενοι ὅτι δι' ἡμᾶς ἀπέθανε, καταστέλλεσθε καὶ κατανύσσεσθε, καὶ τὴν ἐκείνου μιμεῖσθε συμπάθειαν καὶ φιλανθρωπίαν.

26. Ἄχρις οὗ ἂν ἔλθῃ.

Ἅμα μὲν διδάσκει ὅτι μέχρι τῆς συντελείας ἔσται τοῦτο τελούμενον· ἅμα δὲ καὶ φόβον αὐτοῖς ἐπικρεμᾷ τῆς τοῦ Κυρίου παρουσίας (α).

27. Ὥςτε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον καὶ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως τοῦ Κυρίου (*), ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου.

Ὑπεύθυνος ἔσται τῆς ὕβρεως αὐτῶν· ὁ γὰρ ἀναξίως μεταλαμβάνων αὐτῶν, καταφρονῶν τῆς μεγαλειότητος αὐτῶν καὶ τοῦ φρικτοῦ τούτων ἀξιώματος προςέρχεται τῇ φοβερᾷ τραπέζῃ, καὶ οὕτως ὑβρίζει. Καὶ ἑτέρως δὲ « ἔνοχος ἔσται » τῇ σφαγῇ τοῦ Κυρίου. Ὥςπερ γὰρ οἱ τοῦ σώματος τοῦ Κυρίου τὸ αἷμα ἐκχέαντες ἐξέχεον οὐχ ἵνα πίωσιν, ἀλλ' ἵνα ἐκχέωσιν· οὕτω καὶ οὗτος μεταλαμβάνει οὐχ ἵνα ἁγιασθῇ (οἶδε γὰρ ὅτι ἀνάξιός ἐστιν)· ἀλλ' ἵνα μεταλάβῃ μόνον διὰ τὴν συνήθειαν.

28. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.

Ἐξεταζέτω εἰ ἄξιός ἐστιν. Ἔθος δὲ τῷ Ἀποστόλῳ, ὅταν ἀναγκαῖόν τι παρεμπέσῃ τῇ προκειμένῃ ὑποθέσει, καὶ περὶ τούτου διδάσκειν. Διὸ καὶ νῦν τῶν δεσποτικῶν μυστηρίων μνημονεύσας ἀσφαλίζεται καὶ περὶ τούτων, καὶ μετὰ καθαροῦ συνειδότος προςιέναι τούτοις παρακελεύεται.

29. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει,

---

(α) «Μετὰ γὰρ δὴ τὴν αὐτοῦ παρουσίαν οὐκέτι χρεία τῶν συμβόλων τοῦ σώματος, » αὐτοῦ φαινομένου τοῦ σώματος» (Θεοδώρ. ἔνθ. ἀνωτ.). Ὁ δὲ Οἰκουμένιος τὸ «ἄχρις » οὗ ἂν ἔλθῃ» ἐν ὑπερβατῷ ἐκληπτέον παραινεῖ, οὕτως· « Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν » ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, ἄχρις οὗ ἂν αὐτὸς ἔλθῃ ἐν τῇ δευτέρᾳ » αὐτοῦ παρουσίᾳ, ἕως τότε τὸν θάνατον αὐτοῦ καταγγέλλετε ».— (*) Ἡ ἐπανάληψις τῆς αὐτῆς λέξεως, ἤτοι «τοῦ Κυρίου» ἐν οὐδενὶ τῶν ἔμοι γε γνωστῶν ἀντιγράφων κεῖται. Καί, ὡς δοκεῖ, ἐκ πλημμελείας τοῦ ἀντιγραφέως ἐστι γραφή.

Κατάκριμα καὶ κόλασιν ἑαυτῷ ἐπισπᾶται οὐ παρὰ τὴν τῶν μυστηρίων φύσιν, ἀλλὰ παρὰ τὴν ἑαυτοῦ ἀναξιότητα καὶ καταφρόνησιν.

29. Μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.

Μὴ ἐξετάζων τί ἐστι· μὴ ἐννοῶν ὅτι σῶμά ἐστι δεσποτικόν· σῶμα φρίκης γέμον· πῦρ, φλέγον τοὺς τὴν ψυχὴν φρυγανώδεις καὶ ἀναξίους. Εἰ δὲ τὸ σῶμα τοιοῦτον, καὶ τὸ αἷμα πάντως αὐτοῦ.

30. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι,

Διότι οὐ δοκιμάζουσιν ἑαυτοὺς εἰ ἄξιοί εἰσιν. Τὸ μὲν οὖν «ἄρρωστοι» σαφηνισμός ἐστι τοῦ «ἀσθενεῖς». Ἐδίδαξε δὲ ἐνταῦθα ὅτι πολλὰ τῶν σωματικῶν νοσημάτων ἐξ ἁμαρτημάτων ἔχουσι τὴν ὑπόθεσιν (α).

30. Καὶ κοιμῶνται ἱκανοί.

Καὶ οὐ νοσήματα μόνον, ἀλλὰ καὶ θάνατοι πολλοί· «κοίμησιν» γὰρ τὸν θάνατον λέγει.

31. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα (*).

Εἰ ἑαυτοὺς ἀνεκρίνομεν, ἐξητάζομεν· εἰ διηρευνῶμεν, οὐκ ἂν κατεκρινόμεθα ἀσθενείαις καὶ ἀρρωστίαις, πολλάκις καὶ θανάτοις. Ἀλλὰ διορθούμενοί τε τὰ προλαβόντα καὶ εἰς τὸ μέλλον ἀσφαλιζόμενοι, τὸν Δεσπότην ἱλεωσάμεθα.

32. Κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα,

Τοῦτο λέγει παραμυθούμενός τε τοὺς ἀρρωστοῦντας καὶ εἰς διόρθωσιν ἐνάγων. Κατακρινόμενοι δέ, φησίν, ὑπὸ τοῦ Κυρίου ἀρρωστίαις παιδευόμεθα ἐνταῦθα. Κολαζόμεθα προςκαίρως, ἵνα διορθωθέντες μὴ τιμωρηθῶμεν αἰωνίως.

32. Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Ἵνα μή, ὅτε ὁ κόσμος κρίνεται «κατακριθῶμεν»· ἤγουν ἐν τῷ καιρῷ τῆς παγκοσμίου κρίσεως. «Κόσμον» δὲ ἐνταῦθα νόει τούς τε ἀπίστους καὶ τοὺς πεπιστευκότας μέν, περὶ τὰ κοσμικὰ δὲ πράγματα συρομένους.

(α) Γραπτέον ἴσως «τὴν ὑπόστασιν».— (*) Τὸ χειρόγρ. «ἐκρινώμεθα».

33. Ὥςτε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε.

Συνερχόμενοι εἰς τὴν κοινὴν ταύτην ἑστίασιν μὴ προλαμβάνετε οἱ πλούσιοι ἐν τῷ φαγεῖν· εἰ γὰρ προλαμβάνετε, ἁμαρτάνετε. Ἁμαρτάνοντες δέ, ἀνάξιοι γίνεσθε τοῦ μυστικοῦ δείπνου.

34. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω,

Ἐντρεπτικὸν τοῦτο καὶ πάνυ καθαπτόμενον. Χωριζέσθω, φησί, τῆς Ἐκκλησίας καὶ τῶν ἀνδρῶν, ὡς νήπιος. Τὸ γὰρ πρὸ τῶν ἄλλων ἐσθίειν παιδικῆς ἐστιν ἀκρασίας καὶ γαστριμαργίας.

34. Ἵνα μὴ εἰς κρίμα συνέρχησθε.

Εἰς κατάκρισιν ἑαυτῶν· ὑβρίζοντες ὡς προείρηται, καὶ τὸ κυριακὸν δεῖπνον καὶ τὴν Ἐκκλησίαν καὶ καταισχύνοντες τοὺς πένητας.

34. Τὰ δὲ λοιπά, ὡς ἂν ἔλθω, διατάξομαι.

Καθ' ὑπερβατὸν ἡ σύνταξις· «τὰ δὲ λοιπὰ ὡς διατάξομαι ἂν » ἔλθω». Τὰ δὲ λοιπὰ ἢ τῆς προτεθείσης ταύτης ὑποθέσεως ἢ ἕτερά τινα κανονισθήσονται ὡς διατάξομαι, ἂν ἔλθω· ἤγουν μετὰ τὸ ἐλθεῖν εἰς ὑμᾶς.

ΚΕΦΑΛΑΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

Η' Περὶ διαφορᾶς χαρισμάτων καὶ οἰκονομίας αὐτῶν· ἐν ᾧ περὶ ἀγάπης, ὡς μεγίστου χαρίσματος· περὶ προφητείας, ὡς μείζονος γλώσσης.

1. Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν.

«Πνευματικὰ» λέγει τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, περὶ ὧν ἐρεῖ προϊών. Ἐν τοῖς τότε (α) γὰρ καιροῖς ἕκαστος βαπτιζόμενος εὐθὺς ἐλάμβανε πνευματικὸν χάρισμα· ὁ μὲν ἓν ὁ δὲ πλείω. Καὶ ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον, ὅπερ ἐνεποίει στάσιν τοῖς Κορινθίοις, ὥςπερ καὶ

(α) Τὸ χειρόγρ. «ἐν τότε».

τοῖς Ῥωμαίοις, τῶν μὲν τὰ πλείονα ἐχόντων ἢ μείζονα κατεπαιρομένων τῶν τὰ ἐλάττονα κεκτημένων, τούτων δὲ πάλιν ἀγανακτούντων καὶ φθονούντων ἐκείνοις. Καὶ τοῦτο δὲ τὸ σκάνδαλον ὁ Ἀπόστολος λῦσαι σπουδάζων ἄρχεται πρῶτον ἀπὸ τῶν προφητευόντων. Καὶ ἐπεὶ τότε καὶ [πάλιν τινὰς] (α) ἐπεισήγαγεν ὁ διάβολος μιμουμένους τοὺς Προφήτας καὶ ἦν δυςδιάκριτος ὁ Πνεύματι ἁγίῳ φθεγγόμενος (ἀπὸ γὰρ τοῦ τέλους τῶν προφητευομένων ἡ ἀλήθεια κρίνεται), δίδωσιν ὁ Ἀπόστολος γνωρίσματα τοῦ τε προφήτου καὶ τοῦ ψευδοπροφήτου· τοῦ μὲν ψευδοπροφήτου τὸ ἐξεστηκέναι, τὸ ἀνάγκην ὑπομένειν, τὸ ὠθεῖσθαι, τὸ ἕλκεσθαι καθάπερ μαινόμενον· τοῦ δὲ προφήτου τὸ σωφρονεῖν, τὸ καθίστασθαι.

2. Οἴδατε ὅτι ἔθνη ἦτε,

Ὅτι πρὸ τοῦ βαπτισθῆναι ἔθνη ἦτε ἄθεα.

2. Πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι.

Ἑλκόμενοι πρὸς τὰ εἴδωλα βίᾳ, ὡς ἂν ἕλκεσθαι παρὰ τῶν ἑλκόντων ὑμᾶς δαιμόνων. Τοῦτο δὲ λέγει πρὸς τοὺς παρὰ Κορινθίοις ἐκ μάντεων πιστοὺς γενομένους· οὕς, ὅτε πρότερον ἐμαντεύοντο, βίᾳ προςῆγον τοῖς εἰδώλοις οἱ δαίμονες, καθάπερ δεδεμένους, ἵνα τὴν ἀφωνίαν τῶν εἰδώλων ἐπισκιάσωσι, δοκούντων ἐμπνέειν αὐτοῖς, ἅπερ οἱ δαίμονες ἐνέπνεον.

3. Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν,

Δίδωσι καὶ ἕτερον γνώρισμα· οὐδεὶς γάρ, φησίν, ἐν Πνεύματι ἁγίῳ προφητεύων λέγει τὸν Ἰησοῦν ἀνάθεμα· ὀνομάζει αὐτὸν ἀνάθεμα, ὅπερ ἐποίουν οἱ μάντεις, βλασφημοῦντες αὐτὸν ἐντεῦθεν.

3. Καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι ἁγίῳ.

Καὶ πάλιν οὐδεὶς προφητεύων δύναται εἰπεῖν Κύριον τὸν Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι ἁγίῳ προφητεύει· ὁ γὰρ ἐν πνεύματι ἀκαθάρτῳ προφητεύων· οὐ φέρει καλεῖν αὐτὸν Κύριον. Καὶ μὴν καὶ Θεὸν αὐτὸν οἱ δαίμονες εἶπον· «οἴδαμέν σε λέγοντες τίς εἶ ὁ Υἱὸς τοῦ Θεοῦ» (β)

(α) Διὰ τῶν παρεντεθειμένων ἀνεπληρώσαμεν δύο ἐν τῷ χειρογράφῳ τελέως ἀπεσβεσμένας λέξεις. — (β) Μάρκ. α΄, 24. Λουκ. δ΄, 34.

καὶ ἀλλαχοῦ πολλάκις. Ἀλλ' οὐχ ἑκόντες, μαστιζόμενοι δέ. Ἑκόντες δὲ οὐκ ἄν ποτε τοῦτο εἴποιεν. Λοιπὸν δὲ καὶ περὶ τῶν ἄλλων διαλέγεται πνευματικῶν χαρισμάτων·

4. Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα·

Πρῶτον παραμυθεῖται τὸν τὸ ἔλαττον ἔχοντα. Διαφοραί, φησί, χαρισμάτων εἰσίν, ἀλλὰ τὸ αὐτὸ ἅγιον Πνεῦμα διαιρεῖ. Ὥςτε εἰ καὶ ἐν τῇ δόσει ἡ διαφορά, ἀλλ' οὐκ ἐν τῷ δεδωκότι. Καὶ εἰ τῷ τοῦ χαρίσματος μέτρῳ ἠλάττωται, ἀλλὰ τό γε παρ' αὐτοῦ ἐκείνου λαβεῖν, παρ' οὗ ἔλαβε καὶ ὁ τὸ μεῖζον λαβών, τὴν ἴσην ἔχει τιμήν.

5. Καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος.

Ὅπερ ποιεῖ τὸ ἅγιον Πνεῦμα τοῦτο καὶ ὁ Υἱός· ἅπερ γὰρ εἶπε «χαρίσματα» ταῦτα νῦν ὠνόμασε «διακονίας», ὡς ὑπηρετούντων καὶ κοπιώντων τῶν ἐχόντων αὐτὰ καὶ πλεῖον καμνόντων τῶν τὰ μείζονα λαβόντων. «Καὶ ὁ αὐτός, φησί, Κύριος» διαιρεῖ· ὥςτε ἀπὸ τῆς αὐτῆς πηγῆς ἀρυσάμενος μὴ ἀγανάκτει.

6. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

Πάλιν ὅπερ ποιεῖ τὸ ἅγιον Πνεῦμα καὶ ὁ Υἱὸς τοῦτο καὶ ὁ Πατήρ· ταυτοδύναμοι γάρ. Ἅπερ γὰρ εἶπε «χαρίσματα διακονίας» ταῦτα νῦν προςηγόρευσεν «ἐνεργήματα» ὡς ἐνεργείας. «Ὁ δὲ αὐτός, φησί, »Θεός» ὁ ἐνεργῶν πάντα τὰ ἐνεργήματα ταῦτα ἐν πᾶσι τοῖς λαβοῦσιν αὐτά.

7. Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον.

«Φανέρωσιν τοῦ Πνεύματος» λέγει τὰ σημεῖα, τὰ ἔργα τοῦ χαρίσματος, δι' ὧν ἐφανεροῦτο τὸ χάρισμα τοῦ Πνεύματος· σημεῖα γὰρ ἦσαν ταῦτα καὶ γνωρίσματα τοῦ ἁγίου Πνεύματος. Ἑκάστῳ, φησί, δίδοται τὸ γνώρισμα τοῦ Πνεύματος πρὸς τὸ συμφέρον αὐτῷ· τὸ μὲν γὰρ λαβεῖν τινα χαρίσματα πρὸς τὸ μέτρον τῆς ἑαυτοῦ δυνάμεως λυσιτελές ἐστι καὶ συμφέρον, τὸ δὲ ὑπὲρ τὴν οἰκείαν δύναμιν ἀσύμφορόν ἐστι καὶ ἐπιβλαβές. Μὴ λυποῦ τοίνυν λαβὼν τὸ κατ' ἀξίαν. Χαῖρε δὲ ἀπὸ τοῦ αὐτοῦ διανομέως λαβών, καὶ κατὰ τὴν δύναμίν

σου λαβών, καὶ ὅλως λαβών· χάρισμα γάρ, οὐκ ὀφειλὴ τοῦτο. Εἶτα λέγει καὶ τὰς διαφορὰς τῶν χαρισμάτων·

8. Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας,

«Ὧ μὲν» ἀντὶ τοῦ «ἄλλῳ μέν». «Λόγος δὲ σοφίας» τοῦ εἰδέναι τὰ ὄντα καὶ ἑτοίμως ἑρμηνεύειν περὶ αὐτῶν, ὃν εἶχεν οὗτος ὁ Παῦλος, κρουνηδὸν ἐν τῷ λέγειν ῥέων, ὃν εἶχεν Ἰωάννης ὁ Θεολόγος.

8. Ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα.

Ἤγουν διὰ τοῦ αὐτοῦ Πνεύματος. «Λόγος δὲ γνώσεως» τὸ εἰδέναι μὲν τὰ ὄντα, μὴ ἑτοίμως δὲ ἑρμηνεύειν περὶ αὐτῶν· ὃν εἶχον πολλοὶ τῶν πιστῶν, γνῶσιν μὲν ἔχοντες, διδάσκειν δὲ οὕτως μὴ δυνάμενοι. Λόγου δὲ εἴδη καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον. Ὁ μὲν γὰρ λόγος τῆς σοφίας, λόγος ἐστὶν ἐνδιάθετος, τῇ σοφίᾳ πεποιωμένος, ἔχων δὲ καὶ τὸν προφορικὸν ἀναλογοῦντα. Ὁ δὲ λόγος τῆς γνώσεως, λόγος ἐστὶν ἐνδιάθετος τῇ γνώσει πεποιωμένος, οὐκ ἔχων ἀναλογοῦντα καὶ τὸν προφορικόν.

9. Ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ Πνεύματι·

Διὰ τοῦ αὐτοῦ πάλιν Πνεύματος. «Πίστιν» δὲ λέγει οὐ τὴν τῶν δογμάτων (ταύτην γὰρ πάντες ἔχουσιν οἱ πιστοί, ἀφ᾽ ἧς καὶ πιστοὶ καλοῦνται), ἀλλὰ τὴν ἐν σημείοις, περὶ ἧς καὶ οἱ Ἀπόστολοι ἔλεγον «πρόςθες ἡμῖν πίστιν» (α). Αὕτη γὰρ μήτηρ τῶν θαυματουργιῶν, τὸ ἀδιστάκτως πιστεύειν ὅτι δώσει ὁ Θεὸς ὃ αἰτοῦμεν.

9. Ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ Πνεύματι.
10. Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων,

Ὁ μὲν τὰ χαρίσματα τῶν ἰαμάτων ἔχων ἐθεράπευε μόνον τὰ οἱαδήποτε νοσήματα. Ὁ δὲ τὰ χαρίσματα τῶν δυνάμεων οὐ μόνον ἐθεράπευεν, ἀλλὰ καὶ ἐκόλαζεν, ὡς ὁ Παῦλος ἐπήρωσεν (β), ὡς ὁ Πέτρος ἀνεῖλε (γ)· δύναμις γὰρ καὶ τὸ ἰᾶσθαι καὶ τὸ τιμωρεῖσθαι. Πανταχοῦ δὲ ποιεῖται προςθήκην τοῦ ἁγίου Πνεύματος, δεικνύων ὅτι ἐκ τῆς αὐτῆς ῥίζης καὶ ἐκ τῶν αὐτῶν θησαυρῶν εἰσι πάντα τὰ χαρίσματα καὶ

(α) Λουκ. ιζ΄, 5. — (β) Οἷον τὸν Ἐλύμαν, τυφλώσας αὐτόν. Πράξ. ιγ΄, 11. — (γ) Τὸν Ἀνανίαν καὶ τὴν Σαπφείραν. Αὐτόθ. ε΄, 5. 10.

ἐξισῶν οὕτω τὴν δοκοῦσαν ἀνωμαλίαν. Ἀνωτέρω μὲν οὖν καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα χορηγεῖν εἶπε τὰ χαρίσματα, ἐνταῦθα δὲ τὸ Πνεῦμα μόνον λέγει, ὡς καὶ περὶ τῶν ἄλλων προδιδάξας.

10. Ἄλλῳ δὲ προφητεία· ἄλλῳ δὲ διακρίσεις πνευμάτων,

Τί ἐστι τὸ «διακρίσεις πνευμάτων»; Τὸ διαγινώσκειν τίς ἐστιν ὁ πνευματικός, τίς ὁ προφήτης καὶ τίς ὁ ψευδοπροφήτης. Πολλοὶ γὰρ ἀπατεῶνες ἦσαν τότε, φιλονικοῦντος τοῦ διαβόλου παρυποστῆσαι τῇ ἀληθείᾳ τὸ ψεῦδος.

10. Ἑτέρῳ δὲ γένη γλωσσῶν· ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.

Γένη καλεῖ τὰς διαφορὰς τῶν γλωσσῶν. Ὁ μὲν οὖν τὸ χάρισμα τῶν διαφόρων γλωσσῶν, ἤτοι διαλέκτων, ἔχων αὐτὸς μὲν ᾔδει ἃ ἔλεγεν· ἕτερος δὲ ἑρμηνεῦσαι ταῦτα οὐκ ἠδύνατο. Ὁ δὲ τὸ τῆς ἑρμηνείας τῶν γλωσσῶν ἔχων αὐτός τε ᾔδει καὶ τὸν ἀγνοοῦντα ταῦτα ἡρμήνευεν. Καὶ ἢ ἀμφότερα εἶχεν ἢ τὸ δεύτερον. Ἐδόκει δὲ μαγεία τὸ χάρισμα τῶν γλωσσῶν, ὡς πρῶτον χαρισθὲν τοῖς Ἀποστόλοις. Ἐπλεόναζε δὲ τοῦτο καὶ παρὰ Κορινθίοις. Ὁ δὲ τῆς εἰρημένης σοφίας λόγος οὐχ οὕτως ἐδόκει. Διὸ καὶ ἐκεῖνο μὲν τὸ χάρισμα πρῶτον τέθεικε, τοῦτο δὲ ἔσχατον. Καὶ γὰρ καὶ τοῦτο δι' ἐκεῖνο, καὶ τὰ ἄλλα πάντα. Καὶ οὐδὲν τούτων ἴσον ἐκείνῳ. Διὸ καὶ ἔλεγεν «οἱ καλῶς προεστῶτες πρε»σβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, καὶ μάλιστα οἱ κοπιῶντες ἐν »λόγῳ καὶ διδασκαλίᾳ» (α).

11. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

Ἐνταῦθα καὶ ἐπιστομίζει τὸν ἀγανακτοῦντα ὅτι ἔλαττον ἔλαβε· δεῖ γὰρ τὸν ἰατρεύοντα καὶ ἐπιστύφειν. «Καθὼς γάρ, φησί, βούλεται» διαιρεῖ τὰ χαρίσματα. Βούλεται δὲ ὡς οἶδεν εἶναι συμφέρον. «Ἐν»εργεῖ» δὲ εἶπεν, οὐκ ἐνεργεῖται. Καὶ «ὡς βούλεται», οὐχ ὡς κελεύεται· κύριον γάρ, οὐ δοῦλον. Καὶ συνδεσπόζον, οὐ δεσποζόμενον. «Ἓν» μὲν οὖν, ὡς οὐκ αὐτὸ τὸ διαιρούμενον, ἀλλὰ τὰ ἑαυτοῦ χαρίσματα διαιροῦν. «Τὸ αὐτὸ» δέ, ὡς ἀναλλοίωτον. Παρηγορήσας

(α) Α' Τιμ. ε', 17.

οὖν τοὺς ἀγανακτοῦντας καὶ ἀνακτησάμενος ἀπὸ τῶν εἰρημένων, ἔτι καὶ ἀφ' ἑτέρου τούτοις ἐπινοεῖ παραμυθίαν καὶ πρὸς τὴν φύσιν τοῦ σώματος ἰδών, ἐκεῖθεν προσάγει τὴν θεραπείαν τῆς μικροψυχίας, καί φησι·

12. Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι καὶ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνός, πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

Δεῖ γινώσκειν πρὸ τῆς ἑρμηνείας τῶν ῥητῶν ὅτι τὸ σῶμα καὶ ὅλον τί ἐστι· καὶ ὡς μὲν σῶμα ἔχει μέλη (τὰ μέλη γὰρ σώματός εἰσι μέλη), ὡς δὲ ὅλον ἔχει μέρη· ἐν μέρεσι γὰρ τὸ ὅλον. Φησὶν οὖν τὸ «καθάπερ »τὸ σῶμα καὶ ἕν τί ἐστι καὶ πολλά»· ἓν μὲν ὡς σῶμα καὶ ὡς ὅλον, πολλὰ δὲ τοῖς μέλεσι καὶ τοῖς μέρεσιν. Καὶ πάλιν, πάντα τὰ μέλη τοῦ ἑνὸς σώματος, πολλὰ ὄντα τοῖς μέρεσιν, ἕν εἰσι σῶμα τῷ ὅλῳ· «οὕτω καὶ » ὁ Χριστός». Ἦν δὲ ἀκόλουθον εἰπεῖν ὅτι, «οὕτω καὶ ἡ Ἐκκλησία». Ἀλλ' ἀντὶ τῆς Ἐκκλησίας τὸν Χριστὸν τέθεικεν, εἰς ὕψος ἀνάγων τὸν λόγον, καὶ πλέον οὕτω συνάγων μὲν τοὺς τὰ ἐλάττονα χαρίσματα ἔχοντας, καταστέλλων δὲ τοὺς τὰ μείζονα ἢ πλείονα. Καθάπερ γὰρ καὶ τὸ σῶμα καὶ ἡ κεφαλὴ εἷς ἐστιν ἄνθρωπος· οὕτω καὶ τὸ σῶμα τοῦ Χριστοῦ, τὴν Ἐκκλησίαν, καὶ τὴν κεφαλὴν αὐτῆς, τὸν Χριστόν, ἓν λογισάμενος, ἀντὶ τῆς Ἐκκλησίας τὸν Χριστὸν εἴρηκεν. «Οὕτω καὶ »ὁ Χριστός», ἤγουν οὕτω καὶ τὸ σῶμα τοῦ Χριστοῦ, ἡ Ἐκκλησία, ἕν ἐστιν ὡς σῶμα καὶ ὡς ὅλον· μέλη δὲ ἔχει πολλὰ ὡς μέρη. Καὶ τὰ ἑξῆς ὡς ἐπὶ τοῦ παραδείγματος ἠκριβολογησάμεθα. Εἰ δὲ ἓν οἱ πάντες, καὶ οἱ πάντες ἕν, ἰσότης ἄρα κατὰ τοῦτο. Καὶ γὰρ ἕκαστον μέλος, καὶ μέγα καὶ μικρόν, ἐπίσης ἐστὶ μέλος τοῦ αὐτοῦ σώματος. Καὶ ὡς μὲν μέλος, καὶ ὡς ὁμοούσιον καὶ ὁμοταγές, ἰσότιμόν ἐστιν. Ἡ διαφορὰ κατὰ τὴν ἐνέργειαν. Εἶτα ἐφ' ἕτερον ἔρχεται λόγον πνευματικόν, πλείονος ἰσοτιμίας ἐνδεικτικόν, καί φησι·

13. Καὶ γὰρ ἐν ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι·

Ἓν τὸ ἅγιον Πνεῦμα τὸ κατασκευάσαν ἡμᾶς σῶμα τοῦ Χριστοῦ. Καὶ ἐπὶ τῷ εἶναι ἓν σῶμα τοῦ Χριστοῦ ἐβαπτίσθημεν. Εἰ οὖν καὶ τὸ κατασκευάσαν ἓν καὶ εἰς ὃ κατεσκεύασεν ἕν, ἀμφοτέρωθεν ἔχομεν τὴν

ἰσοτιμίαν, ἀπό τε τῆς ἀξίας τοῦ αὐτοῦ Πνεύματος ἀπό τε τῆς τιμιότητος τοῦ αὐτοῦ σώματος. Οὐ γὰρ ἐν ἄλλῳ μὲν οὗτος, ἐν ἑτέρῳ δὲ ἐκεῖνος ἐβαπτίσθημεν Πνεύματι, ἀλλ' ἐν τῷ αὐτῷ πάντες. Οὐδὲ ἐπὶ τῷ γενέσθαι διάφορα σώματα, ἀλλ' ἐπὶ τῷ γενέσθαι ἓν σῶμα ἐφ' ἑνώσει καὶ συναφείᾳ.

13. Καὶ πάντες ἓν πνεῦμα ἐποτίσθημεν.

Καὶ πάντες οἷα φυτὰ τοῦ κατὰ Χριστὸν παραδείσου, τῆς Ἐκκλησίας καὶ τοῦ πνευματικοῦ τούτου ἀμπελῶνος, τὸ αὐτὸ ἅγιον Πνεῦμα ἐπίομεν· ἤγουν τῷ αὐτῷ Πνεύματι ἠρδεύθημεν.

14. Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.

Ἐπὶ τὸ παράδειγμα τοῦ σώματος αὖθις χωρεῖ, κἀκεῖθεν ὑφαίνει τὴν παραίνεσιν. «Οὐκ ἔστι, φησίν, ἓν μέλος», ὥςπερ οὐδ' ἡ Ἐκκλησία εἷς ἐστιν ἄνθρωπος, ἀλλὰ πολλοί.

15. Ἐὰν εἴπῃ ὁ πούς ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ αὐ-
16. τοῦ σώματος (*), οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; καὶ ἐὰν εἴπῃ τὸ οὖς ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;

Ὥςπερ ἐὰν εἴπῃ ὁ πούς, διότι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ διότι τοῦτο εἶπεν, οὐκ ἔστιν ἐκ τοῦ σώματος, οὕτω καὶ ἐν ὑμῖν; Ἐὰν ὁ ἔχων ἔλαττον χάρισμα λογίσηται ὅτι, διότι οὐκ ἔχω τόδε τὸ μεῖζον, οὐκ εἰμὶ ἐκ τοῦ σώματος τῆς Ἐκκλησίας, οὐ διὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος τῆς Ἐκκλησίας; Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ ὠτὸς καὶ τοῦ ὀφθαλμοῦ· οὐ γὰρ τὸ ἐν τῷδε ἢ τῷδε κεῖσθαι τῷ τόπῳ ποιεῖ σῶμα, ἀλλ' ἡ συνάφεια. Ὅρα δὲ σύνεσιν καὶ ἀκρίβειαν, τὸ πάντων τιμιώτατον, τὸν ὀφθαλμόν, καὶ τὸ πάντων ἔσχατον, τὸν πόδα, τέθεικεν. Καὶ τὸν πόδα μὲν εἰςήγαγε φθονοῦντα οὐ τῷ πολὺ ὑπερέχοντι ὀφθαλμῷ, ἀλλὰ τῇ μικρὸν ὑπερεχούσῃ χειρί. Καὶ αὖθις τὸ οὖς βασκαῖνον τῷ ὀλίγον ὑπερέχοντι ὀφθαλμῷ. Καὶ ἡμεῖς γὰρ οὐ τοῖς πολλῷ ὑπερέχουσι φθονοῦμεν, ἀλλὰ τοῖς ὀλίγῳ βασκαίνομεν.

(*) Κοινὴ γραφὴ «ἐκ τοῦ σώματος». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς τὸ «αὐτοῦ» παραλείπει ἐν τῇ ἐξηγήσει.

17. Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; [εἰ ὅλον ἀκοή,](*) ποῦ ἡ ὄσφρησις;

Δείκνυσιν ὅτι καὶ ἀσύμφορον ἦν τὸ πάντας τῶν πρώτων χαρισμάτων τυχεῖν. Ὥςπερ γὰρ ἐπὶ τοῦ σώματος, εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς ἦν, ποῦ ἡ ἀκοή; ἀπῆν γάρ. Καὶ ἐπὶ τῆς ἀκοῆς ὁμοίως· εἰ ὅλον τὸ σῶμα ἀκοή, ποῦ ἡ ὄσφρησις; οὕτω καὶ ἐπὶ τοῦ σώματος τῆς Ἐκκλησίας. Εἰ ὅλον τὸ σῶμα ταύτης, ἤτοι πάντες ἐξ ὧν αὕτη σύγκειται, τῶν πρώτων ἠξιώθησαν ἐνεργημάτων, ἐπεσχέθησαν ἂν τὰ ἐλάττω ἐνεργήματα καὶ ἦν ἂν τῷ σώματι ζημία πολλή. Ἐπὶ τῶν δύο δὲ πρώτων αἰσθήσεων ἐγύμνασε τὸν λόγον, ἃς καὶ ἀνωτέρω παρεδειγμάτισεν.

18. Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν.

Ὥςπερ ἄνω ἐπὶ τοῦ Πνεύματος τὸ συμφέρον θείς, εἶτα ἐπεστόμισεν αὐτοὺς εἰπών, «διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται», οὕτω καὶ νῦν ἐπὶ τοῦ Πατρὸς τὸ ἀσύμφορον δείξας, εἶτα ἐπιστομίζει λέγων, ὅτι ὁ Θεὸς ἔταξε τὰ μέλη ἐν τῷ σώματι καθὼς ἠθέλησεν, ὡς κύριος καὶ ἐξουσιάζων· ὁ Θεὸς ἔταξε· τίς ὁ ἀντιλέγων; Ὥςπερ οὖν ἐπὶ τοῦ σώματος οὐ λογοπραγμονοῦμεν, οὕτω μηδ᾽ ἐπὶ τοῦ σώματος τῆς Ἐκκλησίας, ἀλλ᾽ ἀκούοντες ὅτι ὁ Θεὸς ἔταξεν ὡς ἐβούλετο, μηδὲν περαιτέρω πολυπραγμονεῖτε. Ἠθέλησε δὲ τὸ συμφέρον ἑκάστῳ. Τίς δ᾽ ἂν τὸ συμφέρον εἰδείη κρεῖττον τοῦ πλάσαντος;

19. Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;

Πάλιν λογισμὸν τίθησι, δεικνύων ὅτι εἰ ἦν τὰ πάντα μέλη ἓν μέλος, τῷ τὴν αὐτὴν ἐνέργειαν ἔχειν πάντα, οὐκ ἂν σῶμα. Τὸ γὰρ σῶμα ἐν πολλοῖς καὶ διαφόροις μέλεσι θεωρεῖται. Καὶ σκόπει σύνεσιν· ἀφ᾽ ὧν γὰρ ἐνόμιζον μὴ εἶναι ἰσότιμοι, λέγω δὴ τῆς διαφορᾶς τῶν χαρισμάτων, ἀπὸ τούτων μάλιστα δείκνυσιν αὐτοὺς ἰσοτίμους. Εἰ γὰρ πάντες τῶν αὐτῶν ἔτυχον χαρισμάτων, οὐκ ἂν ἦσαν μέλη· διάφορα γὰρ τὰ μέλη. Οὐκ ὄντες δὲ μέλη, οὐκ ἂν ἦσαν σῶμα. Μὴ ὄν-

(*) Τὰ παρεμβεβλημένα ἐξέπεσον προφανῶς τοῦ γραφικοῦ κειμένου. Τοῦτο δῆλον ἐκ τοῦ ὅτι ἐν τῇ ἐξηγήσει κεῖνται.

τες δὲ σῶμα, οὐκ ἂν ἦσαν ἕν. Μὴ ὄντες δὲ ἕν, οὐκ ἂν ἦσαν ἰσότιμοι. Ἐπεὶ δὲ οὐ πάντες τῶν αὐτῶν ἔτυχον χαρισμάτων, μέλη εἰσὶ καθ' ἕκαστον. Μέλη δὲ ὄντες, σῶμά εἰσι κοινῇ. Σῶμα δὲ ὄντες, ἕν εἰσιν. Ἓν δὲ ὄντες, ἰσότιμοί εἰσιν. Διὸ καὶ ἐπήγαγε·

20. Νυνὶ δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.

Πολλὰ μέλη, ἵνα ἓν σῶμα ἦτε.

21. Οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί· χρείαν ὑμῶν οὐκ ἔχω.

Ἐξελὼν τὸν φθόνον τῶν τὰ ἐλάττονα χαρίσματα λαβόντων καὶ παρηγορήσας τὴν ἀθυμίαν αὐτῶν, καθαιρεῖ λοιπὸν καὶ τὸν τῦφον τῶν ἐχόντων τὰ μείζονα. Παραδειγματίζει δὲ τὸν λόγον πρῶτον μὲν ἐπὶ ὀφθαλμοῦ καὶ χειρός· δεύτερον δὲ ἐπὶ κεφαλῆς καὶ ποδῶν, αὔξων τὸ παράδειγμα. Ὥςπερ γὰρ ἐπὶ τοῦ σώματος οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ κατὰ χρείαν ἐλάττονι αὐτοῦ χειρί· «χρείαν σου οὐκ ἔχω» (χρειώδης γὰρ αὕτη καὶ τούτῳ καὶ παντὶ τῷ σώματι, καὶ μὴ οὔσης αὐτῆς μεγίστη τούτοις ζημία, μὴ δυναμένου τοῦ ὀφθαλμοῦ καὶ τὰ τῆς χειρὸς ἐνεργεῖν)· οὕτω καὶ ἐπὶ τοῦ σώματος τῆς Ἐκκλησίας οὐ δύνανται οἱ τὰ μειζονα χαρίσματα λαβόντες ἐξουθενεῖν τοὺς τὰ ἐλάττω κεκτημένους ὡς οὐ χρειώδεις (δέονται γὰρ καὶ οἱ μείζους τῶν ἐλαττόνων). Οὐ δύνανται καὶ εἰ βούλοιντο· ἀπίθανος γὰρ κἀντέλεκτος ὁ λόγος· οὐ γὰρ δύνανται χωρὶς αὐτῶν οἰκοδομεῖν τὴν Ἐκκλησίαν. Τὸ αὐτὸ καὶ ἐπὶ τῆς κεφαλῆς καὶ τῶν ποδῶν· ἡ μὲν γὰρ ἀνωτάτω, ἡ δὲ κατωτάτω, δι' ὧν οἱ ὑψηλότεροι καὶ οἱ ταπεινότεροι ὑποδηλοῦνται.

22. Ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστιν.

Ὡς οἱ ὀφθαλμοί, καὶ εἴ τι τοιοῦτον. Τῇ δυνάμει γὰρ ἐλαττούμενοι πλεονεκτοῦσι τῇ χρείᾳ. Σπουδάζει δὲ μὴ μόνον ἰσοτίμους δεῖξαι τοὺς ἐξουδενουμένους, ἀλλὰ καὶ ἀναγκαιοτέρους.

23. Καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτιθέαμεν.

Ὡς τὰ γεννητικὰ μόρια. Τί γὰρ τούτων δοκεῖ ἡμῖν ἀτιμότερον; Διὸ πολλοὶ οὐδὲ ἅψασθαι τούτων ἀνέχονται. «Ἃ δὲ δοκοῦμεν» εἶπε,

δεικνὺς ὅτι οὐ τῆς φύσεως τῶν πραγμάτων, ἀλλὰ τῆς ἡμῶν ὑπολήψεως ἡ ψῆφος· οὐδὲν γὰρ τοῦ σώματος ἡμῶν ἄτιμον· Θεοῦ γὰρ ἔργον ἐστίν. Ὥςτε εἰ φύσει ἄτιμον ἦν τουτὶ τὸ μέλος, οὐ μόνον οὐκ ἐχρῆν αὐτῷ τιμὴν πλείονα περιτιθέναι, ἀλλ' οὐδὲ τὴν ἴσην. Νῦν δὲ καὶ οἱ σφόδρα πένητες οὐκ ἂν ἀνάσχοιντο μὴ κεκαλυμμένα ταῦτα φέρειν, εἰ καὶ τῷ ἄλλῳ σώματι γυμνητεύοιεν. «Τιμὴν» δὲ λέγει τὴν ἐπικάλυψιν τῆς ὕβρεως· ὕβρις γὰρ ἡ γύμνωσις.

23. Καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει.

Ἃ εἶπεν «ἀτιμότερα» ταῦτα λέγει καὶ «ἀσχήμονα» ὡς τοιαῦτα δοκοῦντα διὰ τὴν συνήθειαν· μᾶλλον δὲ διὰ τὴν παράχρησιν καὶ τὴν ἐντεῦθεν ἁμαρτίαν. «Εὐσχημοσύνη» δὲ ἡ περιστολή.

24. Τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει.

«Καταστολῆς»· ὡς τὸ πρόςωπον, ὡς αἱ χεῖρες, ὡς οἱ πόδες. Τοῦτο δὲ εἶπε πρὸς παρηγορίαν τῶν τὰ μείζονα ἐχόντων χαρίσματα.

24. Ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν.

«Συνεκέρασεν» αὐτὸ διά τε μειζόνων καὶ ἐλαττόνων μελῶν. Ἀνακεράσας δὲ οὐκ ἀφῆκε φαίνεσθαι τὸ ἔλαττον· τῷ ὑστεροῦντι γὰρ καὶ ἐλαττουμένῳ κατὰ δύναμιν περισσοτέραν δέδωκε τιμὴν κατὰ χρείαν, ὡς τῷ ὀφθαλμῷ, δι' ἣν καὶ τιμῆς ἀπολαύει πλείονος καὶ τῆς παρ' ἡμῶν προνοίας.

25. Ἵνα μὴ ᾖ σχίσματα ἐν τῷ σώματι,

Εἰ γὰρ μὴ τῆς παρ' ἡμῶν ἀπήλαυε προνοίας (α), ἔμελλε πάντως, κατὰ φύσιν ἀσθενὴς ὤν, ἀπολέσθαι καὶ ἀπορραγῆναι τοῦ σώματος. Οὕτως οὖν καὶ ἐπὶ τῆς Ἐκκλησίας, οἱ ἐλαττούμενοι πλείονος ἀπολαύουσι προνοίας. «Οὐκ ἦλθον γάρ, φησί, καλέσαι δικαίους, ἀλλὰ »ἁμαρτωλοὺς εἰς μετάνοιαν» (β). Καὶ πάλιν· «οὐ χρείαν ἔχουσιν οἱ »ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες» (γ). Καὶ ἐπὶ τῶν ἐργατῶν δὲ οἱ περὶ τὴν ἑνδεκάτην ἐλθόντες ἐπίσης τοῖς πρώτοις ἔλαβον (δ). Καὶ ἐπὶ τῶν ταλάντων αὖθις, ὁ τὰ δύο λαβὼν ἐπίσης τῷ

(α) Ὁ ὀφθαλμὸς δηλαδή.—(β) Ματθ. θ', 13.—(γ) Λουκ. ε', 31.—(δ) Ματθ. κ', 9.12.

τὰ πέντε λαβόντι ἐπῃνέθη (α), τοσοῦτον πλεονεκτήσας, ὅσον ἐπ' ἐλαττόνων πόνων τῶν ἴσων στεφάνων ἀξιωθῆναι (β). Χρὴ οὖν μόνον μὴ ἐξουδενοῦσθαι παρὰ τῶν τὰ μείζω χαρίσματα λαβόντων τοὺς τὰ ἐλάττω λαβόντας, ἀλλὰ καὶ πλεῖον τιμᾶσθαι οὐ εἰσιν ἄξιοι, ἵνα μὴ δυςφοροῦντες ἀποσχισθῶσιν.

25. Ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων ἀεὶ μεριμνῶσι τὰ μέλη.

«Ἵνα μὴ ᾖ, φησί, σχίσματα», ἀλλ' ἵνα «τὸ αὐτό»· ἤγουν ἐπίσης ὑπὲρ ἀλλήλων ἀεὶ φροντίζωσι τὰ μέλη, τά τε μείζω ὑπὲρ τῶν ἐλαττόνων, τά τε ἐλάττω, ὑπὲρ τῶν μειζόνων, ἐπιμελούμενοι ἀλλήλων ἵνα μηδενὸς ἀπώλεια γένηται φέρουσα ζημίαν ὅλῳ τῷ σώματι.

26. Καὶ εἴ τε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη·

«Τῷ ὑστεροῦντι, φησί, περισσοτέραν ἔδωκε τιμὴν» διὰ τόδε καὶ τόδε, καὶ ἵνα συμπάσχωσιν ἅπαντα τῷ πάσχοντι, ὡς ἀναγκαίῳ αὐτοῖς, καὶ συγχαίρωσι τῷ προνοίας ἀξιουμένῳ, ὃ καὶ γίνεσθαι εἴωθε· μέλους γὰρ ἑνὸς πληγέντος, ὅλον τὸ σῶμα συμπάσχει. Καὶ τῆς πληγῆς ταύτης θεραπευομένης, ὅλον τὸ σῶμα παρηγορεῖται.

26. [Εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη] (*).

«Χαρὰν» γὰρ ἐπὶ τῶν μελῶν τὴν ἀνάπαυσιν νοήσεις, ὥςπερ καὶ «δόξαν» τὴν ἐπιμέλειαν. Ἵνα δὲ καὶ σαφέστερα δοθείη παραδείγματα, τῇ πτέρνῃ πολλάκις ἐμπαγείσης ἀκάνθης, ὅλον τὸ σῶμα αἰσθάνεται καὶ ὑπὲρ τοῦ ἐξελθεῖν αὐτὴν μεριμνᾷ. Καὶ νῶτος κάμπτεται, καὶ γαστὴρ καὶ μηροὶ συστέλλονται, καὶ χεῖρες καθάπερ ὑπηρέται καὶ δορυφόροι προςιόντες, ἀνέλκουσι τὸ ἐμπαγέν, κεφαλῆς τε ἐπικυπτούσης καὶ ὀφθαλμῶν ἐπιδεικνυόντων. Εἰ δὲ μὴ συνέπασχον, οὐκ ἂν ἐκοινώνουν τῆς ἀλλήλων ἐπιμελείας. «Συγχαίρει» δὲ ὅταν, τῆς κεφαλῆς στεφανουμένης καὶ δοξαζομένης, ὅλος ὁ ἄνθρωπος χαίρῃ καὶ συνδοξάζηται· καὶ τῆς γλώσσης εὐδοκιμούσης, οἱ ὀφθαλμοὶ καὶ τὸ πρόσωπον γελῶσιν ὑφ' ἡδονῆς· καὶ ὀφθαλμῶν καλῶν φαινομένων, ἢ ῥινὸς ἐγκωμιαζομένης, ἤ τινος ἄλλου μέλους, ὅλος ὁ ἄνθρωπος καλ-

---

(α) Τὸ χειρόγραφον φέρει « ἐπηνέχθη ». — (β) Ματθ. κε', 23.— (*) Τὰ ἐν ἀγκύλαις περικεκλεισμένα οὐ κεῖνται ἐν τῷ χειρογράφῳ διὰ προφανεστάτην τοῦ ἀντιγραφέως ἀβλεψίαν· τοῦθ' ὅπερ βεβαιοῖ καὶ ἡ ἐξήγησις.

λωπίζηται. Διδάσκων δὲ ὅτι τοσαύτην ἀπὸ προαιρέσεως ὀφείλομεν ἔχειν πρὸς ἀλλήλους ὁμόνοιαν, ὅσην ἀπὸ φύσεως τὰ μέλη πρὸς ἄλληλα, φησίν·

27. Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ,

Κεφαλὴν ἔχοντες τὸν Χριστόν. Καὶ εἰ τὸ ἡμέτερον οὐ δεῖ στασιάζειν σῶμα, πολλῷ μᾶλλον τὸ τοῦ Χριστοῦ. Καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τῆς φύσεως δυνατωτέρα ἡ χάρις.

27. Καὶ μέλη ἐκ μέρους.

Καὶ μέλη καθ' ἕκαστον. Ὁμοῦ μὲν γὰρ θεωρούμενοι σῶμα Χριστοῦ ἐστε, κατὰ μέρος δὲ καὶ μέλη αὐτοῦ ἐστε. Ὁ δὲ Χρυσόστομος ἑτέρως ἡρμήνευσεν (α)· ὅτι κατὰ μὲν τὴν ἐν ὑμῖν Ἐκκλησίαν σῶμα Χριστοῦ ἐστε, ὡς ὁλόκληρος ἡ Ἐκκλησία· πρὸς δὲ τὴν ἁπανταχῆ τῆς Οἰκουμένης καθολικὴν Ἐκκλησίαν, ἧς τὸ σῶμα συνέστηκεν ἐκ τῶν ἁπανταχῆ ἐκκλησιῶν, ἔχον κεφαλὴν τὸν Χριστόν, μέλη ἐστέ, ἐκ τοῦ εἶναι μέρος πρὸς αὐτήν. Ὅθεν ὀφείλετε οὐ μόνον πρὸς ἀλλήλους ὁμονοεῖν, ἀλλὰ καὶ πρὸς πάσας τὰς ἐκκλησίας, ὡς συσσώμους ὑμῖν.

28. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ

Οὗτοί εἰσι δηλονότι, οὓς αὐτίκα ἐρεῖ. Ἐλλειπτικὸς γὰρ ὁ λόγος. Παρέλκει δὲ καὶ ὁ σύνδεσμος (β). Ἀλλ' εἰπὲ τίνας ἔθετο ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν αὐτῆς;

28. Πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας,

Τὸ «πρῶτον» καὶ τὸ «δεύτερον» καὶ τὰ ἑξῆς οὐχ ἁπλῶς εἴρηκεν, ἀλλὰ τὴν τάξιν τῶν χαρισμάτων διδάξαι θέλων, ἵνα καὶ ταύτην εἰδότες μὴ ἀτακτῶσιν. Πρῶτον δὲ τάγμα λέγει τοὺς Ἀποστόλους, ὡς πάντα τὰ χαρίσματα ἔχοντας. Δεύτερον δὲ τοὺς Προφήτας, οὐ τοὺς τῆς Παλαιᾶς· οὐ γὰρ περὶ ἐκείνων ὁ λόγος, ἀλλὰ τοὺς ἐν τοῖς τότε καιροῖς προφητεύοντας ἐν ταῖς ἐκκλησίαις (γ)· οἷος ἦν Ἄγαβος (δ) καὶ αἱ θυγατέρες Φιλίππου (ε)· πολλοὶ δὲ ἦσαν τοιοῦτοι καὶ παρὰ Κορινθίοις. Καὶ οἱ μὲν Ἀπόστολοι μετεῖχον καὶ προφητείας. Οὗτοι δὲ οἱ

(α) Χρυσόστ. ἐν λ. Τόμ. Ι΄, Ὁμιλ. ΛΒ΄, σελ. 264.— (β) Ὁ σύνδεσμος «μέν».— (γ) Πράξ. ιγ΄, 1. — (δ) Αὐτόθ. ια΄, 28. — (ε) Αὐτόθ. κα΄, 9.

Προφῆται οὐκ εἰς ἀποστολὴν ἐχειροτονήθησαν, ἀλλὰ παρὰ τῶν Ἀποστόλων ἐδιδάχθησαν. Ὁ δὲ Χριστὸς εἰπὼν ὅτι ὁ νόμος καὶ οἱ Προφῆται ἕως Ἰωάννου (α), περὶ ἐκείνων εἴρηκε, τῶν τὴν ἐνανθρώπησιν αὐτοῦ καταγγειλάντων.

28. Τρίτον διδασκάλους,

Τοὺς οὐ λόγῳ μόνον, ἀλλὰ καὶ βίῳ διδάσκοντας. Μετὰ δὲ τοὺς Προφήτας οὗτοι· διότι τὸ μὲν προφητεύειν ὅλον τοῦ πνεύματος ἦν, τὸ δὲ διδάσκειν καὶ τῶν διδασκόντων· πολλὰ γὰρ καὶ οἴκοθεν προςετίθεσαν, ἀκόλουθα μέντοι ταῖς θείαις Γραφαῖς.

28. Ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων,

Εἴρηκεν ἀνωτέρω καὶ περὶ τούτων εἰπών· «ἄλλῳ δὲ χαρίσματα ἰα-» μάτων, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων» καὶ ἡρμήνευται ἡ διαφορὰ τούτων ἐκεῖ (β). Ἀλλ' ἐκεῖ μὲν ἁπλῶς αὐτὰ τέθεικεν· ἐνταῦθα δὲ τάξει χρώμενος, δι' ἣν καὶ ὁ λόγος. Ὁ μέντοι διδάσκαλος ἄνωθεν ἀμφοτέρων τέτακται, ὅτι διὰ τὴν διδασκαλίαν καὶ ταῦτα δεδώρηνται, ἵνα ἐκείνη πιστευθῇ. Εἰ δὲ τοὺς Προφήτας προέθηκε τῶν διδασκάλων, ἀλλ' ἐκείνους λέγει Προφήτας νῦν, τοὺς διὰ τῆς προφητείας καὶ διδάσκοντας καὶ εἰς τὸ κοινῇ συμφέρον προφητεύοντας.

28. Ἀντιλήψεις.

Προστασίας χηρῶν καὶ ὀρφανῶν καὶ τῶν ἄλλων ἀπόρων καὶ ἀσθενῶν.

28. Κυβερνήσεις·

Οἰκονομίας ἐκκλησιαστικῶν καὶ πνευματικῶν πραγμάτων. Τί οὖν; καὶ ἡ «ἀντίληψις» καὶ ἡ «κυβέρνησις» οὐ κατορθώματα, ἀλλὰ χαρίσματα; Μᾶλλον μὲν οὖν καὶ ταῦτα χαρίσματα. Ἄλλως δὲ πολλὰ καὶ τῶν ἡμετέρων κατορθωμάτων χαρίσματα καλεῖ, παιδεύων εὐχαριστεῖν κἀντούτοις, ὡς χάριτι Θεοῦ κατορθωθεῖσι, καὶ μὴ ἐπαίρεσθαι· «χωρὶς γάρ, φησίν, ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (γ).

28. Γένη γλωσσῶν.

(α) Λουκ. ις', 16. — (β) Ὅρ. ἀνωτ. ιβ', 10. — (γ) Ἰωάνν. ιε', 3.

Κἀνταῦθα τελευταῖον τὸ χάρισμα τοῦτο τέθεικεν, ὥςπερ καὶ ἀνωτέρω, ἔνθα περί τε τούτου καὶ τοῦ τῆς ἑρμηνείας τῶν γλωσσῶν διηρμήνευται. Ἐπεὶ γὰρ μέγα ἐφρόνουν πολλοὶ τῶν Κορινθίων ἐπὶ τούτῳ, δείκνυσι καὶ τούτου τὴν τάξιν ἵνα συσταλῶσιν. Εἶτα ἐπειδὴ ἀνωτέρω διὰ πολλῶν καὶ καλλίστων ὑποδειγμάτων παρήνεσε, νῦν μετὰ τὸν κατάλογον καὶ τὴν τάξιν τῶν χαρισμάτων καταφορικωτέρῳ καὶ ἐπιτιμητικωτέρῳ κέχρηται λόγῳ, λέγων ἐρωτηματικῶς καὶ ἐντρεπτικῶς·

29. Μὴ πάντες Ἀπόστολοι; μὴ πάντες Προφῆται; μὴ πάντες
30. διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα
ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι;

Εἰ γὰρ τὸ αὐτὸ χάρισμα πάντες εἶχον, ἓν ἂν μέλος ἦσαν καὶ οὐ σῶμα, ὡς προαποδέδεικται. Μήτε οὖν ὁ τὸ ἔλαττον ἔχων ἀλγεῖ· ὃ γὰρ σὺ ἔχεις, ὁ τὸ μεῖζον ἔχων οὐκ ἔχει. Μήτε ὁ τὸ μεῖζον λαβὼν ἐπαίρου· ὃ γὰρ ἔχει ὁ τὸ ἔλαττον λαβὼν σὺ οὐκ ἔχεις. Ἀλλήλων γὰρ ἐπιδεεῖς ἡμᾶς ἐποίησεν ὁ Θεός, ἵνα τῷ χρῄζειν ἀλλήλων ὁμονοῶμεν, καὶ πρὸς ἀλλήλους συναγόμενοι μὴ σχιζώμεθα. Τὰς μὲν «ἀντιλήψεις» καὶ «κυβερνήσεις» παρῆκεν, ὡς συννοουμένας· τὸ δὲ «διερμηνεύειν» προςέθηκεν, ὅτι καὶ ἄνω περὶ τῶν γλωσσῶν εἰπών, καὶ τοῦ χαρίσματος τῆς ἑρμηνείας τῶν γλωσσῶν ἐμνημόνευσεν, ὃ καὶ ἡρμηνεύθη ἐκεῖ. Ὁ μὲν οὖν διερμηνεύων μείζων ἦν τοῦ γλώσσαις λαλοῦντος, ὡς πολλοῖς γνωρίζων τὰ τῷ ἑνὶ γινωσκόμενα καὶ λαλούμενα. Ἐρρήθη δὲ νῦν ὕστερον περὶ τοῦ χαρίσματος τούτου, ὡς ὕστερον ἐλθόντος εἰς τὴν μνήμην τοῦ Ἀποστόλου.

31. Ζηλοῦται τὰ χαρίσματα τὰ κρείττονα. Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

Τὸ «ζηλοῦται» προςτακτικῶς ἡρμήνευσεν ὁ Χρυσόστομος (α). Εἰδὼς γὰρ ὁ Ἀπόστολος πολλοὺς ὀρεγομένους ἔτι τῶν μειζόνων χαρισμάτων συντρέχει οἰκονομικῶς τῇ ἐπιθυμίᾳ τούτων, καί φησιν· ἐπιθυμεῖτε λαβεῖν τὰ χαρίσματα οὐ τὰ μείζονα, ἀλλὰ τὰ κρείττονα, ἤγουν τὰ χρησιμώτερα. Σπουδάζετε λαβεῖν αὐτά, ἵνα καὶ πλείους ὠφελῆτε καὶ

(α) Ἐν λ. (Τόμ. Ι΄, Ὁμιλ. ΛΒ΄, σελ. 267). Ὁ δὲ Θεοδώρ. ἐν λ. (Τόμ. Γ΄, σελ. 332) καὶ ὁ Φώτιος (παρ᾽ Οἰκουμ. ἐν λ.) κατ᾽ ἐρώτησιν ἀναγινώσκειν παραινοῦσιν.

μετὰ τούτων· τοῦτο γὰρ δηλοῖ τὸ «καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν »δείκνυμι» ἐπὶ ταῦτα φέρουσαν· ἢ ἐπὶ σωτηρίαν ἄγουσαν· ἢ ἐπὶ τὸν Θεόν. «Ὁδὸν» οὐχ ἁπλῶς, ἀλλ' «ὑπερβολικήν», τουτέστι μεγάλην καὶ ἀξιόλογον. Αἰνίττεται δὲ τὴν πρὸς τὸν πλησίον ἀγάπην· ἔδοξε γὰρ ἂν ὁ λόγος εὐκαταφρόνητος, μήπω φανείσης τῆς δυνάμεως αὐτῆς. Διὸ πρῶτον δείκνυσιν ὅτι τἆλλα πάντα χαρίσματα, μὴ συμπαρούσης αὐτοῖς ἀγάπης, οὐδέν ἐστιν. Ἐφ' ἑαυτοῦ δὲ ποιῶν τὸν λόγον διὰ τὸ ἀνεπαχθὲς ἄρχεται πρῶτον ἀπὸ τοῦ δοκοῦντος αὐτοῖς μεγάλου τοῦ τῶν γλωσσῶν.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ

1. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον.

Τί ἐστι «τῶν ἀνθρώπων»; ταῖς τῶν πάντων ἀνθρώπων· ταῖς τῶν πανταχοῦ τῆς Οἰκουμένης ἐθνῶν. Ὑπερβολικῶς δὲ εἰπών, ἔτι προςτίθησιν ὑπερβολὴν τὸ «καὶ τῶν ἀγγέλων». Μὴ παρούσης καὶ ἀγάπης, ἔοικα χαλκῷ ἠχοῦντι ἀνόνητα· ἠχητικὸν γὰρ ὁ χαλκός· ἢ κυμβάλῳ ἀλαλάζοντι μάτην. «Γλώτταις δὲ τῶν ἀγγέλων» οὐ σαρκινόν τι μέλος νοήσεις, ἀλλὰ τὸν νόμον τῆς διαλέκτου τῶν ἀγγέλων, ᾗ χρῶνται πρὸς ἀλλήλους (α). Οὕτω γοῦν καὶ ἀλλαχοῦ «γόνυ λέγων ἐπουρανίων» (β) οὐχ ὡς περὶ σώματος εἶπε τοῦτο, μόνον δὲ ἐμφαίνων τὴν ἐπιτεταγμένην πρὸς κίνησιν τῶν ἀγγέλων. Εἶτα καὶ ἐπὶ τὰ ὑψηλότερα χαρίσματα ἀναβὰς καὶ ταῦτα καθελὼν τῇ ταύτης ἀπουσίᾳ, τότε λοιπὸν ὑπογράφει ταύτης τὴν εἰκόνα.

(α) Θεοδώρ. ἔνθα ἀνωτ. «Ἀγγέλων δὲ γλώττας οὐχ αἰσθητὰς λέγει, ἀλλὰ νοητάς τι» νας, δι' ὧν καὶ [τὸν] τῶν ὅλων Θεὸν ὑμνοῦσι καὶ ἀλλήλοις προςδιαλέγονται ». — (β) Φιλιππ. β', 10.

2. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα (*) καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν ὥςτε καὶ ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.

Καὶ ἐπὶ τῆς προφητείας πάλιν ὑπερβολὰς τίθησι «τὸ εἰδέναι τὰ »μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν». Και ἐπὶ τῆς πίστεως δὲ πάλιν τὸ «πᾶσαν». Ἀλλ' ὁ μὲν Χριστὸς τῆς βραχείας πίστεως ἔργον εἴρηκε τὸ «μεθιστάναι ὄρος» (α). Ὁ δ' Ἀπόστολος τῆς μεγάλης, μᾶλλον δὲ «τῆς πάσης», ἀποβλέψας πρὸς τὴν ὑπόληψιν τῶν ἀκροατῶν· μέγιστον γὰρ αὐτοῖς ἐδόκει τοῦτο διὰ τὸ τοῦ ὄρους μέγεθος. Σὺ δέ μοι σκόπει πῶς ἐν βραχεῖ πάντα περιέλαβε τὰ χαρίσματα, προφητείαν εἰπὼν καὶ πίστιν, ἢ γὰρ ἐν λόγοις ἢ ἐν ἔργοις ἐστὶ τὰ χαρίσματα, ἵνα μὴ καθ' ἕκαστον ἐνοχλῇ.

3. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

Πάλιν καὶ ἐπὶ τῆς ἐλεημοσύνης ὑπερβολὴν τέθεικε τὸ «ψωμίσαι»· Τοῦτο δέ ἐστι τὸ τροφὴν πάντα ποιήσαντα παραθεῖναι πένησι καὶ μὴ μόνον θρέψαι, ἀλλὰ καὶ διακονῆσαι καὶ ὑπηρετῆσαι. Ἔτι δὲ καὶ τὸ «πάντα» καὶ οὐ τὰ ἡμίση τῶν ὄντων ἢ τὰ πλείω. Καὶ ἐπὶ τὸν διὰ Χριστὸν δὲ θάνατον μεθ' ὑπερβολῆς εἴρηκεν· οὐ γὰρ ἁπλῶς εἶπεν, ἵνα ἀποθάνω· ἀλλ' «ἵνα καυθήσομαι» ζῶν, τὸν χαλεπώτατον δηλῶν θάνατον. Ἀλλὰ πῶς ὁ μὴ μόνον δοὺς τὰ ὄντα, ἀλλὰ καὶ ψωμίσας αὐτὰ χωρὶς ἀγάπης τοῦτο ποιήσει ποτέ; Ἡ τοίνυν τὸ μὴ ὂν ὡς ὂν ὑπέθετο, ὅπερ εἴωθε ποιεῖν ὅταν ὑπερβολήν τινα παραστῆσαι βουληθῇ, ὡς ὅτε λέγει· «κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται »ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω» (β)· καίτοι οὔτε αὐτὸς οὔτε ἄγγελος ἔμελλε τοῦτο ποιεῖν. Ἵνα δὲ δείξῃ τὴν μεθ' ὑπερβολῆς παραγγελίαν, τὸ μηδ' ὅλως ἐσόμενον ὑπέθετο. Καὶ πάλιν ἐν ἄλλοις· «οὔτε »ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ »τῆς ἀγάπης τοῦ Θεοῦ» (γ)· οὐδὲ γὰρ ἔμελλον τοῦτο ποιεῖν οἱ ἄγγελοι· ἀλλὰ τὸ μὴ ὂν τέθεικε καθ' ὑπόθεσιν εἰς ἔμφασιν τῆς ὑπερβαλ-

(*) Τὸ «πάντα» οὐ κεῖται ἐν τῷ γραφικῷ κειμένῳ, ἀλλ' εὕρηται ἐν τῇ ἐξηγήσει. — (α) Μάρκ. ια', 23. — (β) Γαλάτ. α', 8. — (γ) Ῥωμ. η', 38.

λούσης ἀγάπης. Ἡ τοίνυν, ὡς εἴρηται, τὸ μὴ ὂν ὡς ὂν ὑπέθετο, ἢ δείκνυσιν ὅτι χρὴ μὴ παρέχειν μόνον, ἀλλὰ καὶ ἐξ ἀγάπης τοῦτο ποιεῖν, ἐλεοῦντας καὶ συμπαθοῦντας καὶ ἐπικαμπτομένους ὡς οἰκείοις μέλεσιν. Καὶ ὁ Κύριος δὲ σημεῖον τοῦ εἶναί τινα μαθητὴν αὐτοῦ τὴν ἀγάπην ἔδωκεν· «ἐν τούτῳ γάρ, φησί, γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταὶ » ἐστε ἐὰν ἀγαπᾶτε ἀλλήλους» (α). Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ γνώρισμα τῆς εἰς Θεὸν ἀγάπης τὴν εἰς τὸν πλησίον ἀγάπην ἐποιήσατο· «εἰ φιλεῖς με γάρ, φησὶ τῷ Πέτρῳ, ποίμαινε τὰ πρόβατά » μου» (β)· καὶ πολλὰ τοιαῦτα. Καὶ τὰ μὲν ἄλλα χαρίσματα οὐ μόνον οὐ συνῆγε τοὺς Κορινθίους, ἀλλὰ καὶ μᾶλλον ἡνωμένους ὄντας, διίστα, καθὼς ἀνωτέρω δεδήλωται. Ἡ δὲ ἀγάπη τοὺς διεστῶτας συνάγει καὶ ἀλλήλοις συνδεῖ. Ὥςτε χωρὶς ταύτης οὐδὲν ὠφελεῖται ὁ τὸ οἱονδήποτε χάρισμα κεκτημένος. Ἐπεὶ καὶ διὰ τοὺς ἄλλους ἔλαβε τὸ χάρισμα, μὴ ἀγαπῶν δὲ τούτους, ἄχρηστος εὑρεθήσεται.

4. Ἡ ἀγάπη μακροθυμεῖ,

Ὅρα πῶς ὑπογράφει τὸ ἀμήχανον κάλλος τῆς ἀγάπης, καθάπερ τισὶ χρώμασι τοῖς μέρεσι τῆς ἀρετῆς τὴν εἰκόνα ταύτης κοσμῶν. Ἀνεξικακεῖ, φησί, πράως φέρει· κἂν γὰρ ζημιώσῃς, οὐκ ἐκίνησας τὴν πέτραν· κἂν ὑβρίσῃς, οὐκ ἐκίνησας τὸν πύργον· κἂν πληγὰς ἐπιθήσῃς, οὐκ ἔπληξας τὸν ἀδάμαντα· μακρόθυμος γὰρ ὁ μεγαλόψυχος. Ἐπεὶ δέ τινες μακροθυμοῦσι μέν, ἀλλ' εἰς ἄμυναν τῶν ἀδικούντων (ἵνα πλέον διαρραγεῖεν μὴ καθικνούμενοι) καὶ οὐκ εἰς οἰκείαν φιλοσοφίαν, ἐπήγαγε·

4. Χρηστεύεται·

Ἀγαθοθελῶς μακροθυμεῖ· οὐχ ἵνα ἀνάψῃ τοῖς ἀδικοῦσι τῆς ὀργῆς τὴν φλόγα, ἀλλ' ἵνα τῇ μεγαλοψυχίᾳ καταιδέσῃ καὶ θεραπεύσῃ τὸν ποιοῦντα κακῶς.

4. Ἡ ἀγάπη οὐ ζηλοῖ·

Οὐ φθονεῖ. Συντόμως δὲ εἰπεῖν, αὗται αἱ κακίαι, λέγω δὴ τὴν ἀντικειμένην τῇ μακροθυμίᾳ μικροψυχίαν καὶ τῇ χρηστότητι πονηρίαν καὶ ὁ φθόνος καὶ τὰ ῥηθησόμενα, φιλοῦσι παρυφίστασθαι τῇ

(α) Ἰωάνν. ιγ΄, 35. — (β) Αὐτόθ. κα΄, 16.

ἀγάπῃ· καὶ κρατήσαντα μέν, φθείρει ταύτην· ἡττηθέντα δέ, ἀφανίζεται. Καὶ καθάπερ τις δόκιμος ἰατρὸς ἢ γεωργὸς ἄριστος, αὐτὴ οὐκ ἐᾷ τὰ νοσήματα προκόψαι, οὐδὲ τὰς ἀκάνθας ῥιζῶσαι.

4. Ἡ ἀγάπη οὐ περπερεύεται,

Οὐ προπετεύεται· τοῦτο γὰρ ἀναισχυντίας.

4. Οὐ φυσιοῦται,

Οὐκ ἐπαίρεται· τοῦτο γὰρ κουφότητος καὶ φρενῶν ἐλαφρίας.

4. Οὐκ ἀσχημονεῖ,

Οὐκ ἀτακτεῖ ἢ οὐκ αἰσχύνεται ὑβριζομένη, ὥςπερ οὐδὲ πατὴρ αἰσχύνεται ῥαπιζόμενος ὑπὸ νηπίου παιδός, νικώσης τῆς ἀγάπης τὴν ὕβριν.

5. Οὐ ζητεῖ τὰ ἑαυτῆς,

Εἰ γὰρ ὁ ἀγαπῶν ἥνωται τῷ ἀγαπωμένῳ διὰ τοῦ συνδέσμου τῆς ἀγάπης, ἄρα οὐ ζητεῖ τὰ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τὰ τοῦ ἡνωμένου. Καὶ ὃ θέλει ὑπὲρ ἑαυτοῦ, τοῦτο καὶ ὑπὲρ τοῦ συμψύχου· ἀπερρηγμένου γὰρ τὸ ζητεῖν τὸ ἴδιον καὶ μὴ τὸ κοινῇ συμφέρον.

5. Οὐ παροξύνεται,

Κατὰ τοῦ ἀγαπωμένου. Καὶ πῶς, ἄκουσον·

5. Οὐ λογίζεται τὸ κακόν,

Τὸ γεγονὸς παρὰ τοῦ ἀγαπωμένου, τὸ καὶ τὸν παροξυσμὸν ἐργαζόμενον. Οὐ κρίνει ἀπὸ κακίας γενέσθαι τὸ κακόν, ἀλλ᾽ ἔκ τινος περιστάσεως. Ἢ οὐχ ὑποπτεύει ὅλως τὸ κακὸν ἀπὸ τοῦ ἀγαπητοῦ.

6. Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ,

Ἐπὶ τοῖς πειρασμοῖς τῶν ἀγαπητῶν, τοῖς ἐπηρεάζουσιν αὐτοῖς.

6. Συγχαίρει δὲ τῇ ἀληθείᾳ·

«Συγχαίρει» δὲ χαίρουσι τοῖς ἀγαπητοῖς, τουτέστιν εὐδοκιμοῦσιν. Πλὴν οὐ συγχαίρει ἐν ὑποκρίσει, ὃ τῶν φθονούντων ἴδιον, ἀλλ᾽ ἐν ἀληθείᾳ.

7. Πάντα στέγει,

«Πάντα» βαστάζει, κἂν φορτικὰ εἴη καὶ ἐπαχθῆ· ἔργον γὰρ τοῦτο μακροθυμίας καὶ χρηστότητος καὶ τοῦ μὴ παροξύνεσθαι μηδὲ λογίζεσθαι τὸ κακόν.

7. Πάντα ἐλπίζει,

«Πάντα» τὰ χρηστὰ ἐλπίζει περὶ τοῦ ἀγαπητοῦ. Διὸ καὶ μὴ ἀπογινώσκουσα, κἂν φαῦλος εἴη, παραμένει διορθουμένη καὶ προνοοῦσα καὶ ἐπιμελομένη.

7. Πάντα πιστεύει,

Καὶ οὐχ ἁπλῶς ἐλπίζει, ἀλλὰ καὶ πιστεύει ἐκ τοῦ σφόδρα φιλεῖν.

7. Πάντα ὑπομένει.

Κἂν ὁ ἀγαπητὸς φορτικώτερος γένηται καὶ τὰς ἐλπίδας καὶ τὴν πίστιν φρούδας ἐλέγξῃ, τέως ἐκείνη πάντα ὑπομένει καὶ τὸ ἑαυτῆς ποιεῖ.

8. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Ἡ ἀγάπη, ἕως ἂν ᾖ ἀγάπη καὶ σώζει τὸν ὅρον ἑαυτῆς, οὐδέποτ· ἐκπίπτει τῶν ἰδιωμάτων ἑαυτῆς, τῶν ἰδίων νόμων, ἀλλὰ φυλάττει πάντα, ὅσοις χαρακτηρίζεται. Ἢ καὶ ἄλλως· οὐκ ἀστοχεῖ τῶν παρὰ τῷ Θεῷ ἀμοιβῶν.

8. Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται·

Καὶ καθ' ἕτερον λόγον πάλιν ἐξαίρει τὴν ἀγάπην, καὶ ἀπὸ συγκρίσεως ἄλλης ὑψοῖ ταύτην· ἀπὸ τοῦ τὰ μὲν χαρίσματα παύεσθαι καὶ ἐκλείπειν, τὴν δὲ ἀγάπην μένειν ἀεὶ καὶ κατὰ τὸν μέλλοντα βίον. Ἐπεὶ γὰρ αἵ τε προφητεῖαι αἵ τε γλῶσσαι καὶ τὰ λοιπὰ πρὸς βεβαίωσιν τῆς πίστεως τοῦ κηρύγματος ἐδόθησαν, τῆς πίστεως διαδοθείσης πανταχοῦ, περιττὴ ἡ τούτων χρεία. «Κατάργησιν» δὲ λέγει τὴν παῦσιν.

8. Εἴτε γνῶσις, καταργηθήσεται.

Ἀργήσει· οὐχ ὡς ἐν ἀγνωσίᾳ μελλόντων ἡμῶν ζῆν ἐν τῇ μελλούσῃ ζωῇ· καὶ γὰρ εἰκὸς τότε μᾶλλον ἐπιταθῆναι τὴν γνῶσιν. Ἀλλὰ πῶς, ἄκουσον·

9. Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·
10. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.

Οὐκ ἄρα ἡ γνῶσις καταργηθήσεται, ἀλλ' ἡ «ἐκ μέρους» γνῶσις, ἡ ἀτελής. «Ἐκ μέρους γινώσκομεν» ἐν τῇ παρούσῃ ζωῇ, καὶ «ἐκ μέρους προφητεύομεν». Ὅταν δὲ ἔλθῃ ἡ τελεία γνῶσις, ἡ κατὰ τὴν μέλλουσάν ζωήν, τότε ἡ μερικὴ καταργηθήσεται. Ὡς γὰρ ἐπὶ ὑποδείγματος νῦν μὲν ἴσμεν, ὅτι πανταχοῦ ἐστιν ὁ Θεός, τὸ δὲ πῶς, οὐκ ἴσμεν. Καὶ ὅτι ὁ Θεὸς ἐκ παρθένου ἐτέχθη, τὸν δὲ τρόπον ἀγνοοῦμεν. Τότε δὲ πλέον καὶ σαφέστερον εἰσόμεθα. «Προφητείαν» δὲ λέγει νῦν οὐ τὸ χάρισμα· τότε γὰρ οὐκ ἔσται προφητεία, ἀλλὰ τὸ προλέγειν περὶ τῆς μελλούσης κρίσεως καὶ τῆς ἀνταποδόσεως καὶ τῶν τοιούτων, ὅσα στοχαζόμενοι λέγομεν.

11. Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.

Ἑαυτῷ κέχρηται παραδείγματι πρὸς πίστωσιν τοῦ λόγου. Κἀγὼ γάρ, φησίν, ὅτε ἤμην νήπιος, μερικῶς ἐλάλουν καὶ ἐφρόνουν καὶ διενοούμην· ὅτε δὲ γέγονα ἀνήρ, ἔπαυσα τὰ νηπιώδη ἐκεῖνα τῷ ἀνδρικῷ καὶ τελείῳ λόγῳ καὶ φρονήματι καὶ διανοήματι. Ἔοικεν οὖν ἡ μὲν ἐνταῦθα γνῶσις τῇ νηπιώδει, ἡ δὲ ἐκεῖ τῇ ἀνδρικῇ.

12. Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι,

«Δι' ἐσόπτρου» ἤγουν ἀμυδρῶς· οἱ γὰρ δι' ἐσόπτρου βλέποντές τι ἀμυδρῶς ὁρῶσιν αὐτό. Ἐπεὶ δὲ τὸ ἔσοπτρον παρίστησι τέως τὰ ὁρώμενα, εἰ καὶ ἀμυδρῶς, ἐπήγαγεν ὅτι «καὶ ἐν αἰνίγματι»· τουτέστι καὶ ἔτι ἀμυδρότερον· τὸ γὰρ αἴνιγμα βραχυτάτην δίδωσι γνῶσιν καὶ ἰσχνοτάτην.

12. Τότε δὲ πρόσωπον πρὸς πρόσωπον·

Ἀμέσως, τελείως· οὐχ ὡς πρόσωπον ἔχοντος τοῦ Θεοῦ (σωματικὸν

γὰρ τὸ πρόςωπον), ἀλλ' ἀντὶ τοῦ φανερῶς, τρανῶς. Οἱ γὰρ ἀντιπροςώπως βλέποντες ἐναργῶς ὁρῶσιν ἀλλήλους.

12. Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

«Ἄρτι γινώσκω» τὸν Θεὸν μερικῶς ἔκ τε τῆς δημιουργίας καὶ τῆς προνοίας αὐτοῦ· «τότε δὲ ἐπιγνώσομαι» αὐτὸν πλέον· τὸ γὰρ «καθὼς »καὶ ἐπεγνώσθην» τὸ πλέον δηλοῖ. Καθὼς γὰρ ἐνταῦθα αὐτός με ἐπέγνω, αὐτός μοι ἐπέδραμεν· «οὐχ ὑμεῖς με γάρ, φησίν, ἐξελέξα»σθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς» (α)· οὕτως ἐκεῖ τότε αὐτὸς ἐπιγνώσομαι αὐτόν· αὐτὸς ἐπιδραμοῦμαι τῇ γνώσει αὐτοῦ. Τοιαύτην ἐκδοχὴν ἔνθα (β) τὸ καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους (γ).

13. Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα.

Ἐνταῦθα δέ, φησί, μονιμώτερά εἰσι πίστις, ἐλπίς, ἀγάπη· τῆς πίστεως γὰρ τοῦ κηρύγματος, ὡς εἴρηται, πανταχοῦ διαδοθείσης, τὰ μὲν χαρίσματα, περὶ ὧν διέλαβε, παυθήσονται· ἡ πίστις δὲ ἡ περὶ τῶν μελλόντων τῆς τε κρίσεως καὶ ἀνταποδόσεως καὶ ἡ ἐλπὶς τῶν ἀμοιβῶν καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη μένει μέχρι συντελείας, ὡς χρειωδεστέρα·

13. Μείζων δὲ τούτων ἡ ἀγάπη.

Τούτων δὲ πάλιν τῶν μονιμωτέρων κατορθωμάτων μείζων ἡ ἀγά-

(α) Ἰωάνν. ιε', 16. — (β) «Τοιαύτην ἐκδοχὴν ἔνθα κἑξ.». Οἶμαι λείπειν τι ἐνταῦθα. — (γ) Ἀναλυτικωτέρα ἡ τοῦ προκειμένου ῥητοῦ ἐξήγησις παρὰ Θεοφυλάκτῳ ἐν λ. «Ὥςπερ οὖν νῦν αὐτός με ἔγνω καὶ αὐτός μοι ἐπέδραμεν, οὕτως ἐγὼ αὐτῷ ἐπιδραμοῦ» μαι τότε μειζόνως ἢ νῦν. Ὥςπερ ὁ ἐν σκότει καθήμενος ἕως μὲν οὐ βλέπει τὸν ἥλιον, » οὐκ αὐτὸς ἐπιτρέχει τῷ κάλλει τῆς ἀκτῖνος, ἀλλ' ἐκείνη δείκνυσιν ἑαυτὴν ἐπειδὰν » λάμψῃ. Ὅταν δὲ αὐτῆς δέξηται τὴν αἴγλην, τότε καὶ αὐτὸς διώκει τὸ φῶς. Τοῦτο οὖν » ἐστι τὸ «καθὼς καὶ ἐπεγνώσθην»· οὐχ ὅτι οὕτως ἀπαραλλάκτως αὐτὸν εἰσόμεθα, ἀλλ' » ὅτι ὥςπερ αὐτὸς ἡμῖν ἐπέδραμε νῦν, οὕτως ἡμεῖς ἑξόμεθα αὐτοῦ τότε. Ὥςπερ εἴ τις εὑ» ρὼν βρέφος εὐγενὲς ἐκτεθέν, ἀστεῖον τῷ εἴδει, αὐτὸς μὲν ἐπιγνοὺς αὐτὸ ἀνέλοιτο καὶ κο» μιδῆς ἀξιώσειε, καὶ εὐγενῶς ἀνατρέφων, τελευταῖον καὶ πλούτῳ λαμπρύνει, καὶ εἰς τὰ » βασίλεια εἰςαγάγῃ, τὸ δὲ ἕως μὲν νήπιον εἴη οὐδενὸς ἐπαισθάνοιτο τούτων οὐδὲ ἐπιγινώ» σκοι τὴν φιλανθρωπίαν τοῦ ἀνελομένου· ἐπειδὰν δὲ ἀνδρωθείη, τηνικαῦτα ἐπιγνοίη τὸν » εὐεργέτην καὶ ἀξίως αὐτὸν ἀγαπήσειεν. Ἰδού σοι διὰ τοῦ ὑποδείγματος πεφώτισται τὸ » συσκιαζόμενον ἐν τῷ ῥητῷ».

πη· τῆς συντελείας γὰρ ἐλθούσης, ἡ μὲν πίστις καὶ ἡ ἐλπὶς παυθήσονται, ἤδη τῶν πραγμάτων ἐλθόντων καὶ ἐνεργουμένων, ἡ δὲ ἀγάπη μένει, κραταιοτέρα γινομένη καὶ σφοδροτέρα. Ἐπεὶ δὲ πᾶσαν αὐτοῖς κατέλεξε τὴν ἀρετὴν τῆς ἀγάπης καὶ ἀξιέραστον ἀπέδειξε, παραινεῖ λοιπὸν ἔχεσθαι αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ

1. Διώκετε τὴν ἀγάπην,

Τείνεσθε πρὸς αὐτήν, ζητεῖτε αὐτήν, φεύγουσαν ἀεὶ τοὺς κακῶς κεχρημένους καὶ πάντα προτιμῶντας αὐτῆς. Ἵνα δὲ μὴ δόξῃ διὰ τοῦτο τὴν ἀγάπην ἐπαινεῖν ἵνα σβέσῃ τὰ χαρίσματα, φησί·

1. Ζηλοῦτε δὲ τὰ πνευματικά·

«Πνευματικὰ» κἀνταῦθα τὰ χαρίσματα λέγει, ὡς τοῦ ἁγίου Πνεύματος ὄντα χαρίσματα. Καὶ ἀνωτέρω δὲ εἶπε· «ζηλοῦτε τὰ χαρί-»σματα τὰ κρείττονα»· τουτέστιν ἐπιθυμεῖτε λαβεῖν. Προσταχτικὸς δὲ καὶ προτρεπτικὸς ὁ λόγος. Ζητεῖτε μέν, φησί, τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ χαρίσματα, ἵνα παροῦσα τούτοις χρησιμώτερα ταῦτα ποιῇ, καὶ κοινωφελέστερα· ἐδείχθη γὰρ ὅτι χωρὶς ταύτης ἀνόνητά εἰσιν.

1. Μᾶλλον δὲ ἵνα προφητεύητε.

Μᾶλλον δὲ ἐπιθυμεῖτε, «ἵνα προφητεύητε». Εἶτα ποιεῖ σύγκρισιν τῆς τε προφητείας καὶ τῶν γλωσσῶν, καὶ ἀποδείκνυσιν ἔλαττον χάρισμα τὸ τῶν γλωσσῶν, ἐφ᾿ ᾧ ἐμεγαλαύχουν πολλοὶ τῶν Κορινθίων, ὡς προδιείληπται, διὰ τὸ πρῶτον δοθῆναι τοῖς Ἀποστόλοις. Ἐδόθη δὲ αὐτοῖς πρῶτον, ὡς μέλλουσι διὰ τῶν ἐθνῶν ὁδεύειν καὶ διδάσκειν αὐτά.

2. Ὁ γὰρ λαλῶν γλώσσαις οὐκ ἀνθρώποις λαλεῖ,

Οὐκ ἀνθρώποις γνωστὰ λαλεῖ· ἀγνοοῦσι δηλονότι ἃ λαλεῖ.

2. Ἀλλὰ τῷ Θεῷ·

Ἀλλὰ τῷ Θεῷ γνωστά, τῷ δόντι τὰ χαρίσματα.

2. Οὐδεὶς γὰρ ἀκούει,

Οὐδεὶς τῶν ἀγνοούντων τὰς γλώσσας, αἷς λαλεῖ.

2. Πνεύματι δὲ λαλεῖ μυστήρια.

Πνεύματι δὲ θείῳ λαλεῖ μυστικοὺς καὶ πνευματικοὺς λόγους. Σκόπει δὲ σύνεσιν· εἰπὼν μὲν γὰρ ὅτι «οὐκ ἀνθρώποις λαλεῖ» ἠλάττωσεν αὐτὸ δείξας οὐ κατὰ πολὺ χρήσιμον. Προςθεὶς δὲ ὅτι «πνεύματι λαλεῖ μυστήρια» ἔδειξε καὶ τοῦτο θεῖον, καὶ ἐπῆρεν, ἵνα μὴ δόξῃ μάτην δεδομένον.

3. Ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

Ὅρα πῶς πανταχοῦ τὸ κοινωφελὲς προτιμᾷ καὶ τὸν ἔχοντα τοῦτο προτίθησι τοῦ μὴ ἔχοντος. Τί οὖν; Ὁ γλώσσαις λαλῶν οὐκ ὠφελεῖ τὸ κοινόν; Ναί· ἀλλ' οὐ τοσοῦτον· καὶ τότε μεθ' ἑρμηνέως. Οὗτος δὲ πλεῖον καὶ δι' ἑαυτοῦ.

4. Ὁ λαλῶν γλώσσαις ἑαυτὸν οἰκοδομεῖ·

Εἰδότα ἃ λέγει.

4. Ὁ δὲ προφητεύων Ἐκκλησίαν οἰκοδομεῖ.

Καταρτίζει, ὠφελεῖ εἰδυῖαν ἃ λέγει, συνιεῖσαν τῶν λόγων αὐτοῦ. Ὅσον δὲ τὸ μέσον ἑνὸς καὶ Ἐκκλησίας, τοσοῦτον τὸ διάφορον τούτου κἀκείνου. Ἵνα δὲ μὴ νομίσωσιν οἱ τὸ χάρισμα τῶν γλωσσῶν ἔχοντες ὅτι βασκαίνων αὐτοῖς ὑποβιβάζει τοῦτο, φησί·

5. Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δέ, ἵνα προφητεύητε.

Θέλω δὲ μὴ μόνον τοὺς ἔχοντας τὸ χάρισμα τῶν γλωσσῶν ἔχειν

τοῦτο, ἀλλὰ πάντας, ἐπειδὴ τοῦτο ποθεῖτε. Πλέον δὲ θέλω, ἵνα προφητεύητε. Τίθησι δὲ καὶ τὴν αἰτίαν·

5. Μείζων γὰρ ὁ προφητεύων ἢ λαλῶν γλώσσαις,

Διὰ τοῦτο θέλω πλέον, ἵνα προφητεύητε· διότι μεῖζον τοῦτο παρ' ἐκεῖνο τὸ χάρισμα, ὡς προείρηται.

5. Ἐκτὸς εἰ μὴ διερμηνεύει,

Εἰ μὴ καὶ διερμηνεύει ὁ λαλῶν γλώσσαις.

5. Ἵνα ἡ Ἐκκλησία οἰκοδομὴν λάβῃ.

Οὗτος γὰρ ὡς οἰκοδομῶν καὶ αὐτὸς τὴν Ἐκκλησίαν ἴσος ἐστὶ τῷ προφητεύοντι. Ἵνα δὲ βεβαιώσῃ, ὅτι οὐκ ἀπεχθῶς ἔχων πρὸς τὸ χάρισμα τῶν γλωσσῶν ταῦτα εἶπεν, ἀλλὰ τὸ κοινῇ συμφέρον ζητεῖ, παραδειγματίζει ἐφ' ἑαυτοῦ τὸ πρᾶγμα καὶ δείκνυσιν, ὅτι οὐδὲ αὐτὸς γλώσσαις λαλῶν ὠφελήσει τὴν Ἐκκλησίαν.

6. Νυνὶ δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω,

Μόνην τὴν οἰκείαν διάλεκτον εἰδότας καὶ μὴ γινώσκοντας ἃ γλώσσαις ἀλλοτρίαις λαλῶ;

6. Ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ;

Τί ὑμᾶς ὠφελήσω, ὡς εἴρηται, ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἀποκαλύπτων ὑμῖν μυστήριόν τι κεκρυμμένον, ἢ γνῶσιν ἁπλῶς χορηγῶν καὶ γνωστικωτέρους ἐργαζόμενος, ἢ προφητεύων εὔσημα καὶ νοούμενα πᾶσιν, ἢ διδάσκων περί τινος πράγματος;

7. Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλός, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον;

Καὶ τί λέγω ὅτι ἐφ' ἡμῶν ὠφέλιμον μὲν τὸ νοούμενον, ἀκερδὲς δὲ τὸ μὴ νοούμενον, ὅπου γε καὶ ἐπὶ τῶν ἀψύχων ὀργάνων τῆς μουσικῆς τοῦτο ἴδοι τις ἄν; «Ἐὰν γὰρ μὴ δῷ τοῖς φθόγγοις διαστολήν»· ἤγουν ῥυθμόν, ἁρμονίαν, ἐμμέλειαν, διάκρισιν χαρακτηριστικὴν τοῦ

μέλους, ἀλλὰ συγκεχυμένως καὶ ἁπλῶς ἐμπνέηται ἢ κρούηται, πῶς γνωσθήσεται τὸ μέλος; πῶς δὲ ἡδυνεῖ;

8. Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον;

Ἀπὸ τῶν περιττῶν ἐπὶ χρησιμώτερον παράδειγμα τὸν λόγον ἀνήγαγε λέγων· ἐὰν σάλπιγξ ἄδηλον ἠχήσῃ καὶ μὴ δηλωτικὸν πολέμου, τίς παρασκευάσεται εἰς πόλεμον στρατιώτης; Ῥυθμοὶ γάρ εἰσι τῆς σάλπιγγος ὁ μὲν εἰς πόλεμον ἐγείρων, ὁ δὲ ἀπὸ πολέμου ἀνακαλούμενος, ὁ δὲ ἄλλο τι δηλῶν.

9. Οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.

Οὐκ εἰς ἀκοὰς λόγον εἰςάγοντες, νόημα βάλλοντες, ἀλλ' εἰς ἀέρα τοξεύοντες τοὺς λόγους, ματαιοπονοῦντες, μηδενὸς ἐπαΐοντες. Καὶ τίνος ἕνεκεν αὐτοῖς ἐδίδοτο τουτὶ τὸ χάρισμα; Ἵνα καὶ τοὺς ἔχοντας τὸ χάρισμα τῆς ἑρμηνείας τῶν γλωσσῶν προςλαμβάνοντες ὠφελῶσι τὴν Ἐκκλησίαν καὶ διὰ τοῦ χρήζειν καὶ τούτων ὁμονοῶσι καὶ ἵνα κἀντεῦθεν φανῇ τοῦ ἁγίου Πνεύματος ἡ χάρις.

10. Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ,

Πολλαὶ διαφοραὶ διαλέκτων εἰσὶν ἐν τῇ Οἰκουμένῃ· «εἰ τύχοι» εἰδέναι πόσαι εἰσίν· ἢ ἐπειδὴ ἔτυχεν εἶναι πολλάς.

10. Καὶ οὐδὲν αὐτῶν ἄφωνον.

Διὰ τῶν διαφορῶν ἐμφήνας τὰ διάφορα ἔθνη. Πρὸς ταῦτα βλέπων εἶπε τὸ «καὶ οὐδὲν αὐτῶν ἄφωνόν ἐστιν».

11. Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος·

Ἐὰν μὴ εἰδῶ τὴν σημασίαν τῆς οἱαςδήποτε φωνῆς τοῦ οἱουδήτινος ἔθνους, ἔσομαι τῷ λαλοῦντί μοι ἐξ αὐτῶν βάρβαρος, ἅτε μὴ αἰσθανόμενος τῆς φωνῆς αὐτοῦ, μηδὲ συνιείς αὐτῆς.

11. Καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος.

Ἔσται πάλιν «ἐν ἐμοὶ βάρβαρος»· δόξει μοι βάρβαρος, ἅτε μὴ γνωστά μοι φθεγγόμενος, ἀλλ' ἔκφυλα καὶ ἀλλόκοτα.

12. Οὕτω καὶ ὑμεῖς,

«Δοκεῖτε» δηλονότι βάρβαροι τοῖς μὴ συνιεῖσι τῆς φωνῆς ἡμῶν, ὡς ἄσημα τούτοις λαλοῦντες. Ἑλκύσας δὲ τὰ ὑποδείγματα ἀπὸ τοῦ αὐλοῦ καὶ τῆς κιθάρας, εἶτα καὶ τῆς σάλπιγγος, ἐπὶ τὸ οἰκειότερον τῇ ὑποθέσει κατήντησε· λέγω δὴ τὰς φωνάς.

12. Ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ζητεῖτε,

Τινὲς τὸ «οὕτω καὶ ὑμεῖς» ἀντὶ τοῦ διὰ τοῦτο ἡρμήνευσαν καὶ τῷ παρόντι ῥητῷ συνέταξαν (α). Διὰ τοῦτο, φησίν, ἵνα μὴ βάρβαροι δοκῆτε. Ἐπεὶ ἐπιθυμηταί ἐστε πνευματικῶν χαρισμάτων, πρὸς τὸ κοινωφελὲς ταῦτα ζητεῖτε καὶ μὴ πρὸς τὸ ἐπιδείκνυσθαι μόνον καὶ ἐντεῦθεν ἐπαίρεσθαι (β).

12. Ἵνα περισσεύητε·

Μὴ μόνον ἑαυτοὺς δοξάζοντες, ἀλλὰ καὶ ἄλλους ὠφελοῦντες. Ἢ ἵνα μετὰ δαψιλείας αὐτὰ ἔχοιτε, καὶ πλέον οὐ ὀρέγεσθε.

13. Διόπερ ὁ λαλῶν γλώσσῃ προσευχέσθω, ἵνα διερμηνεύῃ.

«Προσευχέσθω» αἰτῶν λαβεῖν καὶ τὸ χάρισμα τῆς ἑρμηνείας τῆς διαλέκτου, ᾗ λαλεῖ· ἵνα μὴ μόνον ἑαυτὸν ὠφελῇ δι' ὧν φθέγγεται, ἀλλὰ καὶ τὴν Ἐκκλησίαν.

14. Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται· ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν.

Ἦσαν τότε τινὲς ἔχοντες χάρισμα προσευχῆς μετὰ γλώσσης. Καὶ προσηύχοντο μὲν τῇ Ῥωμαίων τυχὸν διαλέκτῳ ἢ τῇ Περσῶν ἢ ἑτέρᾳ ἀλλογενεῖ, ἠγνόουν δὲ τί λαλοῦσιν. Τούτων οὖν τὸ πρόσωπον ὑποδυόμενός φησιν ὅτι «ἐάν, ὡς ἐκεῖνοι, προσεύχωμαι» γλώσσῃ ξένῃ, τὸ χάρισμά μου, τὸ τῆς προσευχῆς, προσεύχεται καὶ ποιεῖ τὰ ἑαυ-

---

(α) Ὅρ. Οἰκουμ. ἐν λ.— (β) Θεοδώρ. ἐν λ. (Τόμ. Γ', σελ. 441) «Κατ' εἰρωνείαν «αὐτοὺς ζηλωτὰς πνευμάτων ἐκάλεσεν».

τοῦ, ὁ δὲ νοῦς μου, μὴ νοῶν ἃ προςεύχεται τὸ χάρισμα, ἄκαρπός ἐστι, μηδὲν ἐκεῖθεν κερδαίνων. Εἰ δὲ ὁ ἐμὸς νοῦς οὐκ ὠφελεῖται, πῶς ἕτερος ἐντεῦθεν ὠφεληθήσεται; Ἔδειξεν οὖν καὶ ἀπὸ τῆς εἰκόνος ταύτης ὅτι τῷ γλώσσαις λαλοῦντι ἀναγκαία χρεία καὶ τῆς ἑρμηνείας.

15. Τί οὖν ἐστι;

«Τί οὖν ἐστι» τὸ ἄριστον; τί τὸ ὠφέλιμον; καὶ πῶς χρὴ ὠφελίμως προςεύχεσθαι;

15. Προςεύξομαι τῷ πνεύματι, προςεύξομαι δὲ καὶ τῷ νοΐ.

Εἰ ἐντελῶς προςεύχεσθαι μέλλω, προςεύξομαι τῷ χαρίσματι τῆς μετὰ γλώσσης προςευχῆς, προςεύξομαι δὲ καὶ τῷ νοΐ, νοοῦντι τὰ λεγόμενα· αἰτησάμενος δηλονότι καὶ λαβὼν τὸ διερμηνεύειν τὰ λεγόμενα, ὡς προείρηται.

15. Ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ.

Τὸ αὐτὸ λέγει πάλιν ἐπιβεβαιῶν τὸν λόγον.

16. Ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις, οὐκ οἶδεν;

Ἐὰν γὰρ μὴ τοῦτο ᾖ, καὶ ἑτέρα ζημία ἔσται. Ἐὰν γὰρ εὐλογήσῃς τὸν Θεὸν τῷ πνευματικῷ χαρίσματι τῷ τῆς ξένης γλώσσης, πῶς ἐρεῖ τὸ «ἀμὴν» ἐπὶ τῇ σῇ εὐλογίᾳ ὁ λαϊκός (τοῦτον γὰρ νῦν «ἰδιώ»την» λέγει, ὡς μήπω ἱερωμένον), ἀγνοῶν ἃ λέγεις; Ἔθος γὰρ τοὺς λαϊκοὺς ἐπιφθέγγεσθαι τῷ τέλει τῆς εὐχαριστίας καὶ δοξολογίας τῶν ἱερέων τὸ «ἀμήν»· ὃ συγκαταθέσεώς ἐστι γνώρισμα, τὸ «ἀληθῶς» καὶ «ὄντως» σημαῖνον.

17. Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ (*) οἰκοδομεῖται.

Καλῶς εὐχαριστεῖς, οὐχ ὡς καὶ ὁ νοῶν τὰ ῥήματα τῆς εὐχαριστίας (περὶ γὰρ τοῦ μὴ νοοῦντος ἃ προςεύχεται ὁ λόγος ἔτι), ἀλλ' ὡς ὑπηρετῶν τῷ χαρίσματι. Παραμυθούμενος δὲ τὸν ἔχοντα τὸ χά-

---

(*) Τὸ «οὐκ» οὐ κεῖται ἐν τῷ κώδικι.

ρισμα εἶπε τοῦτο, ἵνα μὴ δυςφορῇ. Σκόπει δὲ πῶς καὶ τὸ «ἀμὴν» ὠφελεῖ τὸν ἰδιώτην, λέγοντα τοῦτο, καὶ ζημιοῖ σιωπώμενον.

18. Εὐχαριστῶ τῷ Θεῷ μου,

Ἐπὶ τίνι;

18. Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν.

«Πάντων ὑμῶν πλέον γλώσσαις λαλῶν» καὶ ὅμως οὐκ ἐπαίρομαι.

19. Ἀλλ' ἐν Ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

Αἱρετώτερον κρίνω ὀλίγους λόγους ἐν συνεδρίῳ λαλῆσαι διὰ τοῦ νοός μου, ἤγουν μετὰ τοῦ νοεῖν με ἃ λαλῶ· τουτέστι νοῶ ἃ φθέγγομαι ἢ παμπόλλους ἐν γλώσσῃ ἀγνοουμένῃ. Ἡ δὲ αἰτία, ἵνα καὶ ἄλλους κατηχήσω, νοῶν ἃ λέγω καὶ ἑρμηνεύων αὐτοῖς αὐτά. Τοῦτο μὲν γὰρ κοινωφελὲς καὶ εἰς πολλοὺς ἐκτεῖνον τὸ κέρδος, ἐκεῖνο δὲ ἐπιδεικτικὸν μόνον.

20. Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν·

Μετὰ τὴν πολλὴν κατασκευὴν καὶ τὴν ἀπόδειξιν σφοδρότερον κέχρηται τῷ λόγῳ καὶ μετὰ πλείονος ἐπιτιμήσεως καὶ παράδειγμα προςάγει κατάλληλον τῷ πράγματι. Τὰ γὰρ παιδία πρὸς μὲν τὰ μικρὰ κέχηνε καὶ ἐπτόηται, τῶν δὲ μεγάλων οὐ τοσοῦτον ἔχει λόγον. Ἐπεὶ οὖν καὶ οἱ τὸ χάρισμα τῶν γλωσσῶν ἔχοντες, τὸ τῶν ἄλλων χαρισμάτων ἔσχατον, τὸ πᾶν ἔχειν ἐνόμιζον, φησί· «μὴ παιδία γίνεσθε ταῖς φρεσίν»· μὴ νηπιόφρονες, ἔνθα φρονίμους εἶναι χρή.

20. Ἀλλὰ τῇ κακίᾳ νηπιάζετε,

Ἀλλ' ἔνθα χρὴ νηπιώδεις εἶναι καὶ ἀφελεῖς, ἐκεῖ νηπιάζετε καὶ ἀπόνηροι γίνεσθε· τουτέστιν ἔνθα κενοδοξία, ἔνθα φύσημα, ἔνθα τι κακόν. Ὥςπερ φρόνησις μετὰ κακουργίας οὐκέτι φρόνησις· οὕτω καὶ ἀφέλεια μετὰ ἀφροσύνης οὐκ ἂν εἴη ἀφέλεια· ἤγουν ἀπονηρία καὶ ἁπλότης. Διὸ προςήκει φεύγειν ἐν μὲν φρονήσει τὴν κακουργίαν, ὡς κακίαν, ἐν δὲ ἀφελείᾳ τὴν ἄγνοιαν. Τί δέ ἐστι τὸ «τῇ κακίᾳ νηπιάζειν»; Τὸ ἀγνοεῖν τὴν κακίαν· τὸ μὴ εἰδέναι κακουργεῖν· ἀνόητα γὰρ

τὰ νήπια. Κελεύει τοίνυν καὶ φρονίμους εἶναι καὶ ἀφελεῖς. Φρονίμους μὲν ἐν ταῖς ἀγαθοεργίαις, ἀφελεῖς δὲ ἐν ταῖς κακουργίαις.

20. Ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

«Τῇ μὲν κακίᾳ, φησί, νηπιάζετε»· τῇ δὲ φρονήσει τέλειοι γίνεσθε, συζευγνύοντες αὐτῇ καὶ τὴν ἀφέλειαν, ἵνα ἐν μὲν τοῖς καλοῖς φρονῆτε, ἐν δὲ τοῖς κακοῖς νηπιάζητε.

21. Ἐν τῷ νόμῳ τί γέγραπται; «ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν » χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕ- » τως εἰςακούσονταί μου, λέγει Κύριος» (α).

Πάλιν καὶ ἀπὸ τούτου δείκνυσιν ἔλαττον τὸ χάρισμα τῶν γλωσσῶν, ὡς μὴ πεῖσαν τὸν λαόν· εἰ καὶ ὁ Θεὸς διὰ τοῦ προφήτου Ἡσαίου τοῦτο εἶπεν εἰς κατηγορίαν τῶν ἀπειθησάντων. «Νόμον» δὲ λέγει τὰς προφητικὰς Βίβλους, ὡς ἐχούσας Θεοῦ προςτάγματα. Μετεχειρίσατο δὲ τὸν λόγον πρὸς τὸ χρειῶδες τῆς ὑποθέσεως.

22. Ὥςτε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις.

Εἰς ἔκπληξιν καὶ εἰς γνώρισμα θεότητος· ὥςτε τοὺς εὐϊάτους εἰς πίστιν ἀναγαγεῖν, τῷ θαύματι βεβαιουμένους.

22. Ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

Χρήσιμος δηλονότι· ὁ μὲν γὰρ ἄπιστος δεῖται σημείου, ἵνα πιστεύσῃ. Ὁ δὲ πιστεύσας ἤδη χρείαν ἔχει παιδαγωγίας καὶ μυσταγωγίας, ὅπερ ἐποίουν οἱ Προφῆται προλέγοντες τὰ μέλλοντα καὶ ῥυθμίζοντες ἐντεῦθεν τὴν Ἐκκλησίαν ἢ καὶ φανεροῦντες τὰ παρ' ἑκάστῳ κεκρυμμένα ἁμαρτήματα καὶ θεραπεύοντες αὐτά. Συνεχῶς δὲ τὴν ἀποστολὴν δευτερεύουσαν (β), καὶ τῶν ἄλλων χαρισμάτων κοινωφελεστέραν.

23. Ἐὰν οὖν συνέλθῃ ἡ Ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτό,

Ὁμοῦ.

(α) Ἡσ. κη', 11. — (β) «Λέγει» δηλονότι ἢ «παρίστησιν».

23. Καὶ πάντες γλώσσαις λαλῶσιν, εἰςέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε;

Κατ' ἐρώτησιν ὁ λόγος· «ἰδιῶται» μέν, πιστοὶ δέ· καὶ «ἄπιστοι» μέν, ἀνίατοι δέ· οἱ μὲν γὰρ ὡς ἄπειροι, οἱ δὲ ὡς ἀνίατοι μανίαν αὐτῶν καταψηφιοῦνται, ὅπερ καὶ ἐπὶ τῆς καθόδου τοῦ ἁγίου Πνεύματος ἐποίουν οἱ τότε ἀνίατοι ἄπιστοι, μέθην καταγινώσκοντες τῶν Ἀποστόλων, λαλούντων ξέναις γλώσσαις (α).

24. Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰςέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων,
25. καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόςωπον προςκυνήσει τῷ Θεῷ,

«Ἄπιστος» ἰάσιμος ἅμα καὶ συνιεὶς τῶν προφητευομένων. Καὶ «ἰδιώτης» πιστὸς καὶ συνιεὶς ὁμοίως· εὐθέως γὰρ ἐλεγχθέντες καὶ θαυμάσαντες τοῦ Θεοῦ τὴν χάριν προςκυνήσουσι τῷ Θεῷ. «Ἔλεγ»χος» μὲν οὖν τὸ ἐποίησας τόδε· «ἀνάκρισις» δὲ τὸ διὰ τί ἐποίησας τόδε.

25. Ἀπαγγέλλων, ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι.

Κηρύττων, ὁμολογῶν ὅτι ἀληθῶς ὁ Θεὸς ἐν ὑμῖν οἰκεῖ· διδάσκων καὶ φανερῶν ὑμῖν τὰ ἀπόκρυφα καὶ ἀπόρρητα. Ἔδειξεν οὖν καὶ ἀπὸ τοῦ παραδείγματος τούτου ἔλαττον τὸ χάρισμα τῶν γλωσσῶν. Ἀποροῦσι δέ τινες, εἰ αἱ γλῶσσαι εἰς σημεῖόν εἰσι τοῖς ἀπίστοις, πῶς ἐπὶ τοῦ προτεθέντος παραδείγματος οἱ ἄπιστοι εἰς μανίαν μᾶλλον αὐτὰς λογίζονται; Πρὸς οὓς λέγομεν ὅτι εἰς σημεῖον μέν εἰσι τοῖς ἰασίμοις ἀπίστοις· οὗτοι δὲ ἢ ὡς ἀνίατοι τοῦτο πάσχουσιν ἢ ὡς ἀναίσθητοι τῶν λεγομένων. Πάλιν ἀποροῦσιν, εἰ ἡ προφητεία οὐ τοῖς ἀπίστοις χρήσιμος, ἀλλὰ τοῖς πιστεύουσι, πῶς ἐπὶ τοῦ ῥηθέντος παραδείγματος καὶ ὁ ἄπιστος ὠφελεῖται καὶ προςκυνεῖ τῷ Θεῷ; Πρὸς οὓς αὖθις λέγομεν ὅτι, ὡς μὴ ὢν ἀνίατος, ὁποῖοι ἦσαν οἱ μανίαν καταψηφιζόμενοι τῶν λαλούντων ἢ καὶ ὡς συνιεὶς (β).

26. Τί οὖν ἐστιν, ἀδελφοί;

(α) Πράξ. β', 13. — (β) Τῶν ἀπορημάτων τούτων τὴν προβολήν τε καὶ λύσιν ὅρα παρὰ Φωτίῳ ἐν Ἀμφιλοχ. Τόμ. Α', Ἐρώτ. ΣΜΗ', σελ. 1052.

Τί ἐστι τὸ καλόν; τί τὸ συμφέρον; Ἐρωτήσας δὲ ἀποκρίνεται παραινῶν τὸ καλὸν καὶ συμφέρον·

26. Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει, πάντα πρὸς οἰκοδομὴν γινέσθω.

«Ἕκαστος ὑμῶν» ὁ μὲν ψαλμοῦ χάρισμα ἔχει, ἤτοι προσευχῆς. Ἀλλὰ νῦν οὐ τῆς ἐν γλώσσῃ λέγει, ἀλλὰ τῆς ἐν συνήθει διαλέκτῳ. Ὁ δὲ χάρισμα διδαχῆς. Ὁ δὲ ἀποκαλύψεως· ἤγουν προφητείας. Ὁ δὲ γλώσσης. Ὁ δὲ ἑρμηνείας γλώσσης. Πάντα τὰ ἔργα τῶν χαρισμάτων τούτων πρὸς ὠφέλειαν τῆς Ἐκκλησίας γινέσθω. Διὰ τοῦτο γὰρ καὶ συνέρχεσθε, ἵνα οἰκοδομῆτε αὐτήν.

27. Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος·

Καὶ τὸ τῶν γλωσσῶν τοῖς ἄλλοις χαρίσμασι συνέταξε, καὶ ἀπ' αὐτοῦ ἤρξατο θεραπεύων τοὺς πληγέντας ἐπὶ τῇ ἐλαττώσει αὐτοῦ. Φησὶν οὖν· εἴτε γλώσσῃ ξένῃ τις λαλεῖ, κατὰ δύο γλώσσας λαλείτω· ἢ τὸ πλεῖστον κατὰ τρεῖς, καὶ ἀνὰ μέρος· τουτέστι μὴ ἐπὶ τοῦ αὐτοῦ νοήματος δυσὶ διαλέκτοις ἢ τρισὶ χρώμενος. Ἀλλὰ τόδε μὲν τὸ νόημα διὰ ταύτης ἐκφέρων, τόδε δ' αὖ δι' ἄλλης, καὶ ἄλλο δι' ἑτέρας, ἵνα μὴ σύγχυσις γένηται.

27. Καὶ εἷς διερμηνευέτω.

Εἷς τῶν τὸ χάρισμα τῆς ἑρμηνείας τῶν γλωσσῶν ἐχόντων, ἵνα μὴ κἀνταῦθα θόρυβος καὶ σύγχυσις γένηται.

28. Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν Ἐκκλησίᾳ·

Ἵνα μὴ μάτην λαλῇ, μηδενὸς ἐπαισθανομένου τῶν λεγομένων· χρὴ γὰρ μηδὲν περιττῶς γίνεσθαι, μηδὲ πρὸς φιλοτιμίαν.

28. Ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ.

Τουτέστι κατὰ διάνοιαν, ἠρέμα καὶ ἀψοφητί. Εἴγε βούλοιτο λαλεῖν γλώσσῃ ξένῃ καὶ μὴ δύναιτο σιωπᾶν, οὕτω λαλείτω, ὥστε ἀκουστὰ ἑαυτῷ μόνῳ καὶ τῷ Θεῷ λαλεῖν. Οὐ γὰρ διὰ τοῦτο συνέρχεσθε, ἵνα διδάξητε ὅτι χάρισμα ἔχετε, ἀλλ' ἵνα οἰκοδομῆτε τοὺς ἀκούοντας.

29. Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν.

«Δύο ἢ τρεῖς», ἀλλ᾽ οὐχ ἅμα· ἰδίᾳ δὲ ἕκαστος. «Καὶ οἱ ἄλλοι», οἱ ἔχοντες δηλονότι τὸ χάρισμα τῆς διακρίσεως, «διακρινέτωσαν», εἰ μὴ ψευδοπροφῆταί εἰσιν. Πάλιν κἀνταῦθα ὑπερέθηκε τὴν προφητείαν· ὡς γὰρ πολυωφελεστάτης οὔσης καὶ χρησιμωτάτης, δύο ἢ τρεῖς ἐν ἑκάστῃ συνόδῳ τῆς Ἐκκλησίας προφητεύειν ἐπέτρεψεν. Χρεία δὲ καὶ ἐπὶ τούτων τοῦ χαρίσματος τῆς διακρίσεως, οὐχ ὡς μὴ αὐταρκούντων, ἀλλ᾽ ἵνα μὴ παρεισπέσῃ ψευδοπροφήτης.

30. Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω.

«Καθημένῳ» καὶ ἀκούοντι τοῦ προφητεύοντος. Φαίνεται γὰρ ὅτι ηὐδόκησεν ἡ χάρις τότε λαλῆσαί τι δι᾽ αὐτοῦ ἀναγκαῖον τῇ Ἐκκλησίᾳ. «Πρῶτον» δὲ λέγει τὸν προφητεύοντα πρὸ τοῦ τηνικαῦτα τὴν ἀποκάλυψιν δεξαμένου. Εἶτα, παραμυθούμενος τὸν κελευσθέντα σιγᾶν, ἐπήγαγε·

31. Δύνασθε γὰρ καθ᾽ ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι καὶ παρακαλῶνται.

«Καθ᾽ ἕνα», τουτέστιν ἕτερος μετὰ τὸν ἕτερον, καὶ οὐκ ἐπιλείψει καιρός. Προεφήτευον δὲ οὐ τὰ συμβησόμενα μόνον, ἀλλὰ καὶ τὰ θελήματα τοῦ Θεοῦ, ὅσα τούτοις ἀπεκαλύπτοντο.

32. Καὶ πνεύματα Προφητῶν Προφήταις ὑποτάσσεται.

«Πνεύματα» τὰ χαρίσματα λέγει. Εἰ δὲ τὰ χαρίσματα τῶν Προφητῶν τούτων ὑποτάσσεται Προφήταις ἄλλοις καὶ παραχωρεῖ, πολλῷ μᾶλλον οἱ ταῦτα ἔχοντες (α). Εἶτα δεικνὺς ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ, φησίν·

33. Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεός, ἀλλ᾽ εἰρήνης,

Οὐ γάρ ἐστι στάσεως καὶ ἀταξίας Θεὸς ὁ Θεός, ἵνα μὴ παραχωρῆτε ἀλλήλοις ἐν καιρῷ, ἀλλὰ τάξεως καὶ ὁμονοίας.

(α) Θεοδώρ. ἐν λ. (Τόμ. Γ΄, σελ. 315). «Οὕτως Ἰησοῦς ὑπετάσσετο τῷ Μωϋσῇ· » οὕτως ὁ Ἐλισσαῖος τῷ Ἠλίᾳ· οὕτως αὐτῷ τῷ Ἐλισσαίῳ τὸ πλῆθος τῶν Προφη- » τῶν· οὕτως αὐτῷ τῷ Ἀποστόλῳ Τιμόθεος καὶ Τῖτος καὶ οἱ λοιποί».

33. Ὡς πάσαις (*) ταῖς ἐκκλησίαις τῶν ἁγίων.

«Γίνεται» δηλονότι ἢ «διδάσκω». Οὐ γὰρ ξένον τι καὶ ἀσύνηθες παραινῶ, ἀλλὰ τὸ κρατοῦν κἀν ταῖς ἄλλαις ἐκκλησίαις.

34. Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν·

Ἵνα μὴ θορυβῶσι· φιλόλαλον γὰρ τὸ φῦλον τῶν γυναικῶν.

34. Οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν,

Ἐν ἐκκλησίᾳ δηλονότι. Οὐκ ἐπιτέτραπται δὲ τοῦτο παρὰ τῆς θείας εὐταξίας.

34. Ἀλλ' ὑποτάσσεσθαι,

Τοῖς ἀνδράσι· τοῖς διδασκάλοις.

34. Καθὼς καὶ ὁ νόμος λέγει·

Περὶ τῆς ὑποταγῆς αὐτῶν· γέγραπται γὰρ ἐν βίβλῳ Γενέσεως «πρὸς τὸν ἄνδρα σου ἡ ἐπιστροφή σου, καὶ αὐτός σου κυριεύσει» (α). Εἰ δὲ τοῖς ἀνδράσιν ὑπέταξεν αὐτάς, πολλῷ μᾶλλον τοῖς διδασκάλοις, οἷς ὑποτάττονται διδασκόμενοι καὶ οἱ τούτων ἄνδρες.

35. Εἰ δέ τι μαθεῖν ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

Ἵνα κἀντεῦθεν τὴν ὑποταγὴν φυλάττωσι, καὶ ἵνα οἱ ἄνδρες αὐτῶν ἀναγκάζωνται μανθάνειν, ὥςτε διδάσκειν ταύτας ἐπερωτώσας.

35. Αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.

Αἰσχύνη γὰρ αὐταῖς τὸ ἀτακτεῖν, καὶ μὴ τηρεῖν τὸν νόμον τῆς εἰρημένης ὑποταγῆς, καὶ ἀσχημοσύνη καὶ ἀκοσμία. Λέγει δέ τις καὶ τῶν ἔξω· «Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει» (β).

36. Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν;

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «ὡς ἐν πάσαις» ἔχουσιν. Ἀλλ' ἐκ τῶν ἐν τῇ ἐξηγήσει «κἀν ταῖς ἄλλαις ἐκκλησίαις» φαίνεται ὅτι καὶ ὁ Συγγραφεὺς οὕτως ἀνέγνω.— (α) Γέν. γ', 16. — (β) Σοφοκλ. Αἴας 293.

Ἐρωτᾷ ἐντρεπτικῶς· ἆρα ἀφ' ὑμῶν πρώτων τὸ κήρυγμα ἐξῆλθεν, ἵνα καὶ δύνησθε λέγειν ὅτι οὐκ ἀνεχόμεθα παρ' ἑτέρων μαθεῖν;

37. Ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Ἢ εἰς ὑμᾶς μόνους ἐτελεύτησεν, ἵνα καὶ εἴπητε ὅτι οὐ δεχόμεθα μεταγενεστέρων ἐκκλησιῶν παραδείγματα; Ἵνα δὲ δείξῃ ὅτι ὅσα παραινεῖ ὁ Θεὸς ἐπιτάττει δι' αὐτοῦ, φησίν·

37. Εἰ δέ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι Κυρίου εἰσὶν ἐντολαί.

«Ἢ πνευματικός», ἤγουν πνευματικὸν χάρισμα ἕτερον ἔχων, οἷον διακρίσεως.

38. Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.

Εἰ δέ τις μὴ ὢν πνευματικὸς ἀγνοεῖ ὅτι τοῦ Κυρίου εἰσὶν ἐντολαί, ἀγνοείτω. Οὐ βιάζομαι τοῦτον εἰδέναι, οὐδὲ φιλονικῶ· ὅπερ ἐστὶ σημεῖον μὴ βουλομένου τὸ οἰκεῖον ἱστᾶν, ἀλλὰ σκοποῦντος (α) τὸ ἑτέροις συμφέρον.

39. Ὥςτε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν,

Συνεχῶς αὐτοὺς «ἀδελφοὺς» καλεῖ, παιδεύων εἰς ταπεινοφροσύνην καὶ τὴν πρὸς ἀλλήλους γνησιότητα. Εἰ γὰρ αὐτὸς ὁ διδάσκαλος «ἀδελφοὺς» αὐτοὺς ὀνομάζει, πολλῷ μᾶλλον αὐτοὶ προςαγορεύειν ἀλλήλους οὕτως ὀφείλουσιν. Ἀναδραμὼν τοίνυν ἐπὶ τὴν προτέραν ὑπόθεσιν, τὴν περὶ τῶν χαρισμάτων, ἐπιτρέπει ζηλοῦν καὶ ἐπιθυμεῖν τυχεῖν τοῦ προφητεύειν, ὡς καὶ ἀνωτέρω δεδήλωται.

39. Καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.

Ὡς ἤδη φανὲν ἔλαττον. Χρειωδέστερον μὲν γὰρ τὸ προφητεύειν, διὸ καὶ ἐπιθυμεῖν αὐτοῦ προςέταξε· χρειῶδες δὲ καὶ τὸ τῶν γλωσσῶν, παρόντος τοῦ ἑρμηνεύοντος.

(α) Τὸ χειρόγραφον κακῶς γράφει «σκοποῦντα» ἀντὶ «σκοποῦντος»· ἣν γραφὴν ἀπαιτεῖ τό τε προηγούμενον «βουλομένου» καὶ ἡ τοῦ Χρυσοστόμου ἐν λ. (Τόμ. Ι', Ὁμιλ. ΛΖ', σελ. 318) ἐξήγησις, ἣν κατὰ λέξιν σχεδὸν ἀποδίδωσιν ἐνταῦθα ὁ Συγγραφεύς.

40. Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

Κοσμίως καὶ εὐτάκτως. Ἀπαρτίσας δὲ τὸν περὶ τῶν χαρισμάτων λόγον, ἐφ' ἕτερον μεθίσταται κεφάλαιον ἀναγκαιότατον, τὸ περὶ τῆς ἀναστάσεως. Ἦσαν γάρ τινες διαστρέφοντες πολλούς. Καὶ οἱ μὲν αὐτῶν ἔλεγον μὴ γενήσεσθαι ἀνάστασιν, οἱ δὲ ἤδη γεγονέναι, ἄλλοι δὲ ὅτι τῆς ψυχῆς ὁ καθαρμός ἐστιν ἀνάστασις, οὓς ἐλέγχει πάντας ὁ Ἀπόστολος ῥᾳδίως.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΠΕΜΠΤΟΝ

Θ' Περὶ ἀναστάσεως σωμάτων καθολικῆς· ἐν ᾧ περὶ τῆς ἐν Χριστῷ διορθώσεως καὶ ἀποκαταστάσεως. Ὁμοίωσις τῶν ἀνισταμένων πρὸς τὰ ἀναφυόμενα σπέρματα. Περὶ τῆς εἰς δόξαν καὶ δύναμιν ἀλλαγῆς.

1. Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν,

Γνωρίζω ὑμῖν πάλιν τὸ ἤδη δῆλον γενόμενον, ὑπομιμνήσκω, ἄνωθεν ἀνιστορῶ.

1. Ὃ καὶ παρελάβετε,

Οὐκ ἠκούσατε μόνον, ἀλλὰ καὶ παρεδέξασθε.

1. Ἐν ᾧ καὶ ἑστήκατε.

Ὧ καὶ ἐμμένετε. Καὶ μὴν ἐσαλεύοντο κατὰ τὸν λόγον τῆς ἀναστάσεως. Ἀλλὰ προκαταλαμβάνει τούτοις τοῖς ἐπαίνοις, ἵνα λαβὼν συνομολογοῦντας τότε ἐπαγάγῃ τὴν ἐπιτίμησιν· καὶ ἑτέρως δ' εἰπεῖν, πρὸς τοὺς μὴ σαλευθέντας λέγει ταῦτα.

2. Δι' οὗ καὶ σώζεσθε,

Φυλάττοντες τὰς ἐντολὰς αὐτοῦ καὶ κατ' αὐτὸ πολιτευόμενοι.

2. Τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε·

Τί λέγων, τί κηρύσσων εὐηγγελισάμην ὑμῖν, εἰ μνημονεύετε τί τὸ κεφάλαιον τοῦ κηρύγματος.

2. Ἐκτὸς εἰ μὴ εἰκῆ ἐπιστεύσατε.

Εἰ μή που μάτην ἐπιστεύσατε. Εἰ γὰρ μὴ κατέχετε ὃ παρελάβετε, μάτην ἐπιστεύσατε. Ἤρξατο δὲ κατὰ μικρὸν αἰσχύνειν τοὺς κολακευομένους. Προβαίνων δὲ καὶ διαθερμαινόμενος σφοδρότερον καθικνεῖται τούτων. Ἐρωτήσας δὲ νῦν, αὐτὸς ἀποκρίνεται λέγων τί ἐστι τὸ κεφάλαιον τοῦ εὐαγγελικοῦ κηρύγματος·

3. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον,

«Ἐν πρώτοις»· τουτέστι πρότερον, ἐξ ἀρχῆς, ὅτε ἐδίδαξα ὑμᾶς. Παρέλαβε δὲ τοῦτο παρὰ τοῦ Κυρίου ἢ παρὰ τοῦ βαπτίσαντος αὐτὸν Ἀνανίου (α). Τί δὲ ὃ παρέλαβες;

3. Ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς·

Τὰς τῶν Προφητῶν· «ἀπὸ γὰρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου, » φησὶν Ἡσαΐας, ἥκει εἰς θάνατον» (β). Καὶ πάλιν· «Κύριος παρέ-» δωκεν αὐτὸν διὰ τὰς ἁμαρτίας ἡμῶν» (γ)· καὶ πολλὰ τοιαῦτα. Καὶ ὁ Πρόδρομος δὲ Ἰωάννης ἐβόα· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων » τὴν ἁμαρτίαν τοῦ κόσμου» (δ).

4. Καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς·

Περὶ μὲν ταφῆς γράφει Δαυῒδ προςώπῳ τοῦ Χριστοῦ λέγων· «ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανά-» του» (ε). Εἰκὸς δὲ καὶ ἄλλας Γραφὰς περὶ τούτου λέγειν. Περὶ δὲ τῆς ἀναστάσεως πάλιν ὁ Δαυῒδ· «ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν » μου εἰς ᾅδου» (ϛ). Καὶ ὁ Ἡσαΐας· «Κύριος βούλεται καθαρίσαι αὐ-» τὸν ἀπὸ τῆς πληγῆς· δεῖξαι αὐτῷ φῶς» (ζ). Καὶ πάλιν· «ὑπόμεινόν » με εἰς ἡμέραν ἀναστάσεώς μου» (η).

5. Καὶ ὅτι ὤφθη Κηφᾷ,

(α) Πράξ. κβ', 16. — (β) Ἡσ. νγ', 8. — (γ) Αὐτόθ. νγ', 6. — (δ) Ἰωάνν. ά, 29 — (ε) Ψαλμ. πζ', 6. — (ϛ) Αὐτόθ. ιέ, 10. — (ζ) Ἡσ. νγ', 10. 11. — (η) Αὐτόθ.

Τῷ Ἀποστόλῳ Πέτρῳ. Τῇ ἐκ τῶν Γραφῶν ἀποδείξει προςτίθησι καὶ τὴν ἀπὸ τῶν ἰδόντων αὐτὸν ἀναστάντα μαρτυρίαν. Ὤφθη δὲ τῷ Πέτρῳ πρὸ τῶν Δώδεκα, ὡς καὶ ὁ εὐαγγελιστὴς Λουκᾶς ἱστόρησεν (α)· οὐ γὰρ νῦν λέγει περὶ τῶν γυναικῶν, αἳ πρῶται εἶδον αὐτὸν ἀναστάντα (β).

5. Εἶτα τοῖς Δώδεκα.

Μετὰ τὸ τὸν Ματθίαν ἀντειςαχθῆναι τοῦ Ἰούδα, τουτέστι μετὰ τὴν ἀνάληψιν.

6. Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς

Τὸ «ἐπάνω» τινὲς ἡρμήνευσαν ἀντὶ τοῦ «ἄνωθεν ἐκ τοῦ οὐρανοῦ», οὐκ ἐπὶ γῆς βαδίζων, ἀλλ' ὑπὲρ κεφαλῆς αὐτοῖς φαινόμενος, ἵνα καὶ τὴν ἀνάστασιν ἅμα καὶ τὴν ἀνάληψιν πιστώσηται (γ). Τινὲς δὲ τὸ «ἐπάνω» ἀντὶ τοῦ ἐπέκεινα· καὶ πλεῖον ἢ πεντακοσίοις πιστοῖς (δ).

6. Ἐφάπαξ,

Ἐν μιᾷ ὀπτασίᾳ τοῖς πεντακοσίοις, καὶ οὐ νῦν μὲν τοσοῖςδε, νῦν δὲ τοσοῖςδε.

6. Ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν.

«Ἐκοιμήθησαν» εἶπε, δηλῶν ὅτι ἀναστήσονται· καὶ ταύτῃ τῇ λέξει τὴν ἀνάστασιν βεβαιοῖ.

7. Εἶτα ὤφθη Ἰακώβῳ·

Τῷ ἀδελφῷ ἑαυτοῦ. Αὐτὸς γὰρ αὐτὸν λέγεται κεχειροτονηκέναι ἐπίσκοπον ἐν Ἱεροσολύμοις πρῶτον (ε).

7. Εἶτα τοῖς Ἀποστόλοις πᾶσιν.

Ἦσαν γὰρ καὶ ἄλλοι, λέγω δὴ τοὺς ἑβδομήκοντα.

8. Ἔσχατον δὲ πάντων, ὡςπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί.

(α) Λουκ. κδ', 34. — (β) Ματθ. κή, 9. — (γ) Χρυσόστ. ἐν λ. Οἰκουμ. ἐν λ. Θεοφύλ. ἐν λ. — (δ) Οἱ αὐτοὶ αὐτόθ. — (ε) Χρυσόστ. ἐν λ. (Τόμ. Ι', Ὁμιλ. ΛΗ', σελ. 326).

«Ἔσχατον» ὅτι μετὰ τὰς ἄλλας ὀπτασίας· ὕστερον γὰρ τούτων οὗτος ἐκλήθη. Ὡςανεί τινι δὲ «ἐκτρώματι» εἶπε, ταπεινῶν ἑαυτὸν καὶ τῷ ὀνόματι τούτῳ ἐξευτελίζων. Ἔκτρωμα γὰρ τὸ πρὸ τοῦ τελείως ἐν τῇ μήτρᾳ διαμορφωθῆναι ἐξαμβλούμενον καὶ ἀπορριπτόμενον. Ὥςπερ γὰρ ἀλλαχοῦ «περίψημα» καὶ «περικάθαρμα» ἑαυτὸν ἔλεγεν (α), οὕτως καὶ νῦν «ἔκτρωμα». Μᾶλλον δὲ ὅμοιον ἐκτρώματι. Ὤφθη γάρ, φησί, κἀμοὶ ἔσχατον πάντων ἀξίως, ὡς εὐτελεστέρῳ πάντων, ὡς περί τινι ἐκτρώματι ὄντι· τουτέστιν ἀποβλήτῳ διὰ τὸ διώκειν τότε καὶ πορθεῖν τὴν Ἐκκλησίαν.

9. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων·

Ὁ ἔσχατος, ὁ κατώτερος. Εἶτα ἐπὶ πλέον ἐξουδενῶν ἑαυτὸν ἐπήγαγεν·

9. Ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος,

Οὐκ εἰμὶ ἄξιος. Διὰ τί;

9. Διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.

Ἐκάκωσα.

10. Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι.

Ἀπόστολος δηλονότι. Ὅρα δὲ καὶ ἄλλην ταπεινοφροσύνης ὑπερβολήν. Τὰ μὲν ἐλαττώματα ἑαυτῷ λογίζεται, τὰ δὲ κατορθώματα τῷ Θεῷ ἐπιγράφεται. «Χάριτι γάρ, φησί, Θεοῦ» καὶ εὐεργεσίᾳ, ἀλλ' οὐ τῆς ἑαυτοῦ σπουδῆς.

10. Καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη,

Οὐκ ἄκαρπος.

10. Ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα·

Διὰ τὸ ῥητὸν τοῦτο προλαβὼν ἐταπείνωσεν ἑαυτὸν τῷ λόγῳ, ἵνα εὐπαράδεκτον γένηται, ὡς μὴ προηγουμένως ἐξ ἀκολουθίας ῥηθέν· εἰ μὲν γὰρ ἐξ ἀρχῆς οὕτως εἶπεν, ἔδοξεν ἂν κομπηρὸν λέγειν καὶ φορτικόν. Νῦν δὲ ἐξ ἀκολουθίας λέγων, ἀνύποπτος. Καὶ διὰ τί τὸ

(α) Α΄ Κορινθ. δ΄, 13.

μέγα τοῦτο ἐφθέγξατο; Διότι τὸν καιρὸν ἑώρα καταναγκάζοντα. Πῶς γὰρ ἂν ἔδοξεν ἀξιόπιστος ἐφ' οἷς ἐρεῖν ἔμελλεν, εἰ τοσοῦτον ἐξουδενώσας ἑαυτόν, οὐδὲν ἀξιόλογον ἑαυτῷ προςεμαρτύρησεν; Καὶ τοῦτο δὲ μεθ' ὑποστολῆς ἐφθέγξατο· οὐ γὰρ εἶπε κατ' εἶδος τοὺς πόνους, ἀλλ' ὀλίγους εἰπών, καὶ διὰ τοῦ «κόπου» ὑποδηλώσας τὰ κατορθώματα, ὥςπερ ἐπελάβετο ἑαυτοῦ καὶ ἐπιδιωρθώσατο τὸν λόγον· ἐπήγαγε γάρ·

10. Οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.

Οὐκ ἐγὼ δὲ κατώρθωσα, ἀλλ' ἡ θεία χάρις συνοῦσα καὶ συνεργοῦσά μοι. Καὶ ἀλλαχοῦ δὲ ἔλεγε· «χάριν ἔχω τῷ ἐνδυναμώσαντί με » Χριστῷ» (α).

11. Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν,

Εἴτε οὖν ἐγὼ κηρύσσω, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, ὅτι Χριστὸς ἀπέθανε καὶ ἐτάφη καὶ ἐγήγερται, ὡς ἀνωτέρω εἴρηκεν. Ἐπίσης, φησί, καὶ σύμφωνα κηρύσσομεν.

11. Καὶ οὕτως ἐπιστεύσατε.

Ὅτε πρῶτον ἐδίδαξα ὑμᾶς.

12. Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;

Κηρύσσεται παρ' ἐμοῦ καὶ τῶν ἄλλων Ἀποστόλων, καὶ πιστεύεται παρ' ὑμῶν· ἡ γὰρ ἀνάστασις τοῦ Χριστοῦ σημεῖον καὶ ἀπόδειξις τῆς κοινῆς τῶν ἀνθρώπων ἀναστάσεως. Ἐκ τοῦ ὡμολογημένου καὶ ἀναμφιβόλου τὸ ἀμφιβαλλόμενον ἔλυσεν.

13. Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν,

Ὡς οὗτοι λέγουσιν.

13. Οὐδὲ Χριστὸς ἐγήγερται.

Ἀκόλουθον γάρ· ἐπεὶ καὶ οὗτος ἄνθρωπος κατὰ τὸ πρόςλημμα.

14. Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν,

(α) Α' Τιμ. α', 12.

Μάταιος ὁ πόνος ἡμῶν ὁ ἐπὶ τῷ κηρύγματι, οὗ κεφάλαιον ἡ τοῦ Χριστοῦ ἀνάστασις.

14. Κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν.

Ἀνόνητος. Καὶ λοιπὸν οἴχεται ἡμῖν πάντα καὶ τὸ πᾶν μυστήριον ἀνετράπη τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ.

15. Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ·

Τοῦ Πατρός. Ἀλλὰ πῶς;

15. Ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ,

Ὅτι ἐσυκοφαντήσαμεν αὐτόν. Ἀλλὰ τί εἰπόντες ἐσυκοφαντήσατε;

15. Ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται.

Ὡς καὶ ἀνωτέρω συνελογίσατο. Πάλιν δὲ τὰ αὐτὰ λαμβάνει καὶ κατασκευάζει λέγων·

16. Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. Εἰ
17. δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν·

Ἀπὸ τοῦ ἰσχυροῦ καὶ ἀναμφιβόλου καὶ [τὸ] (α) δοκοῦν ἀσθενὲς καὶ ἀμφίβολον ἰσχυροποιεῖ. Πάλιν δέ φησιν ὅτι «ματαία ἡ πίστις »ὑμῶν», πλέον ἐκφοβῶν. Καὶ ὅρα τὸν συλλογισμὸν ἄνωθεν. Εἰ ὁ Χριστὸς οὐκ ἐγήγερται, οὐδὲ Θεοῦ Υἱὸς ἦν καὶ Θεός· εἰ δὲ οὐκ ἦν Θεός, μάτην ἐκηρύξαμεν ὅτι Θεὸς ὢν ἐνηνθρώπησε καὶ ἀπέθανε μὲν δι' ἡμᾶς ὡς ἄνθρωπος, ἠγέρθη δὲ ὡς Θεός· εἰ δὲ ἡμεῖς μάτην ἐκηρύξαμεν, μάτην ὑμεῖς ἐπιστεύσατε.

17. Ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

Ὧν ἀπαλλαγῆναι ἠλπίσατε διὰ τῆς πίστεως καὶ τοῦ βαπτίσματος ἔχοντος τύπον θανάτου καὶ ἀναστάσεως.

18. Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο (*).

(α) Τὸ παρεντιθέμενον ἄρθρον, ἀπαιτούσης προφανῶς τῆς ἐννοίας, προςθετέον. — (*) Τὸ χειρόγρ. «ἀπώλλοντο».

Τὸ «ἐν Χριστῷ». ἢ τὸ ἐν τῇ κατὰ Χριστὸν πίστει δηλοῖ, ἢ τὸ διὰ Χριστόν. Συλλογιστικῶς δέ φησιν· ἄρα καὶ οἱ ἀποθανόντες ἐν τῇ εἰς Χριστὸν πίστει, ἢ διὰ Χριστὸν μαρτυρικῶς τελειωθέντες ἀπώλοντο, ὡς καταλιπόντες τὴν πατρῴαν θρησκείαν καὶ ψευδῆ πίστιν ἀνταλλαξάμενοι.

19. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

Εἴπερ ἐν τῇ ζωῇ ταύτῃ μόνον ἠλπικότες ἐσμὲν ἐν Χριστῷ, τουτέστιν εἰς τὰς τοῦ Χριστοῦ ἐπαγγελίας, τὰς περὶ τῶν μελλόντων αἰωνίων ἀγαθῶν, ἐν δὲ τῇ μελλούσῃ ζωῇ ἐκπεσούμεθα τῆς τοιαύτης ἐλπίδος, ἀθλιώτεροι πάντων ἀνθρώπων ἐσμέν, μάτην τοὺς τοσούτους ὑπομείναντες πόνους διὰ τὴν εἰρημένην ἐλπίδα. Εἰ γὰρ τὸ σῶμα οὐκ ἐγείρεται, οὐδὲ ἡ ψυχὴ στεφανωθήσεται. Κοινὰ γὰρ ψυχῆς καὶ σώματος τὰ ἐνταῦθα κατορθώματα, ἐφ' οἷς ἐκεῖ δίδονται οἱ στέφανοι καὶ αἱ ἀπολαύσεις.

20. Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν·

Δείξας ὅσα τίκτεται ἄτοπα ἀπὸ τοῦ μὴ πιστεύεσθαι τὴν ἀνάστασιν τῶν σωμάτων, ἐπαναλαμβάνει τὸν λόγον καί φησιν· ἀλλὰ μὴν ὁ Χριστὸς ἐγήγερται, ὡς προαποδέδεικται.

20. Ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.

Ἀρχὴ εἰς ἀνάστασιν· εἰ δὲ «ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο», ἄρα καὶ οἱ κεκοιμημένοι ἀναστήσονται· ἀκόλουθον γὰρ ἀκολουθεῖν τῇ ἀπαρχῇ τοὺς ὧν ἔστιν αὕτη ἀπαρχή (α). Εἶτα λέγει καὶ τὴν αἰτίαν·

21. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.

Ἔδει γὰρ τὴν θανοῦσαν φύσιν ἡμῶν ζῆσαι πάλιν, καὶ πεσοῦσαν ἀναστῆναι. Καὶ ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος τοῦ σώματος γέγονε (λέγω δὴ τοῦ Ἀδάμ), δι' ἀνθρώπου καὶ ἡ ζωή, τουτέστιν ἡ ἀνάστασις τοῦ σώματος. Λέγει δὲ τὸν Χριστόν, ὃς ἡμῖν ἐχαρίσατο τοῦτο,

---

(α) Οἰκουμ. ἐν λ. «Ἀπαρχὴ γάρ ἐστι τὸ ἐκ πολλῶν ἕνα τινὰ πρῶτον τόδε ἢ τόδε »ποιῆσαι, ὃ μέλλουσι καὶ οἱ λοιποὶ ποιεῖν ἐφεξῆς».

τῇ ἰδίᾳ ὑπακοῇ λύσας τὸ κατάκριμα τῆς παρακοῆς. Εἶτα σαφηνίζει ὃ εἶπεν·

22. Ὥςπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.

Ἡ «ἐν» πρόθεσις ἀντὶ τῆς «διά». «Θάνατον» δὲ τὸν τοῦ σώματος λέγει, ὥςπερ καὶ ζωοποίησιν.

23. Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι·

Πάντες μὲν ζωοποιηθήσονται, ἕκαστος δὲ ἐν τῇ οἰκείᾳ τάξει, οἱ ἁμαρτωλοὶ ἐν τῇ τάξει τῶν ἁμαρτωλῶν ὥςτε κολασθῆναι, καὶ οἱ δίκαιοι ἐν τάξει τῶν δικαίων ἐπὶ τῷ στεφανωθῆναι.

23. Ἀπαρχὴ Χριστός,

Ὁδὸς εἰς ἀνάστασιν ἄπτωτον καὶ παλινζωΐαν ἀθάνατον ὁ Χριστός.

23. Ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.

«Ἔπειτα» ἀναστήσονται δηλονότι οἱ οἰκεῖοι τῷ Χριστῷ τῇ κατὰ πίστιν καὶ εὐαρέστησιν οἰκειώσει. Ἀναστήσονται δὲ ἐν τῇ μελλούσῃ παρουσίᾳ αὐτοῦ· πρὸ τῶν ἁμαρτωλῶν γὰρ καὶ τῶν ἀπίστων ἀναστήσονται εἰς ἀπάντησιν τοῦ Κυρίου (α).

24. Εἶτα τὸ τέλος,

Ἡ κοινὴ τῶν ἄλλων πάντων ἀνάστασις. Ὁ μὲν γὰρ Χριστὸς ἀρχὴ ἀναστάσεως, οὗτοι δὲ τέλος. Εἰ γὰρ καὶ πρὸ τοῦ Χριστοῦ καὶ μετὰ τὸν Χριστὸν καὶ ἄλλοι ἀνέστησαν ἐκ θαυματουργίας, ἀλλὰ πάλιν ἀπέθανον.

24. Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί·

Τῆς τοῦ Θεοῦ βασιλείας ἀποστάντες οἱ δαίμονες ἐσφετερίσαντο καὶ τὴν ἐπὶ τοῖς ἀνθρώποις βασιλείαν αὐτοῦ. Ἐνανθρωπήσας δὲ ὁ Κύριος ἡμῶν ἤρξατο ἀνακαλεῖσθαι ταύτην διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ ἀνασώσεται ἑαυτῷ πᾶσαν ἄχρι τῆς κοινῆς ἀναστάσεως, τῶν μὲν ἑκόντων ὑποπιπτόντων, τῶν δὲ ἀκόντων ὑποκλιθησομένων. Τελευ-

---

(α) Α' Θεσσαλον. δ', 17.

ταῖον γὰρ καὶ οἱ δαίμονες ὑποταγήσονται. Τότε τοίνυν κατορθώσας ἐντελῶς τὸ κατὰ πάντων κράτος ὁ Κύριος, προςάξει τῷ Πατρὶ τὴν βασιλείαν αὐτοῦ τὴν κατὰ πάντων, μᾶλλον δὲ τὴν κατὰ τῶν δαιμόνων, ἀστασίαστον. Ὁ μὲν οὖν σκοπὸς τοῦ λόγου τοιοῦτος. Χρὴ δὲ θεοπρεπῶς νοεῖν τὸ «παραδῷ». Παραδώσει γὰρ οὐχ ὡς αὐτὸς ταύτης ἐκπίπτων (κοινὴ γὰρ ἡ βασιλεία, ὥςπερ καὶ ἡ θεότης), ἀλλ' ὡς τὸ ἔργον τελειώσας, ὃ ὁ Πατὴρ αὐτῷ ἐνεχείρισεν. Οὕτω γὰρ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, παρέδωκά σοι τὸ ἔργον, ὅ μοι ἐνεχείρισας· ἀντὶ τοῦ ἐτελείωσα, ἤνυσα.

24. Ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.

Οὐ μόνον τὴν τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὴν τῶν δαιμόνων.

25. Δεῖ γὰρ αὐτὸν βασιλεύειν «ἄχρις οὗ ἂν θῇ πάντας τοὺς »ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ» (α).

Ἀναγκαῖόν ἐστι καὶ ἀκόλουθον τὸ βασιλεύειν αὐτόν· ἤγουν τὸ ὑποτάττειν ἑαυτῷ τοὺς ἀνθισταμένους, ἄχρις ἂν πάντας ὑποτάξῃ. Ἔκτοτε γὰρ οὐχ ἕξει οὓς ὑποτάξει, πάντων ἤδη ὑποταγέντων, ἀλλ' ἁπλῶς εἰς τὸ ἑξῆς βασιλεύσει, μηκέτι ὑποτάττων, ἀλλ' ἀποδιδοὺς ἑκάστῳ τὸ κατ' ἀξίαν. Ὁ δὲ θεολόγος Γρηγόριος τὸ «ἄχρις οὗ» τοῦτο ἑρμηνεύων φησὶν ὅτι «τὸ ἕως οὐ πάντως ἀντιδιαιρεῖται τῷ μέλλοντι, » ἀλλὰ τὸ μέχρι τοῦδε μὲν τίθησι, τὸ μετὰ τοῦτο δὲ οὐκ ἀναίνε- » ται» (β).

26. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.

Μετὰ τὴν ὑποταγὴν τῶν ἀπίστων, μετὰ τὴν τῶν δαιμόνων, μετὰ τὴν τοῦ διαβόλου, ἀργήσει καὶ ὁ θάνατος. Τῆς ἀναστάσεως γὰρ λοιπὸν γενομένης, ἀπολεῖται παντελῶς ὁ θάνατος τῷ μηκέτι ἀποθνήσκειν τινά· καὶ γὰρ καὶ πρότερον «ἔσχατος» εἰςῆλθε· μετὰ γὰρ τὴν τοῦ διαβόλου συμβουλὴν καὶ τὴν παρακοὴν εἰςῆλθεν. «Ἐχθρὸν» δὲ

(α) Ψαλμ. ρθ', 1. — (β) Ταῦτα ὁ θεολόγος Γρηγόριος γράφει ἐν τῷ Θεολογικῷ Δ' περὶ Υἱοῦ (ὅρ. Τόμ. Β', κεφ. δ', σελ. 108). Σημειωτέον δ' ὅτι ὁ Συγγραφεύς, ἐξηγῶν τὸν 13 στίχ. τοῦ α' κεφ. τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, ἐπαναλαμβάνει αὖθις τὸ αὐτὸ τοῦ θεολόγου Γρηγορίου χωρίον, ἀλλὰ κατ' ἔννοιαν μᾶλλον ἢ κατὰ λέξιν.

καὶ τοῦτον εἶπεν, ὡς πολέμιον τοῦ πλάσματος τοῦ Θεοῦ καὶ ἀναιρέτην, καὶ ὡς ὑπουργὸν τοῦ διαβόλου. Ὁ μὲν γὰρ διάβολος παρέδωκε τῇ ἁμαρτίᾳ, ἡ δὲ ἁμαρτία τῷ θανάτῳ. Τῇ μὲν οὖν δυνάμει ἔκτοτε κατήργηται ὁ θάνατος, ἐξ οὗ ὁ Χριστὸς ἀνέστη· τῇ δὲ ἐνεργείᾳ τότε καταργηθήσεται.

27. «Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ» (α)·

Ὁ Πατὴρ ὑπέταξε πάντα ὑπὸ τοὺς πόδας τοῦ Υἱοῦ, οὐχ ὡς τοῦ Υἱοῦ μὴ δυναμένου ὑποτάττειν μόνου, ἀλλὰ τοῦτο εἶπε δεικνὺς ὅτι κοινὰ τούτοις τὰ κατορθώματα καὶ ἵνα μή τις ὑπολάβῃ μείζονα τὸν Υἱόν, ᾧ τὴν καθαίρεσιν τῶν ἐχθρῶν ἀνέθηκεν.

27. Ὅταν δὲ εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.

Ἔτι ἀσφαλίζεται καὶ σαφηνίζει τὴν λέξιν τὴν «πάντα». Ὅταν δέ, φησίν, εἴπῃ ὁ Υἱὸς τῷ Πατρὶ τὸ «πάντα ὑποτέτακται» (ἐρεῖ δὲ τοῦτο, ὅταν παραδῷ τὴν βασιλείαν, ὡς ἀνωτέρω δεδήλωται), δῆλον ὅτι πάντα εἴπῃ τὰ ἄλλα καὶ οὐ τὸν Πατέρα. Εἰ δὲ οὐ τὸν Πατέρα, οὐδὲ τὸ Πνεῦμα πάντως. Ἔθος δὲ τῷ Ἀποστόλῳ μὴ πάντοτε πάντων ἅμα μνημονεύειν, ἀλλὰ ποτὲ μὲν τῶν τριῶν προςώπων, ποτὲ δὲ τῶν δύο, ποτὲ δὲ τοῦ ἑνός, ὡς ὁ καιρὸς καὶ ἡ χρεία ἀπαιτοῦσιν. Ἐκτός, φησί, τοῦ Πατρός, τοῦ μὴ μόνον τοῖς ὑποταγεῖσι συνεμφαινομένου, ἀλλὰ καὶ μᾶλλον ὑποτάξαντος τῷ Υἱῷ τὰ πάντα, τουτέστι συγκατορθώσαντος τὴν κατάλυσιν τῶν εἰρημένων ἐχθρῶν.

28. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα,

Ὑποταγήσεται οὐ κατὰ τὴν τῶν ἄλλων ὑποταγήν· ἄπαγε, ἀλλὰ καθ' ἑτέραν ἀξιοπρεπῆ καὶ εὐσεβῶς νοουμένην. Ἐπεὶ γὰρ ἔδειξεν αὐτὸν ἰσοσθενῆ τῷ Πατρί, φοβηθεὶς μὴ δόξῃ τισὶ καὶ ὁ Υἱὸς ἄναρχος ἀρχὴ καὶ ἀντικειμένη τῷ Πατρί, τὸ «ὑποταγήσεται» εἴρηκεν, ἀναιρῶν πρόρριζον τὴν τοιαύτην ὑπόνοιαν διὰ τῆς τοιαύτης λέξεως, ἐμφαινούσης ὅτι τε ὁ Πατὴρ ἀρχή ἐστι τῷ Υἱῷ κατὰ τὸ αἴτιον καὶ ὅτι ὁ Υἱὸς ὁμονοεῖ τῷ Πατρί. Ταῦτα γὰρ μόνα διὰ τῆς ὑποταγῆς

(α) Ψαλμ. ρθ', 1.

ταύτης ἐδήλωσε καὶ οὐδὲν ἕτερον. Καὶ αὐτὸς δὲ οὗτος ὁ Κύριος, ἵνα μὴ δόξῃ ἀντίθεος, εἴρηκεν «ὁ Πατήρ μου μείζων μού ἐστι» (α), τῷ αἰτίῳ δηλονότι. Καὶ τὴν ὁμόνοιαν δὲ παριστῶν εἶπεν «οὐχ ἵνα »ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πα»τρός» (β). Καὶ πολλὰ τοιαῦτα, δι' οἰκονομίαν.

28. Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

Ἵνα, πάντων μὲν ὑποτεταγμένων τῷ Υἱῷ, τοῦ Υἱοῦ δὲ ὁμονοοῦντος τῷ Πατρί, ᾖ ὁ Πατὴρ τὰ πάντα ἐν πᾶσιν. Ἐν τῷ Υἱῷ μὲν Πατήρ· ἐν δὲ τῷ Πνεύματι προβολεύς· ἐν δὲ τοῖς δικαίοις γεροδότης καὶ βασιλείας διανομεύς· ἐν δὲ τοῖς ἁμαρτωλοῖς καὶ τοῖς δαίμοσι καὶ τῷ διαβόλῳ δικαστής τε καὶ κολαστής. Ἢ καὶ ἑτέρως· ἵνα πάντες αὐτὸν ἔχωσιν ἀρχὴν ἄναρχον καὶ ἀγέννητον. «Τὰ πάντα» ἀντὶ τοῦ ἐξαίρετος. Τῷ μὲν Υἱῷ καὶ τῷ Πνεύματι κατὰ τὸ αἴτιον, τοῖς δὲ ἄλλοις κατά τε τοῦτο καὶ κατὰ τὴν θεότητα καὶ βασιλείαν.

29. Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν;

«Οἱ βαπτιζόμενοι», καταδυόμενοι καὶ ἀναδυόμενοι, τὸν θάνατον τῶν σωμάτων καὶ τὴν ἀνάστασιν εἰκονίζουσιν. Διὸ καὶ πρότερον ὁμολογοῦσι προςδοκᾶν ἀνάστασιν νεκρῶν, ἤτοι σωμάτων. Φησὶ τοίνυν ὁ Ἀπόστολος ὅτι, εἰ νεκροὶ οὐκ ἐγείρονται, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τοῦ ἀναστῆναι τὰ νεκρὰ σώματα προςδοκήσαντες μέν, ἀπατηθέντες δέ;

29. Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται (*), τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;

Τί ματαιοπονοῦσιν οἱ ἀθετοῦντες μὲν τὴν ἀνάστασιν, βαπτιζόμενοι δὲ ὑπὲρ τοῦ ἀναστῆναι τοὺς νεκρούς, τουτέστιν ἐπὶ προςδοκίᾳ ἀναστάσεως; οἷς μὲν γὰρ πράττουσιν ὁμολογοῦσι προςδοκᾶν τὴν ἀνάστασιν, οἷς δὲ νῦν λέγουσιν ἀρνοῦνται αὐτήν.

30. Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;

(α) Ἰωάνν. ιδ', 28. — (β) Αὐτόθ. ε', 30.— (*) Ἐν ἄλλ. τὰ «εἰ ὅλως—ἐγείρονται» συνάπτονται τῷ ἀνωτέρῳ στίχῳ καὶ δέχονται τὸ τοῦ ἐρωτηματικοῦ σημεῖον· «ἐπεὶ τί »ποιήσουσιν,—εἰ οὐκ ἐγείρονται»;

Εἰ ὑμῶν καταψευδόμεθα κηρύσσοντες ἀνάστασιν, τί καὶ ἡμεῖς πάντες οἱ Ἀπόστολοι κινδύνοις ὁμιλοῦμεν οὐ δὶς ἢ τρίς, ἀλλὰ καθ' ἑκάστην ὥραν, ἤγουν δι' ὅλης τῆς ζωῆς; Οὐ γὰρ δήπου καὶ ἑαυτοὺς ἀπατῶμεν. Εἰ μὴ πεπληροφορήμεθα, οὐκ ἂν τοσαῦτα ὑπὲρ ἀναστάσεως ἐπάσχομεν.

31. Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν,

«Καθ' ἡμέραν ἀποθνήσκω» τῇ προαιρέσει καὶ τῷ καθ' ἡμέραν παρασκευάζεσθαι πρὸς τὸ ἀποθανεῖν. Προσέθηκε δὲ καὶ ὅρκον τὸ «νὴ »τὴν ὑμετέραν καύχησιν»· ἤγουν μὰ τὴν ἐφ' ὑμῖν καύχησίν μου.

31. Ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἣν καυχῶμαι ἐφ' ὑμῖν, πιστεύσασι καὶ κατορθοῦσιν. Τοῦτο δὲ πρὸς τοὺς ἐν αὐτοῖς κατορθοῦντας. Ἔχω δὲ ταύτην τοῦ Χριστοῦ συνεργοῦντος. Ἡ καθ' ἡμέραν ἀποθνήσκω τοῦ Χριστοῦ ἐνισχύοντός με πρὸς τοὺς θανάτους.

32. Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος;

Εἰπὼν ἀορίστως ὅτι «καθ' ἡμέραν ἀποθνήσκω» μνείαν ποιεῖται ἑνὸς τέως γνωρίμου τούτοις θανάτου, τῆς ἐν Ἐφέσῳ θηριομαχίας, λέγων· εἰ ὅσον τὸ εἰς ἀνθρώπους ἧκον, θηρίων βορὰ γέγονα, εἰ μὴ ὁ Θεὸς ἐξήρπασέ με, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; Λοιπὸν οὖν ἐπειδὴ ἐγείρονται, διὰ τοῦτο καὶ ἐθηριομάχησα καὶ καθ' ἡμέραν ἀποθνήσκω, προσδοκῶν ἀνάστασιν καὶ ἀντίδοσιν τῶν πόνων. Εἴη δ' ἂν θηριομαχία καὶ ἡ πρὸς τοὺς θηριώδεις ἀνθρώπους σύρρηξις καὶ μάχη (α).

(α) Τὴν λέξιν «ἐθηριομάχησα» ὁ Χρυσόστομος (Τόμ. Ι΄, Ὁμιλ. Μ΄, σελ. 350) καὶ ὁ Θεοδώρητος (ἐν λ. Τόμ. Γ΄, σελ. 361) ἐξηγοῦσι κυριολεκτικῶς διὰ τοῦ «θηρίων » βορὰ γέγονα». Ὁ δὲ Οἰκουμένιος (ἐν λ.) καὶ Θεοφύλακτος (ἐν λ.) πρὸς ταύτῃ τῇ σημασίᾳ δέχονται καὶ ἑτέραν, καθ' ἣν τὸ «θηριομαχῶ» σημαίνει μεταφορικῶς τὴν πρὸς θηριώδεις ἀνθρώπους μάχην (Πρβλ. Β΄ Τιμ. δ΄, 17 «καὶ ἐρρύσθην ἐκ στόματος » λέοντος». Ζιγαβ. «Λέοντα τὸν Νέρωνα διὰ τὸ θηριῶδες κτλ». Ἰγνάτ. ὁ Θεοφ. πρὸς Ῥωμ. ἑ. «Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ » ἡμέρας, δεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτῶν τάγμα»). Ὡς τοιούτους δὲ θηριώδεις ἀνθρώπους, πρὸς οὓς ἐπάλαισεν ὁ Ἀπόστολος, ὑποδεικνύουσι τοὺς ἐν Ἐφέσῳ Ἰουδαίους καὶ τὸν ἀργυροκόπον Δημήτριον (Πράξ. ιθ΄.). Ἀλλ' ἐνταῦθα παρατηρητέον

32. Εἰ νεκροὶ οὐκ ἐγείρονται (*), «φάγωμεν καὶ πίωμεν· αὔ»ριον γὰρ ἀποθνήσκομεν» (α).

Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ ἀνταπόδοσις πάντως ἔσται. Εἰ δὲ ἀνταπόδοσις οὐκ ἔσται, φάγωμεν καὶ πίωμεν πρὸ τοῦ ἀποθανεῖν, ὡς ταῦτα μόνα κερδανοῦντες ἀπὸ τῆς παρούσης ζωῆς. Ἡσαΐας δὲ τοῦτο λέγει περί τινων ἀπηλγηκότων καὶ ἀπεγνωκότων καὶ οὕτω φθεγγομένων (β).

33. Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.

Ὁμοῦ μὲν καθάπτεται τούτων, ὡς εὐκόλων καὶ κούφων (χρηστὰ γὰρ ἤθη νῦν τὰ εὐεξαπάτητα εὐφήμως ὠνόμασεν), ὁμοῦ δὲ καὶ διὰ τοῦ καθιστᾶν εἰς ἄλλους τὴν αἰτίαν τῆς φθορᾶς συγγνώμην τούτοις νέμων καὶ εἰς διόρθωσιν ἐνάγων. Τὸ δὲ «φθείρουσιν ἤθη χρηστὰ ὁμι»λίαι κακαὶ» λακωνική ἐστι παροιμία (γ).

34. Ἐκνήψατε δικαίως,

Ὥςπερ ἀπὸ μέθης. «Δικαίως» δὲ ἀντὶ ἐπὶ τῷ ἰδίῳ συμφέροντι καὶ χρησίμῳ. Ἔστι γὰρ καὶ νῆψις ἐπιβλαβής, ὅταν γρηγορῇ τις ἐπὶ κακῷ.

34. Καὶ μὴ ἁμαρτάνετε·

Ἐξ ἁμαρτίας γὰρ τὰ σπέρματα τῆς ἀπιστίας τοῖς ἀθετοῦσι τὴν ἀνάστασιν. Βίος γὰρ διεφθαρμένος τίκτειν οἶδε πονηρὰ δόγματα.

34. Ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσιν.

ὅτι ὁ Συγγραφεύς, καίτοι τὴν δευτέραν ταύτην γνώμην ἐγκρίνων, καλῶς ποιῶν ἀορίστως διέρχεται τοὺς πρὸς οὓς ὁ Ἀπόστολος «ἐθηριομάχησε». Καὶ γὰρ καὶ οἱ νεώτεροι τῶν ἐξηγητῶν τὴν τοιαύτην ἑρμηνείαν ἀπαναίνονται δι' ἄλλους τε λόγους καὶ διότι ἡ προκειμένη ἐπιστολὴ κατά τι προγενεστέρα ἐστὶ τοῦ ἐν Ἐφέσῳ περιστατικοῦ. A. Maier Commentar. ecl. ἐν λ.— (*) Ἐν ἄλλ. ἡ στίξις οὕτω· «τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ »ἐγείρονται»;—(α) Ἡσ. κβ', 13.—(β) Κατὰ τὸν Φώτιον (ἐν Ἀμφιλοχ. Ἐρώτ. ΡΝΑ') τὸ «φάγωμεν κτλ.» δημώδης ἐστὶ λακωνικὴ παροιμία, ἣν παραλαβὼν ὁ Προφήτης ἐν τοῖς ἑαυτοῦ κατατάττει λόγοις. — (γ) Σύγχυσις προφανῶς ἐνταῦθα συνέβη Λακωνικὴ παροιμία ἐστὶ τὸ «φάγωμεν κτλ.», ὡς δέδεικται. Τὰ δὲ «φθείρουσι κτλ.» λόγοι εἰσὶ Μενάνδρου τοῦ κωμικοῦ (Φώτ. αὐτόθ.). Ὅρ. ἔκδ. Meinecke σ. 75. Ἀμφότερα δὲ ἔπη ἰαμβείῳ μέτρῳ συντεταγμένα. Παρβλ. Κλήμ. Ἀλεξ. Στρωμ. Α', ιδ'.

Οὐκ ἴσασι τοῦ Θεοῦ τὴν δύναμιν οἱ τῇ ἀναστάσει διαπιστοῦντες· ὁ γὰρ ἐξ οὐκ ὄντων πάντα ὑποστήσας πολλῷ μᾶλλον τὰ διαλυθέντα συστῆσαι καὶ ἀναστῆσαι δυνήσεται.

34. Πρὸς ἐντροπὴν ὑμῖν λέγω.

Τὸ «ἐκνήψατε» καὶ τὰ ἑξῆς· ὥςτε αἰσχυνθέντες διορθώσασθαι.

35. Ἀλλ' ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;

Τὸ «πῶς ἐγείρονται» ἀντίθεσίς ἐστι ζητοῦσα τὸν τρόπον τῆς ἀναστάσεως. Τὸ δὲ «ποίῳ σώματι ἔρχονται» εἰς παλινζωίαν, δευτέρα πάλιν ἐπαπόρησις, εἰ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ. Εἰ μὲν γὰρ τῷ αὐτῷ, πῶς τῷ διαλυθέντι; Εἰ δὲ ἑτέρῳ, οὐκ ἂν εἴη τοῦτο ἀνάστασις, ἀλλ' ἑτερότης. Ὅρα δὲ πῶς λύει καὶ ἀμφότερα τὰ ζητήματα.

36. Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ.

Πληκτικώτερον τῷ λόγῳ χρησάμενος «ἄφρονα» τὸν διαποροῦντα προςηγόρευσεν, ὡς ἔχοντα τὴν ἀπόδοσιν τοῦ τρόπου τῆς ἀναστάσεως ἀφ' ὧν αὐτὸς ἑκάστοτε πράττει καὶ μὴ συνιέντα. Ὃ γάρ, φησί, σὺ σπείρεις εἰς γῆν, ἄνθρωπος ὢν καὶ ἀσθενὴς καὶ ἀπολλύμενος, οὐ ζωοποιεῖται εἰς στάχυν, ἐὰν μὴ σαπὲν ἀποθάνῃ· καὶ περὶ τοῦ Θεοῦ τοῦ παντοδυνάμου καὶ ἀϊδίου διαμφιβάλλεις εἰ δύναται ἀναστῆσαι τοὺς νεκροὺς καὶ τρόπον ζητεῖς; Θάνατον δὲ καὶ ζωοποίησιν τῷ ἀψύχῳ σπέρματι περιτέθεικεν, οἰκειῶν τὸ παράδειγμα τῷ ζητήματι. Σκόπει δὲ πῶς ἀφ' ὧν ἐκεῖνοι τὸν λόγον τῆς ἀναστάσεως ἀνεσκεύαζον, ἀπὸ τούτων οὗτος τοῦτον κατασκευάζει καὶ εἰς τὸ ἐναντίον περιτρέπει τούτοις τὸν λόγον. Ἐκεῖνοι μὲν γὰρ ἔλεγον οὐκ ἀνίστανται ἐπειδὴ ἀπέθανον. Οὗτος δέ φησιν, ἐπειδὴ ἀπέθανον, ἀνίστανται κατὰ τὸ παράδειγμα τοῦ ῥηθέντος σπέρματος. Εἶτα λέγει καὶ περὶ τῆς δευτέρας ἐπαπορήσεως. Περὶ ταύτης γὰρ ὁ ἐφεξῆς λόγος·

37. Καὶ ὃ σπείρεις οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ
38. γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν. Ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς ἠθέλησεν,

Δι' ἑνὸς ὑποδείγματος ἀμφότερα τὰ ζητήματα λύει. «Σῶμα δὲ »γενησόμενον» λέγει τὸν στάχυν ὅλον. Οὐ «κόκκον» περιβεβλημένον

σπείρεις καλάμην ἔχοντα, λέμματα καὶ ἀνθέρικας καὶ τοιαύτην εὐπρέπειαν καὶ ὡραιότητα. Εἰπὼν δὲ ὅτι «καθὼς ὁ Θεὸς ἠθέλησεν», ἐπεστόμισε τοὺς τρόπον ζητοῦντας. Ἵνα δὲ μὴ δόξῃ ἕτερον σῶμα λέγειν, ἐπήγαγεν εὐθύς·

38. Ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.

Αὐτὸ ἐκεῖνο καὶ οὐχ ἕτερον. Αὐτὸ μὲν ἐκεῖνο τῇ οὐσίᾳ, λαμπρότερον δὲ [καὶ] (α) κρεῖττον τῇ ποιότητι. Τί γὰρ καὶ καθῄρει τὴν οἰκίαν, εἰ μὴ κρείττω ταύτην ἀνοικοδομῆσαι ἔμελλεν;

39. Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ πτηνῶν, ἄλλη δὲ ἰχθύων.

Ἵνα μὴ ἀκούσαντες, ὅτι πάντες οἱ νεκροὶ ἐγείρονται, νομίσωσιν ὅτι καὶ πάντες τῶν αὐτῶν τεύξονται, δείκνυσιν ἀπὸ παραδειγμάτων ὅτι πολλὴ ἔσται τῶν ἀνισταμένων ἡ διαφορὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον τῆς δόξης ἢ τῆς ἀδοξίας, εἰ καὶ μία καὶ κοινὴ ἡ ἀνάστασις. Ὥςπερ τοίνυν οὐ πᾶσα σὰρξ τὴν αὐτὴν ἔχει φύσιν ἢ κατασκευήν, ἀλλ' ἑτέραν μὲν ἡ τῶν ἀνθρώπων, ἑτέραν δὲ ἡ τῶν κτηνῶν, καὶ ἄλλην ἡ τῶν πτηνῶν, καὶ ἄλλην ἡ τῶν ἰχθύων, οὕτω καὶ τῶν ἀνισταμένων ἐκ νεκρῶν πολλὴ πρὸς ἀλλήλους ἡ διαφορά· οὐ μόνον δικαίων πρὸς ἁμαρτωλούς, ἀλλὰ καὶ δικαίων πρὸς δικαίους καὶ ἁμαρτωλῶν πρὸς ἁμαρτωλούς, κατὰ τὸ πλέον ἢ ἔλαττον τῆς δόξης, ὡς εἴρηται, ἢ τῆς ἀδοξίας, ἀναλόγως καὶ πρὸς ἀξίαν τῶν κατορθωμάτων ἢ παραπτωμάτων τῆς ἐνταῦθα ζωῆς.

40. Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

Καὶ καθ' ἕτερον λόγον ἑτέρου παραδείγματος εἰςάγει πάλιν διαφορὰν λέγων· καὶ σώματά εἰσιν ἐπουράνια, οἷον ἥλιος καὶ σελήνη καὶ οἱ λοιποὶ ἀστέρες. Καὶ αὖθις σώματα ἐπίγεια, οἷον τὰ τῶν ἐπὶ γῆς διαιτωμένων ζῴων. Ἀλλ' εἰ καὶ σώματα κοινῷ λόγῳ ταῦτά τε κἀκεῖνα λέγονται, ὅμως πολλὴν ἔχουσιν ἑτερότητα. Καὶ γὰρ ἄλλη μὲν ἡ τῶν ἐπουρανίων λαμπρότης, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων ποιότης. Τοῦτο γὰρ ἐνταῦθα προςυπακούεται. Ἐδήλωσε δὲ διὰ μὲν τῶν ἐπου-

(α) Ὁ «καὶ» προςετέθη, ὡς ἀπαραίτητος τῇ τοῦ λόγου συντάξει.

ρανίων σωμάτων τοὺς τὰ ὑψηλὰ καὶ ἐπουράνια φρονοῦντας καὶ πράττοντας δικαίους, ὧν τὰ σώματα τῷ πτερῷ τῆς ἀρετῆς πρὸς οὐρανὸν ἐκουφίζοντο· διὰ δὲ τῶν ἐπιγείων τοὺς χαμαίζηλα καὶ γήϊνα (α) ἁμαρτωλούς, ὧν τὰ σώματα τῷ βάρει τῆς ἁμαρτίας περὶ γῆν ἐσύροντο. Εἴ τι μὲν οὖν σάρξ, τοῦτο καὶ σῶμα. Οὐκ εἴ τι δὲ σῶμα, τοῦτο καὶ σάρξ. Μόνη γὰρ σὰρξ ἡ τῶν ἐμψύχων ζῴων.

41. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

«Δόξαν» λέγει τὴν λαμπρότητα. Ὁ μὲν οὖν ἥλιος σελήνης λαμπρότερος, ἡ δὲ σελήνη τῶν ἄλλων ἀστέρων, καὶ οὗτος ὁ ἀστὴρ ἐκείνου καὶ ἄλλος ἄλλου λαμπρότερος. Διὰ μὲν οὖν τῆς τῶν ἀστέρων διαφορᾶς τὴν τῶν δικαίων πρὸς ἀλλήλους ἐν λαμπρότητι διαφορὰν ὑπηνίξατο. Διὰ δὲ τῆς τῶν ἐπιγείων σωμάτων ἑτερότητος τὴν τῶν ἁμαρτωλῶν πρὸς ἀλλήλους ἐν ἀμαυρότητι ἑτερότητα.

42. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν·

«Οὕτω», πῶς; Κατὰ τὰ ῥηθέντα παραδείγματα, τουτέστιν ἐν διαφορᾷ πολλῇ δόξης ἢ ἀδοξίας. Τί οὖν ἐντεῦθεν μανθάνομεν; ὅτι οὔτε οἱ δίκαιοι τῶν αὐτῶν ἐπίσης τεύξονται ἀμοιβῶν, οὔτε οἱ ἁμαρτωλοὶ κἂν οἱ μὲν δίκαιοι πάντες ἐν βασιλείᾳ ὦσιν, οἱ δ' ἁμαρτωλοὶ πάντες ἐν γεέννῃ. Εἶτα πάλιν ἐπὶ τὴν ἀπόδειξιν τῆς ἀναστάσεως ἔρχεται καὶ τὸν τρόπον αὐτῆς·

42. Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ·

Σπείρεται εἰς γῆν ὁ νεκρός· ἤγουν θάπτεται ἐν φθορᾷ καὶ σήψει καὶ διαλύσει, τῆς ἀναστάσεως δὲ ἐλθούσης, ἐγείρεται ἐν συστάσει καὶ ἀρτιότητι καὶ ἀθανασίᾳ.

43. Σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ·

Τί γὰρ σεσηπότος σώματος εἰδεχθέστερόν τε καὶ ἀτιμότερον; Τὸ δὲ «ἐν δόξῃ» ἐπὶ μὲν τῶν δικαίων διὰ τὴν τότε λαμπρότητα, ἐπὶ δὲ τῶν ἁμαρτωλῶν διὰ τὴν ἀφθαρσίαν.

(α) Ἐννοεῖται «φρονοῦντας».

43. Σπείρεται ἐν ἀσθενείᾳ,

Μέχρι γὰρ τριάκοντα ἡμερῶν λύεται καὶ πλέον ἀντέχειν οὐ δύναται (α).

43. Ἐγείρεται ἐν δυνάμει.

Τῇ τῆς ἀθανασίας· οὐκέτι γὰρ αὐτοῦ φθορὰ καὶ θάνατος περιγίνεται.

44. Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν.

« Ψυχικὸν μὲν σῶμα » καλεῖ τὸ κατὰ τὸν παρόντα βίον, ψυχῇ ζωούμενον καὶ κυριαρχούμενον. «Πνευματικὸν» δὲ τὸ κατὰ τὸν μέλλοντα, Πνεύματι ἁγίῳ ζωοποιούμενον καὶ κυριευόμενον. Τοῦτο δὲ περὶ τῶν δικαίων νοοῦμεν. Τινὲς δὲ «πνευματικὸν» νενοήκασι καὶ τὸ λεπτότερον καὶ κουφότερον καὶ οἷον ἐπ' ἀέρος ὀχεῖσθαι (β). Τί οὖν οὐ κἀνταῦθα πνευματικόν ἐστι τὸ σῶμα τοῦ δικαίου; Πνευματικὸν μέν ἐστιν, ἀλλ' ἐπειδή, πολλάκις ἁμαρτήσαντος, ἀφίσταται ἡ χάρις τοῦ Πνεύματος, ἐκεῖνο μᾶλλον λέγεται «πνευματικόν», ὅτι τε διὰ παντὸς τοῦ λοιποῦ σύνεστιν αὐτῷ τὸ πνεῦμα καὶ ὅτι ἐνταῦθα μὲν ἡ ψυχὴ τὸ κράτος ἔχει τοῦ σώματος, ἐκεῖ δὲ τὸ πνεῦμα κυριεύει καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ τοῦτο ταῦτα οἰκονομεῖ. Εἰ δὲ καὶ περὶ τῶν ἁμαρτωλῶν ἐκλάβοιμεν τὸν λόγον, λέγοιτ' ἂν «πνευματι»κὸν» καὶ τὸ ἁμαρτωλὸν σῶμα, ὡς τῇ δυνάμει τοῦ πνεύματος ζωοποιούμενον καὶ κρατούμενον εἰς ἀθανασίαν.

44. Ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν.

Ὡς ἤδη δεδήλωται.

45. Οὕτω καὶ γέγραπται·

(α) Οἰκουμ. ἐν λ. «Οὔπω ἡμέραι πέντε, καὶ οὐκ ἰσχύει ἡ σὰρξ ἀντισχεῖν πρὸς τὴν »φθοράν». Οὕτω καὶ Θεοφύλ. ἐν λ. — (β) Τὴν περὶ τῶν πνευματικῶν τῶν δικαίων σωμάτων διδασκαλίαν τοῦ Ἀποστόλου ἐκτίθησιν ὁ Συγγραφεὺς συνῳδὰ τῷ Χρυσοστόμῳ. (Ὅρ. Τόμ. Ι', Ὁμιλ. ΜΑ', σελ. 360). Ὁ δὲ Θεοφύλακτος ἐπαναλαμβάνων σχεδὸν αὐταῖς λέξεσι τὴν ἔννοιαν «ἢ πνευματικὸν ἁπλῶς λέγει τὸ ἄφθαρτον, ὡς λεπτομερέστε»ρον καὶ κοῦφον», προστίθησιν· «πλὴν οὐχ ὡς Ὠριγένης λέγει, ἀερῶδες καὶ αἰθέριον· »ἤτοι ἐκ τῆς τοῦ ἀέρος καὶ τοῦ αἰθέρος οὐσίας».

Ἐν βίβλῳ Γενέσεως. Τί δὲ γέγραπται;

45. «Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ (*) εἰς ψυχὴν ζῶ-» σαν» (α).

Τὸ μὲν «ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν» γέγραπται. Τὸ δὲ «ὁ πρῶτος» καὶ τὸ «Ἀδὰμ» ὁ Ἀπόστολος προσέθηκε σαφηνείας ἕνεκα καὶ ἵνα εἴπῃ τὸ «ὁ ἔσχατος Ἀδάμ». Εἰς ἀπόδειξιν δὲ τοῦ ψυχικὸν εἶναι τὸ ἐνταῦθα σῶμα τὸ ῥητὸν τῆς Γραφῆς παρήγαγεν· «εἰς ψυχὴν γάρ, φησί, ζῶσαν», ἤτοι ἐνεργοῦσαν διὰ τοῦ σώματος.

45. Ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

Τὸ μὲν πρῶτον ῥητὸν ἀνέγνωμεν ἐν τοῖς γράμμασι· τοῦτο δὲ τὸ δεύτερον ἔγνωμεν ἐν τοῖς πράγμασιν. Ἀδὰμ μὲν οὖν τὸν Χριστὸν ὠνόμασε, καὶ ὡς ἐξ Ἀδὰμ καταγόμενον μητρόθεν, καὶ ὡς τὸν Ἀδὰμ διὰ τοῦ προςλήμματος φορέσαντα καὶ τὴν ἐκείνου ἧτταν ἀναπαλαίσαντα. «Ἔσχατον» δέ, ὡς μετὰ πολλὰς γενεὰς γεννηθέντα. Κἀνταῦθα δὲ τὸ «εἰς πνεῦμα ζωοποιοῦν» εἰς παράστασιν ἔλαβε τοῦ πνευματικὸν εἶναι τὸ ἐγειρόμενον σῶμα. Ὅρα γὰρ ὅτι τὸ πνεῦμα ζωοποιεῖ τὸ σῶμα, καὶ οὐχ ἡ ψυχή· ἔχομεν οὖν παράδειγμα τὸ ἐγερθὲν σῶμα τοῦ Χριστοῦ, μᾶλλον δὲ βεβαίωσιν τῆς ἐκ νεκρῶν ἀναστάσεως, ὅ, πνευματικὸν ἀναστάν, οὐκέτι ἀποθνήσκει.

46. Ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν.

Οὐ πρῶτον τὸ «πνευματικὸν σῶμα», ἀλλὰ τὸ ψυχικόν· ἔπειτα τὸ «πνευματικὸν» ἐπὶ τὸ κρεῖττον προκυπτούσης τῆς φύσεως ἡμῶν.

47. Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός,

Εἰπὼν διαφορὰν σώματος ψυχικοῦ καὶ σώματος πνευματικοῦ, λέγει πάλιν ἑτέραν διαφορὰν ἀνθρώπου χοϊκοῦ καὶ ἀνθρώπου ἐπουρανίου. Ἀλλ᾽ ἡ μὲν πρώτη διαφορὰ τοῦ παρόντος ἐστὶ βίου καὶ τοῦ μέλλοντος. Ἡ δευτέρα δὲ τοῦ πρὸ τῆς θείας ἐνανθρωπήσεως βίου καὶ τοῦ μετὰ ταύτην. Καί φησιν· «ὁ πρῶτος ἄνθρωπος, ἤγουν ὁ

(*) Ἡ λέξις «Ἀδὰμ» οὐ κεῖται ἐν τῷ κειμένῳ, ἐνῷ ὁ Συγγραφεὺς διαρρήδην αὐτὴν ἀναφέρει ἐν τῇ ἐξηγήσει. — (α) Γέν. 6΄, 7.

» Ἀδάμ, ἐκ γῆς» ἦν κατὰ τὸ σῶμα, «χοϊκὸς» γενόμενος· τουτέστι παχυνθεὶς καὶ τοῖς γηίνοις πράγμασι προςηλωθείς. Καὶ ἐκ γῆς μὲν ἦν κατὰ φύσιν, «χοϊκὸς» δὲ γέγονε κατὰ προαίρεσιν.

47. Ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ·

Ὃν ἀνωτέρω «ἔσχατον Ἀδὰμ» ὠνόμασε, τοῦτον ἐνταῦθα «δεύ-» τερον ἄνθρωπον» προςηγόρευσεν· ὁ γὰρ Ἀδὰμ πρῶτον ἄνθρωπος ἐκλήθη. Λέγει τοίνυν ὅτι «ὁ δεύτερος ἄνθρωπος», ἤγουν ὁ κατὰ τὴν ἀνθρωπότητα δεύτερος Ἀδάμ, τουτέστιν ὁ Κύριος, ἐξ οὐρανοῦ ἦν κατὰ τὴν θεότητα.

48. Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί·

Οἷος ὁ πρῶτος Ἀδὰμ ἐμπαθὴς καὶ φιλήδονος, τοιοῦτοι καὶ οἱ κατὰ προαίρεσιν, μιμησάμενοι καὶ ὁμοιωθέντες αὐτῷ.

48. Καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι.

Οἷος ὁ δεύτερος Ἀδὰμ ἀπαθὴς καὶ φιλάρετος, τοιοῦτοι καὶ οἱ κατὰ προαίρεσιν, πάλιν μιμούμενοι καὶ ὁμοιούμενοι αὐτῷ. Οἱ μὲν χοϊκοὶ τῷ κατασπᾶσθαι πρὸς γῆν· οἱ δὲ ἐπουράνιοι τῷ ἀνασπᾶσθαι πρὸς οὐρανόν. Ἐπεὶ δὲ καὶ πρὸ τῆς θείας ἐνανθρωπήσεως ἐγένοντο δίκαιοι πολλοί, καὶ μετὰ ταύτην ἁμαρτωλοὶ γίνονται καθ' ἑκάστην, οὔτε ἐπὶ τῶν χοϊκῶν δικαίους νοοῦμεν, οὔτε ἐπὶ ἐπουρανίων ἁμαρτωλούς.

49. Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

«Εἰκόνα» λέγει τὴν διὰ μιμήσεως ὁμοιότητα. Καθώς, φησί, μιμησάμενοι τὴν παρακοὴν τοῦ πρώτου Ἀδὰμ ὡμοιώθημεν αὐτῷ κατὰ ταύτην, ὁμοιωθῶμεν καὶ τῷ δευτέρῳ Ἀδάμ, μιμησάμενοι τὴν τούτου ὑπακοὴν ἐν ταῖς θείαις ἐντολαῖς.

50. Τοῦτο δέ φημι, ἀδελφοί,

Τοῦτο δὲ συνάγω ἀφ' ὧν εἴρηκα περί τε τοῦ χοϊκοῦ καὶ τοῦ ἐπουρανίου καὶ τοῦτο κατασκευάζω. Τὸ ποῖον;

50. Ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται,

«Σάρξ» εἰπών, προςέθηκε καὶ τὸ ἴδιον αὐτῆς, τὸ «αἷμα». «Σάρκα» δὲ πολλάκις εἴωθε λέγειν τὰς πονηρὰς πράξεις, ὡς ἐπὶ τοῦ παρόντος, καὶ ὅταν λέγῃ· «ὑμεῖς δὲ οὐκ ἐστε ἐν σαρκί» (α). Καὶ πάλιν· «οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται» (β). Φησὶν οὖν ὅτι πονηροπράγμων ἄνθρωπος βασιλείαν οὐρανῶν οὐκ ἀπολαύσει.

50. Οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

Οὐδ' ὁ ἐφθαρμένος καὶ ἀκάθαρτος βίος, ἤγουν ὁ κακῶς βιῶν ἄνθρωπος, τῶν ἀφθάρτων καὶ ἀκηράτων ἀγαθῶν ἐπιτεύξεται. Ἀφθαρσίας δὲ μνησθείς, πάλιν εἰς τὸν περὶ ἀναστάσεως ἐπανῆλθε λόγον·

51. Ἰδού, μυστήριον ὑμῖν λέγω·

Ἀπόρρητον τοῖς πολλοῖς. Τί δὲ τὸ μυστήριον; εἰπέ·

51. Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα.

«Πάντες μὲν οὐ κοιμηθησόμεθα» τὸν ὕπνον τοῦ θανάτου, «πάντες δὲ ἀλλαγησόμεθα» κατὰ τὰ σώματα ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν. Μὴ τοίνυν ἀπίστει πῶς τὸ σπειρόμενον ἐν φθορᾷ ἐγείρεται ἐν ἀφθαρσίᾳ. Τινὲς γὰρ ἑστῶτες ἀποθανοῦνται, οἳ (κατὰ τὸν καιρὸν δηλαδὴ τῆς τοῦ κόσμου συντελείας), καὶ πρὶν ἢ πεσεῖν, ἀλλαγήσονται· λυθήσονται γὰρ καὶ τὰ τούτων σώματα ἐν βραχυτάτῳ πάνυ καιρῷ· καὶ τοσούτῳ, ὡς μηδὲ πεσεῖν εἰς γῆν, ἀλλ' εὐθὺς ἀλλαγῆναι ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν, καὶ ἑστῶτα ὅσον ἐπὶ τῷ μὴ πεσεῖν· ἀναστῆναι ὅσον εἰς ἀφθαρσίαν.

52. Ἐν ἀτόμῳ,

Οὐ τοῦτο μόνον θαυμαστόν, ὅτι σήπεται πρῶτον πᾶν σῶμα ἀνθρώπινον, εἶτα ἀνίσταται, οὐδ' ὅτι πολλῷ κρεῖττον, οὐδ' ὅτι ἕκαστον σῶμα τὴν ἰδίαν ψυχὴν ἀπολαμβάνει· ἀλλ' ὅτι τὰ τοσαῦτα καὶ τηλικαῦτα πράγματα, καὶ λογισμὸν καὶ νοῦν ὑπερβαίνοντα, ἐν ἀκαριαίῳ χρόνῳ γίνεται· τοῦτο γὰρ δηλοῖ νῦν τὸ «ἄτομον», ὃ καὶ σαφέστερον δηλῶν ἐπήγαγεν·

52. Ἐν ῥιπῇ ὀφθαλμοῦ,

(α) Ῥωμ. ή, 9. — (β) Αὐτόθ. ή, 8.

Ὅσον μύσαι βλέφαρον (α).

52. Ἐν τῇ ἐσχάτῃ σάλπιγγι·

Ἐν τῇ πρὸς Θεσσαλονικεῖς εἴρηκεν ἐπιστολῇ ὅτι «αὐτὸς ὁ Κύριος » ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ» (β). Σάλπιγγα μὲν οὖν ἢ τὴν φωνὴν τοῦ Ἀρχαγγέλου νοήσεις διὰ τὸ φοβερὸν καὶ ἐξάκουστον, ἢ σάλπιγγος ἦχον ἕτερον. «Ἐσχάτην» δὲ εἶπεν, ἢ ὡς μηκέτι σάλπιγγος ἠχούσης, ἢ ὡς ἑπτὰ μὲν τότε σαλπίγγων ἠχεῖν μελλουσῶν, ὡς ἡ λεγομένη Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου διδάσκει (γ), τῆς τελευταίας δὲ τούτων ἐγκελευομένης τὴν ἀνάστασιν τῶν νεκρῶν, τῶν ἄλλων πρὸ ταύτης σαλπίγγων τὴν συντέλειαν ἐργαζομένων.

52. Σαλπίσει γάρ·

Ὁ Θεὸς δι' ἀγγέλου, ὡς εἴρηται.

52. Καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι,

Ἄφθαρτοι τότε γεγενημένοι διὰ τῆς ἀλλαγῆς.

52. Καὶ ἡμεῖς ἀλλαγησόμεθα.

Ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν. «Ἡμεῖς» δὲ εἶπεν, ἀντὶ τοῦ οἱ ζῶντες τότε κατὰ τὸν καιρὸν τῆς συντελείας, περὶ ὧν ἀνωτέρω εἴρηται.

53. Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

Εἰπὼν ὅτι «τοῦτο», ἔδειξεν ὅτι τὸ αὐτὸ σῶμα ἀνίσταται καὶ οὐχ ἕτερον. «Ἐνδύεται» δὲ ἀντὶ μὲν φθορᾶς «ἀφθαρσίαν», ἀντὶ δὲ θνη-

---

(α) Γεννάδιος ὁ Σχολάριος ταύτας τοῦ Ἀποστόλου τὰς λέξεις ἑρμηνεύων (ἐν τῷ ἀνεκδότῳ εἰσέτι πονήματι αὐτοῦ, οὗ ἡ ἐπιγραφὴ «περὶ τῆς δευτέρας Παρουσίας» τῷ ἐν τῇ κατὰ τὸν Ἄθω Μονῇ τοῦ Παντοκράτορος σωζομένῳ) φησίν· «Ἀναστήσονται τῇ τῆς » φωνῆς δυνάμει ἐν μιᾷ ῥοπῇ τε καὶ ἅμα τῆς φωνῆς γινομένης καὶ τῆς αὐτῶν ἀναστά- » σεως. Ὥςτε καὶ τῇ φωνῇ αὐτοὺς εὐθὺς ἀναστῆναι, καὶ ἀναστάντας τῆς φωνῆς ἐπα- » κοῦσαι». — (β) Α' Θεσσαλον. δ', 16. — (γ) Ἐκ τοῦ «ἡ λεγομένη Ἀποκάλυψις» γίνεται δῆλον, ὅτι ὁ Συγγραφεὺς συντάσσεται τῇ γνώμῃ τῶν μὴ τασσόντων τὴν Ἀποκάλυψιν ἐν τοῖς κανονικοῖς τῆς καινῆς Διαθήκης βιβλίοις. Ἴσως διὰ τοῦτον τὸν λόγον οὐδ' ὑπομνήματα εἰς αὐτὴν συνεγράψατο· ἣν εἰκασίαν ἐνισχύει καὶ τὸ ὅτι οὐδεὶς τέως εἶπεν, ὅτι εἶδέ που τοιοῦτο τοῦ Ζιγαβηνοῦ ὑπόμνημα.

τότητος « ἀθανασίαν ». Φθορὰν δὲ καὶ θάνατον ἢ τὸ αὐτὸ λέγει· ἢ φθορὰν μὲν τὰ ἐκ νόσων πάθη, θάνατον δὲ τὴν ἀπὸ τῆς ψυχῆς διάζευξιν.

54. Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος·

Ἐπειδὴ μεγάλα εἶπε καὶ ἀπόρρητα, ἐπάγει τὸν προφήτην Ὠσηὲ πιστούμενον αὐτὰ καὶ λέγοντα·

54. « Κατεπόθη ὁ θάνατος εἰς νῖκος ».

Ἠφανίσθη κατὰ κράτος, εἰς τέλος, παντελῶς.

55. « Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος » ; (α)

Καὶ τοῦτο τοῦ αὐτοῦ ἐστι Προφήτου (β). Ὡς γὰρ ἤδη γινόμενα ταῦτα βλέπων ἐνάλλεται τῷ θανάτῳ καὶ ἐπεμβαίνει λοιπὸν κειμένῳ καὶ φωνὴν ἐπινίκιον ἀλαλάζει· « ποῦ σου, θάνατε, τὸ κέντρον»; οἴχεται καὶ ἀπόλωλε καὶ εἰς τὸ μηκέτι εἶναι κεχώρηκεν. Ὁ μὲν οὖν διάβολος ὑπηρέτης ἦν τοῦ θανάτου· ὁ δὲ θάνατος διάκονος τοῦ ᾅδου. Ὁ μὲν γὰρ διὰ τῆς ἁμαρτίας τιτρώσκων τῷ θανάτῳ παρεδίδου, ὁ δὲ θανατῶν τῷ ᾅδῃ παρέπεμπε, τουτέστι τῷ τάφῳ καὶ τῇ σήψει.

56. Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία·

Ὥςπερ τὸ κέντρον τοῦ σκορπίου χαλεπώτερόν ἐστι τοῦ σκορπίου, οὕτω καὶ τοῦ θανάτου χαλεπωτέρα ἡ ἁμαρτία καὶ ἐν ταύτῃ τὴν ἰσχὺν οὗτος κέκτηται. Χωρὶς ταύτης οὐδὲν ἰσχύει.

56. Ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος.

Χωρὶς γὰρ τούτου ἀσθενὴς ἦν αὕτη, ἐνεργουμένη μέν, οὐ τοσοῦτον δὲ βλάπτουσα τοὺς ἐνεργοῦντας αὐτήν, μήπω μηδενὸς ἐγγράφου νόμου ταύτην ἀπαγορεύοντος, μηδὲ τιμωρίας κειμένης ὡρισμένης κατὰ

(α) Ὠσηέ, ιγ΄, 14. — (β) Τοῦ Ὠσηὲ δηλαδή. Ἀλλ' ὁ προηγούμενος 54ος στίχος εἴληπται ἐκ τοῦ Ἠσαΐου (κε΄, 8) « κατέπιεν ὁ θάνατος ἰσχύσας ».

τῶν ἁμαρτανόντων. Εἴρηκε δὲ καὶ ἐν τῇ πρὸς Ῥωμαίους· «χωρὶς » νόμου ἁμαρτία νεκρά» (α), καὶ ἡρμήνευται πλατέως ἐκεῖ.

57. Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὸ κατὰ τοῦ θανάτου καὶ τοῦ ᾅδου νῖκος. Τῆς κεφαλῆς γὰρ ἡμῶν, ἤτοι τοῦ Κυρίου, ἀναστάντος ἐνεργείᾳ καὶ τρόπαιον κατ' αὐτῶν στήσαντος, καὶ ἡμεῖς τὸ λοιπὸν σῶμα νῦν μὲν δυνάμει νενικήκαμεν· ὕστερον δὲ καὶ ἐνεργείᾳ νικήσομεν ἀνιστάμενοι.

58. Ὥςτε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι,

«Ἑδραῖοι» ἐν τῷ περὶ ἀναστάσεως δόγματι· καὶ «ἀμετακίνητοι» ἀπὸ τῆς ἡμετέρας διδασκαλίας.

58. Περισσεύοντες ἐν παντὶ ἔργῳ τοῦ Κυρίου πάντοτε.

Ὑπερβαίνοντες τὰ σκάμματα τῶν ἀγώνων καὶ τὰς ἐντολὰς τοῦ Κυρίου, μετὰ περιουσίας ἐργαζόμενοι.

58. Εἰδότες, ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

« Ὁ ἐν Κυρίῳ κόπος ὑμῶν» ὁ διὰ τὸ ἔργον τοῦ Κυρίου· ἢ «οὐκ » ἔστι κενὸς» παρὰ Κυρίῳ· ἕκαστος γάρ, φησί, τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΕΚΤΟΝ

1. Περὶ δὲ τῆς λογίας εἰς τοὺς ἁγίους (*), ὥςπερ διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε.

«Λογίας» λέγει τὴν συλλογὴν τῶν χρημάτων, τὴν διὰ τοὺς ἁγί-

(α) Ῥωμ. ζ', 8. — (*) Συνήθης τῶν ἀντιγράφων γραφὴ «τῆς εἰς τοὺς ἁγίους». Ὅτι δὲ καὶ ὁ Συγγραφεὺς οὕτως ἀνέγνω, εἰκάσειεν ἄν τις ἐκ τῶν ἐν τῇ ἐξηγήσει· «Λο» γίας λέγει τὴν συλλογήν.... τὴν διὰ τοὺς ἁγίους».

ους· ἤτοι τοὺς πιστούς, ἀφαιρεθέντας τὰ προσόντα τούτοις· ἢ καὶ ἄλλοις πενομένοις. Εἰπὼν δὲ ὅτι «καθὼς διέταξα ταῖς ἐκκλησίαις » τῆς Γαλατίας» εἰς ζῆλον αὐτοὺς ἐνέβαλεν, αἰσχυνομένους ἡττηθῆναι Γαλατῶν. Τί δὲ διέταξας; εἰπέ·

2. Κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ,τι ἂν εὐοδῶται·

«Μίαν σαββάτων» τὴν Κυριακὴν καλοῦσιν Ἑβραῖοι, ὡς ἐν τοῖς Εὐαγγελίοις ἡρμήνευται (α). Κελεύει δὲ καθ' ἑκάστην Κυριακὴν ἕκαστον ἄνθρωπον, κἂν πλούσιος ᾖ, κἂν πένης, κἂν ἀνήρ, κἂν γυνή, παρ' ἑαυτῷ τιθέναι, θησαυρίζοντα λόγῳ τῆς ῥηθείσης «λογίας» ὅ,τι ἂν εἶδος εὐοδωθείη, κἂν πολύ, κἂν ὀλίγον, καὶ μὴ εὐθὺς εἰςφέρειν αὐτό, ἵνα μὴ ὀλίγον ὂν καταισχύνῃ· ἀλλ' ἐάν, ἕως ἂν κατὰ μικρὸν αὐξηθέν, ἀξιόλογον τὸ συλλεγόμενον γένηται. Κατὰ Κυριακὴν δέ, ἵνα καὶ τὴν ἡμέραν ταύτην αἰδεσθέντες προθυμότεροι γένωνται. Καὶ «εὐοδῶται» δὲ εἰπών, ἔδειξεν ὅτι συνεργήσει τούτοις ὁ Κύριος, εὐμαρίζων τὴν ὁδὸν ταύτην αὐτοῖς.

2. Ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται.

Ἵνα μὴ τότε συλλογαὶ γίνωνται· ἀλλ' ἵνα πρότερον ἀρξάμεναι καὶ κατ' ὀλίγον ἄχρι τότε προςτιθέμεναι, ἀνεπαχθεστέραν ὑμῖν παρέχωσι τὴν δαπάνην.

3. Ὅταν δὲ παραγένωμαι, οὓς ἂν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω (*) ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ.

Οὓς ἂν προκρίνητε τούτους πέμψω σὺν ἐπιστολαῖς. «Χάριν» δὲ λέγει τὴν ἐλεημοσύνην, ἣν συλλέξαντες ἀποστελοῦσιν. Οὐκ εἶπε δὲ φανερῶς «ἐλεημοσύνην», ἵνα μὴ ἐπαρθῶσιν.

(α) Ἔπιθι τὴν ἑρμηνείαν τοῦ Συγγραφέως εἰς τὸν Ματθαῖον (κη', 1).—(*) Ἐν ἄλλ. ἡ στίξις τοῦ ῥητοῦ οὕτως· «οὓς ἐὰν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγ» κεῖν κἑξ.». Ὁ δὲ Συγγραφεὺς στίζει ἄλλως, ἤτοι· «οὓς ἂν δοκιμάσητε, δι' ἐπιστολῶν » τούτους πέμψω ἀπενεγκεῖν κἑξ.». Καὶ κατὰ ταύτην τὴν στίξιν ἑρμηνεύει τὸ ῥητόν. Ὁμοίως καὶ ὁ Θεοφύλακτος (ἐν λ.) παραινεῖ λέγων· «στίξον οὖν εἰς τὸ δοκιμάσητε» εἶτα ἀνάγνωθι· «δι' ἐπιστολῶν τούτους πέμψω»· ὥςτε εἶναι τὸ ἑξῆς τοιοῦτον· οὓς ἂν δοκιμάσητε, τούτους πέμψω διὰ τῶν γραμμάτων μου· ὡςανεὶ λέγων· καὶ αὐτὸς συνέσομαι αὐτοῖς, καὶ κοινωνήσω τῆς διακονίας διὰ τῶν γραμμάτων.

4. Ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

Ἐὰν δὲ τὸ παρὰ πάντων ὑμῶν συλλεγόμενον, οὕτω φιλότιμον καὶ δαψιλὲς ὄν, ᾖ ἄξιον τοῦ κἀμὲ διακονῆσαι τῇ διακονήσει αὐτοῦ, σὺν ἐμοὶ πορεύσονται. Τοῦτο δὲ εἶπε προτρεπόμενος αὐτοὺς εἰς δαψίλειαν.

5. Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω·

Ἐν Ἐφέσῳ ἦν, χειμῶνος ὄντος, ὅτε ταῦτα ἔγραφεν. Ἵνα δὲ μὴ λέγωσι· τί οὖν Μακεδόνας ἡμῶν προτιμᾷς; ἐπήγαγε·

6. Μακεδονίαν γὰρ διέρχομαι. Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω,

Τὸν ἐπιόντα χειμῶνα, εἰ μή τι παρεμποδίσῃ. Τοῦτο γὰρ δηλοῖ τὸ «τυχόν».

6. Ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι.

Ὅπου ἂν ἀπέρχωμαι. Καὶ τοῦτο δὲ φιλοστοργίας.

7. Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν·

Ὥςπερ καὶ τοὺς Μακεδόνας· «Μακεδονίαν γάρ, φησί, διέρχομαι», μὴ παραμένων αὐτοῖς.

7. Ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.

Ἐνταῦθα ἐσαφήνισε τὸ «τυχόν». Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν τὴν ἀγάπην ἐνδεικνύμενος, ὁμοῦ δὲ τοὺς ἁμαρτάνοντας φοβῶν.

8. Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς· θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής,

«Θύρα» ἄγρας καὶ συλλογῆς· εἴςοδος πλατεῖα καὶ ἐπιτυχής, ὥςτε θηρεύειν εἰς τὴν πίστιν καὶ προςάγειν Χριστῷ.

9. Καὶ ἀντικείμενοι πολλοί.

Εἰκὸς γὰρ καὶ τὸν διάβολον ἀνταγωνίζεσθαι διὰ τῶν οἰκείων.

10. Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς·

Προσέχετε, ἵνα ἀνεπηρεάστως διατρίψῃ παρ' ὑμῖν. Ἢ τὸ «πρὸς »ὑμᾶς» ἀντὶ τοῦ τό γε ἐφ' ὑμῖν, μηδενὸς αὐτῷ ἐπιβουλεύοντος· εἴρηκε γὰρ καὶ ἀνωτέρω «ἔπεμψα ὑμῖν Τιμόθεον, ὃς ὑμᾶς ἀναμνήσει »τὰς ὁδούς μου» (α).

10. Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ.

«Ἔργον Κυρίου» λέγει τὸ κηρύσσειν.

11. Μή τις οὖν αὐτὸν ἐξουδενίσῃ·

Ἢ ὡς νέον, ἢ ὡς πένητα, ἢ ὡς ὀλιγομαθῆ. Ἀρκεῖ γὰρ αὐτῷ εἰς ἀξιοπιστίαν τὸ ἀξιωθῆναι τοῦ κηρύσσειν καὶ κατὰ τοῦτο ἐξισωθῆναι ἡμῖν.

11. Προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ,

Ὅτε ὑποστρέψαι πρός με θελήσει.

11. Ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

Καὶ τὸ «ἐκδέχομαι» φοβοῦντός ἐστιν, ἵνα, εἰδότες ὅτι πάντα τῷ διδασκάλῳ ἀπαγγείλῃ, ἐπιεικέστεροι γένωνται· ἅμα δὲ καὶ τὸν μαθητὴν σεμνύνοντος, εἰ περιμενεῖ τὴν ὑποστροφὴν αὐτοῦ, δίχα τούτου μὴ θέλοντος ἐξελθεῖν ἐξ Ἐφέσου. «Ἀδελφοὺς» δὲ λέγει τοὺς ἀκολουθοῦντας τῷ Τιμοθέῳ.

12. Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ,

Λείπει τὸ «ταῦτα γράφω». Τί δὲ γράφεις; εἰπέ·

12. Πολλὰ παρεκάλεσα αὐτόν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν·

Οὗτος καὶ εὐπαίδευτος ἦν, καὶ πρεσβύτερος Τιμοθέου. Ἵνα οὖν μὴ λέγωσι, διὰ τί τὸν πρεσβύτερον ἀφεὶς ἔπεμψε τὸν νεώτερον, ἀπο-

(α) δ', 17.

λογεῖται προλαμβάνων, ὅτι οὐ μόνον ἔπεμπεν αὐτόν, ἀλλὰ καὶ παρεκάλει ἀπελθεῖν. Καὶ οὐκ εἶπεν ὅτι οὐκ εἶξεν ἐκεῖνος, ἵνα μὴ διαβάλῃ αὐτόν. Ἀλλὰ τί φησι;

12. Καὶ πάντως οὐκ ἦν θέλημα,

Τοῦ Θεοῦ δηλονότι.

12. Ἵνα ἔλθῃ νῦν·

Εἶτα ἵνα μὴ σκῆψις τοῦτο δόξῃ καὶ πρόφασις, ἐπήγαγεν·

12. Ἐλεύσεται δέ, ὅταν εὐκαιρήσῃ.

Ἐὰν εὐθέτου καιροῦ λάβηται.

13. Γρηγορεῖτε,

Προςέχετε.

13. Στήκετε ἐν τῇ πίστει,

Μὴ μετακινεῖσθε ἀπὸ τῆς παραδοθείσης ὑμῖν πίστεως.

13. Ἀνδρίζεσθε,

Κατὰ τῶν πειρασμῶν.

13. Κραταιοῦσθε.

Μὴ μαλακιζόμενοι.

14. Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.

Ἀταράχως, ἀφιλονίκως. Λέγοιτο δ' ἂν τὸ μὲν «γρηγορεῖτε» πρὸς τοὺς οἷον νυστάζοντας ἐν τῷ ῥᾳθυμεῖν· τὸ δὲ «στήκετε» πρὸς τοὺς σαλευομένους· τὸ δὲ «ἀνδρίζεσθε» πρὸς τοὺς χαυνουμένους· τὸ δὲ «κραταιοῦσθε» πρὸς τοὺς ἡττωμένους ἐν τοῖς πάθεσι· τὸ δ' ἐφεξῆς, πρὸς τοὺς στασιάζοντας.

15. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ,
ὅτι ἀπαρχὴ τῆς Ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις
16. ἔταξαν ἑαυτούς, ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις,

Καθ' ὑπερβατὸν ἡ τῶν ῥητῶν σύνταξις. «Οἴδατε, φησί, τὴν οἰ-

»κίαν Στεφανᾶ»· ἤτοι αὐτόν τε τὸν Στεφανᾶν καὶ τοὺς ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ τὰ ἑξῆς. «Παρακαλῶ δὲ ὑμᾶς», ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ ὑπακούητε ἐν ταῖς διακονίαις τῶν ἁγίων, καὶ συναντιλαμβάνησθε. «Ἀπαρχὴν» δὲ τὴν οἰκίαν ταύτην ἐκάλεσεν οὐ Κορίνθου μόνον, ἀλλὰ καὶ ὅλης τῆς Ἑλλάδος, ὡς πρῶτον προςελθόντων τῇ πίστει καὶ πρωτευόντων ἐν ἀρεταῖς, καὶ μᾶλλον, ὅτι εἰς τὸ διακονεῖν τοῖς πιστοῖς καὶ φιλοξενεῖν ἔταξαν ἑαυτούς, ξενοδόχοι τούτων καταστάντες. Τούτου τοῦ Στεφανᾶ καὶ ἀρχόμενος ἐμνημόνευσεν, εἰπών· «ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον» (α). Ἵνα δὲ μὴ δόξῃ τούτοις χαρίζεσθαι, προςέθηκε·

16. Καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.

Ἐν τῇ τοιαύτῃ φιλοθέῳ διακονίᾳ. Χρὴ γὰρ ἕπεσθαι τοῖς προηγουμένοις ἐν τοῖς κατὰ Θεὸν ἔργοις καὶ ὡς ἐπιστημονικωτέροις πείθεσθαι.

17. Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ,

Οὗτοί εἰσιν, ὡς ἐν τῷ προοιμίῳ τῆς ἐξηγήσεως δεδήλωται, οἱ ἐλθόντες ἐκ Κορίνθου καὶ ἀπαγγείλαντες τῷ Παύλῳ τὰ περὶ τῶν ἀτάκτων, οἷς ἐξηγριῶσθαι τούτους εἰκός, ὡς κατειποῦσιν αὐτῶν. Διὸ καὶ ἐπαινεῖ τούτους ὁ Ἀπόστολος, καὶ πειρᾶται τῆς ὑποψίας ἐξελεῖν·

17. Ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν·

Ἀντὶ πάντων ὑμῶν ἀναζητήσαντες τὸν διδάσκαλον καὶ ἀφ᾽ ὑμῶν ἀσπασάμενοι.

18. Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν.

Ἐθεράπευσαν καὶ παρηγόρησαν τὴν ἐμὴν ψυχήν, τὰ κατορθώματα τῶν εὐαρεστούντων διηγησάμενοι καὶ τῆς ἐφ᾽ ὑμῖν μερίμνης καὶ ἀγωνίας ἀπολύσαντες καὶ ἀνεικότες αὐτὴν καὶ τὴν ὑμετέραν (β) πεισθέντες ὑμῖν τοῖς ἀποστείλασι καὶ τοσαύτην ἀποδημίαν ὑπὲρ πάντων ὑπομείναντες καὶ τὴν ἐγχειρισθεῖσαν διακονίαν ἀνύσαντες.

18. Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

(α) Ἀνωτ. ά, 16. — (β) Γραπτέον ἴσως «ἡμετέραν».

Οἰκειοῦσθε, τιμᾶτε.

19. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας·

Αἱ κατὰ τὰς πόλεις τῆς Ἀσίας συναγωγαὶ τῶν πιστῶν.

19. Ἀσπάζονται ὑμᾶς πολλὰ ἐν Κυρίῳ Ἀκύλας καὶ Πρίσκιλλα σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ.

Τούτων καὶ ἐν τοῖς ἀσπασμοῖς τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς ἐμνημόνευσε, καὶ εἴρηται περὶ τούτων ἐκεῖ (α).

20. Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες.

Οἱ σὺν ἐμοί.

20. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

Τοῦτο ἔγραψε καὶ ἐν τοῖς ἀσπασμοῖς τῆς πρὸς Ῥωμαίους ὁμοίως ἐπιστολῆς, καὶ ἡρμηνεύθη ἐκεῖ (β).

21. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.

Τὰ μὲν ἄλλα τῆς ἐπιστολῆς ἕτερος ἔγραψεν, ὑπαγορεύσαντος τοῦ Ἀποστόλου. Τὸ δὲ «ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας» (καὶ εἴ τις ἕτερος ἐφεξῆς ἀσπασμός), ἔγραψεν αὐτὸς οὗτος ὁ Ἀπόστολος εἰς βεβαίωσιν.

22. Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα,

Ὅρα φοβερὸν ἐπιφώνημα. «Ἤτω», φησί, κεχωρισμένος αὐτοῦ καὶ ἀνάθεμα τῷ ἀντικειμένῳ διαβόλῳ. Οὐ φιλεῖ δὲ τὸν Κύριον ὁ μὴ φυλάσσων τὰς ἐντολὰς αὐτοῦ. Εἴρηκε γάρ· «Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει» (γ). Τοῦτον δὲ τὸν φρικτὸν λόγον προσέθηκεν, ἐναγωνίους αὐτοὺς ποιῶν καὶ τῆς ῥᾳθυμίας ἀπάγων.

22. Μαραναθά.

Ἑβραΐς ἡ λέξις, ἢ σύρα κατά τινας (δ). Δηλοῖ δὲ τὸ «ὁ Κύριος

(α) Ῥωμ. ις', 3. — (β) Αὐτόθ. 16. — (γ) Ἰωάν. ιδ', 21. — (δ) Θεοδώρ. ἐν λ. Τόμ. Γ', σελ. 373.

» ἦλθε ». Τέθεικε δὲ τοῦτο διεγείρων εἰς ἀρετήν. Ὁ Κύριος ἦλθε, φησί, καὶ ὑμεῖς καθεύδετε; Ὁ Θεὸς τοσοῦτον κατῆλθε, καὶ ὑμεῖς οὐδὲ μικρὸν ἀνυψοῦσθε; Οὐχ ἑλληνιστὶ δὲ τοῦτο εἶπε, κατασπῶν τὴν ὀφρὺν τῶν ἐπὶ τῇ Ἑλλήνων εὐγλωττίᾳ σεμνυνομένων καὶ δεικνὺς ὅτι οὐ μόνον οὐκ αἰσχύνεται τὴν ἰδιωτείαν τῶν λέξεων, ἀλλὰ καὶ ἐπίτηδες κέχρηται ταύτῃ. Χρεία γὰρ ὀρθοῦ βίου καὶ εὐσεβείας, ἀλλ᾽ οὐκ εὐφραδείας καὶ καλλιρρημοσύνης.

23. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ᾽ ὑμῶν.

Καὶ τοῦτο ἐν τῇ πρὸς Ῥωμαίους εἴρηται καὶ ἡρμήνευται (α).

24. Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν,

« Ἐστὶ» δηλονότι. Ἐπειδὴ γὰρ σφόδρα αὐτῶν ἀνωτέρω καθήψατο καὶ ἐπέπληξε, νῦν θεραπεύει καὶ δείκνυσιν, ὅτι ἐξ ἀγάπης ἔγραψε πάντα, θερμῶς ἐρῶν τῆς μεταβολῆς καὶ διορθώσεως αὐτῶν, καὶ ὅτι οὐδενὶ μνησικακεῖ, ἀλλὰ πάντας ἀγαπᾷ πατρικῶς ὡς τέκνα, καὶ τῷ σώματι ἀπών, τῇ ἀγάπῃ σύνεστιν αὐτοῖς.

24. Ἐν Χριστῷ Ἰησοῦ.

Ἡ ἐν Χριστῷ Ἰησοῦ ἀγάπη μου, ἡ διὰ Χριστόν, ἡ κατὰ Χριστόν· ἀγαπῶ γὰρ ὑμᾶς, διότι ἐστὲ τοῦ Χριστοῦ, οὗ εἰμι κἀγώ.

Ἀμήν.

Ἀληθῶς εἴρηκα.

Πρὸς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ καὶ Τιμοθέου. Στίχοι ωϛ΄.

(α) Ῥωμ. ιϛ΄, 24.

Η Β΄ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ (α)

ΥΠΟΘΕΣΙΣ

Ἐπεὶ ἐν τῇ πρώτῃ ὑπέσχετο ἐλθεῖν πρὸς αὐτούς, προθεσμίαν δούς, ταύτης δὲ παραδραμούσης, οὐ παρεγένετο, κατεχόμενος ὑπὸ τοῦ Πνεύματος ἐν ἑτέροις ἀναγκαιοτέροις, ἔμελλε δὲ καὶ ἔτι βραδύνειν, ἐδεήθη τῆς δευτέρας ταύτης παραμυθουμένης αὐτούς. Καὶ καθ' ἕτερον δὲ λόγον. Ἐπεὶ διὰ τῆς πρώτης ἐβελτιώθησαν, πληρώσαντες ἃ ἐπέταξεν, ἔγραψε καὶ δευτέραν. Ἔδει γὰρ ὥσπερ ἡνίκα ἡμάρτανον ἐνεκάλει τούτοις, οὕτω, διορθωθέντας, ἀποδέξασθαι καὶ ἐπαινέσαι. Διόπερ οὐδὲ πᾶσα καταφορικωτέρα ἐστίν, ἀλλ' ὀλίγα μέρη τοῦ τέλους. Ἦσαν γὰρ παρ' αὐτοῖς τινες ἐξ Ἰουδαίων μέγα φρονοῦντες καὶ τοῦτον διαβάλλοντες. Πρότερον οὖν τοὺς Κορινθίους ἐγκωμιάσας ὑπὲρ ὧν κατώρθωσαν, ὕστερον ἐφ' οἷς ἐσφάλλοντο μετρίως ἐπιπλήττει.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ

Α΄ Εὐχαριστία περὶ Θεοῦ βοηθείας, ᾗ πεποιθέναι φησίν.

1. Παῦλος Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ,

Ταῦτα προηρμηνεύθησαν ἐν τῇ προγραφῇ τῆς πρὸς Κορινθίους ἐπιστολῆς (β).

(α) Ἐν τῷ χειρογράφῳ ἡ ἐπιστολὴ ἐπιγέγραπται οὑτωσίν· *Εἰς τὴν πρὸς Κορινθίους δευτέραν ἐπιστολὴν τοῦ ἁγίου Παύλου τοῦ Ἀποστόλου.* — (β) Α΄ Κορινθ. ά, 1.

1. Καὶ Τιμόθεος ὁ ἀδελφός,

Πεμφθεὶς πρὸς αὐτοὺς ὁ Τιμόθεος, ὡς ἡ πρώτη παρέστειλεν (α) ἐπιστολὴ (ϐ), καὶ διορθώσας ἃ ἐκελεύσθη, πάλιν ὑπέστρεψε πρὸς τὸν διδάσκαλον, ὄντα ἐν Μακεδονίᾳ. Ἅτε (γ) οὖν παρόντα, γραφομένης τῆς παρούσης ἐπιστολῆς, συνέταξε τοῦτον ἑαυτῷ, σεμνύνων τε τὸν μαθητὴν οὕτω καὶ αἰδεσιμώτερον ἀπεργαζόμενος καὶ τὴν ἑαυτοῦ ταπεινοφροσύνην ἐνδεικνύμενος.

1. Τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, τῇ οὔσῃ ἐν Κορίνθῳ,

Καὶ τοῦτο ἐν τῇ πρώτῃ εἴρηται καὶ ἡρμήνευται (δ).

1. Σὺν τοῖς ἁγίοις πᾶσι, τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ·

Τίνος ἕνεκεν τῇ Μητροπόλει γράφων, δι' αὐτῆς καὶ πᾶσιν ἐπιστέλλει τοῖς ἐν τῇ Ἀχαΐᾳ, οὐ πανταχοῦ τοῦτο ποιῶν; Ῥωμαίοις γὰρ ἐπιστείλας οὐ δήπου καὶ τοῖς τὴν Ἰταλίαν οἰκοῦσιν ἐπέστειλεν. Καὶ Θεσσαλονικεῦσι γράψας οὐκ ἔγραψε καὶ Μακεδόσιν. Καὶ ἡ πρὸς Ἐφεσίους ἐπιστολὴ οὐ συμπεριέλαϐε καὶ τὴν Ἀσίαν ἅπασαν. Ἀλλ' ἐνταῦθα τοῦτο ποιεῖ καὶ ἐν τῇ πρὸς Γαλάτας· «ταῖς Ἐκκλησίαις » γάρ, φησί, τῆς Γαλατίας» (ε). Καὶ Ἑϐραίοις δὲ πᾶσιν ἅμα γράφει, μὴ διελὼν αὐτοὺς κατὰ πόλεις. Οἶμαι τοίνυν ὅτι οἷς ἦσαν κοινὰ τὰ νοσήματα, τούτοις κοινῶς ἐπιστέλλει, κοινῆς δεομένοις διορθώσεως. Κοινῇ δὲ πάντας προςαγορεύων συνάγει τὸ ἔθνος εἰς ὁμόνοιαν. Περὶ τῆς τῶν ἁγίων προςηγορίας εἴρηται ἐν τῷ προοιμίῳ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς.

2. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Καὶ ταῦτα εἴρηται καὶ ἡρμήνευται ἐν τῇ πρὸς Ῥωμαίους ὁμοίως ἐπιστολῇ (ϛ).

3. Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

(α) Ἴσως «παρέστησεν». — (ϐ) Α' Κορινθ. δ', 16. — (γ) Τὸ χειρόγρ. «ἅτα» — (δ) Α' Κορινθ. ά, 2. — (ε) Γαλάτ. ά, 3. — (ϛ) Ῥωμ. ά, 7.

Ἄξιος εὐλογεῖσθαι παρ' ἡμῶν, ἤγουν ὑμνεῖσθαι, ὡς ἐλεῶν καὶ βοηθῶν καὶ διαφυλάττων ἡμᾶς. Ὁ Θεὸς μὲν ἡμῶν, Πατὴρ δὲ τοῦ κατὰ φύσιν Υἱοῦ αὐτοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἢ Θεὸς μὲν αὐτοῦ, ὡς ἀνθρώπου, Πατὴρ δὲ αὐτοῦ, ὡς Θεοῦ.

3. Ὁ Πατὴρ τῶν οἰκτιρμῶν,

Ὁ αἴτιος τοῦ ἐλέους, ὁ πηγάζων τοὺς οἰκτιρμούς, ὁ τὸν ἔλεον ἀναβλύζων.

3. Ὁ Θεὸς πάσης παρακλήσεως·

Ὁ αἴτιος, ἡ πηγή, ὁ χορηγὸς πάσης ψυχαγωγίας καὶ παραμυθίας.

4. Ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν,

Ἐντεῦθεν τὸ αἴτιον τῆς βραδυτῆτος ᾐνίξατο, ἀπολογούμενος ὅτι οἱ διὰ τὸ Εὐαγγέλιον πειρασμοὶ καὶ αἱ διὰ τὸν Χριστὸν κακώσεις καὶ θλίψεις ἐνεπόδισαν ἐλθεῖν πρὸς αὐτούς. «Ὁ παρακαλῶν» εἰπών, ἐνέφηνε τὴν ἄνωθεν ἐπικουρίαν καὶ τὸν κουφισμὸν τῶν θλίψεων, ἵνα μὴ καὶ διὰ ταύτας ἀνιῶνται.

4. Εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει,

Εἶδες πῶς προανεκρούσατό τε τὴν ἀπολογίαν καὶ ἐμετριοφρόνησε, διδάσκων ὅτι παρακαλεῖται θεόθεν αὐτὸς οὐ διὰ τὴν ἑαυτοῦ ἀξίαν, ἀλλὰ διὰ τοὺς ὑπ' αὐτοῦ παρακληθῆναι μέλλοντας; διὰ τοῦτο παρακαλούμεθα καὶ ἀναπνέομεν λέγων, ἵνα ἑτέρους παρακαλῶμεν, παραμυθούμενοι θλιβομένους, καὶ ἀποκαμεῖν μέλλοντας ἀνακτώμενοι καὶ ἀλείφοντες.

4. Διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ·

Δύνασθαι δὲ ἡμᾶς παρακαλεῖν τοὺς ἐν οἱᾳδήποτε θλίψει διὰ τοῦ παραδείγματος τῆς παρακλήσεως, ἧς αὐτοὶ ἀεὶ παρακαλούμεθα ὑπὸ τοῦ Θεοῦ.

5. Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.

Εἰπὼν «ὅτι περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ» ἐν ἡμῖν, ἐδή-

λωσεν ὅτι οὐ μόνα τὰ τοῦ Χριστοῦ πάσχουσιν, ἀλλὰ καὶ πλείονα τούτων ὑφίστανται· καθάπερ γὰρ μείζονα αὐτοῦ σημεῖα εἰργάσαντο· «ὁ γὰρ πιστεύων, φησίν, εἰς ἐμέ, μείζονα τούτων ποιήσει» (α)· οὕτω καὶ πλείονα αὐτοῦ ἔπαθον. Ἀλλ' ὥςπερ ἐκεῖ τὸ πᾶν αὐτοῦ γίνεται, τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς· οὕτω κἀνταῦθα τὸ πᾶν αὐτοῦ ἐστι, τοῦ παρακαλοῦντος καὶ ἐνισχύοντος φέρειν τὰ συμπίπτοντα δεινά. Διὸ καὶ αἰσθόμενος ὁ Ἀπόστολος ἡλίκον ἐφθέγξατο, συστέλλει τοῦτο πάλιν τῷ εἰπεῖν· «οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ » παράκλησις ἡμῶν», παρακαλουμένων πλέον ὧν πάσχομεν. Τί γὰρ ἴσον τοῦ διὰ Χριστὸν μαστίζεσθαι καὶ κοινωνεῖν τῶν παθημάτων τῷ Δεσπότῃ, καὶ τῶν ἐλαυνόντων περιγίνεσθαι, καὶ ἀναλώτους εἶναι τῇ Οἰκουμένῃ, καὶ προςδοκᾶν ἐκεῖνα τὰ ἀπόρρητα ἀγαθά; «Περισσεύει » δὲ ἡ παράκλησις» καὶ ὡς μὴ μόνον κουφίζουσα τὰς θλίψεις, ἀλλὰ καὶ χαίρειν ἐπὶ ταῖς ἀμοιβαῖς τῶν παρόντων παρασκευάζουσα.

6. Εἴ τε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας,

«Εἴ τε θλιβόμεθα» ὑπὲρ ὑμῶν θλιβόμεθα· ὑπὲρ γὰρ τοῦ παρακληθῆναι ὑμᾶς εἰς τὴν πίστιν καὶ ἐλθεῖν εἰς τὴν σωτηρίαν κακοπαθοῦμεν· καὶ διὰ τὴν ὑμετέραν παράκλησιν καὶ σωτηρίαν θλιβόμεθα, ἵνα ὑμεῖς παρακληθέντες σωθῆτε.

6. Τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν·

Σωτηρίας δὲ τῆς τελεσιουργουμένης μὴ μόνον ἐν τῷ θλίβεσθαι ἡμᾶς, κακοπαθοῦντας ἐν τῷ κηρύττειν ὑμῖν, ἀλλὰ καὶ ἐν ὑπομονῇ πολλῇ τῇ ὑμετέρᾳ. «Ὑπομονῇ δὲ τῶν αὐτῶν παθημάτων», ὧν καὶ ἡμεῖς οἱ κήρυκες πάσχομεν· καὶ ὑμεῖς γὰρ παραδεχόμενοι τὸ κήρυγμα καὶ πιστεύοντες τὰ ἴσα ἡμῖν ὑπομένετε, πάσχοντες καὶ κακοπαθοῦντες ὁμοίως τοῖς διδασκάλοις ὑμῶν. Ἐνεύρωσε δὲ τούτους εἰς ἴσον τοῖς Ἀποστόλοις ἀγαγών.

6. Καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν (*)·

(α) Ἰωάνν. ιδ', 12. — (*) Ἔν τισι τῶν ἀντιγράφων ὁ στίχος οὗτος ἕπεται τῷ κατόπιν «εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· καὶ ἡ ἐλπὶς » ἡμῶν βεβαία ὑπὲρ ὑμῶν».

Ἐλπιζόντων ἡμῶν βεβαίως ὑπὲρ ὑμῶν ὅτι, οὔτε ἡμῶν πασχόντων κακῶς, οὔτε ὑμῶν, περιτραπήσεσθε, ἀλλὰ στήσεσθε γενναίως ἐν τοῖς δεινοῖς.

6. Εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας.

«Παρακαλούμεθα» δηλονότι· πάλιν γὰρ κἀνταῦθα τὸ αὐτὸ (α) ληπτέον ἀπὸ κοινοῦ. «Παρακαλούμεθα» γὰρ ὑπὸ Θεοῦ, ὡς ἀνωτέρω δεδήλωται (β), ἵνα ὑμεῖς βλέποντες ἡμᾶς οὕτως ἐν ταῖς θλίψεσι παρακαλουμένους παρακαλῆσθε καὶ εὐέλπιδες γίνησθε, ὡς καὶ αὐτοὶ τῆς ἴσης ἀπολαύσοντες παρακλήσεως ἐν τῷ καιρῷ τῶν δεινῶν.

7. Εἰδότες ὅτι ὥςπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.

«Κοινωνοὶ μὲν τῶν παθημάτων» ἐν τῷ τὰ αὐτὰ ὑπομένειν, ἃ καὶ οἱ Ἀπόστολοι, ὡς προδιείληπται· «παρακλήσεως» δὲ τῆς ἐν τῷ κουφίζεσθαι τὰ δεινά, ἢ ἐνισχύεσθαι πρὸς ὑπομονήν. Ἢ καὶ ἑτέρως· «κοινωνοὶ μὲν τῶν παθημάτων» ἐν τῷ συνθλίβεσθαι ἡμῖν θλιβομένοις· «παρακλήσεως» δὲ τῆς ἐν τῷ συνήδεσθαι ἡμῖν ἡδομένοις καὶ οἰκεῖα τὰ ἡμέτερα λογίζεσθαι. Εἶτα λέγει καὶ τὸν τόπον, καθ' ὃν πρὸ μικροῦ τὴν θλῖψιν ὑπέμειναν.

8. Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ,

«Ὑπὲρ τῆς θλίψεως» ἀντὶ τοῦ περὶ τῆς θλίψεως. Ἔγραψε γὰρ καὶ ἐν τῇ πρὸ ταύτης ἐπιστολῇ, ὅτι «θύρα μοι ἀνέῳγε μεγάλη καὶ »ἐνεργής, καὶ ἀντικείμενοι πολλοί» (γ). Τοὺς τοίνυν ἐκ τούτων πειρασμοὺς καὶ τὰς ἐπιβουλὰς καὶ κακώσεις νῦν λέγει «θλῖψιν», ἣν καὶ γνωρίζει Κορινθίοις· νόμος τε γὰρ ἀγάπης τὰ ἀλλήλων μανθάνειν, εὖ τε καὶ ἑτέρως ἔχοντα, καὶ μεγίστη παράκλησις μηνύειν τοῖς ἀγαπητοῖς τὰς ἑαυτοῦ θλίψεις τὸν θλιβόμενον, καὶ ἁπλῶς ἐν οἵοις ἐστίν· ὥςτε, λυπηρῶν μὲν ὄντων, παρασκευάζεσθαι καὶ ἐναγωνίους εἶναι καὶ ἀσφαλεστέρους· χρηστῶν δέ, συγχαίρειν καὶ συνδιατίθεσθαι.

(α) Ἤτοι τὸ «παρακαλούμεθα». — (β) Ἐν στίχ. 4. — (γ) Α' Κορινθ. ιϛ', 9.

8. Ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν

Καθάπερ πλοῖον βάρει πολλῷ βαπτιζόμενον, τοσαύτη τις ἦν ἡ θλῖψις.

8. Ὑπὲρ δύναμιν,

Νικῶσα τῇ ὑπερβολῇ τὴν ἡμετέραν δύναμιν.

8. Ὥςτε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν.

Ὥςτε ἀπελπίσαι ἡμᾶς καὶ τὴν ζωήν, ὅπερ ὁ Δαυὶδ πύλας ᾅδου καλεῖ, καὶ ὠδῖνας θανάτου, καὶ σκιὰν θανάτου (α).

9. Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν,

«Ἀπόκριμα» λέγει τὴν ψῆφον, τὴν κρίσιν· τοιαύτην γὰρ ἠφίει τὰ πράγματα φωνήν· τοιαύτην ἀπόκρισιν ἐδίδου τὰ συμβάντα, ὅτι πάντως ἀποθανούμεθα. Ἀλλ' ἡ μὲν φύσις τῶν πραγμάτων ἀπεφήνατο καθ' ἡμῶν τὸν θάνατον, καὶ ἔστη μέχρι τῆς ἡμετέρας ὑπονοίας· ἡ δὲ τοῦ Θεοῦ δύναμις οὐκ ἀφῆκεν εἰς ἔργον ἐξελθεῖν τὴν ἀπόφασιν. Διό, φησίν, «ἐν ἑαυτοῖς» καὶ ἐν τῇ προςδοκίᾳ ἑαυτῶν τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἀλλ' οὐκ ἐν τῇ πείρᾳ.

9. Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ,

Καὶ μὴν οὐκ αὐτὸς ἐφ' ἑαυτῷ ἐθάρρει (πῶς γὰρ ὁ πάντων ἀνθρώπων μάλιστα τὴν ταπεινοφροσύνην ἀσκήσας;), ἀλλ' ἐν τοῖς περὶ ἑαυτοῦ λεγομένοις ἑτέρους ῥυθμίζει, καὶ καταστέλλει τὸ φύσημα τῶν μέγα φρονούντων ἐφ' ἑαυτοῖς, ἅμα δὲ καὶ μετριάζει συνήθως, ἐπεὶ καὶ προϊὼν φησίν· «Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, » ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι» (β)· καίτοι δι' ἄλλην αἰτίαν ἐδόθη, ἣν ἐκεῖ γενόμενοι μαθησόμεθα.

9. Τῷ ἐγείροντι τοὺς νεκρούς·

Πάλιν τὸν περὶ ἀναστάσεως κινεῖ λόγον καὶ ὑπομιμνήσκει ἃ ἔγραψεν ἐν τῇ προτέρᾳ ἐπιστολῇ (γ).

(α) Ψαλμ. ιζ', 5. 6. κβ', 4. μγ', 20. μζ', 7. ρς', 10. 18. — (β) Α' Κορινθ. ιβ', 7. — (γ) Ἰδίως ἐν τῷ ιε' τῆς ἐπιστολῆς ἐκείνης κεφαλαίῳ.

10. Ὅς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται· εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσηται (*).

Εἰπὼν ὅτι «καὶ ῥύσηται» νιφάδας τε προανεφώνησε πειρασμῶν καὶ θείαν ἀντίληψιν ἐν πᾶσιν· ἅμα μὲν δεικνὺς ἐναγώνιον τὸν βίον τῶν εὐσεβῶν, ἅμα δὲ μὴ συγχωρῶν ἀποκάμνειν, ἔχοντας σύμμαχον τὴν ἄνωθεν χάριν.

11. Συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν,

Συναγωνιζομένων ἡμῖν καὶ ὑμῶν τῇ ὑπὲρ ἡμῶν πρὸς Θεὸν δεήσει· τουτέστι δεομένων ὑπὲρ ἡμῶν, ἵνα νικήσωμεν καὶ ῥυσθῶμεν.

11. Ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

Ἵνα τοῦ Θεοῦ χαριζομένου ὑμῖν τὴν ἐμὴν ζωήν, τὸ εἰς ἡμᾶς χάρισμα, ἡ κατ' ἐμὲ εὐεργεσία, χαρισθέντος μου ὑμῖν, εὐχαριστηθῇ ἐκ πολλῶν προσώπων, τῶν ὑμετέρων δηλονότι, ἅτε εὐεργετηθέντων. «Εὐχαριστηθῇ» δὲ ἀντὶ τοῦ εὐχαριστίας ὑπόθεσις γένηται. Τὸ δὲ «διὰ πολλῶν» ἀντὶ τοῦ ἐπὶ πλεῖον. Δι' ἑνὸς γὰρ πράγματος, τῆς ἐμῆς σωτηρίας, πολλῶν προσώπων εὐεργετηθέντων, πολλὴ πρὸς τὸν Θεὸν εὐχαριστία ὀφείλεται. «Εὐχαριστηθῇ δὲ ὑπὲρ ἡμῶν», ὑπὲρ τῆς ἐμῆς ζωῆς. Ἐντεῦθεν οὖν παιδεύει εὔχεσθαί τε ὑπὲρ τῶν ἐν κινδύνοις καὶ ῥυομένων, εὐχαριστεῖν ὑπὲρ τῆς σωτηρίας αὐτῶν. Εἰ δὲ ὑπὲρ ἑτέρων ἀμφότερα ποιεῖν ὀφείλομεν, πολλῷ μᾶλλον ὑπὲρ ἑαυτῶν. Σκόπει δὲ ὅτι ἀρχόμενος μὲν τῆς ἐπιστολῆς τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ τὴν ἑαυτοῦ σωτηρίαν ἐλογίσατο. Ἐνταῦθα δὲ καὶ ταῖς τούτων προσευχαῖς, διδάσκων ὅτι, εἰ καὶ ἀπὸ τῶν οἰκείων οἰκτιρμῶν ἐλεεῖ ὁ Θεός, ὅμως δέχεται καὶ τὰς τῶν προσευχομένων δεήσεις, ἀγάπης οὔσας γνώρισμα καὶ συμπαθείας, αἷς εὐαρεστεῖται μάλιστα.

12. Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστί, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν,

Δείκνυσιν ὅτι καὶ οἴκοθεν ἑτέραν ἔχει παρακλήσεως ὑπόθεσιν, οὐκ

(*) «Ῥύσηται»· οὕτω καὶ ἐν τῇ ἐξηγήσει. Τὰ δὲ γνωστά μοι τῶν ἀντιγράφων ἔχουσι «ῥύσεται».

ἐλάχιστα παραμυθουμένην αὐτόν, λέγω δὴ τὸ καθαρὸν συνειδός, οὐδαμοῦ τοῦτον καταδικάζον, ὡς διά τι πονηρὸν ἐλαυνόμενον, μᾶλλον μὲν οὖν καὶ μαρτυροῦν, ὅτι διὰ τὸν Θεὸν πάσχει. Τοῦτο δὲ σφόδρα δύναται διαβαστάζειν τὸν πάσχοντα. Ἡ γὰρ καύχησις ἡμῶν, φησί, τουτέστι τὸ μαρτύριον, ἐφ᾽ ᾗ σεμνυνόμεθα, αὕτη ἐστί· λέγω δὴ «τὸ »μαρτύριον τῆς συνειδήσεως ἡμῶν» ἡ μαρτυρία τῆς συνειδήσεως ἡμῶν μαρτυρούσης ἃ ἐφεξῆς ἐρεῖ·

12. Ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ Θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ᾽ ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ,

Ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ θεοδωρήτῳ ἀνεστράφημεν ἐν πάσῃ τῇ Οἰκουμένῃ. Ἁπλότητα μὲν λέγει τὸ εὐθὲς τοῦ τρόπου καὶ ἀπηλλαγμένον διπλόης καὶ σκολιότητος. Εἰλικρίνειαν δὲ τὸ καθαρὸν τοῦ βίου καὶ ἀνεπίληπτον. Ἢ «ἁπλότητα καὶ εἰλικρίνειαν» ἅμα τὸ ἀληθὲς καὶ ἐλεύθερον τῆς ψυχῆς, καὶ καθαρὸν καὶ ἀπόνηρον τῆς γνώμης καὶ ἄδολον τῆς διανοίας καὶ μηδὲν ἔχον συνεσκιασμένον καὶ ὕπουλον. «Σοφίαν δὲ σαρκικὴν» εἴωθε λέγειν τὴν δεινότητα τῶν λόγων, τὴν πλοκὴν τῶν σοφισμάτων, τὴν ἀπάτην τῶν παραλογισμῶν, ἣν καὶ ἀνθρωπίνην σοφίαν οἶδεν ὀνομάζειν (α), ὡς ἐξ ἀνθρώπων ἐπινοηθεῖσαν. «Χάριν δὲ Θεοῦ» προσαγορεύει τὰ θεῖα χαρίσματα, περὶ ὧν ἡ προλαβοῦσα διέξεισιν ἐπιστολή.

12. Περισσοτέρως δὲ πρὸς ὑμᾶς·

Ἀνεστράφημεν ἐν χάριτι Θεοῦ δηλονότι. Παρ᾽ αὐτοῖς γὰρ πολλὰ σημεῖα καὶ θαύματα ἐπεδείξατο, καὶ πλείονα ἀκρίβειαν πολιτείας ἀνεπιλήπτου· ἐκεῖ γὰρ καὶ τὰ σκάμματα ὑπερέβη, ἀδάπανον τιθεὶς τὸ Εὐαγγέλιον· καὶ τὰ οἰκεῖα δὲ κατορθώματα τῇ θείᾳ χάριτι ἐπιγράφεται.

13. Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ᾽ ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπιγινώσκετε,

Ἐπειδὴ μεγάλα περὶ ἑαυτοῦ ἐφθέγξατο, ἵνα μὴ δόξῃ κομπάζειν, αὐτοὺς παράγει μάρτυρας λέγων, ὅτι «οὐκ ἄλλα γράφομεν ὑμῖν» περὶ ἑαυτῶν παρὰ τὰ ὑμῖν ἐγνωσμένα, ἀλλ᾽ ἃ ἀναγινώσκετε διὰ τῶν

(α) Α΄ Κορινθ. 6΄, 4. 13.

παρόντων γραμμάτων, ταῦτα καὶ «ἐπιγινώσκετε» διὰ τῶν προλαβόντων πραγμάτων, καὶ συνᾴδει τῇ ἀναγνώσει ἡ γνῶσις, ἣν εἴχετε περὶ ἐμοῦ. Τὸ δὲ «ἢ» παρέλκον ἐστίν.

13. Ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε, καθὼς καὶ
14. ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους,

Ἀπὸ τῶν παρελθόντων πιστοῦται τὰ μέλλοντα. «Ἐπέγνωτε δὲ »ἡμᾶς, φησίν, ἀπὸ μέρους», ἀλλ' οὐ τέλεον.

14. Ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

Καὶ ὑμεῖς ἐφ' ἡμῖν τοῖς διδασκάλοις καλλωπισθήσεσθε, καὶ ἡμεῖς ἐφ' ὑμῖν τοῖς μαθηταῖς· ἡμεῖς τε γὰρ ὑμῶν ἐσόμεθα καύχημα καὶ δόξα, μηδὲν ἀνθρώπινον διδάξαντες, μηδὲ λαβήν τινα δεδωκότες· καὶ ὑμεῖς ἡμῶν εὐπειθῶς τοὺς ἡμετέρους λόγους παραδεξάμενοι καὶ καρποφορήσαντες. Καύχημα, φησίν, ἀλλήλων ἐσμέν, τηρούμενον ἐν τῇ ἡμέρᾳ τῆς ἀποκαλύψεως τῶν ἑκάστῳ πεπραγμένων, ὅτε ὁ Κύριος ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Β' Περὶ ἀγάπης τῆς πρὸς αὐτοὺς καὶ φειδοῦς εἰς τὸ μὴ λυπεῖν, εἰ καὶ λυπῶν ὠφελεῖ, ὡς ἐπὶ τοῦ διὰ πορνείαν ἐπιτιμηθέντος, ᾧ καὶ συγχωρεῖ.

15. Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρότερον πρὸς ὑμᾶς ἐλθεῖν,

Ποίᾳ πεποιθήσει; τῷ θαρρεῖν δηλαδὴ ἐφ' ὑμῖν· τὸ καυχᾶσθαι ἐφ' ὑμῖν, ὡς κατορθοῦσιν ὡς γνησίοις μαθηταῖς. «Ἐβουλόμην, φησίν, »ἐλθεῖν πρὸς ὑμᾶς πρότερον»· ἤγουν πρὸ τοῦ ἐλθεῖν εἰς Μακεδονίαν. Καὶ μὴν ἐν τῇ προτέρᾳ ἐπιστολῇ οὐχ οὕτως ἔγραψεν, ἀλλὰ τοὐναντίον ὅτι «ἐλεύσομαι πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω» (α). Ἔγραψε μὲν οὖν ἐν τῇ πρώτῃ οὕτως. Ὕστερον δὲ μεθ' ὃ ἔγραψεν ἐβουλήθη ἐλθεῖν πρότερον εἰς τούτους.

15. Ἵνα διπλῆν χάριν ἔχητε (*).

(α) Α' Κορινθ. ιϛ', 5. — (*) Ἡ γραφὴ «διπλῆν χάριν» ἰδιάζει μόνῳ τῷ Συγγραφεῖ, πάντων τῶν ἔμοιγε γνωστῶν ἀντιγράφων ἐχόντων «δευτέραν χάριν». Καί, ὡς

Τήν τε ἀπὸ τῆς πρώτης ἐπιστολῆς, τήν τε ἀπὸ τῆς μετ' ἐκείνην παρουσίας μου· «χάριν» δὲ λέγει τὴν χαρὰν καὶ παράκλησιν.

16. **Καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν,**

Διὰ μέσου ὑμῶν.

16. **Καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑ-**
17. **μῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. Τοῦτο οὖν βουλόμενος, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην;**

Κατ' ἐρώτησιν ὁ λόγος. Ἆρα μή τι τῇ κουφότητι τῶν φρενῶν ἐχρησάμην; Μήποτε ὡς εὐμετάβολος ἐφ' ἑτέρας ἦλθον γνώμης;

17. **Ἢ ἃ βούλομαι (*), κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ;**

Καὶ ταῦτα κατ' ἐρώτησιν. Ἢ ἄρα ἃ βουλεύομαι ποιῆσαι κατὰ σάρκα βουλεύομαι; τουτέστι κατὰ ἄνθρωπον σαρκικὸν βουλεύομαι ταῦτα, ἵνα ᾖ παρ' ἐμοὶ βέβαιον ὃ ἂν βουληθῶ· ἤτοι τὸ ποιῆσαι ἢ τὸ μὴ ποιῆσαι ἃ διὰ τοῦ «ναὶ» καὶ «οὔ» ὑπεδήλωσε, τοῦ δευτέρου «ναὶ» καὶ τοῦ δευτέρου «οὔ» τὸ βέβαιον δηλούντων. Ὁ μὲν γὰρ σαρκὶ δουλεύων, ὡς τῆς ἑαυτοῦ κυριεύων γνώμης, ἀπέρχεται ὅπου βούλεται, ὅτε δύναται. Ὁ δὲ τῷ ἁγίῳ Πνεύματι δουλεύων, ἅτε τῆς ἐκεῖθεν ἐξουσίας ἐξηρτημένος, κωλύεται πολλάκις, καὶ οὐ συγχωρεῖται ποιεῖν ἃ βούλεται. Ἐντεῦθεν τοίνυν ἐφανέρωσε τὸ αἴτιον τοῦ μὴ ποιῆσαι ὃ ἠβουλήθη. Ἐβούλετο μὲν γὰρ αὐτός, ἐκωλύθη δὲ ὑπὸ τοῦ ἁγίου Πνεύματος, ὡς καὶ ἐν ἄλλοις πολλάκις· οὐ γὰρ πάντα ᾔδει τὰ συμφέροντα. Διὸ καὶ οἴκοθεν ἔστιν ὅτε βουλευόμενος ἐκωλύετο, ἐλεγχόμενος ὡς ἄνθρωπος.

18. **Πιστὸς δὲ ὁ Θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ,**

Ἵνα μή τις ὑπολάβῃ ὅτι καὶ ἐν τῷ κηρύγματι ἴσως ἐδίδαξέ τινα

ἔοικεν, ἐγράφη ἐν τῇ ᾤᾳ ὡς ἐπεξήγησις τῆς λέξεως «δευτέραν», ἣν εἶτα ἀντικατέστησεν ἐν τῷ κειμένῳ ἡ τῶν ἀντιγραφέων πλημμέλεια. Τὰ ἀναγινωσκόμενα παρὰ Χρυσοστόμῳ (ἐν λ. Τόμ. Ι', Ὁμιλ. Γ', σελ. 407) «τί ἐστι δευτέραν»; ἵνα διπλῆν χάριν «ἔχητε» πιστοῦνται τὴν εἰκασίαν. — (*) Συνήθης γραφὴ «εἰς ἃ *βουλεύομαι*», ᾗ χρῆται ἐν τῇ ἐξηγήσει καὶ ὁ Συγγραφεύς.

οἴκοθεν ἃ οὐκ ἐδόκει Θεῷ, λύει τὴν τοιαύτην ὑποψίαν λέγων· ἀληθής ἐστιν ὁ Θεὸς καὶ ἀξιόπιστος μάρτυς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς, ἤτοι τὸ κήρυγμα, οὐκ ἐγένετο βέβαιον καὶ ἀβέβαιον· πῇ μὲν ἀληθές, πῇ δὲ ψευδές. Ἐν μὲν γὰρ ταῖς ὁδοῖς καὶ ταῖς ἀποδημίαις ἐγένετο τὸ δοκοῦν καὶ τὸ μὴ δοκοῦν τῷ Θεῷ. Ἐν δὲ τῷ κηρύγματι οὐδαμῶς. Ἐκεῖναι μὲν γὰρ καὶ οἴκοθεν ἐγίνοντο, τοῦτο δὲ θεοδίδακτον ἦν.

19. Ὁ γὰρ τοῦ Θεοῦ Υἱὸς Ἰησοῦς Χριστός, ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθείς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου οὐκ ἐγένετο ναὶ καὶ οὔ,

Οὐκ ἐγένετο ἐναντίως κηρυττόμενος· οὐκ ἐκηρύχθη νῦν μὲν οὕτως, νῦν δὲ οὐχ οὕτως· ἀλλ' ὡςαύτως καὶ ἀπαραλλάκτως, καίτοι μὴ παρ' ἐμοῦ μόνον, ἀλλὰ καὶ παρὰ Σιλουανοῦ καὶ Τιμοθέου κηρυχθεὶς ὑμῖν. Τοῦτον δὲ τὸν Σιλουανὸν τινὲς εἶπον καὶ Σίλαν καλεῖσθαι, ὥςπερ τὴν Πρίσκιλλαν καὶ Πρίσκαν (α).

19. Ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν,

Ἀλλὰ μονομερῶς ἀπαρασάλευτον ἐν αὐτῷ γέγονε τὸ κήρυγμα, ἤγουν τὸ περὶ αὐτοῦ.

20. Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ ἐν αὐτῷ τὸ ναί,

Ὅσαι ἐπαγγελίαι τοῦ Θεοῦ γεγόνασιν ἐν αὐτῷ· ἤγουν διὰ τοῦ κηρύγματος (πολλὰ γὰρ ἐπαγγέλλεται τοῖς πιστεύουσιν), ἢ διὰ τοῦ Χριστοῦ, πᾶσαι τὸ «ναὶ» ἔχουσιν, ἤτοι τὸ βέβαιον καὶ ἀκίνητον.

20. Καὶ ἐν αὐτῷ τὸ ἀμήν,

Καὶ ἐν αὐτῷ τῷ κηρύγματι τὸ «ἀμήν» ἐστιν, ὃ δηλοῖ τὸ ἀληθές.

20. Τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν.

Ἔστιν ἐν αὐτῷ, φησί, τὸ ἀληθές, καὶ πάντα, ἃ ἐπαγγέλλεται, ἔσονται πρὸς δόξαν τοῦ Θεοῦ, διὰ δόξαν Θεοῦ, ἵνα αὐτὸς δοξασθῇ,

---

(α) Θεοδώρ. ἐν λ. (Τόμ. Γ', σελ. 384) «Σιλουανὸν δὲ ἡγοῦμαι τὸν Σίλαν καλεῖ» σθαι . . . εὑρίσκομεν δὲ καὶ ἄλλων ὀνομάτων ἐναλλαγάς· καὶ γὰρ τὴν Πρίσκιλλαν » Πρίσκαν ἐν τῇ πρὸς Ῥωμαίους ἐκάλεσεν».

πληρώσας ἃ ἐπηγγείλατο διὰ τοῦ κατὰ Χριστὸν κηρύγματος. Πρὸς δόξαν δὲ Θεοῦ, γινομένην δι᾽ ἡμῶν, διὰ τῆς σωτηρίας ἡμῶν τῶν πιστευόντων ταῖς τοιαύταις ἐπαγγελίαις. Συνδέεται γὰρ τῇ δόξῃ αὐτοῦ ἡ ἡμετέρα σωτηρία. Καὶ εἰ οὐ καταφρονήσει τῆς ἑαυτοῦ δοξης, πάντως οὐδὲ τῆς ἡμετέρας σωτηρίας.

21. Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς Θεός·

Ὁ δὲ βεβαιῶν ἡμᾶς καὶ ὑμᾶς εἰς τὸ κατὰ Χριστὸν κήρυγμα, εἰς τὴν κατὰ Χριστὸν πίστιν, καὶ χρίσας ἡμᾶς τῷ ἁγίῳ Πνεύματι εἰς τὸ βασιλεύειν τῶν παθῶν καὶ ὑποτάττειν αὐτὰ καὶ εἰς τὸ ἱερουργεῖν ἑαυτοὺς θυσίαν ζῶσαν εὐάρεστον τῷ Θεῷ, ὁ Θεός ἐστιν.

22. Ὁ καὶ σφραγισάμενος ἡμᾶς,

Τῷ θείῳ βαπτίσματι· σφραγὶς γὰρ τοῦτο τοῦ νέου λαοῦ, ὥςπερ ἡ περιτομὴ τοῦ παλαιοῦ.

22. Καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

«Ἀρραβῶνα τοῦ πνεύματος» λέγει τὰ πνευματικὰ χαρίσματα, περὶ ὧν ἡ πρώτη διέλαβεν ἐπιστολή. «Ἀρραβῶνα» δὲ εἰπών, ἐνέφηνεν ὅτι πάσας πληρώσει τὰς ἐπαγγελίας· ὁ γὰρ ἀρραβὼν ἐγγυᾶται τὸ ὅλον τῆς ὑποσχέσεως. Εἰ τοίνυν ὁ Θεός ἐστιν ὁ ταῦτα ποιήσας, θαρρεῖν χρὴ καὶ περὶ τῶν μελλόντων· ἀληθὴς γὰρ καὶ παντοδύναμος ὁ καὶ ἐπαγγειλάμενος, καὶ τὸν ἀρραβῶνα δούς.

23. Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον·

Καὶ μὴν ἀνωτέρω εἴρηκας (α) ὑπὸ τοῦ Πνεύματος κωλυθῆναι· πῶς ἐνταῦθα λέγεις ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον; Τί οὖν ἔστιν εἰπεῖν; ὅτι μετὰ τὸ κωλυθῆναι συνεχωρήθη ἀπελθεῖν ὕστερον, εἰ βούλοιτο· ὁ δὲ φειδόμενος αὐτῶν, ἵνα μὴ ἀδιορθώτους εὑρὼν κολάσῃ, οὐκέτι ἦλθε διδοὺς καιρὸν μετανοίας· ἦσαν γάρ τινες ἡμαρτηκότες καὶ δεόμενοι διορθώσεως. «Μάρτυρα δέ, φησίν, ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν»,

(α) Ἐν στίχ. 15.

ἀντὶ τοῦ μάρτυρα τῆς ἐμῆς ψυχῆς, συνίστορα τῆς ἐμῆς καρδίας. Φοβεῖ δὲ αὐτοὺς κἀντεῦθεν, ὃ καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς ἐποίησεν εἰπών, ὅτι «ἐὰν ἔλθω πάλιν, οὐ φείσομαι» (α).

24. Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως,

Εἰπὼν ὅτι «φειδόμενος ὑμῶν», ἔδοξεν ἐξουσίαν πολλὴν ἐνδείκνυσθαι. Διὸ καὶ θεραπεύει τὸν λόγον. Εἶπον γάρ, φησί, τοῦτο οὐχ «ὅτι »κυριεύομεν τῆς πίστεως ὑμῶν»· τίς γὰρ κύριος ἀναγκάσαι πιστεῦσαι τὸν μὴ βουλόμενον;

24. Ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν·

Ἀλλ' ὅτι «συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν» καὶ οὐ θέλομεν λυπῆσαι ὑμᾶς καὶ εἰς ἀθυμίαν ἐμβαλεῖν, κολάζοντές τινας ἐξ ὑμῶν. Ἔμεινα οὖν, ἵνα διορθωθέντες εὐφρανθῆτε μᾶλλον.

24. Τῇ γὰρ πίστει ἑστήκατε.

Ἡδραίωσθε. Ἄλλα δέ εἰσι τὰ σφάλματα ὑμῶν, ἤτοι τῶν ῥᾳθύμων. Ὁρᾷς ὅτι διὰ τῆς προτέρας ἐπιστολῆς ἐβεβαιώθησαν εἰς τὴν πίστιν, ὥςπερ καὶ εἰς ἄλλα πολλὰ ἐκεῖθεν ἐβελτιώθησαν;

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ

1. Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐν λύπῃ ἐλθεῖν πρὸς ὑμᾶς.

Ἔκρινα οὖν ἐν ἐμαυτῷ τὸ μὴ ἐλθεῖν πρὸς ὑμᾶς ἐν λύπῃ πάλιν· τουτέστι πάλιν λυπῶν ὑμᾶς ἐν τῷ ἐπιτιμᾶν καὶ ὀργίζεσθαι καὶ ἀποστρέφεσθαι, ὃ καὶ διὰ τῆς προτέρας ἐποίησα ἐπιστολῆς· ἀλλὰ περιμεῖναι καὶ δοῦναι καιρὸν εἰς διόρθωσιν. Ἐπεὶ δὲ καὶ τῷ λόγῳ τούτῳ ἐδόκει

(α) Β' Κορινθ. ιγ', 2.

λυπεῖν αὐτοὺς καὶ κατηγορεῖν, εἴ γε οὕτω βιοῦσιν, ὡς λυπεῖν τὸν διδάσκαλον, ἐπιθεραπεύει τοῦτο καί φησιν·

2. Εἰ δὲ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;

Εἰ δὲ ἐγὼ λυπῶ ὑμᾶς ταῦτα λέγων, καὶ τί ἄλλο θέλω ἢ τὸ λυπεῖσθαι ὑμᾶς ἐκ τῶν ἐμῶν λόγων; Καὶ τίς ἐστιν ὁ εὐφραίνων με; οὐδεὶς ἄλλος, εἰμὴ ὁ λυπούμενος ἐξ ἐμοῦ· σημεῖον γὰρ τοῦτο μεταμελείας καὶ ὑπόθεσις διορθώσεως. Αἰσθανόμενος γὰρ δάκνεται καὶ μετανοεῖ, λυπούμενος ὅτι λυπεῖ τὸν διδάσκαλον καὶ παροργίζει τὸν εὐεργέτην. Ὁ γὰρ ἀνάλγητος ἀναίσθητος, καὶ διὰ τοῦτο ἀνίατος.

3. Ἔγραψα ὑμῖν αὐτὸ τοῦτο, ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν·

Ποῖον ἔγραψας; τὸ «ἔκρινα ἐν ἐμαυτῷ»· τὸ «μὴ πάλιν ἐν λύπῃ »ἐλθεῖν πρὸς ὑμᾶς». Ἔγραψα δὲ τοῦτο οἰκονομικῶς, ἵνα μή, ἐλθὼν πρὸ τοῦ διορθωθῆναι ὑμᾶς καὶ εὑρὼν ἀθεραπεύτους, λύπην ἔχω καὶ λυπῶ ἀφ' ὧν μᾶλλον ἔδει με χαίρειν, ὡς προκοπτόντων ἐπὶ τὰ κρείττονα.

3. Πεποιθὼς ἐπὶ πάντας ὑμᾶς,

Τεθαρρηκὼς ἐπὶ πᾶσιν ὑμῖν. Τί δὲ τεθαρρηκώς;

3. Ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν.

Τοῦτο ἠλπικώς. Διὰ δὲ τοῦ εὐφήμου ἐνέφηνε καὶ τὸ δύσφημον, ἤτοι τὴν λύπην. «Τεθάρρηκα», φησίν, ὅτι ὁρῶντές με λυπούμενον λυπεῖσθε, καὶ χαίροντα χαίρεσθε, τῆς ἐμῆς ψυχῆς ἐκκρεμάμενοι καὶ συνδιατιθέμενοι. Ἀνέμεινα οὖν διορθωθέντας ὑμᾶς εὑρών, χαίρω καὶ ἔχω ὑμᾶς συγχαίροντας, ὃ πολλῆς φιλοστοργίας τεκμήριον. Ἐπὶ πλέον δὲ ταύτην ἐνδεικνύμενος ἐπήγαγεν·

4. Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν

Σφόδρα λυπούμενος ἐπὶ τοῖς ἁμαρτάνουσι καὶ ἀποπνιγόμενος τὴν καρδίαν τῇ ἀγχόνῃ τῆς ἀθυμίας, καὶ μηκέτι φέρων ἔγραψα τὰ παρόντα.

4. Διὰ πολλῶν δακρύων,

Ἔγραψα δὲ ταῦτα πολλὰ δάκρυα χέων ἐν τῷ γράφειν.

4. Οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

Ἔγραψα δὲ ταῦτα οὐχ ἵνα προηγουμένως λυπηθῆτε, οὐδὲ ἐπίτηδες τοῦτο πραγματευόμενος. Καὶ ἦν μὲν τὸ ἀκόλουθον εἰπεῖν· «ἀλλ' »ἵνα διορθωθῆτε». Θέλων δὲ ἐπισπάσασθαι τούτους εἰς μεῖζον φίλτρον, «ἀλλ' ἵνα γνῶτε, φησί, τὴν ἀγάπην, ἣν ἔχω ὑπερβαλλόντως εἰς ὑμᾶς» καὶ τίθησι τοῦτο ἀντ' ἐκείνου· δεικνύων ὅτι πάντα ἀπὸ ἀγάπης ποιεῖ. Ἀπολογησάμενος δὲ οὕτως ὑπὲρ ἑαυτοῦ, μέτεισι λοιπὸν ἐπὶ τὴν ὑπὲρ τοῦ πεπορνευκότος ἀπολογίαν·

5. Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς.

Εἰ δέ τις ἁμαρτήσας λελύπηκεν, οὐκ ἐμὲ μόνον λελύπηκεν, ἀλλ' ἐκ μέρους πάντας ὑμᾶς, ἵνα μὴ ἐπιβαρῶ αὐτὸν λέγων ἁπλῶς ὅτι πάντας ὑμᾶς. Φειδόμενος γὰρ αὐτοῦ προςέθηκα τὸ «ἀπὸ μέρους»· οὐχ ἧττον γὰρ ἐμοῦ καὶ ὑμεῖς ἐλυπήθητε· προείρηκε γὰρ ὅτι «ἡ ἐμὴ χαρὰ »πάντων ὑμῶν ἐστιν» (α)· εἰ δὲ ἡ χαρὰ κοινή, πάντως καὶ ἡ λύπη. Οὐκ ἔθηκε δὲ τὸ ὄνομα τούτου, ὥςπερ οὐδ' ἐν τῇ προτέρᾳ ἐπιστολῇ (β). Ἀλλ' ἐκεῖ μὲν αἰσχυνόμενος, ἐνταῦθα δὲ φειδόμενος. Διὸ οὐδὲ τῆς ἁμαρτίας ἐμνημόνευσεν.

6. Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων.

Ἡ κόλασις, ἣν ἐπεθήκατε αὐτῷ, ὡς ἡ προτέρα ἐκέλευσεν ἐπιστολή· ἡ ἀγανάκτησις, ἡ ἀποστροφή. «Πλείονας» δὲ λέγει τοὺς πολλούς.

7. Ὥςτε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι,

Ὥςτε τὸ ἐναντίον τῇ ἐπιτιμήσει βούλομαι· τουτέστι μᾶλλον ὑμᾶς χαρίσασθαι αὐτῷ, δωρουμένους λοιπὸν τὴν ἄφεσιν καὶ παρακαλέσαι ἀνακτωμένους αὐτόν. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς συγγνώμης·

(α) Ἀνωτ. στίχ. 3. — (β) Ὅρ. τὴν ἐξήγησιν τοῦ 2ου στίχ. τοῦ ε' κεφ. τῆς Α' Κορινθ.

7. Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

Μήπως καταποθῇ ὑπὸ τῆς ἀπογνώσεως, καὶ ἢ ἐπὶ ἀγχόνην ἔλθῃ, ἢ ἐπὶ χεῖρον ἀτόπημα, μὴ φέρων τὴν πλείονα λύπην. Ἔδειξε τοίνυν ὅτι καὶ σφόδρα λελύπηται μετανοῶν, καὶ ὅτι ἀσθενής ἐστιν. Διὸ χρὴ συμμετρεῖν τῇ ἀσθενείᾳ τὴν ἐπιτίμησιν· καὶ μὴ πρὸς τὴν φύσιν μόνον τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὴν ἕξιν καὶ δύναμιν τῶν ἁμαρτανόντων ὁρίζειν τὴν μετάνοιαν, μήπως τὸ πᾶν ζητοῦντες, τὸ πᾶν ἀπολέσωμεν.

8. Διὸ παρακαλῶ ὑμᾶς κυρώσατε εἰς αὐτὸν ἀγάπην.

Οὐκέτι ἐπιτάττει, ἀλλὰ παρακαλεῖ ὡς ὁμότιμος, κἀκείνους ἐπὶ τοῦ δικαστικοῦ θρόνου καθίσας, ἔστησεν ἑαυτὸν ἐν τάξει συνηγόρου. Ἐπειδὴ γὰρ κατώρθωσεν ὃ ἐβούλετο, τὴν ἐκείνου μετάνοιαν, λοιπὸν ὑπὲρ αὐτοῦ ἱκετεύει. «Κύρωσιν» δὲ λέγει τὴν βεβαίωσιν τῆς ἀγάπης· ὥςτε μὴ ἁπλῶς προςέσθαι τοῦτον, ἀλλ᾽ ἐν εἰλικρινεῖ ἀγάπῃ· φαίνονται γὰρ σφόδρα τοῦτον ἀποστραφέντες.

9. Εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμασίαν (*) ὑμῶν, εἰ εἰς πάντα ὑπακούετε (**).

Διὰ τοῦτο ἔγραψα ὑμῖν κυρῶσαι εἰς αὐτὸν ἀγάπην, ἵνα μάθω τὸ δόκιμον ὑμῶν· τουτέστιν εἰ εἰς πάντα ὑπακούετέ μου, ὥςπερ ἐν τῷ ἀποτέμνειν, οὕτω καὶ ἐν τῷ συνάπτειν. Τὸ «διὰ τοῦτο» δὲ εἶπεν, ἵνα ἐπισπάσηται αὐτοὺς μᾶλλον εἰς ὑπακοήν· καί τοι οὐ διὰ τοῦτο προηγουμένως ἔγραψεν, ἵνα μάθῃ, ἀλλ᾽ ἵνα μὴ ἐκεῖνος καταποθῇ τῷ στόματι τῆς ἀπογνώσεως.

10. Ὧ δέ τι χαρίζεσθε, καὶ ἐγώ·

Ὅρα πῶς πάλιν τὰ δευτερεῖα ἑαυτῷ δίδωσιν, ἐκείνους μὲν ἡγουμένους, ἑαυτὸν δὲ ἑπόμενον δεικνύς. Ὧτινι γάρ, φησί, χαρίζεσθέ τι ὑμεῖς, τούτῳ καὶ ἐγὼ χαρίζομαι. Ἐκλύει δὲ οὕτως τὸ φιλόνικον αὐτῶν, καὶ εἰς ὑπακοὴν ἔτι καὶ συμπάθειαν ἐφέλκεται.

10. Καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι δι᾽ ὑμᾶς,

(*) Ἐν τοῖς γνωστοῖς μοι τῶν ἀντιγράφων ἀναγινώσκεται «ἀδοκιμήν». — (**) Ἀντὶ «ὑπακούεται» τὰ γνωστά μοι τῶν ἀντιγράφων ἔχουσιν «ὑπήκοοί ἐστε».

«Εἴ τι κεχάρισμαι», φησίν, εἴτε τῷ πεπορνευκότι, εἴτε τινὶ ἑτέρῳ ἡμαρτηκότι. «δι' ὑμᾶς» κεχάρισμαι αὐτῷ καὶ «δι' ὑμᾶς» πάντα ποιῶ. Ἐν τῷ ἐπιτιμᾶν μέν τινι ἵνα φυλαττόμενοι μὴ μετάσχητε τῆς ἐκείνου λύμης· «μικρὰ γάρ, φησί, ζύμη ὅλον τὸ φύραμα ζυμοῖ» (α)· ἐν τῷ συγχωρεῖν δὲ καὶ ἐπισπᾶσθαι καὶ ὑμᾶς εἰς συγγνώμην, ἵνα φιλόνικοι δοκοίητε καὶ ἀπάνθρωποι (β).

10. Ἐν προςώπῳ Ἰησοῦ Χριστοῦ,

Ἐνώπιον τοῦ Χριστοῦ, τουτέστιν ἐφορῶντα καὶ εὐδοκοῦντα (γ). Δι' οὗ ἐμφαίνεται ὅτι οὐ κατὰ προςωποληψίαν, ἀλλὰ κατὰ ἀρέσκειαν Θεοῦ ταῦτα διαπράττεται.

10. Ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ.

Τοῦτο αἰτία πάλιν τῆς συγχωρήσεως. Εἰ γὰρ δι' ἀπογνώσεως λάβῃ τὸν ἡμαρτηκότα ὁ Σατανᾶς, πλεονεκτεῖ τὴν Ἐκκλησίαν· οὐ γὰρ τὸ αὐτοῦ, ἀλλὰ τὸ ἡμέτερον λαμβάνει καὶ ἐλαττοῖ τὴν ἀγέλην τοῦ Χριστοῦ.

11. Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

Οἶδα γὰρ οὐ μόνον ἀπὸ τῆς ἁμαρτίας, ἀλλὰ καὶ ἀπὸ τῆς μετανοίας κερδαίνειν, ὅτε τῇ ἀμέτρῳ λύπῃ βαρηθείς τις εἰς ἀπόγνωσιν κατακρημνισθῇ. Ὅταν οὖν οὐ μόνον διὰ τῶν ἰδίων ὅπλων, ἀλλὰ καὶ διὰ τῶν ἡμετέρων βάλλῃ καὶ καταβάλλῃ, πῶς οὐχὶ πλεονεξία τὸ πρᾶγμα; Ταύτας οὖν αὐτοῦ τὰς πανουργίας οὐκ ἀγνοοῦντες ἀντιμηχανώμεθα. Καὶ γὰρ τῆς ἐσχάτης ἐστὶν αἰσχύνης διὰ τῶν ἡμετέρων φαρμάκων κατασκευάζειν αὐτὸν τὰ τραύματα. Καὶ ἄλλως δὲ «νοή» »ματα» τοῦ διαβόλου λέγει τὸ ποικίλον, τὸ δολερόν, τὸ κακομήχανον, τὸ ἐπὶ προσχήματι εὐλαβείας ἐπηρεαστικόν.

(α) Α' Κορινθ. ε'. 6 — (β) Ἴσως γραπτέον ἵνα «μὴ φιλόνικοι» κἑξ. — (γ) Ὀρθότερον ἂν ἔλεγεν «ἐφορῶντος καὶ εὐδοκοῦντος (τοῦ Χριστοῦ)». Ἀλλὰ καὶ οὕτως εὐοδοῦται τὸ νόημα, ἐὰν ἐξυπονοήσωμεν τὸ «ἔχων»· ἤτοι «ἐφορῶντα ἔχων καὶ εὐδοκοῦντα » τὸν Χριστόν».

Γ' Περὶ τῆς δι' αὐτοῦ θείας ὠφελείας τοῖς ἐπιτηδείοις, δι' ἧς καὶ συνίστασθαί φησιν.

12. Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ,

Ἐλθὼν εἰς τὴν πόλιν ταύτην διὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, τουτέστιν ἐπὶ τῷ εὐαγγελίσασθαι καὶ κηρύξαι τὸν Χριστόν.

12. Καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου

« Θύρας » πιστευόντων· εὐπορίαν μαθητῶν. Οὐκ ἔσχηκα ἀνάπαυσιν τῇ ψυχῇ μου. Εἶτα τίθησι καὶ τὴν αἰτίαν·

12. Τῷ μὴ εὑρεῖν με Τῖτον τὸν ἀδελφόν μου·

Τὸν συνεργόν μου, τὸν συναπόστολον. Ὅρα πῶς ἐκεῖνον μὲν ὑψοῖ τῷ τῆς ἀδελφότητος ὀνόματι, ἑαυτὸν δὲ ταπεινοῖ καὶ πανταχοῦ τῆς συνήθους οὐκ ἐξίσταται μετριοφροσύνης.

13. Ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον εἰς Μακεδονίαν.

Παραιτησάμενος αὐτούς, τὰ ἐξιτήρια προσειπών, μὴ παραμείνας ἐπὶ πλεῖστον· ἐλυπήθη μὲν γὰρ τῷ μὴ εὑρεῖν τὸν Τῖτον, οὐ μὴν διὰ τοῦτο παρεῖδε τοὺς πιστεῦσαι μέλλοντας καὶ καταφρονήσας αὐτῶν ἀπεπήδησεν, ἀλλὰ τὸ ἔργον ὅσον ἐνεχώρει πληρώσας οὐκέτι ἐκαρτέρησεν· ἐπεῖγε(α) γὰρ αὐτὸν ἡ λύπη. Δεινὸς μὲν γὰρ καὶ ἱκανὸς καταβάλλειν ψυχὴν ἐσμὸς πειρασμῶν. Ὅταν δὲ μηδὲ ὁ παραμυθούμενος εἴη, καὶ συνδιαφέρων τὸ φορτίον, μείζων ὁ χειμών. Ἴσως δὲ καὶ τὸ ἔργον ἐνεποδίζετο, μὴ παρόντος Τίτου.

14. Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ,

Εὐχαριστεῖ τῷ Θεῷ τῷ πάντοτε νικητὴν τῶν πειρασμῶν αὐτὸν ἀναδεικνύντι· θρίαμβος γάρ ἐστι νίκης θεατρισμός, καὶ δημοσία τροπαίου τινὸς ἐπίδειξις. « Ἐν τῷ Χριστῷ » δὲ ἀντὶ τοῦ διὰ τοῦ Χρι-

---

(α) Τὸ χειρόγρ. ἔπειγε.

στοῦ· ἐν τῷ Χριστῷ γὰρ ἐνίκα, καὶ τὰς θλίψεις ἔφερε γενναίως. Ἔστι δὲ καὶ ἑτέρως ἑρμηνεῦσαι τὸ ῥητόν. Τῷ πάντοτε περιφανεῖς ἡμᾶς ποιοῦντι καὶ καταδήλους, ἔν τε τοῖς πιστεύουσιν, ἔν τε τοῖς ἀπιστοῦσι· τῶν μὲν σφόδρα τιμώντων ἡμᾶς, τῶν δὲ σφόδρα ἀτιμαζόντων καὶ ἐλαυνόντων. Καὶ τοῦτο δὲ κἀκεῖνο διὰ τὸν Χριστόν.

14. Καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ.

Καὶ τὴν εὐωδίαν τῆς γνώσεως τοῦ Χριστοῦ, τῆς διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος διδασκομένης, φανεροῦντι δι' ἡμῶν πανταχοῦ. Ὥςπερ γὰρ ὁ τὸ μύρον βαστάζων τὴν εὐωδίαν αὐτοῦ δημοσιεύει ἔνθα βαδίζει· οὕτω, φησί, καὶ ἡμεῖς βαστάζοντες τὸ ὄνομα τοῦ Χριστοῦ, μᾶλλον δὲ αὐτὸν τὸν Χριστὸν ἐν ἑαυτοῖς περιφέροντες, ἀποπνέομεν τὴν εὐωδίαν αὐτοῦ, δι' ἧς γινώσκεται. Θυμιατήριόν ἐσμεν τοῦ Χριστοῦ, ὅπου ἂν ἀπέλθωμεν τὴν εὐωδίαν αὐτοῦ ἀποπέμποντες, καὶ τοῦ οὐρανίου καὶ πνευματικοῦ μύρου ἀπόζοντες. Ἃ γὰρ λέγομεν καὶ ἃ πράττομεν αἴσθησιν τοῦ Χριστοῦ διδόασι τοῖς ἀκούουσι καὶ βλέπουσι, μιμήματα τῶν ἐκείνου καὶ λόγων καὶ ἔργων ὄντα.

15. Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ

Ἐπειδὴ Χριστοῦ εὐωδία λογιζόμεθα τῷ Θεῷ καὶ Πατρί· «Χριστοῦ δὲ εὐωδία» ἢ ὡς Χριστῷ θυόμενοι, ἢ ὡς τῆς τοῦ Χριστοῦ σφαγῆς ἀποπνέοντες ἐν τῷ μιμεῖσθαι ταύτην καὶ ὁμοίως ἐκείνης πάσχειν.

15. Ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις·

Εἴτε γὰρ σώζεταί τις πιστεύων ἡμῖν, εἴτε ἀπόλλυται ἀπιστῶν, ἡμεῖς μένομεν αὐτὸ τοῦτο ὄντες, ὅπερ ἐσμέν· τουτέστι Χριστοῦ εὐωδία. Καὶ καθάπερ τὸ φῶς, εἰ καὶ σκοτίζει τὰς ἀσθενεῖς ὄψεις, καὶ τὸ μέλι πάλιν, εἰ καὶ πικρὸν φαίνεται τοῖς νοσοῦσιν, ὅμως τὸ μὲν φῶς ἐστι, τὸ δὲ μέλι καὶ τὴν οἰκείαν φύσιν ἀμετάτρεπτον ἔχουσιν· οὕτω καὶ οἱ ἀπολλύμενοι οὐ παρ' ἡμᾶς, ἀλλὰ παρὰ τὴν ἑαυτῶν ἀπόλλυνται ἀπιστίαν. Καὶ ὁ Σωτὴρ δὲ εἰς πτῶσιν πολλῶν καὶ ἀνάστασιν ὤν (α), ὅμως μένει Σωτήρ, καὶ μυρίων πιπτόντων.

(α) Λουκ. β', 34.

16. Οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον· οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν·

Ὁ μέγας Παῦλος ὀσμὴ ἦν ἀπὸ μὲν ζωῆς εἰς ζωήν, ὡς τῇ εὐωδίᾳ τῶν πράξεων ἕλκων τοὺς αἰσθανομένους ἀπὸ τῆς κατ' αἴσθησιν ζωῆς ἐπὶ τὴν ἐν πνεύματι ζωήν· ἢ τῇ εὐωδίᾳ τῶν λόγων ἕλκων τοὺς ἐναρέτους ἀπὸ τῆς κατὰ τὸ πρακτικὸν ζωῆς ἐπὶ τὴν κατὰ τὸ θεωρητικὸν ζωήν. Ἀπὸ δὲ θανάτου εἰς θάνατον, ὡς αἴσθησιν διδοὺς τοῖς ἀπειθοῦσι καὶ διαμαρτυρόμενος ὅτι ἀπὸ τοῦ κατὰ τὴν ἄγνοιαν θανάτου ἐπὶ τὸν κατὰ τὴν ἀπιστίαν θάνατον βαδίζουσιν. Ἢ ἄλλως· τοῖς μὲν ἀπειθοῦσιν εὐωδία θανάσιμος ὄντες, ὥςτε ταύτην θανατοῦν αὐτούς· τοῖς δὲ πειθομένοις εὐωδία ζωηρά, ὥςτε ζωοῦν αὐτούς, θανάτου μὲν νοουμένου τῆς αἰωνίου κολάσεως, ζωῆς δὲ τῆς αἰωνίου ἀπολαύσεως. Τοιαύτη γὰρ τῶν ἀγαθῶν ἡ φύσις. Οὐ τὰ οἰκεῖα διορθοῦται καὶ σώζει μόνον, ἀλλὰ καὶ τὰ ἐναντία ἀπόλλυσιν. Καὶ ταύτῃ μάλιστα διαδείκνυται τούτων ἡ δύναμις. Ἐπεὶ καὶ τὸ πῦρ οὐχ ὅταν φωτίζῃ μόνον, οὐδ' ὅταν χρυσίον καθαίρῃ, ἀλλὰ καὶ ὅταν ἀκάνθας δαπανᾷ τὴν ἑαυτοῦ ἰσχὺν ἐπιδείκνυται.

16. Καὶ πρὸς ταῦτα τίς ἱκανός;

Πρὸς τὰ ῥηθέντα κατορθώματα, ὑπὲρ ὧν ηὐχαρίστησεν ἀνωτέρω. Τίς ἄνθρωπος ἱκανός ἐστι πρὸς κατόρθωσιν αὐτῶν; Ὄντως οὐδείς. Λοιπὸν οὖν τὸ πᾶν τῆς τοῦ Χριστοῦ δυνάμεώς ἐστι, δι' ἡμῶν ταῦτα κατορθούσης καὶ ἐνισχυούσης ἡμᾶς εἰς κατόρθωσιν αὐτῶν.

17. Οὐ γάρ ἐσμεν, ὡς οἱ λοιποί, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ,

Παραφθείροντες τὸ κήρυγμα καὶ τὰς ἐντολὰς αὐτοῦ τῷ παραμιγνύειν αὐτοῖς νόθα τινὰ καὶ ἀλλότρια, καί, ὥςπερ οἱ κάπηλοι τῷ οἴνῳ ὕδωρ, καὶ οἷον ἐξυδαροῦντες τὸν λόγον διὰ ψυχρολογίας καὶ μωρᾶς διδασκαλίας, ἢ πωλοῦντες αὐτὸν τῷ πρὸς χάριν λέγειν καὶ μὴ πρὸς ἀλήθειαν, ἀλλ' αἰσχροκερδῶς ὁπωςδήποτε. Αἰνίττεται δὲ τοὺς ψευδαποστόλους.

17. Ἀλλ' ὡς ἐξ εἰλικρινείας,

Ἀλλ' ὡς ἐκ καθαρότητος διδάσκομεν· τουτέστιν ἀδόλως. Οἷον

γὰρ ἐπιστεύθημεν, τοιοῦτον παρέχομεν ἄκρατον τὸν λόγον, προτείνοντες καὶ ποτίζοντες.

17. Ἀλλ' ὡς ἐκ Θεοῦ, κατ' ἐνώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

Ἀλλὰ λαλοῦμεν καὶ διδάσκομεν οὐχ ὡς ἐξ ἡμῶν λαλοῦντες, οὐδ' ὡς ἴδια παραμιγνύντες, ἀλλ' ὡς ἐκ Θεοῦ ἐνηχηθέντες καὶ ὡς ἐκ Θεοῦ παραλαβόντες ἃ κηρύσσομεν. Λαλοῦμεν δὲ ταῦτα, ἤτοι τὰ τοῦ Θεοῦ, «κατ' ἐνώπιον τοῦ Θεοῦ», τουτέστιν ἐφορῶντος καὶ ἀκούοντος. Λαλοῦμεν δὲ ταῦτα ἐν Χριστῷ δυναμούμενοι, διὰ Χριστοῦ εὐοδούμενοι· οἱ γὰρ ψευδαπόστολοι οὐ μόνον παρεμίγνυον ἴδια, ἀλλὰ καὶ ἐνεκαυχῶντο τούτοις. Ἐπεὶ δὲ μεγάλα περὶ ἑαυτοῦ ἐφθέγξατο, καὶ ἔδοξεν ὥςπερ συνιστάνειν ἑαυτὸν καὶ γνωρίζειν τοῖς Κορινθίοις, ἐπήγαγεν·

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

1. Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν;

Ὡς δόξει τισὶν ἴσως, ἅτε προςμαρτυροῦντες ἑαυτοῖς τηλικαῦτα. Ἀλλ' οὐ τοῦτο βουλόμεθα.

1. Ἢ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν;

Κατ' ἐρώτησιν ὁ λόγος. Ἆρα δεόμεθα γραμμάτων συνιστώντων ἡμᾶς πρὸς ὑμᾶς; ἤτοι γνωρίμους ποιούντων καὶ ἀπαγγελλόντων ὁποῖοί ἐσμεν, ὥς τινες δέονται τοιούτων; Λέγει δὲ τοῦτο περὶ τῶν ψευδαποστόλων, οἵ, μὴ δυνάμενοι ἀπὸ φανερῶν ἔργων συνίστασθαι, συστατικῶν ἐπιστολῶν ἐδέοντο, γραφομένων ἀπ' ἐκείνων τῶν πιστευόντων πρὸς τούτους, καὶ ἀπὸ τούτων αὖθις πρὸς ἄλλους, αἳ προςεμαρτύρουν αὐτοῖς πολλὰ καὶ μεγάλα. Ἢ πάλιν· μὴ χρῄζομεν συστατικῶν ἐπιστολῶν ἐξ ὑμῶν γραφομένων πρὸς ἄλλους περὶ ἡμῶν;

2. Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε,

Τοσοῦτον ἀπέχομεν τοῦ δεῖσθαι συστατικῆς ἐπιστολῆς πρὸς ὑμᾶς, ὥςτε καὶ ἡ πρὸς ἄλλους συστατικὴ ἡμῶν ἐπιστολή, ἡ μαρτυροῦσα περὶ ἡμῶν, ὑμεῖς αὐτοί ἐστε. Ὅπερ γὰρ ἂν ἐποίησαν τὰ γράμματα συνιστῶντα ἡμᾶς τισι καὶ αἰδεσίμους ποιοῦντα, τοῦτο ποιεῖτε ὑμεῖς, ὁρώμενοί τε καὶ ἀκουόμενοι. Μαθητῶν γὰρ ἀρετὴ κηρύττειν καὶ κοσμεῖν εἴωθε τὸν διδάσκαλον.

2. Ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν,

Ἐπιστολὴ δὲ οὐχ οἷα τε ἀπορριφθῆναι κατὰ τὰς ἄλλας ἐπιστολάς, ἀλλ᾽ ἀναπόβλητος καὶ ἐγκεκολαμμένη ταῖς καρδίαις ἡμῶν, ἐχόντων τὴν μνήμην καὶ τὴν ἀγάπην ὑμῶν ἐγκάρδιον καὶ ἀεὶ περιφερόντων.

2. Γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ τῶν ἀνθρώπων (*)·

Γινωσκόντων μὲν ὑμᾶς ἀπὸ τῶν ἀρετῶν, ἀναγινωσκόντων δὲ τὰ περὶ ἐμοῦ ἀφ᾽ ὑμῶν, ὥςπερ ἀπό τινος ἐπιστολῆς συστατικῆς. Ὑμᾶς μὲν γὰρ γνωρίμους πᾶσι ποιεῖ τὰ καλὰ ἔργα· ὑμεῖς δὲ δίκην ἐπιστολῆς συνιστάνετε ἐμέ, καθὼς ἀνωτέρω εἴρηται· ἔπαινος γὰρ διδασκάλου μαθητῶν εὐδοκίμησις. Ἢ καὶ ἑτέρως· οὓς πάντες γινώσκουσι καὶ ἀναγινώσκουσιν ἀπὸ τῶν καρδιῶν ἡμῶν, αἷς ἐγγεγραμένοι ἐστέ. Ἀεὶ γὰρ καὶ πανταχοῦ ὑμᾶς ἀνακηρύττομεν, καὶ τὰ ὑμέτερα διηγούμεθα κατορθώματα.

3. Φανερούμενοι, ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ,

Τὸ «φανερούμενοι» πρὸς τὸ «ὑμεῖς ἐστε» ἀναφέρεται. Ἀνωτέρω μὲν οὖν ἐπιστολὴν ἑαυτοῦ τούτους ὠνόμασεν, ὡς συνιστῶντας αὐτόν· ἐνταῦθα δὲ ἐπιστολὴν Χριστοῦ, ὡς ἔχοντας ἐγγεγραμμένας ἑαυτοῖς τὰς ἐντολὰς τοῦ Χριστοῦ. «Φανερούμενοι», φησίν, ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ ἀπὸ τοῦ φέρειν ἐγκεχαραγμένους ταῖς καρδίαις ὑμῶν τοὺς νόμους τοῦ Χριστοῦ.

(*) Ἐν ἄλλ. «ὑπὸ πάντων ἀνθρώπων». Ἀλλ᾽ ἐκ τῶν ἐν τῇ ἐξηγήσει *οὓς πάντες γινώσκουσι καὶ ἀναγινώσκουσιν* εἰκάσειεν ἄν τις καὶ τὸν Συγγραφέα οὕτως ἀνεγνωκέναι.

3. Διακονηθεῖσα ὑφ' ἡμῶν,

Ἀπαρτισθεῖσα ὑφ' ἡμῶν τῶν Ἀποστόλων. Ὥςπερ γὰρ ὁ Μωϋσῆς τοὺς λίθους καὶ τὰς πλάκας ἐκόλαψεν, οὕτως ἡμεῖς τὰς καρδίας ὑμῶν.

3. Ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις,

Ἔχουσα τὰ γράμματα οὐ διὰ μέλανος, ἀλλὰ διὰ τοῦ ἁγίου Πνεύματος. Ἀλλὰ τὸ μὲν γραφῆναι ἴσον· καὶ γὰρ καὶ ἐκεῖναι ὑπὸ τοῦ Θεοῦ ἐγράφησαν, καὶ αὕτη ὑπὸ τοῦ θείου Πνεύματος. Ἡ δὲ διαφορά, ὅτι ἐκεῖναι μὲν μέλανι, αὕτη δὲ Πνεύματι. Κἀκεῖναι μὲν πλάκες λίθιναι, αὕτη δὲ καρδίαι σάρκιναι. Διὸ καὶ ἐπήγαγεν·

3. Ἀλλ' ἐν πλαξὶ καρδίαις σαρκίναις.

Ἀλλ' ἐν πλαξί, λέγω δὴ καρδίαις σαρκίναις. Τινὰ δὲ τῶν ἀντιγράφων «καρδίας» γράφουσιν· ἵνα ᾖ, ἀλλ' ἐν πλαξὶ καρδίας, οὔσαις δηλονότι σαρκίναις. Ὅσον δὲ τὸ μέσον μέλανος καὶ πνεύματος, λιθίνης πλακὸς καὶ σαρκίνης, τοσοῦτον τὸ διάφορον τῶν τότε δεξαμένων τοὺς νόμους ἀνθρώπων καὶ τῶν νῦν, ἀκολούθως δὲ καὶ τοῦ διακονήσαντος ἐκείνοις Μωϋσέως καὶ τῶν διακονησάντων τούτοις Ἀποστόλων· ἐφ' ὧν γὰρ τὰ πράγματα μείζονα, ἐπὶ τούτων καὶ οἱ διάκονοι μείζους.

4. Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν.

Θάρρος δὲ τοιοῦτον ἔχομεν πρὸς τὸν Θεόν, ὅτι ἡμεῖς διηκονήσαμεν τῷ πράγματι, ὡς εἰρήκαμεν. Ἔχομεν δὲ τὸ θάρρος τοῦτο διὰ τοῦ Χριστοῦ, δι' οὗ καὶ τὰ ἄλλα πάντα.

5. Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν,

Θαρροῦμεν δὲ οὕτως, ὡς εἴρηται, οὐχ ὅτι ἱκανοί ἐσμεν λογίσασθαί τι καὶ ἐπινοήσασθαί τι κατόρθωμα ἀφ' ἑαυτῶν, ὡς ἐξ ἑαυτῶν γίνεσθαι τοῦτο, ὡς οἴκοθεν κατορθοῦσθαι.

5. Ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ Θεοῦ.

Ἀλλὰ πεποίθαμεν οὕτως, διότι ἡ δύναμις ἡμῶν ἡ ἐν τοῖς τοιούτοις μεγάλοις καὶ θαυμαστοῖς ἐκ Θεοῦ ἐστι, καὶ οὐκ ἐξ ἡμῶν. Ὅρα πῶς ἐπιδιωρθώσατο τὴν ὑποψίαν τῆς μεγαλορρημοσύνης.

6. Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς Διαθήκης,

Τί ἐστιν «ἱκάνωσε»; δυνατοὺς ἐποίησεν· ἐπιτηδείους διακόνους καινῶν ἐντολῶν.

6. Οὐ γράμματος, ἀλλὰ πνεύματος·

Οὐ διὰ γράμματος διδομένων, ὡς ἡ παλαιὰ Διαθήκη, ἀλλὰ διὰ Πνεύματος, τουτέστι σὺν ἁγίῳ Πνεύματι παρεχομένων. Οὐ γὰρ Πνεῦμα ἐκόμισε τοῖς Ἑβραίοις ὁ Μωϋσῆς. Οἱ δὲ Ἀπόστολοι μετὰ τοῦ κηρύγματος καὶ Πνεῦμα παρεῖχον· διὰ γὰρ τῆς ἐπιθέσεως τῶν ἀποστολικῶν χειρῶν Πνεῦμα ἅγιον ἐδίδοτο, καθὼς ἐδίδαξεν ἡ βίβλος τῶν Πράξεων (α). Ἐπεὶ δὲ ἀφορμῆς δραξάμενος ἐνδιατρίβει τῇ συγκρίσει τῆς καινῆς Διαθήκης πρὸς τὴν Παλαιάν, θεὶς τὰς ἤδη ῥηθείσας διαφορὰς αὐτῶν, νῦν ἐπάγει τὴν μεγίστην, δι' ἧς φανεροῖ τὸ μεγαλεῖον τῆς Καινῆς καὶ τὴν διαφερόντως ὑπεροχὴν καί φησι·

6. Τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ.

«Γράμμα» μὲν λέγει τὸν παλαιὸν Νόμον, ὡς γραπτόν· ὁ γὰρ φυσικὸς νόμος ἄγραφός ἐστι, πρὸς ὃν ἀντιδιαστελλόμενος γραπτὸς οὗτος ὠνομάσθη. «Πνεῦμα» δὲ τὴν Καινήν, ὡς διὰ Πνεύματος ἁγίου ταῖς καρδίαις τῶν ἀξίων ἐγγραφομένην. Καὶ ἄλλως γὰρ οὔπω τὰ εὐαγγέλια συνεγράφησαν· ὁ μὲν οὖν παλαιὸς Νόμος, ἐὰν λάβῃ πλημμελοῦντα μεγάλην ἁμαρτίαν, ἀναιρεῖ τοῦτον ἢ λίθοις ἢ ἑτέρῳ θανάτῳ· ὁ δὲ καινὸς τὸν θανατωθέντα διὰ μεγάλης ἁμαρτίας μᾶλλον ζωοῖ· διὰ γὰρ τοῦ βαπτίσματος ἀποκαθαίρων αὐτὸν ἐλευθεροῖ τοῦ ταύτης θανάτου, νῦν δὲ καὶ διὰ μετανοίας. Ἐννόησον τοίνυν ἡλίκον τὸ ἀξίωμα τῆς Καινῆς. Ἐπεὶ δὲ τοῖς Ἰουδαίοις ἐδόκει μέγα τὸ δοξασθῆναι τὸ πρόσωπον Μωϋσέως, διακομίσαντος τὸν νόμον, σπεύδει καὶ τοῦτο τοῦ Νόμου τὸ προτέρημα ἐλαττῶσαι καὶ τίθησι λογισμοὺς αὐτὸ τοῦτο κατασκευάζοντας·

(α) Πράξ. η', 18.

Δ' Περὶ τῆς κατὰ πνεῦμα λειτουργίας καὶ δόξης θειοτέρας τῆς κατὰ νόμον.

7. Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥςτε μὴ δύνασθαι ἐνατενίσαι (*), τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως διὰ τὴν δό-
8. ξαν τοῦ προςώπου αὐτοῦ, τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ;

«Διακονίαν τοῦ θανάτου» λέγει τὸν παλαιὸν Νόμον, ὡς ὑπάγοντα τῷ θανάτῳ τὸν ἁμαρτήσαντα· ἡ μὲν γὰρ ἁμαρτία ποιητικὴ θανάτου, ὁ δὲ νόμος ἐπακτικὸς θανάτου. Ὥςπερ τοίνυν ὁ τὸ ξίφος ἐπάγων τῷ καταδικασθέντι οὐκ αὐτός ἐστιν ὁ ἀναιρῶν, διὸ οὐδὲ ὡς ἀνδροφόνος κολάζεται, καίτοι αὐτὸς ἀποτέμνων, ἀλλ' ἡ ἁμαρτία τοῦτον ἀναιρεῖ (αὕτη γὰρ προηγουμένως αὐτοῦ κατεψηφίσατο θάνατον), οὕτω καὶ ὁ νόμος ὑπηρέτης ὢν τῆς ἀποφάσεως ὑπάγει τῇ κολάσει καὶ ἐπάγει τὸν ἤδη ψηφισθέντα θάνατον, κολάζων μὲν τὸν προκαταδικασθέντα, ἀνελεῖν δὲ σπεύδων τὴν καταδικάζουσαν ἁμαρτίαν, τῷ δέει τῆς τιμωρίας ἀναστελλομένων τῶν ἀνθρώπων καὶ φευγόντων αὐτήν. «Διακονίαν δὲ τοῦ Πνεύματος» πάλιν λέγει τὴν καινὴν Διαθήκην, ὡς παρεκτικὴν Πνεύματος ἁγίου, καθὰ προείρηται. Ἔστι δὲ ὁ λογισμὸς τοιοῦτος· εἴπερ ὁ Νόμος διὰ γραμμάτων ἐντετυπωμένος ἐν λιθίναις πλαξὶν ἐγενήθη τοσοῦτον ἔνδοξος, ὥςτε μὴ δύνασθαι τοὺς Ἰσραηλίτας ἀτενίσαι εἰς τὸ πρόσωπον τοῦ κομίσαντος αὐτὸν Μωϋσέως διὰ τὴν λαμπρότητα τοῦ προςώπου αὐτοῦ τὴν πρόςκαιρον (τοῦτο γὰρ δηλοῖ νῦν τὸ «τὴν καταργουμένην»), πῶς οὐχὶ μᾶλλον ἔσται ἐν δόξῃ ἡ καινὴ Διαθήκη; Ὁ μὲν γὰρ θάνατον παρεῖχε τοῖς ἁμαρτήσασιν· αὕτη δὲ μετὰ τῆς ζωῆς καὶ Πνεῦμα ἅγιον. Κἀκείνη μὲν ἡ δόξα καὶ αἰσθητὴ ἦν καὶ πρόςκαιρος, αὕτη δὲ καὶ νοητὴ καὶ ἀΐδιος. Τὸ μέντοι «ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις» πρὸς ἐλάττωσιν πλείονα τέθεικεν, ὡςανεὶ λέγων, ὅτι ὁ νόμος ὁ μωσαϊκὸς στῆλαί ἐστι καὶ γράμματα θάνατον τοῖς παραβαίνουσιν αὐτὰ φέρουσαι. Ὁμοίως δὲ καὶ τὸ «τὴν καταργουμένην». Ἔτι δὲ καὶ τὸ μὴ δύνασθαι ἀτενίσαι τοὺς

(*) Ἐν ἄλλ. «ἀτενίσαι». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς οὕτως ἐν τῇ ἐξηγήσει.

υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως ταλαιπωρίαν καταγινώσκει τῶν τότε Ἰσραηλιτῶν, ὡς ἐξ ἀσθενείας τοῦτο πασχόντων καὶ χαμαιζηλίας.

9. Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ.

Τὸ αὐτὸ περιστρέφει πάλιν λέγων συνοπτικώτερον ὅτι, εἴπερ ὁ τὴν κατάκρισιν τῶν ἁμαρτανόντων φέρων Νόμος ἔνδοξος γέγονε, πολλῷ μᾶλλον περισσεύει ἐν δόξῃ ἡ τὴν δικαίωσιν παρέχουσα καινὴ Διαθήκη. Καὶ τοσοῦτον περισσεύει, ὅσον ζωὴ κρείττων ἐστὶ θανάτου. Συγκρίνας δὲ οὕτω καὶ δείξας ἔνδοξον μὲν τὴν Παλαιάν, ἐνδοξοτέραν δὲ πολλῷ τὴν Νέαν, ἔτι προςτίθησιν ὅτι τοσαύτη τῆς Νέας ἡ διαφορὰ καὶ δόξα, ὥςτε ἐν συγκρίσεως λόγῳ οὐδὲ δόξαν ἔχειν ἡ Παλαιὰ δόξει, καίτοι δεδοξασμένη οὖσα. Διὸ καὶ ἐπήγαγε·

10. Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης.

Καὶ γὰρ «τὸ δεδοξασμένον», ἤγουν ὁ παλαιὸς Νόμος, «ἐν τῷ μέ» ρει», τῷ τῆς συγκρίσεως δηλονότι καὶ ἀντιπαραθέσεως, «οὐ δεδό» ξασται»· οὐ δοκεῖ δεδοξάσθαι. Διὰ τί; διὰ τὴν ὑπερβάλλουσαν δόξαν τῆς Καινῆς, ἐπισκιάζουσαν καὶ ἀποκρύπτουσαν τὴν ἐκείνου δόξαν, ὡς τὸ φῶς τοῦ ἡλίου τοῦ τῶν ἄλλων ἀστέρων. Εἶτα δείκνυσι καὶ ἄλλην ὑπεροχὴν ἀπὸ τοῦ χρόνου·

11. Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ.

Εἰ δὲ ὁ παυόμενος ἤδη Νόμος γέγονε «διὰ δόξης», ἤγουν δεδόξασται (τούτου γὰρ ἦν τύπος τὸ Μωϋσέως πρόσωπον), πολλῷ μᾶλλον «ἐν δόξῃ» ἐστὶ τὸ μένον διηνεκῶς, ὅ ἐστιν ἡ καινὴ Διαθήκη. Οὐ διαβάλλει δὲ τὰ ῥηθέντα τὴν Παλαιάν, ἀλλὰ καὶ σφόδρα συνίστησιν· αἱ γὰρ συγκρίσεις ἐπὶ τῶν συγγενῶν εἰώθασι γίνεσθαι. Καὶ ἄλλως δὲ οὐ φαύλην ἐκείνην ἀποφαίνουσιν, ἀλλὰ τὴν Νέαν ὑπερβαλλόντως ὑψηλοτέραν. Ἔστι γὰρ καὶ καλοῦ κάλλιον, καὶ ὠφελίμου ὠφελιμώτερον.

12. Ἔχοντες τοίνυν τοιαύτην ἐλπίδα,

Τὴν ὅτι μειζόνως ἢ Μωϋσῆς ἠξιώθημεν ἡμεῖς οἱ διακομίζοντες τὴν νέαν Διαθήκην.

12. Πολλῇ παρρησίᾳ χρώμεθα·

Πρὸς ὑμᾶς τοὺς μαθητὰς ἡμῶν· τουτέστι μετ' ἐλευθερίας φθεγγόμεθα, οὐδὲν ἀποκρυπτόμενοι, ἀλλ' ἀνακεκαλυμμένως διδάσκοντες. Οὐδὲ γὰρ δεδοίκαμεν μὴ πλήξομεν τὰς ὄψεις ὑμῶν· δυνατοὶ γὰρ ὑμεῖς ἐνατενίζειν ἡμῖν, καίτοι πλείονα καὶ φαιδροτέραν δόξαν περικειμένοις ἢ Μωϋσῆς.

13. Καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου.

Ἱστόρηται ἐν τῇ Ἐξόδῳ (α) ὅτι, ὅτε ἐκ δευτέρου τὰς πλάκας λαβὼν ὁ Μωϋσῆς κατῄει ἐκ τοῦ ὄρους, δόξα τις ἐκπηδῶσα τοῦ προςώπου αὐτοῦ τοσοῦτον ἀπέλαμπεν, ὡς μὴ δύνασθαι τοὺς Ἰσραηλίτας ἐνατενίζειν αὐτῷ· ὃ παρὰ τοῦ λαοῦ μαθών, ὅτε μὲν ἔμελλεν αὐτοῖς ὁμιλεῖν, ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ διὰ τὴν ἀσθένειαν τῶν ὄψεων αὐτῶν. Ὅταν δὲ εἰςεπορεύετο ἐναντίον Κυρίου λαλεῖν, περιῄρει τὸ κάλυμμα, ἕως τοῦ ἐκπορεύεσθαι αὐτόν. Ἡ μὲν οὖν ἱστορία τοιαύτη, ὡς ἐν συνόψει. Λέγει δὲ ὁ Ἀπόστολος ὅτι, οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, τιθέαμεν ἡμεῖς· τοῦτο γὰρ ἀπὸ κοινοῦ κατὰ τὸ ἀκόλουθον προςυπακούεται. Τὸ δὲ ἐφεξῆς αἰτιολογία τῆς καλύψεως ἐκείνου· διὰ γὰρ τὸ μὴ ἀτενίσαι δύνασθαι αὐτούς, ἢ ὥςτε μὴ ἀτενίσαι καὶ πληγῆναι τὰς ὄψεις αὐτῶν. « Ἀτενίσαι δὲ εἰς τὸ τέλος τοῦ καταργουμένου »· τουτέστιν εἰς τὸ πρόσωπον αὐτοῦ, τὸ ὂν τέλος τοῦ παυθέντος ἤδη νόμου, ἤγουν τὸ τυποῦν καὶ εἰκονίζον τὸ τέλος τοῦ παυομένου Νόμου. Ὥςπερ γὰρ τὸ πρόςωπον ἐκεῖνο παρῆλθε καὶ πέπαυται, οὕτω καὶ ὁ Νόμος τέλος ἔχει καὶ πέπαυται.

14. Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν·

Ἀλλ' ἡ ἀσθένεια τῶν ὀμμάτων ἐκείνων πώρωσιν τῶν νοημάτων αὐτῶν ᾐνίττετο καὶ ἀμβλυωπίαν τῶν νοητῶν ὀμμάτων ὑπεδήλου· ὥςπερ γὰρ τὸ κάλυμμα μὲν ἔβλεπον, τὸ δὲ πρόσωπον ἰδεῖν οὐκ ἠδύναντο, οὕτως ἄρα καὶ τὸ φαινόμενον μὲν τοῦ νόμου καὶ παχύτερον

(α) λδ', 33. 34.

καὶ κατ' αἴσθησιν λαμβανόμενον ἐνόουν, τὸ δὲ ὑποκρυπτόμενον καὶ λεπτότερον καὶ κατὰ θεωρίαν ὑψηλοτέραν λαμβανόμενον νοεῖν οὐκ ἠδύναντο. Ὅπερ δὲ οἱ τότε ἔπασχον διὰ τὴν ἀσθένειαν καὶ πώρωσιν τῆς διανοίας αὐτῶν, τοῦτο μέχρι καὶ νῦν πάσχουσιν οἱ ἀπ' ἐκείνων.

14. Ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης μένει,

Ἀφ' ὧν ἐδόκουν Ἰουδαῖοι πλεονεκτεῖν, λέγω δὴ τοῦ τὴν ὄψιν Μωϋσέως ἐξαστράπτειν, ἀπὸ τούτων μᾶλλον καταβάλλει τὸ τούτων φύσημα, δεικνύων αὐτοὺς ἀμβλυωποῦντας διὰ τὸ παχὺ καὶ χαμαιπετὲς αὐτῶν, μὴ δυναμένων ὑψηλότερον ἀρθῆναι δι' ὑψηλοτέρων νοημάτων. Ἄχρι γὰρ καὶ νῦν, φησί, τὸ αὐτὸ κάλυμμα μένει ἐπὶ τῇ παρὰ τοῖς Ἰουδαίοις ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης· «τὸ αὐτὸ» δέ, ὅπερ καὶ ἐπὶ τῇ ἀναγνώσει τῇ παρὰ τοῖς ἐπὶ Μωϋσέως Ἑβραίοις· ἢ ὅπερ καὶ ἐπὶ τῷ προςώπῳ Μωϋσέως. Τὸ αὐτὸ δὲ κατὰ τὴν ἐνέργειαν, καὶ ὅσον ἐπὶ τῷ καλύπτειν τὸ ὑποκείμενον. «Κάλυμμα» δὲ λέγει οὐ τὴν ἀσάφειαν τῶν γεγραμμένων (ἦν γὰρ ἂν τοῦ Νόμου τοῦτο κατηγορία), ἀλλὰ τὴν ἀσθένειαν τῶν ὀμμάτων καὶ τὴν πώρωσιν τῆς διανοίας αὐτῶν· ταῦτα γὰρ οἷόν τι μεσότοιχον ἢ προκάλυμμα τὴν θεωρίαν τῶν ὑποκειμένων ἀποκωλύουσιν, ὅπερ ἐστὶν ἔγκλημα τῶν ἀναγινωσκόντων, ἀμβλυωπούντων ἐκ καχεξίας. Διὰ τοῦτο γὰρ οὐκ εἶπεν ὅτι, ἐπὶ τῷ νόμῳ μένει, ἀλλ' «ἐπὶ τῇ ἀναγνώσει» τοῦ νόμου.

14. Μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται.

Μὴ γνωριζομένου τούτοις ὅτι διὰ Χριστοῦ πέπαυται ὁ μωσαϊκὸς νόμος. Ἀντὶ γὰρ πλαγίας συντάξεως λαμβάνεται τὸ «μὴ ἀνακαλυ»πτόμενον». Τοῦ γὰρ εἰρημένου καλύμματος ἐμποδίζοντος, οὐ συγχωρεῖται τοῦτο ἀνακαλυφθῆναι καὶ ἐμφανισθῆναι τοῖς ἀναγινώσκουσιν Ἰουδαίοις. Καὶ ποῦ τοῦ νόμου τοῦτο κείμενον οὐχ ὁρᾶται τούτοις; Ποῦ; Ἔν τε ἄλλοις τόποις καὶ ἔνθα φησὶν ὁ νομοθέτης Μωϋσῆς. «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, » αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν ἐντελεῖται ὑμῖν· καὶ ἔσται » πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ Προφήτου ἐκείνου, ἐξολοθρευ» θήσεται» (α). Τὸ τοίνυν «ὡς ἐμὲ» ἀντὶ τοῦ «νομοθέτην». Τοιοῦ-

(α) Δευτερον. ιη', 15.

τος δὲ ὁ Χριστός, ὃς ἐλθὼν ἔδωκεν ἐντολὰς παυούσας τὴν σωματικὴν περιτομὴν καὶ τὸ σωματικὸν σάββατον καὶ ὅσα σωματικὰ τῆς Νομικῆς λατρείας, καὶ πάντα τὰ τυπικὰ καὶ σκιώδη.

15. Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται.

«Μωϋσῆν» ἐνταῦθα τὸν μωσαϊκὸν νόμον λέγει· Νόμος δὲ λέγεται καὶ ὅλη ἡ Πεντάτευχος Μωϋσέως. Ὁρᾷς πῶς εἶπεν ὅτι ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, καὶ οὐκ ἐπὶ τὰ γράμματα; Ἐπεὶ καὶ τὸ κάλυμμα τὸ κείμενον ἐπὶ τὸ πρόσωπον Μωϋσέως, οὐ τῆς ὄψεως Μωϋσέως κάλυμμα ἦν, ἀλλὰ τῆς τῶν Ἑβραίων· οὐ γὰρ ἵνα κρύπτηται ἡ δόξα αὐτοῦ, ἀλλ' ἵνα μὴ βλέπωσιν ἐκεῖνοι· οὐ γὰρ ἐχώρουν τὴν ὄψιν. «Καρδίαν» δὲ νοήσεις νῦν τὴν ἀνωτέρω ῥηθεῖσαν «διάνοιαν».

16. Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα.

Ὥςπερ ὁ Μωϋσῆς, ὅτε εἰςεπορεύετο ἐναντίον Κυρίου, ὡς προείρηται, περιῃρεῖτο τὸ κάλυμμα, οὕτω καὶ σοί (α), ὦ Ἰουδαῖε, ἡνίκα ἂν ἐπιστρέψῃς πρὸς Κύριον, ἀποστὰς τοῦ νόμου, περιαιρεῖται τὸ ἐπικείμενον τῇ διανοίᾳ σου κάλυμμα· τύποι γὰρ ἐκεῖνα τούτων. Καὶ τότε λοιπὸν ἀκωλύτως βλέπεις, ἃ πρότερον ἰδεῖν οὐκ ἠδύνω. Καὶ οὐ τὰ ῥήματα τοῦ νόμου μόνον, ἅπερ ἐοίκασι σώματι, ἀλλὰ καὶ τὰ νοήματα, ἅπερ εἰσὶν οἱόν τις τούτου ψυχή.

17. Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν·

Ὁ δὲ ῥηθεὶς Κύριος, πρὸς ὃν ἐπιστρέψεις, τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν, αὐτὸς ὁ Παράκλητος. Καὶ ἀνωτέρω γὰρ περὶ τούτου διελέγετο ἐν ἄλλοις τε καὶ ἐν τῷ λέγειν ὅτι «ἐγγεγραμένη οὐ μέλανι, » ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος».

17. Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.

Ὅπου δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ, τὸ ἐξ αὐτοῦ ἐκπορευόμενον, ἐκεῖ ἐλευθερία. Ὥςπερ ὅπου ὁ μωσαϊκὸς νόμος, ἐκεῖ ζυγὸς καὶ δουλεία, διὰ τὰς ἀπηρτημένας ἀπὸ τούτου σωματικὰς πληγάς. Ὅπου, φησίν,

(α) Τὸ χειρόγρ. «σύ».

ἐστὶ τὸ ἅγιον Πνεῦμα διὰ τῆς πνευματικῆς νομοθεσίας, διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, διά τινος πνευματικοῦ χαρίσματος.

18. Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα

Ἡμεῖς δὲ πάντες οἵ τε διακομίζοντες τὸ κήρυγμα Ἀπόστολοι οἵ τε δεχόμενοι τοῦτο μαθηταὶ ἡμῶν ἀκαλύπτῳ προσώπῳ ψυχῆς καὶ ἀμεσολαβήτῳ τὴν δόξαν Κυρίου βλέποντες τοῖς νοεροῖς ὀφθαλμοῖς, λέγω δὴ τὴν ἔλλαμψιν τοῦ ἁγίου Πνεύματος, τὴν αὐτὴν ὁμοίωσιν πάντως μεταμορφούμεθα· βαπτιζομένων γὰρ καθαίρονται ἡμῶν αἱ ψυχαὶ προηγουμένως, καὶ καταυγασθεῖσαι τῇ αἴγλῃ τοῦ ἁγίου Πνεύματος οὐ μόνον ὁρῶσιν αὐτήν, ἀλλὰ καὶ μεταμορφοῦνται πρὸς αὐτήν, ἐκλάμπουσαι καὶ αὐταὶ καὶ ὁμοίως ἐκείνῃ ἀπαστράπτουσαι, καθάπερ χρυσὸς καθαρὸς καὶ ἄργυρος, ἡλιακῆς ἀκτῖνος προςβαλούσης, τὴν ὁμοίαν ἀποπέμπει λαμπηδόνα· ὃ καὶ ἀντιπέμπειν λέγεται. «Τὴν αὐ»τὴν» μὲν οὖν εἶπε, διὰ τὸ πάσας τὰς ψυχὰς ἐπίσης ἀπὸ βαπτίσματος λαμπρύνεσθαι. «Εἰκόνα» δὲ τὴν τῆς λαμπηδόνος τῶν ψυχῶν ὁμοίωσιν πρὸς τὴν αἴγλην τοῦ ἁγίου Πνεύματος· ἡ γὰρ εἰκὼν οὐ παντάπασιν ἔοικε τῷ πρωτοτύπῳ. Καὶ τὸ «κατοπτριζόμενοι» δὲ τὸ ἐσοπτριζόμενοι δηλοῖ διὰ τὴν ἐνδότητα τῆς ψυχῆς.

18. Ἀπὸ δόξης εἰς δόξαν.

Μεταμορφούμεθα δὲ ἀπὸ δόξης καὶ λαμπρότητος τοῦ ἁγίου Πνεύματος εἰς δόξαν καὶ λαμπρότητα ἡμετέραν· ὥστε καὶ ἡμᾶς ἐξ αὐτοῦ δοξάζεσθαι καὶ λάμπειν κατὰ ψυχήν.

18. Καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

«Εἰς δόξαν», οἵαν εἰκὸς λάμπειν ἀπὸ Κυρίου· λέγω δὴ τοῦ Πνεύτος. Σημειωτέον δὲ πῶς διαφόρως ἐνταῦθα Κύριον τὸ Πνεῦμα καλεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ

Ε' Περὶ θείας δόξης καὶ τοῦ ἀκολούθου βίου, ὅτι τοῖς ἁγίοις γινώσκεται.

1. Ἔχοντες οὖν τὴν διακονίαν ταύτην,

Τὴν τοῦ κηρύγματος, τὴν τηλικαῦτα χαριζομένην·

1. Καθὼς ἠλεήθημεν,

Ἔχοντες δὲ ταύτην οὐκ ἐξ οἰκείων κατορθωμάτων, ἀλλ' ἀπὸ ἐλέους Θεοῦ, ὅς οὐ μόνον ἀπήλλαξεν ἡμᾶς κακῶν, ἀλλὰ καὶ τηλικοῦτον ἐπίστευσεν ἀγαθόν. Ἐπεὶ γὰρ μέγα εἶπε, τοὺς Ἀποστόλους προθεὶς Μωϋσέως, εἴ γε ὁ μὲν τῆς ἀπὸ τοῦ Νόμου δόξης μετέλαβεν, οἱ δὲ τῆς ἀπὸ τοῦ ἁγίου Πνεύματος, καὶ ὁ μὲν αἰσθητῆς, οἱ δὲ νοητῆς, μετριάζει συνήθως καὶ πάντα τῷ Θεῷ ἐπιγράφεται.

1. Οὐκ ἐκκακοῦμεν.

Οὐκ ἀποκάμνομεν πειραζόμενοι καὶ μυρία πάσχοντες, ἀλλ' ὑπομένομεν καὶ εὐχαριστοῦμεν.

2. Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης,

Ἀλλ' ἀπηρνησάμεθα τὰ κρυπτὰ ἔργα, ὅσα αἰσχύνουσι τὸν ἐργαζόμενον· ὅσα κρυφίως γινόμενα αἰσχύνουσι φανερούμενα. Αἰνίττεται δὲ κἀνταῦθα τοὺς ψευδαποστόλους, οἳ φανερῶς εὐλάβειαν ὑποκρινόμενοι κρυφίως ἡμάρτανον· ἀγαθὰ μὲν ἐπαγγελλόμενοι, φαῦλα δὲ πράττοντες.

2. Μὴ περιπατοῦντες ἐν πανουργίᾳ,

Ἐν ὑποκρίσει· καὶ ἄλλοι μὲν ὄντες, ἄλλοι δὲ φαινόμενοι.

2. Μηδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ,

Οὐκ ἐν τῷ βίῳ δὲ μόνον ἐφύγομεν τὴν διπλόην καὶ κακοήθειαν, ἀλλὰ καὶ ἐν τῷ κηρύγματι, καθαρὸν αὐτὸ προτείνοντες καὶ ἀμιγὲς νόθων καὶ ἀλλοτρίων δογμάτων καὶ διδαγμάτων.

2. Ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων,

Τῇ ἀποδείξει τῆς ἀληθείας καὶ τῶν πραγμάτων αὐτῶν γνωρίμους ποιοῦμεν ἑαυτοὺς πρὸς πᾶσαν γνῶσιν ἀνθρώπων, ἤγουν πρὸς πάντα ἄνθρωπον, συνορᾷν καὶ διαγινώσκειν δυνάμενον. Οὐ γὰρ πιστοῖς μόνοις, ἀλλὰ καὶ ἀπίστοις ἐσμὲν κατάδηλοι καὶ εἰς μέσον προκείμεθα, ὥςτε βασανίζειν πάντας τὰ καθ' ἡμᾶς, ὅς ἂν ἐθέλοιεν. Ἀπὸ ἀληθείας τοίνυν συνιστῶμεν ἑαυτοὺς καὶ οὐκ ἐξ ὑποκρίσεως καὶ πανουργίας.

2. Ἐνώπιον τοῦ Θεοῦ.

Τῇ φανερώσει τῆς ἀληθείας, τῆς ἐνώπιον τοῦ Θεοῦ φανερουμένης, ἐφορῶντος αὐτοῦ.

3. Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον·

Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον καὶ ἀγνοούμενόν τισιν ἀνθρώποις τὸ κήρυγμα, ὃ κηρύσσομεν, οὐκ εἰδόσι τὴν δύναμιν αὐτοῦ, ἐν τοῖς ἀπίστοις ἐστὶ κεκαλυμμένον διὰ τὴν ἐθελοτυφλότητα τούτων καὶ ἑκούσιον ἀναισθησίαν, τοῖς δὲ πιστοῖς γυμνὸν προκείμενον καταμανθάνεται.

4. Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων,

Τὸ μὲν «ἐν οἷς» ἀντὶ τοῦ διότι· τὸ δὲ ἑξῆς ὑπερβατόν. Διότι, φησίν, ὁ Θεὸς ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων τοῦ αἰῶνος τούτου· ὁ γὰρ μέλλων αἰὼν ὁ ἀΐδιος οὐκ ἔχει ἀπίστους, ἀλλὰ πάντες τοῦ παρόντος αἰῶνός εἰσιν. Εἰ βούλει δέ, καὶ «ὁ Θεὸς τοῦ αἰῶνος τούτου»· οὐ γὰρ τοῦτο δείκνυσιν αὐτὸν μόνον τοῦ αἰῶνος τούτου Θεόν· καὶ γὰρ καὶ Θεὸς τοῦ οὐρανοῦ λέγεται, καίτοι πάντων ὢν Θεός. Καὶ πάλιν «Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ» (α). Καὶ αὖθις «ὁ Θεὸς ὁ Θεός μου» (β) καί τοι οὐκ ἰδίως τινῶν ἢ τινός ἐστι Θεός, ἀλλὰ κοινῇ πάντων· τὸ γὰρ ὑπολαμβάνειν Θεὸν ἐνταῦθα τὸν διάβο-

(α) Ματθ. κβ', 32. — (β) Ψαλμ. κα', 1.

λον κληθῆναι ἀπεδοκίμασε παντάπασιν ὁ Χρυσόστομος (α). Ἀλλὰ πῶς ἐτύφλωσεν αὐτά; οὐκ ἐνεργήσας δηλαδὴ τὴν τύφλωσιν αὐτῶν, ἀλλ' ἀφεὶς καὶ παραχωρήσας σκοτισθῆναι. Ἰδίωμα τοῦτο τῆς Γραφῆς διὰ τὸ αὐτεξούσιον τὴν (β) παραχώρησιν ὡς ἐνέργειαν λέγειν. «Νοήματα» δὲ νόει μοι τὰ διανοήματα.

4. Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ,

Ὥςτε μὴ ἰδεῖν τὰ ἔνδον τοῦ κηρύγματος, ἵνα μὴ ὀφθαλμιῶντες τὸν νοῦν ἐπιτριβεῖεν, πλέον ἐντρανίζειν τῷ φωτὶ τῆς τοῦ Εὐαγγελίου γνώσεως ἀναγκαζόμενοι· τοῖς γὰρ τοιούτοις τὸ σκότος μᾶλλον φίλον, τὸ δὲ φῶς λυπηρόν. Τί δέ ἐστι «τῆς δόξης τοῦ Χριστοῦ»; ἤγουν τοῦ ἐνδόξου Χριστοῦ. Ἢ δόξαν νοήσεις τὸν σταυρόν, δι' οὗ πλέον ἐδοξάσθη· δόξαν γὰρ τοῦτον πολλαχοῦ καλεῖν εἰώθασιν οἱ Ἀπόστολοι.

4. Ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου Θεοῦ.

Εἰκὼν μέν, ἀλλ' ἀπαράλλακτος· «ὁ ἑωρακὼς γάρ, φησίν, ἐμὲ »ἑώρακε τὸν Πατέρα» (γ)· ὥςτε ὁ τοῦτον ἀγνοῶν ἀγνοεῖ καὶ τὸν Πατέρα.

5. Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν, Κύριον·

Οὐχ ἑαυτοὺς δημοσιεύομεν ἐπαίροντες, ὡς οἱ ψευδαπόστολοι, ἀλλὰ Χριστὸν Ἰησοῦν κηρύσσομεν, Κύριον ὄντα πάντων, ὡς Θεόν. Ἢ καὶ ἑτέρως· πρὸς τοὺς ἐπιβουλεύοντας αὐτοῖς ὁ λόγος. Μὴ γὰρ ἡμῖν μάχεσθε, φησίν; τῷ δι' ἡμῶν κηρυττομένῳ πολεμεῖτε· οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστόν. Ὥςτε ἡμῖν μαχόμενοι, τὰ ἐκείνου καταβάλλετε καὶ θεομαχεῖτε.

5. Ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν.

Τὸν μὲν Χριστὸν κηρύσσομεν Κύριον ἡμῶν καὶ ὑμῶν· ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ τὸν Χριστόν· διότι ἐκείνῳ ἔδοξεν οὕτω τιμῆσαι ὑμᾶς, ὅς καὶ ἀπέθανεν ὑπὲρ ὑμῶν. Καὶ τοσοῦτον ἀπέχομεν φιλοδοξίας, ὥςτε καὶ ὑμῖν ἑαυτοὺς ὑποτάττομεν δι' ἐκεῖνον.

(α) Ἐν λ. Τόμ. Ι', Ὁμιλ. Η', σελ. 455 — (β) Ἐκ τοῦ χειρογρ. λείπει τὸ ἄρθρον. — (γ) Ἰωάνν. ιδ', 9.

6. Ὅτι ὁ Θεὸς ὁ εἰπὼν «ἐκ σκότους φῶς λάμψαι», ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ

Πάλιν περὶ τῆς δόξης ἐκείνης διαλέγεται, τῆς ὑπερβαλλούσης τὴν δόξαν τοῦ προςώπου Μωϋσέως, καὶ δείκνυσιν αὐτὴν ἀστράπτουσαν ἐν ταῖς καρδίαις οὐ μόνον τῶν Ἀποστόλων, ἀλλὰ καὶ τῶν μαθητευομένων αὐτοῖς. Ἔλαμψε γάρ, φησίν, ἐν ταῖς καρδίαις ἡμῶν πάντων πρὸς τὸ φωτισθῆναι ταύτας τῷ φωτὶ τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ. Δόξαν δὲ ἐνταῦθα νοήσεις τὴν οἰκονομίαν τῆς θείας ἐνανθρωπήσεως, δι' ἧς ἐδοξάσθη οὐ μόνον ὁ ἐνανθρωπήσας Υἱός, ἀλλὰ καὶ ὁ εὐδοκήσας Πατήρ· ἢ αὐτὸν τὸν Χριστόν, ὅς ἐστι δόξα τοῦ Πατρός· δόξα γὰρ Πατρὸς ὁ Υἱός. Εἰρηκὼς δὲ ὅτι ὁ εἰπὼν «ἐκ σκότους φῶς »λάμψαι», ἀνήγαγε τὰς διανοίας αὐτῶν εἰς τὴν ἀρχαιογονίαν τοῦ φωτός· γέγραπται γὰρ ἐν βίβλῳ Γενέσεως ὅτι· «καὶ εἶπεν ὁ Θεὸς »γενηθήτω φῶς· καὶ ἐγένετο φῶς» (α). Τὸ δὲ «ἐκ τοῦ σκότους» οὐ τοῦτο βούλεται δηλοῦν, ὅτι τὸ σκότος ἐγέννησε τὸ φῶς· ἀλλ' ὅτι σκότους παρυποστάντος ἐπάνω τῆς ἀβύσσου, μετὰ τοῦτο ἐγένετο φῶς. Ἔν τισι δὲ τῶν ἀντιγράφων «ὃς ἔλαμψε» γέγραπται (β)· ἵν' εἴη τὸ «ὅς» ἀντὶ τοῦ οὗτος.

6. Ἐν προςώπῳ Ἰησοῦ Χριστοῦ.

Ἐν τῷ φωτὶ δὲ τῷ διὰ Ἰησοῦ Χριστοῦ παρεχομένῳ· καὶ οὗτος γὰρ αὐτοῦ χορηγὸς σὺν τῷ Πατρί. Περιφραστικὸν δὲ τὸ «ἐν προςώπῳ »Ἰησοῦ Χριστοῦ» ἀντὶ τοῦ ἐν Ἰησοῦ Χριστῷ.

ϛ' Περὶ τῆς κατὰ σῶμα ἀσθενείας καὶ τῆς τοῦ σώματος ἀποθέσεως καὶ ἐπαναλήψεως.

7. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν,

Τοῦτο δὲ θαυμαστόν, ὅτι τὴν ἀπόρρητον ταύτην δόξαν ἔχομεν ἐν

(α) Γέν. ά, 3. — (β) Λέγων ὁ Συγγραφεὺς ὅτι ἔν τισι τῶν ἀντιγράφων γέγραπται «ὅς (ἔλαμψεν)», ὑποδηλοῖ προφανῶς, ὅτι αὐτὸς διαγράφει τοῦτο, ὡς καὶ ὁ θεῖος Χρυσόστομος ποιεῖ ἐν λ. (Τόμ. Ι', Ὁμιλ. Η', σελ. 457). Ἀλλ' ἐν τῷ ἡμετέρῳ χειρογράφῳ κεῖται.

θνητῷ σώματι. Ὀστράκινον δὲ σκεῦος τὸ σῶμα ἡμῶν ὠνόμασεν οὐ μόνον διὰ τὴν ἀπὸ γῆς πλάσιν καὶ τὸ εὔθραυστον τῆς θνητῆς φύσεως, ἀλλὰ καὶ διὰ τὸ εὐεπηρέαστον θανάτῳ καὶ νόσοις καὶ ἀέρων ἀνωμαλίαις καὶ μυρίοις ἑτέροις πάθεσιν.

7. Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν.

Ἵνα ἡ ὑπερβολὴ τοῦ θαύματος, ὑπερβολὴ τῆς θείας δυνάμεως λογίζηται. Καὶ δεῖγμα ταύτης μέγιστον, ὅτι πήλινον σκεῦος τοσαύτην χωρεῖ λαμπρότητα καὶ τηλικοῦτον δύναται φυλάττειν θησαυρόν, καὶ ἵνα μὴ ὡς ἐξ ἡμῶν τοῦτο λογίζηται, ὡς οἴκοθεν τοῦτο δυναμένων. Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν· «θησαυρὸν» μὲν τὴν γνῶσιν τοῦ κηρύγματος διὰ τὴν σοφίαν· «ὀστράκινα δὲ σκεύη» τὰς λέξεις αὐτοῦ διὰ τὴν εὐτέλειαν καὶ τὸ τῆς τεχνικῆς κομψότητος ἄμοιρον. Οἱ γὰρ βλέποντες τοὺς κήρυκας τοῦ ἰδιωτικοῦ καὶ καταπεφρονημένου λόγου περιγινομένους τῶν σοφῶν καὶ νικῶντας εἰς τὸν Θεὸν ἀναφέρουσι τὴν ἰσχύν, καὶ οὐκ εἰς τοὺς κηρύττοντας, καὶ διὰ τῶν ἀσθενῶν, κρατούντων, ἡ θεία δύναμις ἐκηρύττετο.

8. Ἐν παντὶ θλιβόμενοι,

Ἔτι δὲ θαυμαστόν, ὅτι καὶ μυρία πάσχοντες δεινά, καὶ πανταχόθεν βαλλόμενοι, τηροῦμεν τὸν θησαυρὸν καὶ οὐκ ἀπόλλυμεν αὐτόν· καίτοι εἰ καὶ ἀδαμάντινον τὸ σκεῦος ἦν, οὐκ ἂν πρὸς τοσαύτας ἀντέσχεν ἐπιβουλάς. Νῦν δὲ καὶ φέρει, καὶ οὐ συντρίβεται διὰ τὴν τοῦ Θεοῦ χάριν. Ἀλλὰ τί ἐστι τὸ «ἐν παντί»; Ἐν τοῖς ἐχθροῖς, ἐν τοῖς φίλοις, ἐν ταῖς ἀναγκαίαις χρείαις τοῦ σώματος.

8. Ἀλλ' οὐ στενοχωρούμενοι·

Οὐ στενοχωρούμενοι τοσοῦτον, ὥςτε καὶ ἀποπνιγῆναι.

8. Ἀπορούμενοι,

Ἀποροῦντες τί χρὴ ποιεῖν πρὸς τοὺς ἀλλεπαλλήλους πειρασμοὺς καὶ τὸν ἐκ πάντων πόλεμον.

8. Ἀλλ' οὐκ ἐξαπορούμενοι·

Ἀλλ' οὐχ οὕτως, ὥςτε ἀπελπίσαντας ἡμᾶς ἡττηθῆναι· εἰς γυμνα-

σίαν γὰρ ἡμῶν ταῦτα συγχωρεῖται παρὰ τοῦ Θεοῦ, παρέχοντος καὶ τὴν ἐν δεινοῖς ἀντίληψιν, καὶ διδόντος πόρον ἐν τοῖς ἀπόροις.

9. Διωκόμενοι,

Παρὰ τῶν ἀντικειμένων.

9. Ἀλλ' οὐκ ἐγκαταλειπόμενοι·

Παρὰ τοῦ Θεοῦ·

9. Καταβαλλόμενοι,

Ὅσον πρὸς τὴν ἀσθένειαν τῆς σωματικῆς φύσεως.

9. Ἀλλ' οὐκ ἀπολλύμενοι.

Οὐκ ἀποθνήσκοντες ἔτι, ὅσον πρὸς τὴν ἐκ Θεοῦ βοήθειαν, ὑπερείδουσαν ἡμᾶς καὶ συνέχουσαν.

10. Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες,

«Νέκρωσιν τοῦ Χριστοῦ» λέγει τοὺς διὰ τὸν Χριστὸν καθημερινοὺς θανάτους· ὅσον μὲν γὰρ πρὸς τὴν δριμύτητα καὶ σφοδρότητα τῶν καθ' ἑκάστην ἡμέραν πειρασμῶν, καθ' ἑκάστην ἐνεκροῦτο, τουτέστιν ἀπέθνησκεν· ὅσον δὲ πρὸς τὴν ἐνισχύουσαν αὐτὸν θείαν δύναμιν, οὐκ ἀπέθνησκεν. Τοιοῦτον δέ ἐστι καὶ τὸ «ὡς ἀποθνήσκοντες, » καὶ ἰδοὺ ζῶμεν» (α). Καὶ ἄλλως δέ· ἕτοιμος ὢν ἀεὶ εἰς τὸ ἀποθνήσκειν, τῇ προαιρέσει ἀεὶ ἀπέθνησκεν.

10. Ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.

Ἵνα καὶ ἡ ἀνάστασις καὶ παλινζωία τοῦ Χριστοῦ διὰ τοῦ σώματος ἡμῶν πιστωθῇ, καθ' ἑκάστην, ὡς εἴρηται, ἀποθνήσκοντος καὶ ἐξαρπαζομένου ἀπὸ τοῦ θανάτου· τοῦτο γὰρ αὐτὸ ἱκανὸν πιστώσασθαι καὶ τὴν ἐκείνου παλινζωίαν.

11. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.

(α) Β΄ Κορινθ. ϛ΄, 9.

Τὸ αὐτὸ πάλιν λέγει σαφηνείας ἕνεκεν. Τὸ μέντοι «πάντοτε» καὶ τὸ «ἀεὶ» τῇ παρούσῃ ζωῇ ἐπὶ τῶν ῥητῶν τούτων περιορίζονται· πάντοτε γὰρ καὶ ἀεὶ τῆς ἐνταῦθα ζωῆς.

12. Ὥςτε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.

Θάνατον μὲν ἐνταῦθα λέγει τὴν ἀπὸ τῶν πειρασμῶν συντριβήν, ζωὴν δὲ τὴν ἄνεσιν. Ἡμεῖς μὲν γάρ, φησίν, ἐν πειρασμοῖς καὶ κινδύνοις, ὑμεῖς δὲ ἐν ἀνέσει καὶ ἐλευθερίᾳ· οὐ γὰρ τοσαύτας οὐδὲ τοιαύτας ὑπομένετε κακοπαθείας.

13. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως,

Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ διαλεχθεὶς καὶ δι' αὐτῆς τὴν μέλλουσαν πάντων ἀνάστασιν ἐμφήνας, ἐπείπερ ἐδεῖτο πίστεως ὁ περὶ ταύτης λόγος, εὐκαίρως ἀπεμνημόνευσε δαυϊδικῆς ῥήσεως εἰς πίστιν προτρεπούσης, καί φησιν· «Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως», ὅπερ εἶχε δηλονότι καὶ ὁ τὸ ῥηθησόμενον εἰρηκώς. «Πνεῦμα» δὲ νῦν λέγει τὸ χάρισμα τῆς πίστεως. Τὸ μὲν γὰρ παρὰ τὴν ἀρχὴν πιστεῦσαι τῆς τοῦ πιστεύσαντος εὐγνωμοσύνης ἐστί· τὸ δὲ ῥιζωθῆναι τὴν πίστιν καὶ μένειν ἄσειστον, τῆς τοῦ Θεοῦ τοῦτο χάριτος.

13. Κατὰ τὸ γεγραμμένον·

Ὅπερ ἐκεῖνος εἶχε δηλαδή, καθὼς ἐμφαίνει τὸ γεγραμμένον ἐν βίβλῳ Ψαλμῶν. Ἀλλὰ ποῖον τοῦτο;

13. «Ἐπίστευσα, διὸ ἐλάλησα» (α).

Ἐν τῷ πρὸ τούτου γὰρ Ψαλμῷ καταλήξας ὁ Προφήτης εἰς τὸ «εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων» (β)· ἐπεὶ οὐχ ἑωρᾶτο αὕτη ἡ χώρα. λοιπὸν ἀρχόμενος τοῦ μετ' ἐκεῖνον Ψαλμοῦ εἴρηκεν· ἐπίστευσα περὶ τῆς χώρας, ἧς εἶπον, καὶ τῆς αἰωνίου ζωῆς, διὸ ἐλάλησα περὶ τούτων.

13. Καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν, εἰδότες (*),

(α) Ψαλμ. ριέ, 1.— (β) Αὐτόθ. ριδ', 9. — (*) Ἐν ἄλλ. τὸ «εἰδότες» ἐπισυνάπτεται τῷ ἐφεξῆς στίχῳ «εἰδότες, ὅτι». Ὁ δὲ Χρυσόστομος, παραλείπων ὅλως τὸ «εἰδότες», συντάσσει οὕτως· «διὸ καὶ λαλοῦμεν, ὅτι ὁ ἐγείρας κἑξ.».

Ἔχοντες δέ, φησί, τὸ αὐτὸ πνεῦμα τῆς πίστεως καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν πεπληροφορημένοι διὰ τῆς πίστεως. Ἀλλὰ τί λαλοῦμεν; Ἄκουσον·

14. Ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ,

Προείρηται ἐν τῇ προλαβούσῃ ἐπιστολῇ, ὅτι καὶ ὁ Πατὴρ ἀνέστησε τὸν Χριστόν, καὶ ὁ Χριστὸς ἀνέστησεν ἑαυτόν (α)· μία γὰρ ἐν ἀμφοῖν θεότης, τῷ Πατρὶ λέγω καὶ τῷ Υἱῷ. Καὶ αὐτὸ δὲ τὸ «διὰ » Ἰησοῦ Χριστοῦ» κοινοποιεῖ τῷ τε Πατρὶ καὶ τῷ Υἱῷ τὸ ἔργον τῆς ἀναστάσεως.

14. Καὶ παραστήσει σὺν ὑμῖν.

Καὶ παραστήσει ἑαυτῷ καὶ ἡμᾶς τοὺς Ἀποστόλους σὺν ὑμῖν τοῖς μαθηταῖς.

15. Τὰ γὰρ πάντα δι' ὑμᾶς,

Ὅ τε γὰρ θάνατος τοῦ Χριστοῦ οἵ τε καθ' ἡμῶν πειρασμοὶ καὶ κίνδυνοι διὰ τὴν σωτηρίαν ὑμῶν ἐγένοντο καὶ γίνονται, ἵνα πιστεύοντες σωθῆτε.

15. Ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ

Ἵνα ἡ εὐεργεσία τοῦ Θεοῦ, πλεονάσασα διὰ τοῦ εὐεργετεῖσθαι πλείονας, τὴν εὐχαριστίαν περισσοτέρως ποιήσῃ, εὐχαριστούντων πλειόνων καὶ περισσοτέρως. Ἡ «περισσεύσῃ» κατὰ τὴν εὐχαριστίαν, περισσευούσης τῆς εὐχαριστίας.

15. Εἰς τὴν δόξαν τοῦ Θεοῦ.

Περισσεύσῃ δέ, ὥςτε δοξάζεσθαι τὸν εὐεργέτην Θεόν.

16. Διὸ οὐκ ἐκκακοῦμεν·

Οὐκ ἀποκάμνομεν· ὡς καὶ ἀνωτέρω εἴρηται.

(α) Ὅρ. τὴν ἐξήγησιν τοῦ 14ου στίχ. τοῦ ς΄ κεφ. τῆς Α΄ Κορινθ.

16. Ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.

«Ἔξω μὲν ἄνθρωπον» λέγει τὴν σάρκα· «ἔσω» δὲ τὴν ψυχήν. Καὶ ὁ μὲν ἔξω διαφθείρεται μαστιζόμενος, ἐλαυνόμενος, μυρία πάσχων δεινά· ὁ δὲ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ, τουτέστι καθ' ἡμέραν, τῇ ἐλπίδι, τῇ προθυμίᾳ, ἔτι καὶ ἔτι κατατολμῶν τῶν δεινῶν. Ὅσον γὰρ πάσχει, τοσοῦτον ἐλπίζει τὰς ἀμοιβάς. Καὶ ὅσον ἐλπίζει, τοσοῦτον προθυμότερος γίνεται καὶ θαρραλεώτερος. Οὕτως εἰπών, εἶτα λοιπὸν καθαιρεῖ τὰ λυπηρὰ τοῦ παρόντος βίου, λέγων·

17. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν,

Ὅρα πῶς τίθησι παράλληλα τὰ παρόντα τοῖς μέλλουσιν. Τὸ μὲν «παραυτίκα» πρὸς τὸ «αἰώνιον»· τὸ δὲ «ἐλαφρὸν» πρὸς τὸ «βάρος»· τὴν δὲ «θλῖψιν» πρὸς τὴν «δόξαν». Καὶ οὐδὲ τούτοις ἀρκεῖται, ἀλλὰ καὶ τὴν ὑπερβολὴν τοῖς μέλλουσιν ἀγαθοῖς προςθεὶς διπλασιάζει ταύτην, παριστῶν τὴν ἐπιτεταμένως ἐπίτασιν αὐτῆς. Εἶτα καὶ τὸν τρόπον δείκνυσι πῶς ἐλαφρὸν τὸ τῶν τοσούτων θλίψεων· φησὶ γάρ·

18. Μὴ σκοπουμένων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα·

Ἐὰν γὰρ τῶν ὁρωμένων ἀπαγάγωμεν ἑαυτοὺς ἐπὶ τὰ ἐν ἐλπίσι καὶ μέλλοντα, οὐ τοσαύτην αἴσθησιν λαμβάνομεν τῶν παρόντων, ἐπισκιαζομένην τῇ τῶν μελλόντων ὑπερβολῇ.

18. Τὰ γὰρ βλεπόμενα πρόςκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

«Τὰ βλεπόμενα» ἁπλῶς, κἂν κολάσεις εἶεν, κἂν ἀναπαύσεις. Καὶ τὰ μέλλοντα ἁπλῶς, κἂν βασιλεία εἴη, κἂν τιμωρία. Ἀλλὰ τὰ μὲν βλεπόμενα εἶπε πρόςκαιρα, ὥςτε μήτε ταῖς ἀναπαύσεσι χαυνοῦσθαι, μήτε ταῖς κολάσεσι δειλιᾶν. Τὰ δὲ μὴ βλεπόμενα εἴρηκεν αἰώνια, ὥςτε καὶ ἐκ τῆς ἀπολαύσεως προτρέψασθαι, καὶ ἀπὸ τῆς βασάνου φοβῆσαι. Ἐπεὶ δὲ πολλαχοῦ τῶν ἑαυτοῦ λόγων ἔδειξεν ὅτι πολλὰ κέρδη ἀπὸ τῶν πειρασμῶν παραγίνεται τοῖς ὑπομένουσι, ταπεινοφροσύνη («ἐδόθη μοι γάρ, φησί, σκόλοψ τῇ σαρκὶ καὶ τὰ ἑξῆς, ἵνα μὴ

»ὑπεραίρωμαι») (α) συστολή (τῶν ὁρώντων τοὺς δικαίους πειραζομένους· «ἵνα γάρ, φησί, μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς») (β)· δοκιμότης τῶν πασχόντων («ἡ δὲ ὑπομονή, φησί, δοκιμὴν κατεργάζε» ται») (γ)· δηλονότι, ἀπόδειξις τῆς θείας δυνάμεως («ἵνα γάρ, φησίν, » ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ») (δ), ἀνακαινισμὸς τῆς ψυχῆς («εἰ γὰρ καὶ ὁ ἔξω, φησίν, ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ » ἔσω ἀνακαινοῦται») (ε)· ἐπειδὴ οὖν ταῦτά τε καὶ ἄλλα τοιαῦτα ἔδειξε, νῦν ἐπάγει καὶ ἕτερον, παραμυθήσασθαι τούτους καὶ διεγεῖραι δυνάμενον.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ

1. Οἴδαμεν γὰρ ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.

Ἵνα γὰρ μή, ἀκούοντες ὅτι διαφθείρεται ὁ ἔξω ἄνθρωπος, ἀλγῶσι, φησὶν ὅτι, ὅταν παντελῶς διαφθαρῇ, τότε μάλιστα εὐφρανθησόμεθα, ἥκοντες ἐπὶ βελτίονα λῆξιν. «Οἴδαμεν» γάρ, φησίν, οὐκ ἐγὼ μόνον, ἀλλὰ καὶ ὑμεῖς (βεβαιωθέντες περὶ τῆς κοινῆς ἀναστάσεως ἀπὸ τῆς προλαβούσης ἐπιστολῆς) ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ (οἰκίαν τοῦ σκήνους περιφραστικῶς λέγων αὐτὸ τὸ σκῆνος, τουτέστι τὸ σῶμα· σκῆνος γὰρ τοῦτο τῆς ψυχῆς), ἔχομεν οἰκίαν ἀχειροποίητον. Καὶ οὐκ ἀχειροποίητον μόνον, ἀλλὰ καὶ αἰώνιον ἐν τοῖς οὐρανοῖς, αἰωνίως μένουσαν ἐν τοῖς οὐρανοῖς, οἰκοδομὴν οὖσαν ἐκ Θεοῦ, οἰκοδομουμένην ἐκ Θεοῦ. Σὺ δέ μοι σκόπει πῶς κἀνταῦθα διὰ τῶν ἀνομοιοτάτων δείκνυσι τὴν ὑπεροχὴν τῶν μελλόντων πρὸς τὰ παρόντα. Εἰπὼν γὰρ «ἐπίγειον», ἀντέθηκε «τὴν αἰώνιον».

(α) Β' Κορινθ. ιβ', 7. — (β) Αὐτόθ. α', 9. — (γ) Ῥωμ. ε', 4. — (δ) Β' Κορινθ. δ', 7. — (ε) Αὐτόθ. ε', 16.

Καὶ εἰπὼν « οἰκίαν σκήνους » κἀντεῦθεν τὸ εὐδιάλυτον καὶ πρόςκαιρον δείξας, ἀντέθηκε « τὴν αἰώνιον »· τὸ γὰρ τῆς σκηνῆς ὄνομα δείκνυσι τὴν ὑπεροχὴν τῶν μελλόντων πρὸς τὰ παρόντα. Εἰπὼν γὰρ «ἐπίγειον», τὸ πρόςκαιρον ὡς ἐπὶ τὸ πλεῖστον δείκνυσιν· αἱ γὰρ τῶν ἁγίων σκηναὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ προςθήκης λέγονται αἰώνιοι σκηναί. « Ἀχειροποίητον » δὲ ἐκείνην εἶπεν οὐ πρὸς ἀντιδιαστολὴν τοῦ παρόντος σώματος (καὶ γὰρ οὐδὲ τοῦτο χειροποίητον), ἀλλ' αὔξων τὰ ἐγκώμια καὶ προςτιθεὶς τοὺς ἐπαίνους.

2. Καὶ γὰρ ἐν τούτῳ στενάζομεν,

Ἐν τούτῳ τῷ σκήνει ὄντες τῷ φθαρτῷ καὶ θνητῷ. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τοῦ ἄλγους·

2. Τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες,

« Ἐπιποθοῦντες ἐπενδύσασθαι τὸ οἰκητήριον ἡμῶν »· τουτέστι τὸ σῶμα ἡμῶν, τὴν ἀφθαρσίαν καὶ ἀθανασίαν, τὴν ἐξ οὐρανοῦ καταπεμπομένην, τὴν οὐράνιον καὶ θείαν χάριν. Εἰπὼν δὲ «ἐπενδύσασθαι», ἔδειξεν ὅτι τὸ αὐτὸ μὲν ἀνίσταται σῶμα, ἐπενδύεται δὲ τοῦτο τὴν ἀφθαρσίαν καὶ ἀθανασίαν, ἄνωθεν χαριζομένην αὐτῷ.

3. Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.

«Εἴ γε καὶ ἐνδυσάμενοι » τοῦτο τὸ σῶμα τότε, τὸ τὴν εἰρημένην χάριν ἐπενδυόμενον, οὐχ εὑρεθησόμεθα γυμνοὶ δόξης καὶ ἀσφαλείας. Ἡ μὲν γὰρ ἀνάστασις κοινὴ πάντων, ἡ δὲ δόξα οὐ κοινή· ἀλλ' οἱ μὲν εἰς βασιλείαν, οἱ δὲ εἰς κόλασιν ἀναστήσονται. Ταῦτα δὲ εἴρηκεν, ἵνα μὴ ἀπὸ μόνης τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας θαρρῶσιν, ὡς εἴγε γυμνοὶ τῆς εἰρημένης ἀσφαλείας εὑρεθησόμεθα, εἰς κακὸν ἡμῖν ἔσονται ταῦτα, διαιωνίζουσαν ποιοῦντα τὴν τιμωρίαν.

4. Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν βαρούμενοι·

Εἰπὼν καὶ ἀνωτέρω ὅτι ἐν τῷ σκήνει ὄντες στενάζομεν καὶ γνοὺς ὅτι πολλοῖς φορτικὸν εἶπε λόγον καὶ ταῖς ψήφοις πάντων ἐναντιοῦσθαι δοκοῦντα (τοσοῦτον γὰρ οὐ βούλεται ἀπαλλαγῆναι τοῦ σώματος ἡ ψυχή, ὅτι καὶ χαριζομένη τούτου ἀλγεῖ· ὅπου γε καὶ περὶ Πέτρου

εἴρηκεν ὁ Χριστὸς «ὅτι οἴσουσί σε καὶ ἄξουσιν, ὅπου οὐ θέλεις» (α), δεικνύων ὅτι οὐδεὶς ἀλύπως ἀποτίθεται τὸ σῶμα), ἐπαναλαμβάνει τὸν λόγον καὶ σαφηνίζει, πῶς εἶπεν ὅτι στενάζομεν· «βαρούμενοι» γάρ, φησίν, οὐ τούτῳ, ἀλλὰ τῇ φθορᾷ τούτου καὶ τῇ θνητότητι. Ὅτι δὲ οὐ τῷ σώματι βαρεῖσθαι λέγει, δῆλον ἀπὸ τῶν ἑξῆς·

4. Ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι,

Διό, φησί, διότι βαρούμεθα τῇ φθορᾷ καὶ θνητότητι τοῦ σώματος, οὐ θέλομεν ἐκδύσασθαι τὸ σῶμα, συζυγέντες αὐτῷ καὶ συμβιοτεύοντες, ἀλλὰ θέλομεν ἐπὶ τούτῳ ἐνδύσασθαι τὴν ἀφθαρσίαν καὶ τὴν ἀθανασίαν. Τοῦτο δὲ ἀδύνατον, εἰ μὴ πρότερον ἀποθάνοι τὸ σῶμα.

4. Ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

Θέλομεν δέ, φησίν, ἐπενδύσασθαι τὰ ῥηθέντα, ἵνα ἀπαλλαγῶμεν τοῦ βάρους τῆς φθορᾶς καὶ τοῦ θανάτου, καταποθείσης καὶ ἀναλωθείσης ἤδη τῆς θνητότητος ὑπὸ τῆς ζωῆς. Διὰ τοῦτο γὰρ καὶ τὸν θάνατον λέγομεν εὐκταῖον, οὐ παρὰ τὴν αὐτοῦ φύσιν, ἀλλὰ παρὰ τὴν ἀπαλλαγὴν τοῦ βάρους τῶν εἰρημένων, καὶ ὅτι εἰς Χριστὸν ταχύτερον παραπέμπει τὰς ψυχὰς τῶν εὐαρεστησάντων αὐτῷ. Ἵνα δὲ μή τις ἀπορήσῃ πῶς ἡ μεταβολὴ αὕτη γενήσεται, ἐπήγαγεν·

5. Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός,

Ὁ δὲ Θεός, φησί, ποιεῖ τὴν εἰρημένην μεταβολήν. Διὸ μὴ περιεργάζου πῶς. Ὁ Θεὸς γὰρ ποιεῖ, ὁ ἀκατάληπτος, ὁ πάλαι κατεργασάμενος ἡμᾶς καὶ ἐξ ἀρχῆς πλάσας, εἰς αὐτὸ τοῦτο· λέγω δή, εἰς τὸ εἶναι ἀθανάτους· τοὺς γὰρ πρωτοπλάστους εἰς αὐτὸ τοῦτο ἐδημιούργησε, βουλόμενος αὐτοὺς ἀθανάτους γενέσθαι, φυλάξαντας τὴν ἐντολὴν αὐτοῦ, εἰ καὶ αὐτοὶ παρακούσαντες ἐπεσπάσαντο μάλιστα τὸν θάνατον.

5. Καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος.

Διὰ γὰρ τοῦ βαπτίσματος ἔδωκεν ἡμῖν τὴν χάριν τοῦ Πνεύματος ἀρραβῶνα τῆς μελλούσης ἀθανασίας· παλιγγενεσία γὰρ τὸ βάπτισμα, διὰ μὲν τῆς καταδύσεως τύπον ταφῆς ἔχον, διὰ δὲ τῆς ἀναδύσεως

(α) Ἰωάνν. κα', 19.

τύπον ἀναστάσεως καὶ ἀειζωίας. Ὁ δὲ τὸν ἀρραβῶνα δοὺς δώσει πάντως καὶ τὸ πᾶν· ἐνέχυρον γὰρ ὁ ἀρραβών.

6. Θαρροῦντες οὖν πάντοτε,

Πρὸς τοὺς διωγμούς, πρὸς τὰς ἐπιβουλάς, πρὸς τοὺς συνεχεῖς θανάτους, ὡς εἴρηται, διὰ τὰ ἀπὸ τούτων κέρδη.

6. Καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου·

Ἔτι ἐκκρεμαμένη ἐστὶν ἡ διάνοια, μήπω τῆς ἀποδόσεως ἐπενεχθείσης.

7. (Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους)·

Τοῦτο μεταξυλογία ἐστίν. Εἰπὼν γὰρ ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι τούτῳ ἀποδημοῦμεν ἀπὸ τοῦ Κυρίου, ἵνα μή τις εἴπῃ· τί οὖν; ἐνδημοῦντες τῷ σώματι ἠλλοτριώμεθα τοῦ Χριστοῦ; ὑπεραπολογεῖται καὶ ἐπιδιορθοῦται τὴν τοιαύτην ὑπόληψιν, λέγων ὅτι διὰ τοῦτο εἶπον, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου, διότι διὰ πίστεως ἐνταῦθα περιπατοῦμεν σὺν αὐτῷ, πίστει τούτῳ συνόντες. Ὅτε δὲ ἀποθάνωμεν, διὰ εἴδους αὐτῷ συνεσόμεθα· τουτέστιν αὐτοψεὶ βλέποντες αὐτὸν καί, ὡς ἀλλαχοῦ εἶπε, πρόςωπον πρὸς πρόςωπον (α). Εἶτα ἀποδίδωσι τὸν λόγον ἐντελῶς·

8. Θαρροῦντες καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς Κύριον (*).

Θαρροῦντες, φησίν, ὡς εἴρηται, καὶ εὐδοκοῦμεν, ἤγουν καὶ προςέτι ἐπιθυμοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον· τὸ γὰρ διὰ εἴδους συνεῖναι τῷ Χριστῷ καὶ τῆς τοῦ σώματος ἀθανασίας αἱρετώτερον. Εἶδες πῶς ἀπέδειξε τὸ μὲν φορτικὸν ἡδύ, τὸ δὲ ἡδὺ φορτικόν (τοῖς γὰρ πολλοῖς φορτικὸν μὲν ἡ ἐκδημία ἡ ἐκ τοῦ σώματος· ἡ (β) δὲ ἡ ἐνδημία ἡ ἐν τούτῳ), καὶ ἀντιπαρέστησε τὴν ἐπιθυμίαν τῆς ἐνταῦθα ζωῆς εἰς ἐπιθυμίαν θανάτου;

(α) Α' Κορινθ. ιγ', 12.— (*) Συνήθης γραφὴ «πρὸς τὸν Κύριον», ᾗ καὶ ὁ Συγγραφεὺς χρῆται ἐν τῇ ἐξηγήσει. — (β) Τρεπτέον, οἶμαι, τὸ «ἡ» εἰς *οὐ*, ἵνα ᾖ ὁ νοῦς· «τοῖς γὰρ πολλοῖς φορτικὸν μὲν ἡ ἐκδημία ἡ ἐκ τοῦ σώματος, οὐ δὲ ἡ ἐνδημία ἐν τούτῳ».

9. Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι.

Διὸ καὶ σπουδάζομεν εὐάρεστοι αὐτῷ εἶναι, εἴτε ἐνδημοῦντες τῷ σώματι, εἴτε ἐκδημοῦντες· τὸ γὰρ σπουδαζόμενον ἡ εὐαρέστησίς ἐστιν. Οὔτε γὰρ τὸ ἁπλῶς ἐνταῦθα εἶναι κακόν, ἀλλὰ τὸ προςκρούοντα εἶναι. Πανταχοῦ δὲ χρεία ἀρετῆς. Ἐπεὶ δὲ προέτρεψεν ἀπὸ τῶν χρηστοτέρων, λοιπὸν φοβεῖ καὶ ἀπὸ τῶν σκυθρωποτέρων· τὸ γὰρ συμφέρον οὐ μόνον ἐν τῇ κτήσει τῶν ἀγαθῶν, ἀλλὰ καὶ ἐν τῇ φυγῇ τῶν κακῶν συνίσταται. Ἐπεὶ οὖν οὐχ οὕτω διεγείρει τὸν παχὺν ἀκροατὴν ἡ ἐπαγγελία τῶν εὐεργεσιῶν, ὡς ἡ ἀπειλὴ τῶν κολάσεων, ἐπήγαγε·

10. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ,

Κατασείσας τῇ μνήμῃ τοῦ φοβεροῦ βήματος ἐκείνου τὰς ψυχὰς αὐτῶν, ἀναμίγνυσί τινα καὶ ἥδοντα, εἰπών·

10. Ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος,

Τὰ διὰ τοῦ σώματος προαποθησαυρισθέντα ἀνταποδόματα. Τὰς διὰ τῶν πράξεων τοῦ σώματος ταμιευθείσας ἀμοιβὰς καὶ χρεωστουμένας.

10. Πρὸς ὃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν.

Ἀναλόγως τῶν πραχθέντων, εἴτε ἀγαθῶν, εἴτε κακῶν· ἀξίως τοῦ πεπραγμένου. Ταῦτα δὲ λέγει, τοὺς μὲν κατορθοῦντας ἐπιτείνων, τοὺς δὲ ῥαθυμοῦντας διεγείρων. Ἐνεφιλοχώρησε δὲ ἄνωθεν καὶ μέχρι τοῦ παρόντος τῷ περὶ τῆς ἀναστάσεως λόγῳ, βεβαιοτέρους ἔτι τοὺς Κορινθίους εἰς τὴν περὶ αὐτῆς πίστιν ἀπεργαζόμενος. Ἡδέως δ' ἂν ἐροίμην τοὺς ἐγείρεσθαι ἄλλο σῶμα λέγοντας (α)· εἴπατε, πῶς ἄλλου σώματος κατορθώσαντος ἢ ἁμαρτήσαντος, ἄλλο σῶμα στεφανοῦται ἢ κολάζεται; Ποῦ δὲ θήσετε τὸ «οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι»; Πῶς δὲ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς καταποθήσεται, τοῦ

(α) Αἰνίσσεται πάντως ὁ Συγγραφεὺς τοὺς συμφρονοῦντας τῷ Ὠριγένει, ὃς ἐδόξαζε μὲν σώματος ἀνάστασιν, πλὴν οὐ τοῦ αὐτοῦ, ἀλλὰ ἄλλου. Ὅρ. Ἐπιφάν. Αἵρ. ΞΔ'.

φθαρέντος σώματος κατεχομένου τῇ φθορᾷ καὶ μὴ συγχωρουμένου ἀναστῆναι; μένει γὰρ ἡ φθορὰ κρατοῦσα.

11. Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου, ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα·

Φοβούμενοι δὲ τὸν Κύριον, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ἀνθρώπους μὲν ἔχοντας ὑπολήψεις ψευδεῖς περὶ ἡμῶν πείθομεν, ἐπανορθοῦμεν, ἀποδεικνύοντες ψευδεῖς τὰς τοιαύτας ὑπολήψεις, ἢ πείθειν ἐπιχειροῦμεν, εἰ καὶ μὴ βούλοιντο πείθεσθαι. «Θεῷ» δὲ τῷ πάντα εἰδότι πεφανερώμεθα, καὶ οὐ χρεία λόγου τοῦ πείθοντος. Σημειωτέον δὲ ὅτι κἂν μὴ πράξωμεν πονηρά, ὑποπτευθῶμεν δέ, ὀφείλομεν λύειν τὴν ὑποψίαν, ὅσον κατὰ τὴν ἡμετέραν δύναμιν.

11. Ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.

Ἀπὸ τῶν προλαβόντων ἔργων καὶ λόγων καὶ τῆς συναναστροφῆς καὶ πείρας. Εἶτα, ἵνα μὴ δόξῃ συνιστάνειν πάλιν ἑαυτόν, ἐπήγαγεν·

Ζ' Περὶ τῆς αὐτοῦ φιλοθεότητος καὶ φιλαδελφίας τῆς κατὰ Χριστόν.

12. Οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν,

Ἀλλὰ ταῦτα γράφομεν ὑπὲρ ὑμῶν, ἀφορμὴν διδόντες ὑμῖν ἐλευθεροστομίας ὑπὲρ ἡμῶν, καὶ ἐγκαλλωπίζεσθαι ἡμῖν.

12. Ἵν' ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ μὴ ἐν καρδίᾳ.

Ἵν' ἔχητε καυχᾶσθαι πρὸς τοὺς ψευδαποστόλους, ὅταν ἑαυτοὺς μὲν ἐπαίρωσιν, ἡμῖν δὲ ἐγκαλῶσι τοὺς ἐν προσώπῳ καυχωμένους· τουτέστιν ἐν προσώπῳ εὐλαβείας καὶ ὑποκρίσει σεμνότητος, καὶ οὐκ ἐν καρδίᾳ ἀληθινῇ καὶ καθαρᾷ καὶ συνειδότι ἀκαταγνώστῳ.

13. Εἴ τε γὰρ ἐξέστημεν, Θεῷ·

Εἴ τε γὰρ μεγάλα ὑπὲρ ἑαυτῶν ἐφθεγξάμεθα (ἔκστασιν γὰρ τοῦτο καλεῖ, ὥσπερ καὶ ἀλλαχοῦ «ἀφροσύνην» (α)· οὕτω γάρ τισι δοκεῖ)

(α) Β' Κορινθ. ιά, 1. 17.

Θεῷ τοῦτο πεποιήκαμεν· ἤγουν διὰ τὸν Θεόν, ὡς μή τινα ὕφεσιν προςγενέσθαι τῷ κηρύγματι διὰ τὴν δοκοῦσαν ἡμῶν εὐτέλειαν.

13. Εἴ τε σωφρονοῦμεν, ὑμῖν.

Εἴ τε μέτρια καὶ ταπεινὰ φρονοῦμεν, δι' ὑμᾶς οὕτω ποιοῦμεν· ὥςτε καὶ ὑμᾶς διδάσκεσθαι ταπεινοφρονεῖν.

14. Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς,

Οὐ μόνον ὁ φόβος τοῦ Χριστοῦ, ἀλλὰ καὶ ἡ ἀγάπη αὐτοῦ συνέχει ἡμᾶς καὶ οὐκ ἀφίησι ῥᾳθυμεῖν, ἀλλὰ διανίστησι πρὸς τοὺς ὑπὲρ ὑμῶν πόνους. Ἡ «συνέχει» ἀντὶ τοῦ θλίβει, ὠθεῖ, ἐπείγει πρὸς τούτοις.

15. Κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον·

Κρίνοντας τοῦτο, ὅτι εἰ εἷς ὁ Χριστὸς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες οὗτοι νεκροὶ ἦσαν, ὅσον πρὸς ἀναισθησίαν τοῦ καλοῦ καὶ ἀνενεργησίαν (α) τῆς ἀρετῆς. Οὐ γὰρ ἄν, εἰ μὴ πάντες οὕτως ἀπέθανον, ὑπὲρ πάντων ἀπέθανεν· ἀλλ', ὡς πάντων προαπολωλότων, ἀπέθανεν, ἵνα ζήσωσι διὰ τῆς εἰς αὐτὸν πίστεως καὶ τῆς διὰ τοῦ θείου λουτροῦ παλιγγενεσίας.

15. Καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.

Καὶ ὑπὲρ πάντων ἀπέθανεν οὐ μόνον ἵνα ζήσωσιν, ὡς εἴρηται, ἀλλὰ καὶ ἔτι ἵνα οἱ ζῶντες διὰ τῆς πίστεως καὶ τοῦ βαπτίσματος μηκέτι ἑαυτοῖς ζῶσι· τουτέστι κατὰ τὴν ἑαυτῶν ἀρέσκειαν, ἀλλὰ κατὰ τὴν ἀρέσκειαν καὶ τοὺς νόμους τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος καὶ ἐγερθέντος, καὶ τῷ μὲν ἑαυτοῦ θανάτῳ ἠγορακότος αὐτοὺς ἔκ τε τῆς κατάρας τοῦ νόμου καὶ τοῦ προρρηθέντος θανάτου καὶ τῆς ἐκδεχομένης αὐτοὺς τότε κολάσεως, τῇ δὲ ἐγέρσει, ἥτις ἐστὶν ἡ ζωή, καινὴν πολιτείαν αὐτοῖς, ὡς δούλοις ἰδίοις, νομοθετοῦντος. Λοιπὸν οὖν καὶ ἡμεῖς, μηκέτι ἑαυτοῖς ζῶντες, ἀλλ' ἐκείνῳ, καθὼς εἴρηται, τὴν ἀρέσκειαν αὐτοῦ πληροῦμεν, ὑπὲρ ὑμῶν πάντα καὶ πράττοντες

(α) Ἡ λέξις «ἀνενεργησία», ὡς καὶ ἡ «ἐνεργησία» (Κολασσ. 6', 12. 13) ἐκ τῶν μήπω ἐν τοῖς λεξικοῖς καταχεχωρισμένων εἰσίν.

καὶ λέγοντες, εἴ τε ἐξεστηκότες λογισθῶμέν τισιν, εἴ τε σωφρονοῦντες.

16. Ὥςτε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα·

Ὥςτε ἡμεῖς μετὰ τὴν εἰς Χριστὸν πίστιν οὐδένα τῶν πιστῶν οἴδαμεν κατὰ σάρκα ὄντα· τουτέστι κατὰ σάρκα ζῆν ὀφείλοντα. Εἰ γὰρ καὶ ἐν σαρκί εἰσιν οἱ ὄντως πιστοί, ἀλλ' οὐκ ἐν σαρκικῇ ζωῇ εἰσι· τουτέστιν ἐμπαθεῖ καὶ φιλαμαρτήμονι, ἀλλ' ἐν πνευματικῇ καὶ φιλοθέῳ διαγωγῇ. Ἡ γὰρ ζωὴ ἐκείνη ἡ σαρκικὴ ἀπέθανε, καὶ ἄνωθεν πνευματικῶς ἐγεννήθημεν διὰ τοῦ βαπτίσματος. Εἴη δ' ἂν σαρκικὴ ζωὴ καὶ ἡ κατὰ τὸν πατρικὸν νόμον πολιτεία καὶ λατρεία.

16. Εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.

Ὥςπερ τινὸς ὑποκρούσαντος· τί οὖν ὁ Χριστὸς πρὸ τοῦ ἀποθανεῖν οὐκ ἔζη κατὰ σάρκα; Καὶ αὐτὸς γὰρ κατὰ τὸν παλαιὸν ἐπολιτεύετο νόμον, φησίν· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν· τουτέστι τοῖς ἀδιαβλήτοις πάθεσι τῆς σαρκὸς ὑποκείμενον, οἷον πείνῃ καὶ δίψῃ καὶ ὕπνῳ καὶ κόπῳ καὶ πόνῳ καὶ τοῖς τοιούτοις, ἀλλὰ νῦν μετὰ τὴν ἀνάστασιν οὐκέτι γινώσκομεν αὐτὸν κατὰ σάρκα, ὡς πρότερον, ἀλλὰ κατὰ σάρκα μὲν τῷ ἔχειν ἡνωμένην ἀεὶ τὴν σάρκα, οὐ κατὰ σάρκα δὲ τῷ μὴ τοιαύτην ἔχειν αὐτήν, οἷον ὑποκειμένην τοῖς εἰρημένοις πάθεσι τῆς φύσεως, ἀλλὰ παντελῶς τούτων ἀπηλλαγμένην.

17. Ὥςτε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις·

Ἐπειδήπερ ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ τῆς εἰς ἡμᾶς προέτρεψεν εἰς ἀρετήν, λοιπὸν καὶ ἐξ αὐτῶν τῶν πραγμάτων εἰς ταύτην ἀνάγει λέγων, «εἴ τις ἐν Χριστῷ», τουτέστιν εἴ τίς ἐστι μοῖρα Χριστοῦ· εἴ τις ἐπίστευσε Χριστῷ, καινὴ κτῆσίς ἐστι, καινὴ πλάσις, καινὴ δημιουργία· καὶ γὰρ ἀνεγεννήθη πνευματικῶς. Καινὴ δὲ κτίσις ὤν, καινὴν ἕξει καὶ τὴν ζωὴν καὶ τὴν πολιτείαν.

17. Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά.

Ἡ ἀρχαία κατάστασις, ἡ παλαιὰ διαγωγή, ἡ σαρκικὴ ζωή, ἡ νομικὴ λατρεία. Καὶ λοιπὸν γέγονε τὰ πάντα καινά, ἡ κατάστασις, ἡ διαγωγή, ἡ ζωή, ἡ λατρεία. Ἐπεὶ καινὴν ἐλάβομεν Διαθήκην καὶ καινὰς ἐντολάς, καθ' ἃς ὀφείλομεν ἄγεσθαι, λοιπὸν οὖν οὐ δεῖ θορυ-

ϐεῖσθαι, ὅταν περιπίπτωμεν πειρασμοῖς· οὕτω γὰρ δοκεῖ τῷ Κυρίῳ ἡμῶν, διὰ πολλῶν θλίψεων οἰκονομεῖσθαι τὰ καθ' ἡμᾶς τοὺς δούλους αὐτοῦ.

18. Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ

«Πάντα» δὲ τὰ ἀγαθά, πᾶσαι αἱ εἰς ἡμᾶς εὐεργεσίαι, ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς εἰσιν, οὐκ ἐκ τῶν ἡμετέρων κατορθωμάτων.

18. Τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ,

«Ἡμᾶς» ἐχθροὺς ὄντας αὐτοῦ, διὰ τοῦ προςέχειν τοῖς ἐχθροῖς αὐτοῦ καὶ καταφρονεῖν αὐτοῦ. Καταλλάξαντος δὲ ἡμᾶς ἑαυτῷ διὰ τοῦ ἀποστεῖλαι τὸν Υἱὸν αὐτοῦ μεσίτην καὶ διαλλακτήν.

18. Καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

Καὶ ἐπειδὴ ὁ μεσίτης Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, δόντος (α) ἡμῖν τοῖς Ἀποστόλοις, προκαταλλαγεῖσι τῶν ἄλλων, τὴν διακονίαν τῆς καταλλαγῆς τῶν μήπω καταλλαγέντων. Ἀπεστάλημεν γὰρ οὐχ ὑπὸ τοῦ Υἱοῦ μόνον, ἀλλὰ καὶ ὑπὸ τοῦ εὐδοκήσαντος τοῦτο Πατρὸς εἰς τὸ καταλλάττειν τοὺς ἔτι ἐκπεπολεμωμένους καὶ προςάγειν τῇ δημιουργῷ καὶ κυρίᾳ πάντων ἁγίᾳ Τριάδι.

19. Ὡς [ὅτι] ὁ Θεὸς ἦν (*) ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ,

Εἰπὼν ὅτι, ἐκ τοῦ Θεοῦ, τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ, σωφρονίζει (ϐ) τὸν λόγον τοῦτον ἔτι, λέγων, καὶ γὰρ ὁ Θεὸς ἦν καταλλάσσων τὸν κόσμον ἑαυτῷ ἐν Χριστῷ, ἤτοι διὰ Χριστοῦ, ὡς ἀνωτέρω δεδήλωται. Τὸ γὰρ «ὡς ὅτι» ἀντὶ τοῦ καὶ γάρ. Τοῦ Χριστοῦ δὲ ἀποθανόντος, ἡμεῖς τὴν διακονίαν ἐκείνου ἐπιστεύθημεν καὶ διεδεξάμεθα.

19. Μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν,

(α) Τρεπτέον, οἶμαι, τὴν μετοχὴν *δόντος* εἰς τὸ ὀρθὸν ῥῆμα *ἔδωκεν*· ἵνα ᾖ ἡ σύνταξις τοῦ χωρίου· «καὶ ἐπειδὴ ὁ μεσίτης Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, ἔδωκεν ἡμῖν κἑξ.». —(*) Συνηθεστάτη γραφὴ «ὡς ὅτι Θεὸς ἦν». Τὸ δὲ χειρόγραφον ἀντὶ «ὅτι» γράφει «τι», ὅπερ προφανῶς παραδρομή ἐστι τοῦ ἀντιγραφέως, ὡς ἐκ τῆς ἐξηγήσεως δῆλον («ὡς ὅτι, ἀντὶ τοῦ καὶ γάρ»). Ὁ δὲ Θεοδώρ. (ἐν λ.) λέγει· «ἐνταῦθα (ἤτοι μετὰ τὸ »ὡς ὅτι Θεὸς ἦν») δεῖ στίξαι». — (ϐ) Τὸ χειρόγρ. «σωφρονίζειν» οὐκ ὀρθῶς.

Ὁ Θεὸς ἦν καταλλάσσων, ὡς εἴρηται, μὴ μόνον μὴ ἀπαιτήσας τοὺς ἐχθροὺς αὐτοῦ δίκας, ἀλλὰ μηδὲ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν. Μὴ μόνον ἀφείς, ἀλλὰ μηδὲ λογιζόμενος ὅτι ἥμαρτον· τουτέστιν ἀμνηστείαν παντελῆ τῶν τετολμημένων χαριζόμενος αὐτοῖς.

19. Καὶ θέμενος ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

Καὶ ἐγχειρίσας ἡμῖν τοῖς Ἀποστόλοις τὴν διακονίαν τῆς καταλλαγῆς· ἤγουν προχειρισάμενος ἡμᾶς διακόνους τοῦ κηρύγματος· οὓς γὰρ ὁ Υἱὸς ἐχειροτόνησε κήρυκας, τούτους καὶ ὁ Πατήρ· ἃ γὰρ ὁ Υἱὸς ποιεῖ, ταῦτα καὶ ὁ Πατήρ. Καὶ ἃ ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱός (α)· ἐπίσης δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, χωρὶς τῶν χαρακτηριστικῶν ἰδιοτήτων.

20. Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν,

Διαδεξάμενοι, φησί, τὴν διακονίαν τῆς μεσιτείας καὶ πρεσβείας τοῦ Υἱοῦ, «ὑπὲρ Χριστοῦ πρεσβεύομεν πρὸς ὑμᾶς», τουτέστιν «ἀντὶ » τοῦ Χριστοῦ». Τοῦτο δὲ οἱ τεχνολόγοι πρόθεσιν ἀντὶ προθέσεως ὀνομάζουσιν. Ἀντὶ τοῦ Χριστοῦ παρακαλοῦμεν ὑμᾶς εἰς καταλλαγὴν τὴν πρὸς τὸν Θεόν· ἀντ' ἐκείνου ἡμεῖς πρεσβεύομεν.

20. Ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν·

Ὡς καὶ αὐτοῦ τοῦ Πατρὸς παρακαλοῦντος δι' ἡμῶν εἰς τὴν πρὸς αὐτὸν καταλλαγήν. Οὐ μόνον γὰρ διὰ τοῦ Υἱοῦ αὐτοῦ παρεκάλεσεν, ἀλλὰ καὶ δι' ἡμῶν, τῶν ἀντ' ἐκείνου πρεσβευόντων καὶ διαδεξαμένων τὴν ἐκείνου πρεσβείαν. Ὢ τῆς πολλῆς αὐτοῦ φιλανθρωπίας! Τοσούτου τιμᾶται τὸ τῶν ἀνθρώπων γένος, ὅτι καὶ διὰ τοῦ Υἱοῦ καὶ δι' ἡμῶν παρακαλεῖ τοὺς προςκεκρουκότας. Αὐτὸς ὑβρίσθη, καὶ αὐτὸς πρῶτος ἦλθεν εἰς καταλλαγήν, πέμψας τὸν Υἱὸν αὐτοῦ. Καὶ σφαγέντος ἐκείνου, πάλιν ἡμᾶς ἀντ' ἐκείνου ἐχειροτόνησε πρεσβευτὰς τῆς καταλλαγῆς, καὶ οὐκ ἀφίσταται πάντα ποιῶν καὶ πραγματευόμενος ὑπὲρ τῆς σωτηρίας τῶν ἀπολλυμένων.

20. Δεόμεθα ὑπὲρ Χριστοῦ,

(α) Ἰωάνν. ε', 15.

Παρακαλοῦμεν ὑμᾶς, ὡς εἴρηται, ἀντὶ τοῦ Χριστοῦ. Εἶδες πῶς ἐπῆρε τὸ πρᾶγμα, τὸν Χριστὸν εἰςαγαγὼν τιθέντα τὴν ἱκετηρίαν ταύτην; καὶ οὐ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν Πατέρα, ἵνα καὶ μᾶλλον καταιδέσῃ καὶ ἐντρέψῃ τοὺς παρακαλουμένους.

20. Καταλλάγητε τῷ Θεῷ.

Τοῦτο γὰρ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ ἡμεῖς οἱ διάκονοι τοῦ κηρύγματος πρεσβεύομεν καὶ δεόμεθα. Ἔτι δὲ δυςωπητικώτερον ἐπήγαγε·

21. Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν,

Τὸν Υἱὸν ἑαυτοῦ, τὸν μηδὲ ὡς ἄνθρωπον γνόντα ἁμαρτίαν, τὸν αὐτοδικαιοσύνην ὄντα καὶ αὐτοκαθαρότητα, ἐποίησε λογισθῆναι ἁμαρτίαν· τουτέστι παρεχώρησε νομισθῆναι ἁμαρτωλὸν καὶ κατακριθῆναι ὡς κακοῦργον. Τοῦ γὰρ ἁπλῶς ἀναιρεθῆναι τὸ ὡς κακοῦργον ἀναιρεθῆναι πολλῷ χαλεπώτερον. Ἐποίησε δὲ τοῦτο ὑπὲρ ἡμῶν. Διὸ καὶ ἐπήγαγεν·

21. Ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

Τὸν δίκαιον ἐποίησεν ἁμαρτωλόν, ἵνα τοὺς ἁμαρτωλοὺς ποιήσῃ δικαίους· ἵνα ἡμεῖς οἱ ἁμαρτωλοὶ γενώμεθα διὰ τοῦ Χριστοῦ δικαιοσύνη Θεοῦ· τουτέστιν, ἵνα δικαιωθῶμεν ἀπὸ Θεοῦ, ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος καὶ οὐκ ἐξ ἔργων ἰδίων. Τοῦτο δὲ τῆς χάριτος διδάσκει τὸ μέγεθος, καὶ οὐκ ἀφίησιν ἐπαρθῆναι· τοῦ Θεοῦ γὰρ ἡ τηλικαύτη χάρις. Ἐννόησον τοίνυν ὅσα σοι παρέσχεν. Μέγα μὲν γὰρ καὶ τὸ ἁμαρτωλὸν ὄντα τινὰ ἀποθανεῖν ὑπὲρ ὠφελείας τινῶν. Ὅταν δὲ καὶ δίκαιος ᾖ ὁ ἀποθανών, καὶ μὴ μόνον δίκαιος, ἀλλὰ καὶ ὑπὲρ ἁμαρτωλῶν ἀποθάνῃ, καὶ μὴ ἁπλῶς ἀποθάνῃ, ἀλλὰ καὶ ὡς ἁμαρτωλός, καὶ μὴ ὡς ἁμαρτωλὸς μόνον, ἀλλὰ καὶ ὡς ἐπικατάρατος (« ἐπικατάρατος »γάρ, φησίν, ὁ κρεμάμενος ἐπὶ ξύλου » (α)· ὁ γὰρ τοιοῦτος θάνατος ἐπιτίμιον ἦν τῆς πασῶν μείζονος ἁμαρτίας), ἡλίκον τὸ μέγεθος τῆς τοιαύτης χάριτος; Τινὲς δέ φασιν ὅτι ἐπεὶ ἁμαρτία λέγεται καὶ τὸ ὑπὲρ ἁμαρτιῶν θῦμα, ὡς τὸ « ἁμαρτίας λαοῦ μου φάγονται » (β)·

(α) Δευτερον. κα΄, 23. — (β) Ὠσηέ, δ΄, 8.

τουτέστι τὰ ὑπὲρ ἁμαρτιῶν τοῦ λαοῦ μου θύματα· ἐποίησεν ὁ Πατὴρ τὸν Υἱὸν θῦμα ὑπὲρ ἁμαρτιῶν· καὶ γὰρ ἀμνὸς προςαγορευθεὶς ἐτύθη ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Τοῦ γὰρ πρωτοπλάστου παραβάντος τὴν πρώτην ἐντολήν, δύο ἁμαρτίαι γεγόνασιν· ἡ μὲν προαιρετικὴ καὶ διαβεβλημένη, ἡ δὲ φυσικὴ καὶ ἀδιάβλητος. Προαιρετικὴ μὲν οὖν ἡ τῆς προαιρέσεως ἀπὸ τοῦ καλοῦ πρὸς τὸ κακὸν ἑκούσιος ἔκπτωσις· φυσικὴ δὲ ἡ τῆς φύσεως ἀπὸ τοῦ ἀπαθοῦς εἰς τὸ παθητὸν ἀκούσιος (α) ἔκπτωσις. Πρώτη μὲν οὖν ἡ προαιρετική, δευτέρα δὲ ἡ φυσική. Ἐπεὶ καὶ διὰ τὴν προαιρετικὴν ἡ φυσική. Καὶ τὴν μὲν προαιρετικὴν ἐποίησεν ὁ πρωτόπλαστος, τὴν δὲ φυσικὴν ἔπαθεν. Τῆς οὖν διπλῆς ταύτης ἁμαρτίας διὰ τοῦ γενάρχου ῥυείσης εἰς ὅλον τὸ γένος, ὁ Θεὸς ἐνανθρωπήσας τὴν μὲν προαιρετικὴν ἁμαρτίαν οὐκ ἔγνω «ἁμαρτίαν γάρ, »φησίν, οὐκ ἐποίησε» (β), μὴ τραπείσης αὐτῷ τῆς ἀνθρωπίνης προαιρέσεως εἰς κακίαν, τὴν δὲ φυσικὴν ἁμαρτίαν ἔπαθε, φύσιν παθητὴν καὶ φθαρτὴν καὶ θνητὴν προςλαβών, καὶ γέγονεν ἄνθρωπος φθαρτὸς μὲν τὴν φύσιν, ἄφθαρτος δὲ τὴν προαίρεσιν. Ἐποίησε δὲ αὐτὸν ὁ Πατὴρ ἁμαρτίαν ὑπὲρ ἡμῶν, ὡς εὐδοκήσας προςλαβεῖν αὐτὸν φύσιν ἁμαρτωλὸν κατά γε τὴν φυσικὴν ἁμαρτίαν. Τὸ δὲ «ὑπὲρ ἡμῶν» τοιαύτην ἔχει διάνοιαν· ὅτι ὥςπερ τὸ ἴδιον ἁμάρτημα τῆς προαιρέσεως τοῦ παλαιοῦ Ἀδὰμ αἴτιον ἐγένετο τῆς ἀφαιρέσεως τοῦ κοινοῦ κλέους τῆς ὅλης φύσεως, λέγω δὴ τῆς προτέρας ἀφθαρσίας, οὕτως ἄρα τὸ ἴδιον κατόρθωμα τῆς προαιρέσεως τοῦ νέου Ἀδὰμ αἴτιον ἐγένετο τῆς ἀφαιρέσεως τοῦ κοινοῦ αἴσχους τῆς ὅλης φύσεως, φημὶ δὴ τῆς φθορᾶς. Καὶ ὥςπερ τὸ κατὰ φύσιν παθητὸν ἡ κατὰ προαίρεσιν τροπὴ τοῦ Ἀδὰμ εἰςήγαγεν, οὕτω πάλιν τὸ κατὰ φύσιν ἀπαθὲς ἡ κατὰ προαίρεσιν ἀτρεψία τοῦ Χριστοῦ ἐπανήγαγε κατὰ τὴν ἀνάστασιν. Καὶ τὸ μὲν κατὰ τὴν παροῦσαν ζωὴν θνητὸν τῆς φύσεως κατάκρισις καὶ ἐπιτίμιόν ἐστι τῆς προαιρετικῆς ἁμαρτίας τοῦ Ἀδάμ, τὸ δὲ κατὰ τὴν μέλλουσαν ζωὴν ἀθάνατον τῆς φύσεως γέρας καὶ δικαίωσις τῆς προαιρετικῆς ἀναμαρτησίας τοῦ Χριστοῦ καὶ κατάκρισις τῆς κατακρίσεως. Ὥςπερ δὲ ὁ ἥλιος τοῖς μὲν ἐρρωμένοις ὄμμασιν ἡδύς, τοῖς δὲ σαθροῖς λυπηρός, οὕτω καὶ ἡ ῥηθεῖσα διὰ Χριστοῦ εὐεργεσία τῆς φύσεως, ἤγουν ἡ ἀθανασία, τοῖς μὲν δικαίοις ἡδεῖα, τοῖς δὲ ἁμαρτωλοῖς λυπηρὰ διὰ τὸ ἀθάνατον τῆς κολάσεως.

(α) Ἐν τῷ χειρογρ. «ἑκούσιος». — (β) Α' Πέτρ. β', 22.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ

1. Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν

Συνεργοῦντες δὲ ὑμῖν εἰς τὴν ἡμετέραν σωτηρίαν τῷ νουθετεῖν καὶ ὑποβάλλειν τὰ δέοντα, ἔτι καὶ παρακαλοῦμεν. Ἢ καὶ ἑτέρως· συνεργοῦντες τῷ Θεῷ, παρακαλοῦντι ὑμᾶς, ὡς εἴρηται, δι' ἡμῶν. Καὶ ἀλλαχοῦ γὰρ εἴρηκεν ὅτι «Θεοῦ ἐσμεν συνεργοί» (α).

1. Μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς.

Παρακαλοῦμεν δὲ μὴ μάτην δέξασθαι τὴν διὰ τοῦ βαπτίσματος λύτρωσιν τῶν ἁμαρτημάτων, τὴν διὰ τῆς πνευματικῆς ἀναγεννήσεως υἱοθεσίαν, ἣν αὐτῷ υἱοθετήθητε· ὁ γὰρ διὰ ῥᾳθυμίας ὑποστρέφων ἐπὶ τὰς ἁμαρτίας καὶ προδιδοὺς τῇ ἀμελείᾳ τὴν κάθαρσιν μάτην ἐδέξατο τὴν χάριν, παλινδρομήσας ἐπὶ τὰ πρότερα. Εἶτα διεγείρει τούτους καὶ ἀπὸ τοῦ καιροῦ·

2. Λέγει γὰρ «καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σω-» τηρίας ἐβοήθησά σοι» (β)·

Λέγει τοῦτο ὁ Θεὸς διὰ τοῦ Προφήτου. Δεκτὸς δὲ καιρὸς ὁ εὐάρεστος, ἢ ὁ δεχόμενός τινας. Φησὶν οὖν ὁ Ἀπόστολος, ὅτι ὁ καιρὸς ἐκεῖνος, ὃν ὁ Θεὸς εἴρηκε διὰ τοῦ Προφήτου, οὗτός ἐστιν ὁ παρών. Διὸ καὶ ἐπήγαγεν·

2. Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.

«Νῦν καιρός», ὅτε τὸ κήρυγμα καταγγέλλεται. «Εὐπρόσδεκτος» δέ, ὡς ἀρέσκων τε Θεῷ καὶ ὡς εὐχερῶς πάντας δεχόμενος τοὺς πιστεύοντας καὶ μετανοοῦντας. Ὁ αὐτὸς δέ ἐστι καιρὸς καὶ «ἡμέρα » σωτηρίας». Ἐν τούτῳ ὁ Θεὸς ἐπακούει τῶν δεομένων αὐτοῦ, ἐν τούτῳ βοηθεῖ, συνεργῶν τοῖς ἀγωνιζομένοις ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας.

(α) Α' Κορινθ. γ', 9. — (β) Ἡσ. μθ', 8.

3. Μηδεμίαν ἐν μηδενὶ διδόντες προκοπήν,

Παρακαλοῦμεν δὲ ὑμᾶς ἀμέμπτως καὶ αὐτοὶ τὴν διακονίαν ταύτην ἐνεργοῦντες καὶ μηδεμίαν μέμψιν ἐν μηδενὶ πράγματι διδόντες καθ' ἑαυτῶν· μηδεμίαν κατάγνωσιν παρέχοντες εἰς ἀφορμὴν διαβολῆς.

3. Ἵνα μὴ μωμηθῇ ἡ διακονία·

Ἵνα μὴ μεμφθῇ παρὰ τῶν ἐπιτηρούντων ἀκριβῶς τὰ ἡμέτερα· ἵνα μή τις αὐτῆς κατηγορῆσαι δυνηθείη.

4. Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτούς,

Τουτέστιν ἀποδεικνύντες ἀνεγκλήτους.

4. Ὡς Θεοῦ διάκονοι·

Ὡς ὄντες Θεοῦ ὑπηρέται καὶ ἀξίως τοῦ Δεσπότου πολιτευόμενοι. Εἶτα λέγει καὶ πόθεν τοιοῦτοι ἐγένοντο.

4. Ἐν ὑπομονῇ πολλῇ,

Τῇ τῶν πειρασμῶν. Οὐχ ἁπλῶς δὲ «ὑπομονῇ», ἀλλὰ «πολλῇ».

4. Ἐν θλίψεσιν,

Οὐχ ἁπλῶς πειρασμῶν, ἀλλὰ θλιβόντων καὶ σφόδρα δακνόντων.

4. Ἐν ἀνάγκαις,

Τοῦτο ἐπίτασις τῶν θλίψεων. Ὅταν ἐπικέοιντο ἀνάγκαι τῶν δεινῶν δυςδιεξόδευτοι.

4. Ἐν στενοχωρίαις·

Ἢ ταῖς ἀπὸ τοῦ λιμοῦ καὶ τῆς ἐνδείας τῶν ἄλλων ἀναγκαίων, ἢ ταῖς ἀπὸ τῶν πειρασμῶν, ἀποπνίγειν αὐτοὺς ἐπειγομένων.

5. Ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις,

Ἀκαταστασίας λέγει τὸ μηδαμοῦ δύνασθαι στῆναι ἐλαυνομένους. Τούτων μὲν οὖν ἕκαστον καὶ καθ' ἑαυτὸ ἀφόρητον ἦν. Ὅταν δὲ καὶ

πάντα ὁμοῦ ἐπίῃ, ἐννόησον ἡλίκης δεῖται ψυχῆς. Εἶτα μετὰ τῶν ἔξωθεν καὶ τὰ παρ' ἑαυτοῦ τίθησιν·

5. Ἐν κόποις,

Οὓς ὑφίσταται ἐργαζόμενος διὰ χειρῶν χάριν τροφῆς καὶ ἄλλης χρείας ἑαυτοῦ τε καὶ τῶν συνόντων.

5. Ἐν ἀγρυπνίαις,

Ταῖς τῶν νυκτῶν, ἐν αἷς ἐδίδασκεν ἢ καὶ ἄλλως εἰργάζετο.

5. Ἐν νηστείαις·

Μετὰ τῶν ἄλλων γὰρ οὐδὲ τοῦ νηστεύειν ἠμέλει· καίτοι γε ἐκεῖνα ἤρκει πάντως ἀντὶ νηστειῶν μυρίων.

6. Ἐν ἁγνότητι,

Τῇ ἐν ἅπασι καθαρότητι· ἢ τῷ ἀδωροδοκήτῳ καὶ τῷ δωρεὰν κηρύττειν τὸ Εὐαγγέλιον.

6. Ἐν γνώσει,

Τῶν θείων καὶ τῶν δεόντων, ἥτις ἄνωθεν αὐτῷ ἐχορηγεῖτο παρὰ Θεοῦ, δεομένῳ καὶ κατατείνοντι ἑαυτὸν εἰς κτῆσιν αὐτῆς.

6. Ἐν μακροθυμίᾳ,

Τῷ μὴ παροξύνεσθαι μηδὲ μικροψυχεῖν.

6. Ἐν χρηστότητι,

Ἐν ἡμερότητι τῇ πρὸς πάντας, καὶ αὐτοὺς δὴ τοὺς ἐπιβουλεύοντας. Εἶτα δεικνὺς ἔτι πόθεν τοιοῦτος ἐγένετο, ἐπήγαγεν·

6. Ἐν Πνεύματι ἁγίῳ,

Ἐν χάριτι θείου Πνεύματος, βοηθοῦντος καὶ ἐνισχύοντος.

6. Ἐν ἀγάπῃ ἀνυποκρίτῳ·

Τῇ πρὸς πάντας. Τοῦτο δὲ ἦν τὸ ἐπισπώμενον τὴν τοῦ ἁγίου Πνεύματος χάριν, καὶ παραμένειν αὐτῷ ποιοῦν, δι' οὗ καὶ πάντα κατωρθοῦτο.

7. Ἐν λόγῳ ἀληθείας,

Ἐν λόγῳ ἀληθεῖ, μὴ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ, ὡς εἴρηκεν ἀνωτέρω.

7. Ἐν δυνάμει Θεοῦ,

Ἐπεὶ γὰρ μεγάλα κατορθώματα προςεμαρτύρησεν ἑαυτῷ, λοιπὸν τὸ πᾶν ἀνατίθησιν, ὥςπερ τῇ χάριτι τοῦ ἁγίου Πνεύματος, οὕτω δὴ καὶ τῇ δυνάμει τοῦ Θεοῦ, ἵνα ὑποτέμνηται τὴν ὑποψίαν τῆς μεγαληγορίας.

7. Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν·

Ἀγωνιζόμενοι δηλονότι καὶ μετὰ τούτων βαδίζοντες. Ὅπλα δὲ τῆς δικαιοσύνης λέγει δεξιὰ μὲν τὰ εὐφραίνοντα πράγματα· οἷον δόξαν, εὐφημίαν, κατάστασιν, εὐημερίαν καὶ ὅσα τῆς ἀνέσεως· ἀριστερὰ δὲ τὰ δάκνοντα καὶ ἀντίθετα· οἷον ἀδοξίαν, δυςφημίαν, ἀκαταστασίαν, δυςημερίαν καὶ ὅσα τῶν πειρασμῶν. Ἀλλ' ὅπλα μὲν αὐτὰ προςηγόρευσεν, ὡς δυναμένων ἡμῶν καὶ τούτοις κἀκείνοις χρῆσθαι πρὸς σωτηρίαν, καὶ διὰ τούτων κἀκείνων καταγωνίζεσθαι τὸν πολέμιον· ὗλαι γάρ εἰσι καὶ ἐργαλεῖα τῆς ἀρετῆς τοῖς ὀρθῶς χρωμένοις. Δεξιὰ καὶ ἀριστερά, ὡς τοιαῦτα δοκοῦντα. Εἶτα καὶ κατ' εἶδος αὐτὰ διέξεισι·

8. Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυςφημίας καὶ εὐφημίας·

Οὐ γὰρ ἡ ἀτιμία μόνη καὶ δυςφημία νεανικῆς καὶ γενναίας δεῖται ψυχῆς, ὥςτε μὴ καταπεσεῖν· ἀλλὰ καὶ ἡ δόξα καὶ εὐφημία, ὥςτε μὴ φυσῆσαι καὶ ἐπᾶραι τὸν ἀπολαύοντα. Ἐν ταύταις δὲ κἀκείναις διέλαμπον οἱ Ἀπόστολοι, οἱ αὐτοὶ μένοντες καὶ μήτε τοῖς δεξιοῖς χαυνούμενοι, μήτε τοῖς ἀριστεροῖς μαλακιζόμενοι. Καὶ ἄλλως δέ· ὥςπερ βλέποντες ἀδοξοῦντας καὶ δυςφημουμένους καὶ μυρία δεινὰ πάσχοντας καὶ ὑπομένοντας γενναίως τοὺς Ἀποστόλους οἱ μαθηταὶ ἐρρώννυντο καὶ ἐνήγοντο πρὸς ὑπομονὴν τῶν θλίψεων, ὅπερ ἐστὶν ἀρετή· οὕτω πάλιν δοξαζομένους καὶ ἐπαινουμένους καὶ τιμῆς ἀπολαύοντας ὁρῶντες εἰς εὐσέβειαν ἐπεσπῶντο καὶ ἐδόξαζον τὸν Θεόν, ὅπερ ἐστὶν ὁμοίως ἀρετή. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ πάντως εὐμηχανίας, τὸ διὰ τῶν ἐναντίων εἰςάγεσθαι τὸ κήρυγμα πρὸς ἀναψυχὴν τῶν μικρο-

ψυχοτέρων. Μέγα δὲ καὶ ἄλλως τὸ δυςφημίας ἐνεγκεῖν. Ὅτε γὰρ Δαυὶδ πολλαχοῦ τὸν ὀνειδισμὸν ἀποδύρεται (α), καὶ ὁ Ἱερεμίας πολλοὺς μὲν ἤνεγκε πειρασμούς, ἐπεὶ δὲ ὠνειδίζετο, ἔλεγεν· «οὐ μὴ προ- » φητεύσω, οὐδ' οὐ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου» (β). Καὶ ὁ Κύριος δὲ «μακάριοι, φησίν, ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ τὰ ἑξῆς» (γ), καὶ πολὺν ἐν οὐρανοῖς ἀποκεῖσθαι τὸν ὑπὲρ τούτου μισθὸν ἔδειξεν. Ἐν μὲν γὰρ ταῖς βασάνοις μερίζεται τὸ σῶμα μετὰ τῆς ψυχῆς τὰς ἀλγηδόνας, καὶ κοινωνοῦσι τούτων ἀμφότερα. Ἡ δὲ δυςφημία μόνης ἅπτεται τῆς ψυχῆς. Πολλοὶ γοῦν μὴ ἐνεγκόντες αὐτὴν ἀπώλοντο.

8. Ὡς πλάνοι καὶ ἀληθεῖς·

Πολιτευόμεθα δηλονότι. Τοῦτο δέ ἐστι τὸ «διὰ δυςφημίας καὶ » εὐφημίας»· παρὰ μὲν γὰρ τοῖς ἀπίστοις ὡς πλάνοι ἐδυςφημοῦντο, παρὰ δὲ τοῖς πιστοῖς ἀληθεῖς ἐκρίνοντο καὶ εὐφημοῦντο.

9. Ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι·

Τοῦτο πάλιν ἐστὶ τὸ «δι' ἀτιμίας καὶ δόξης»· τοῖς μὲν γὰρ «ὡς » ἀγνοούμενοι» ἠτιμάζοντο· τοῖς δὲ «ἐπιγινωσκόμενοι» ἐδοξάζοντο.

9. Ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν·

Ὡς θανατούμενοι, ὅσον παρὰ τοῖς ἐπιβουλεύουσι καὶ τοῖς ὁρῶσι τοὺς ἐπιφερομένους ἡμῖν θανατηφόρους πειρασμοὺς καὶ τῇ ἀκμῇ καὶ σφοδρότητι τῶν κινδύνων, καὶ ἰδοὺ ζῶμεν, τῇ τοῦ Θεοῦ βοηθείᾳ καὶ χάριτι συνεχόμενοι. Ὅσον μὲν γὰρ ἐπ' ἐκείνοις, ἀποθνήσκομεν. Ὅσον δὲ ἐπὶ τῇ ἄνωθεν συμμαχίᾳ διαφεύγομεν τὸν θάνατον. Εἶτα δηλῶν καὶ τίνος ἕνεκεν ταῦτα συγχωρεῖ ὁ Θεός, ἐπήγαγεν·

9. Ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι·

Μέγα ἀπὸ τῶν πειρασμῶν καὶ πρὸ τῶν μισθῶν κερδαίνοντες τὸ εὐθυμίζεσθαί (δ) τε καὶ σωφρονίζεσθαι.

10. Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες·

Ὡς λυπούμενοι μὲν δοκοῦντες τοῖς ὁρῶσιν, ἃ πάσχομεν, καὶ ἐν

(α) Ψαλμ. ξή, 10. 12. 13. 23. 24.—(β) Ἱερεμ. κ', 9.—(γ) Ματθ. έ, 11.—(δ) Τὸ ῥῆμα «εὐθυμίζω, εὐθυμίζομαι» οὐ κατακεχώρισται ἐν τοῖς λεξικοῖς, μήπω ὂν ἐγνωσμένον.

ἀθυμίᾳ εἶναι ὑποπτευόμενοι, ἀεὶ δὲ χαίροντες ὅτι διὰ Χριστὸν πάσχομεν, τὸν ἡμέτερον Δεσπότην, ὅς ὑπὲρ ἡμῶν τῶν δούλων αὐτοῦ καὶ ἔπαθε καὶ ἀπέθανεν. Ἔτι δὲ καὶ ταῖς ἐλπίσι τῶν μελλόντων. Τί τοίνυν ταύτης ἴσον γένοιτ' ἂν τῆς ζωῆς, ἐν ᾗ, τοσούτων ἐπιόντων δεινῶν, μείζων ἡ χαρὰ γίνεται;

10. Ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες,

Ὡς πτωχοὶ μὲν ὄντες κατὰ τὸν αἰσθητὸν πλοῦτον, πολλοὺς δὲ κατὰ τὸν πνευματικὸν πλουτίζοντες. Εἰ δ' εἴποιμεν ὅτι καὶ κατὰ τὸν αἰσθητὸν πλοῦτον ἐπλούτιζον, ὀρθῶς ἂν ἐροῦμεν· τὰς γὰρ οἰκίας τῶν πιστευόντων πλουσίων ἐκένουν ἐπὶ τοὺς πένητας. Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ ἐφεξῆς·

10. Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες

Μηδὲν μὲν ἔχοντες τῷ ἀκτημονεῖν, πάντα δὲ κατέχοντες τὰ τῶν πιστευόντων· ὅν γὰρ ὡς ἄγγελον αἱ ἐκκλησίαι τῶν πιστῶν ἐδέχοντο, ὑπὲρ οὗ (α) τὸν ἑαυτοῦ τράχηλον ὑπετίθετο, πῶς οὗτος οὐ πάντα εἶχε τὰ ἐκείνων; Ἐπεὶ δὲ μέλλει τούτοις ἐπιτιμᾶν, ὡς οὐ σφόδρα γνησίως διακειμένοις πρὸς αὐτόν, οὐκ εὐθὺς ἐπὶ τοῦτο ἔρχεται, ἀλλὰ πρότερον ἐπιδείξας ἣν αὐτὸς ἔχει πρὸς αὐτοὺς ἀγάπην, οὕτως ἀνεπαχθέστερον ἐπ' ἐκεῖνο μεταβαίνει.

11. Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι,

Οὐκ ἀνεχομένων δηλονότι σιγᾶν, ἀλλὰ βουλομένων ἀεὶ διαλέγεσθαι ὑμῖν ἢ διὰ γλώσσης ἢ διὰ γράμματος. Ὅπερ γάρ ἐστιν ἐπὶ σώματος περιπλοκαὶ χειρῶν, τοῦτό ἐστιν ἐπὶ ψυχῆς συνουσία λόγου. Ὑποδηλοῦνται δέ τι καὶ ἕτερα· ὅτι πάντα ὑμῖν ἀνυποστόλως λέγομεν, μὴ τὸ μὲν φθεγγόμενοι, τὸ δὲ παρακατέχοντες.

11. Ἡ καρδία ἡμῶν πεπλάτυνται.

Ἐπεὶ γὰρ θερμόν τι καὶ ζέον ἡ ἀγάπη, ἀνοίγει μὲν τὸ στόμα, ὡς εἴρηται, ἡμῶν, πλατύνει δὲ τὴν ἡμετέραν καρδίαν, ὥςτε πάντας ἡμᾶς εἴσω χωρεῖν, καὶ πάντας τοὺς ἀγαπητοὺς ἔνδον περιφέρειν. Καρδίαν δὲ λέγει τὴν ψυχὴν ἢ τὴν μνήμην αὐτῆς.

(α) Γράφ. «ὑπὲρ ὧν», ἐκκλησιῶν δηλαδὴ ἢ πιστῶν.

12. Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν·

Οὐ μόνον χωρεῖτε πάντες, ἀλλὰ καὶ εὐρυχώρως. Διὰ τούτου δὲ τὸ μέγεθος τῆς πρὸς αὐτοὺς ἀγαπητικῆς ἐνέφηνε διαθέσεως.

12. Στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.

Στενὰ ἔχετε σπλάγχνα, μὴ δυνάμενα χωρεῖν ἕνα, ἐμὲ τὸν διδάσκαλον, ὡς προςῆκεν. Αἰνίττεται δὲ σμικρότητα τῆς στοργῆς, ἣν εἶχον πρὸς αὐτὸν καὶ εὐμεθόδως αὐτῶν, ὡς οὐχ ὡς χρὴ φιλούντων, καθάπτεται.

13. Τὴν δὲ αὐτὴν ἀντιμισθίαν,

Προςυπακούεται τὸ «ἀπαιτῶ»· πολὺ γὰρ τὸ ἐλλειπτικὸν σχῆμα παρὰ τῷ Ἀποστόλῳ (α). Λέγει δὲ ὅτι τὴν ἴσην στοργὴν ἀπαιτῶ, «ἀντιμισθίαν» καλῶν τὴν ἀντιδιδομένην διάθεσιν, ὡς μισθὸν οὖσαν ἀντὶ τῆς ἀγάπης τοῦ προκατάρξαντος καὶ ἀνταμοιβήν· καίτοι οὐκ ἔστιν ἴσον ἀγαπηθέντα τινὰ ἀνταγαπᾶν τὸν ἀγαπήσαντα. Κἂν γὰρ τὸ ἴσον τῆς ἀγάπης εἰςενέγκῃ μέρος, ἀλλά γε τῷ δεύτερος εἰς ταύτην ἐλθεῖν ἠλάττωται. Ἀλλ' ὁ Ἀπόστολος οὐ σμικρολογεῖται περὶ τούτου. Ἵνα δὲ μὴ δόξῃ κολακεύειν, ἀλλὰ πατρικῶς παρρησιάζεσθαι, προςέθηκεν·

13. Ὡς τέκνοις λέγω·

Θαρρῶν δηλονότι, καὶ ὡς πατὴρ ζητῶν ἀπὸ τῶν τέκνων τὴν ὀφειλομένην σχέσιν.

13. Πλατύνθητε καὶ ὑμεῖς.

Αὐξήσατε τὴν πρὸς ἡμᾶς ἀγάπην.

14. Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις·

Συζευγνύμενοι τοῖς ἀπίστοις καὶ ἕτερον ζυγὸν ὑπερχόμενοι μετὰ τῶν ἀπίστων παρὰ τὸν τοῦ Κυρίου, ᾧ μετὰ τῶν πιστῶν ὑπεζύγητε. Ἢ καὶ ἑτέρως· καθάπερ ἐπὶ τρυτάνης καὶ πλάστιγγος, μὴ γίνεσθε

(α) Περί τε τοῦ ἐλλειπτικοῦ τούτου καὶ περὶ ἄλλων παρὰ τῷ Ἀποστόλῳ συντακτικῶν σχημάτων ὅρ. ἀνωτ. σελ. 144, σημ.

ἑτερορρεποῦντες πρὸς τοὺς ἀπίστους, καὶ ἀπὸ τῆς δικαιοσύνης προτρεπόμενοι καὶ τοῖς ἀπίστοις ἐπικλινόμενοι (α).

14. Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ;

Ἐντεῦθεν λοιπὸν ποιεῖται σύγκρισιν οὐχὶ τῆς αὐτοῦ ἀγάπης καὶ τῆς ἐκείνων, τῶν διαφθειρόντων μᾶλλον αὐτούς, ἀλλὰ τῆς τούτων εὐγενείας καὶ τῆς ἐκείνων ἀτιμίας, ἵνα τοῖς ἐγκωμίοις αὐτοὺς πτερώσας ἀπορραγῆναι τῶν ἀπίστων παρασκευάσῃ· χαλᾶται γὰρ οὕτως ὁ ἀκροατὴς καὶ φρονήματος πληροῦται καὶ διαπτύει τὴν συνουσίαν τῶν πονηρῶν. Τίς γάρ, φησί, μετουσία δικαίοις καὶ ἀνόμοις; οὐδὲν ἔχουσι κοινόν, ἀπεναντίας ἀλλήλων πολιτευόμενοι καὶ τοσοῦτον ἀπέχοντες ἀλλήλων, ὅσον δικαιοσύνη καὶ ἀνομία· ἡ μὲν γὰρ ἄκρα ἐστὶν ἀρετή, ἡ δὲ ἐσχάτη κακία, καὶ πολὺ τὸ μέσον τούτων καὶ ἄπειρον. Διὸ καὶ ἀντὶ τῶν προσώπων τὰς ποιότητας ἔθηκε, δικαιοσύνην καὶ ἀνομίαν, ἵνα πλεῖστον, ὡς εἴρηται, δείξῃ τὸ διάφορον.

14. Ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος;

Ὑμεῖς μὲν γὰρ πεφωτισμένοι τῇ ἀληθείᾳ, ἐκεῖνοι δὲ ἐσκοτισμένοι τῇ πλάνῃ. Πάλιν δὲ κἀνταῦθα τὸ αὐτὸ πεποίηκε, φῶς καὶ σκότος εἰρηκώς, ἅμα δὲ καὶ διὰ τούτων δηλῶν τὸ ἀλλήλων παντελῶς ἀκοινώνητον.

15. Τίς δὲ συμφώνησις Χριστῷ πρὸς βελίαρ;

Βελίαρ ὁ ἀποστάτης ἑρμηνεύεται, ἐξελληνιζομένης τῆς ἑβραΐδος ταύτης λέξεως. Οὐκ εἶπε δὲ τίς συμφώνησις τοῖς τοῦ Χριστοῦ πρὸς τοὺς τοῦ βελίαρ, ἀλλ', ὃ πολλῷ πλέον ἀφειστήκει, ὅτι «Χριστῷ πρὸς » βελίαρ». Ἵνα δὲ μὴ δόξῃ ἀρετὴν μὲν ἁπλῶς ἐγκωμιάζειν, κακίαν δὲ ψέγειν, μέμνηται καὶ τῶν προσώπων τοῖς καθολικωτέροις ὀνόμασιν. Καί φησιν·

15. Ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

Τίς μετοχή, τί κοινόν;

(α) Θεοφύλ. ἐν λ. «Οὐκ εἶπε δὲ «μὴ συναναμίγνυσθε», ἀλλὰ «μὴ γίνεσθε ἑτεροζυ- » γοῦντες»· τουτέστι μὴ ἀδικεῖτε τὸ δίκαιον, ἐπικλινόμενοι καὶ προςκείμενοι οἷς οὐ θέμις· » τὸ γὰρ ἑτεροζυγεῖν ἐπὶ ζυγοῦ ἀδίκου λέγεται, ὅταν ἡ μία πλάστιγξ βαρῇ».

16. Τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;

Οὔτε ὁ βασιλεὺς ἡμῶν ἔχει τι κοινὸν πρὸς τὸν βασιλέα ἐκείνων («τίς γὰρ συμφώνησις Χριστῷ πρὸς βελίαρ»;), οὔτε τὰ πράγματα ὑμῖν κἀκείνοις κοινά· «τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ»; «ἢ » τίς κοινωνία φωτὶ πρὸς σκότος»; οὔκουν οὐδὲ ὑμεῖς ἔχετέ τι κοινὸν πρὸς ἐκείνους. Ὑμεῖς μὲν γὰρ ναὸς Θεοῦ, ἐκεῖνοι δὲ ναὸς εἰδώλων. «Συγκατάθεσιν» δὲ πάλιν τὴν συμφωνίαν λέγει καὶ κοινωνίαν. Πυκνὰς δὲ τὰς ἀντιθέσεις ἐποίησε, καὶ ἐπὶ πάσης παμπόλλην ἔδειξε τὴν διαφοράν, ἵνα μηκέτι δεηθείη κατασκευῆς εἰς διαβολὴν τοῦ πράγματος.

16. Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος·

Ναὸν Θεοῦ προσαγορεύσας αὐτούς, ἵνα μὴ δόξῃ κολακεύειν, ἐπαγωνίζεται τῷ λόγῳ καὶ δείκνυσι συνήγορον αὐτοῦ τὸν Θεόν. Ἐπάγει γάρ·

16. Καθὼς εἶπεν ὁ Θεός·

Διὰ τοῦ Μωϋσέως ἐν τῷ Λευϊτικῷ. Τί δὲ εἶπεν, ἄκουσον·

16. Ὅτι «ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι » αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός» (α).

Περὶ τῶν πιστῶν τοῦτο προηγόρευσεν, ὅτι ἐπαναπαύσεται αὐτοῖς ὁ Θεός. Οἷς δὲ ὁ Πατὴρ ἐπαναπαύεται, τούτοις ἄρα καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ ὁ Σωτὴρ ἔλεγε περὶ τοῦ εὐαρεστοῦντος αὐτῷ ὅτι «ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιή» σομεν» (β), τουτέστιν ἐμφιλοχωρήσομεν, ἐνδιατρίψομεν. Πανταχοῦ μὲν γάρ ἐστιν ὁ Θεός· μᾶλλον δὲ εἶναι λέγεται ἐν τοῖς μᾶλλον ἀξίοις αὐτοῦ κατ' ἀναλογίαν τῆς εὐαρεστήσεως καὶ ὑποδοχῆς.

17. «Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκα» θάρτου μὴ ἅπτεσθαι, λέγει Κύριος» (γ).

Λέγει ταῦτα διὰ τοῦ Ἡσαΐου. «Ἀφορίσθητε» δέ, ἀντὶ τοῦ χω-

(α) Λευϊτ. κς', 12. — (β) Ἰωάνν. ιδ', 23.— (γ) Ἡσ. νβ', 11.

ρίσθητε ἀπὸ τῶν ἀπίστων, καὶ μὴ μόνον μὴ ποιεῖτέ τι πρᾶγμα ἀκάθαρτον, ἀλλὰ μηδὲ ἅπτεσθε ὅλως αὐτοῦ, μηδὲ ἐγγὺς γίνεσθε.

17. «Καγὼ εἰςδέξομαι ὑμᾶς· καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ
18. » ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος
» Παντοκράτωρ ».

Εἶδες τὸν Προφήτην ἄνωθεν τὴν διὰ τῆς πίστεως καὶ τοῦ βαπτίσματος εὐγένειαν προαναφωνοῦντα; Τί γὰρ ἴσον τοῦ πατέρα ἔχειν τὸν Θεόν, τὸν δημιουργὸν ἅμα καὶ δεσπότην καὶ βασιλέα τῶν βασιλευόντων καὶ κύριον τῶν κυριευόντων;

ΚΕΦΑΛΑΙΟΝ ΕΒΔΟΜΟΝ

1. Ταύτας οὖν τὰς ἐπαγγελίας ἔχοντες, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος,

« Ἐπαγγελίας » μὲν λέγει τὰς διὰ τῶν ῥηθέντων τοῦ Κυρίου λόγων. «Μολυσμὸς δὲ σαρκὸς» μέν, φόνος, μοιχεία, πορνεία, ἀσέλγεια καὶ ὅσα διὰ τοῦ σώματος ἁμαρτάνοντος· «πνεύματος» δέ, ἤτοι ψυχῆς, ἀκάθαρτοι λογισμοί, ἐπιθυμίαι, πονηρίαι, μνησικακία, δόλος καὶ ὅσα χωρὶς τοῦ σώματος πλημμελεῖ καθ' ἑαυτὴν ἡ ψυχή.

1. Ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

Οὐ γὰρ τὸ καθαρίσαι μόνον ἀρκεῖ ποιεῖν καθαρόν, ἀλλὰ καὶ ἑτέρου τινὸς ἡμῖν δεῖ, τῆς ἁγιωσύνης, ἥτις ἐνεργεῖται διὰ σπουδῆς καὶ προςοχῆς καὶ εὐλαβείας· « ἔκκλινον γάρ, φησίν, ἀπὸ κακοῦ, καὶ ποίησον »ἀγαθόν » (α)· « ἐπιτελοῦντες », φησίν, ἁγνείαν καὶ καθαρότητα διὰ πάσης ἀγαθοεργίας. Καλῶς δὲ προςέθηκεν ὅτι «ἐν φόβῳ Θεοῦ»· ἐπι-

(α) Ψαλμ. λγ', 14.

τελεῖται γὰρ πολλάκις ἁγιωσύνη καὶ διὰ φιλοδοξίαν. Ἢ καὶ ἄλλως· τὸ «ἐν φόβῳ Θεοῦ» τὸν τρόπον ἑρμηνεύει, καθ' ὃν ἡ ἁγιωσύνη ἐπιτελεῖται.

Η' Ἀποδοχὴ τῆς Κορινθίων ὑπακοῆς καὶ ἀγάπης εὐφραινούσης αὐτόν.

2. Χωρήσατε ἡμᾶς·

Ἐπειδὴ γὰρ ἀνωτέρω εἴρηκεν ὅτι «πλατύνθητε καὶ ὑμεῖς», νῦν ἐσαφήνισε τὸν λόγον, ὅτι εἰςδέξασθε ἡμᾶς ὅλους ἐν ταῖς ψυχαῖς ὑμῶν, καὶ μὴ ἐκ μέρους, ὅπερ ἐδήλωσε προλαβὼν διὰ τῆς στενοχωρίας. Ἐπεὶ γὰρ ἤλεγξεν αὐτοὺς σφόδρα μὲν φιλουμένους, οὐχ ὁμοίως δὲ φιλοῦντας, λεαίνει λοιπὸν τὸ τραχὺ τῆς ἐπιτιμήσεως. Καὶ οὐκ εἶπε φιλήσατε ὅσον χρή, ἀλλ' ἐλεεινότερον, ὅτι «χωρήσατε» καὶ παρακαλῶν οὕτως ἐντρέπει. Εἶτα πάλιν ἐπάγει δυςωπητικώτερον·

2. Οὐδένα ἠδικήσαμεν,

Οὐδένα ἐβλάψαμεν, ἵνα καὶ πρόφασιν δῶμεν ἐλαττώσεως τῆς εἰς ἡμᾶς διαθέσεως. Εἶτα διαιρεῖ τὴν ἀδικίαν εἰς εἴδη·

2. Οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν.

Φθορὰν μὲν λέγει τὴν ἀπάτην· πλεονεξίαν δὲ τὴν ἁρπαγήν τινος χρήματος. Καὶ οὐ λέγει τέως ὅτι ὠφελήσαμεν, ἀλλ' ὅτι οὐκ ἐβλάψαμεν. Εἶτα αἰσθόμενος τῆς βαρύτητος τῶν λόγων ἐπιδιορθοῦται πάλιν καί φησιν·

3. Οὐ πρὸς κατάκρισιν λέγω·

Οὐ κατακρίνων ὑμᾶς λέγω ταῦτα, ἀλλὰ δηλονότι διορθούμενος.

3. Προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

Καὶ ποῦ τοῦτο προείρηκεν, ἢ πάντως ἐν οἷς ἔλεγεν ὅτι «ἡ καρδία »ἡμῶν πεπλάτυνται»· καὶ ὅτι «οὐ στενοχωρεῖσθε ἐν ἡμῖν» (α); Ὁ δὲ ταῦτα λέγων οὐχ ἵνα κατακρίνῃ καθάπτεται πολλάκις, ἀλλ' ἵνα διορθώσηται σφαλλόμενον τὸν φιλούμενον. « Ἐν ταῖς καρδίαις δὲ

(α) Ἀνωτ. κεφ. ϛ', 11

»ἡμῶν ἐστε» τῷ ἀεὶ ποθεῖσθαι καὶ μνημονεύεσθαι, ὥςτε θέλειν ἡμᾶς συναποθανεῖν ὑμῖν καὶ συζῆν. Ὥςπερ γὰρ τὸ ἑτοίμως ἔχειν συναποθανεῖν τεκμήριόν ἐστιν ὑπερβαλλούσης ἀγάπης, οὕτω καὶ τὸ συζῆν. Πολλοὶ γὰρ συναλγοῦσι μὲν τοῖς φίλοις, οὐ συνήδονται δὲ αὐτοῖς, φθονοῦντες, εὐημεροῦσιν (α).

4. Πολλή μοι παρρησία πρὸς ὑμᾶς,

Ἐκ πατρικῆς γεγενημένη στοργῆς. Διὸ καὶ θαρρούντως λέγω καὶ γράφω.

4. Πολλή μοι καύχησις ὑπὲρ ὑμῶν·

Καυχωμένῳ πρὸς ἑτέρους ἐφ' ὑμῖν καὶ ἐγκαλλωπιζομένῳ ὑμῖν, ὡς ἐνσεμνύνεται πατὴρ τέκνοις εὐδοκίμοις.

4. Πεπλήρωμαι τῇ παρακλήσει,

Τῇ παρ' ὑμῶν μοι προςγενομένῃ. Διορθωθέντων γὰρ ὑμῶν, σφόδρα παρεκλήθην. Καὶ ὅσον σφαλλομένων ἠθύμουν, τοσοῦτον διορθωθέντων ηὐθύμησά τε καὶ ἐψυχαγωγήθην, καὶ οὐδὲν ἐνδεῖ μοι πρὸς εὐθυμίαν.

4. Ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

Εἰ καὶ πολλὰ καὶ διάφορα ἐθλίβημεν, ἀλλὰ τοσαύτη τις ἦν ἡ ἐφ' ὑμῖν χαρά, ὡς δεδήλωται, ὥςτε μὴ μόνον ἀμαυρῶσαι πᾶσαν θλῖψιν ἡμῶν, ἀλλὰ καὶ περισσεῦσαι. Οὕτω γὰρ ἡμᾶς διέθηκεν, ὡς ἐπιλαβέσθαι τῆς ἀπὸ τῶν θλίψεων ὀδύνης, ὅπερ ἐστὶν ὑπερπερίσσευσις τῆς χαρᾶς. Εἶτα λέγει καὶ τὰς θλίψεις·

5. Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν,

Διὰ τῆς «σαρκὸς» τὰς σωματικὰς κακοπαθείας καὶ ταλαιπωρίας

(α) Μετ' ἰδιαζούσης χάριτος καὶ κομψείας ἀποδίδωσιν ἐνταῦθα ὁ Συγγραφεὺς τὸ ἰσοκράτειον ἐκεῖνο (πρὸς Δημόν.) περὶ φιλίας παράγγελμα· «ἀποδέχου τῶν ἑταίρων μὴ » μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυςχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθο- » νοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσιν».

δηλώσας, συμπαρεδήλωσε καὶ τὰς τῆς ψυχῆς ὀδύνας, ἃς καὶ διὰ τοῦ ἐφεξῆς ῥητοῦ παρέστησε τρανότερον·

5. Ἀλλ' ἐν παντὶ θλιβόμενοι·

Ἦμεν δηλονότι. « Ἐν παντὶ δὲ » ἀντὶ τοῦ κατὰ πάντα· λέγω δὴ ψυχήν τε καὶ σῶμα. Ἢ τὸ « ἐν παντὶ » ἀντὶ τοῦ πανταχόθεν.

5. Ἔξωθεν μάχαι,

Παρὰ τῶν ἔξωθεν, ἤτοι τῶν ἀλλοτρίων τῆς πίστεως, μάχαι πρὸς ἡμᾶς ἦσαν καὶ πόλεμοι.

5. Ἔσωθεν φόβοι.

Παρὰ τῶν ἔσωθεν δέ, λέγω δὴ τῶν οἰκείων τῆς πίστεως, πάλιν ἦσαν οἱ φόβοι διὰ τοὺς ἀσθενεστέρους, μή ποτε παρασυρῶσιν.

6. Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐν τῇ παρουσίᾳ Τίτου.

Ὁ Θεὸς ὁ παρακαλῶν τοὺς ταπεινόφρονας ἀνεκτήσατο ἡμᾶς καταπονουμένους τῷ βάρει τῆς λύπης. Ἀνεκτήσατο δὲ ἡμᾶς διὰ τῆς παρουσίας Τίτου. Ὅρα δὲ ὅπως συνίστησι πανταχοῦ τὸν Τῖτον καὶ μέγα τίθεται τὴν παρουσίαν αὐτοῦ ἐν οἷς τε ἔλεγεν· « ἐλθὼν δὲ εἰς »τὴν Τρωάδα, εἰς τὸ εὐαγγέλιον, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου »τῷ μὴ εὑρεῖν με Τῖτον τὸν ἀδελφόν μου » (α)· καὶ ἐν οἷς ἐνταῦθά φησι. Βούλεται γὰρ ἀξιόπιστον αὐτοῖς καὶ ποθεινὸν καταστῆσαι τὸν ἄνδρα.

7. Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ,

Παρεκάλεσεν ἡμᾶς, ὁ Τῖτος δηλονότι· περὶ τούτου γὰρ νῦν ὁ λόγος.

7. Ἀλλὰ καὶ ἐν τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν,

Καὶ πῶς παρεκλήθη; ἢ πάντως διὰ τῆς ἀρετῆς ὑμῶν; διὰ τῶν κατορθωμάτων; Διὸ καὶ ἐπήγαγεν·

7. Ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν,

(α) Β' Κορινθ. 6', 12.

Ὅτι οὐ μόνον ποθεῖτέ με, ἀλλὰ καὶ ἐπιποθεῖτε, ὅπερ ἐστὶν ἐπίτασις πόθου.

7. Τὸν ὑμῶν ὀδυρμόν,

Ὅτι οὐ μόνον ἐπιποθεῖτε, ἀλλὰ καὶ ὀδύρεσθε, μὴ δυνάμενοι βλέπειν με καὶ σωματικῶς διὰ τὴν ἐπὶ τοσοῦτον ἀποδημίαν μου.

7. Τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ·

Ἢ ὅτι ζηλοτυπεῖτε, ὡς ἐμοῦ προτιμῶντος ἑτέρους, καὶ ἀναβαλλομένου διὰ τοῦτο τὴν εἰς ὑμᾶς ἐπιδημίαν· ἢ ὅτι ζηλώσαντες ὑπὲρ ἐμοῦ, λυπηθέντος ἐπὶ τῷ πεπορνευκότι, ἐπυρώθητε πρὸς ἐκδίκησιν. Ἀλλὰ πῶς, οἷς ἐνεκάλεσεν ἀνωτέρω στενοχωρίαν σπλάγχνων καὶ ἑτεροζυγίαν καὶ τὰ τοιαῦτα, νῦν προςμαρτυρεῖ τούτοις ἐπιπόθησιν καὶ ὀδυρμὸν καὶ ζῆλον; Ἢ δῆλον ὡς τινὲς μὲν ἐκείνοις ἦσαν ὑπεύθυνοι τοῖς ἐγκλήμασι, τινὲς δὲ ταῦτα κατώρθουν; Τίθησι δὲ κοινὰ ποτὲ μὲν τὰ ἐγκλήματα, ποτὲ δὲ τὰ ἐγκώμια, διδοὺς τῷ συνειδότι τῶν ἀκουόντων ἐπιλέγεσθαι τὰ οἰκεῖα· οὕτω γὰρ ἐκεῖνά τε ἀνεπαχθῆ γίνεται καὶ ταῦτα προτρέπει πλέον τοὺς κατορθοῦντας.

7. Ὥςτε με μᾶλλον χαρῆναι.

Πλέον χαρῆναι.

8. Ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην.

Εἰ καὶ ἐλύπησα ὑμᾶς διὰ τῆς προτέρας ἐπιστολῆς, ἐχούσης ῥήματα στύφοντα καὶ δάκνοντα, καὶ τῷ σφοδρῷ τῆς ἐπιτιμήσεως σφόδρα καθικέσθαι καὶ ὀδυνᾶν δυνάμενα, οὐ μεταμέλομαι νῦν ἐπὶ τῇ ἐκείνης δριμύτητι, εἰ καὶ μετεμελόμην, ἕως οὗ ἦλθε Τῖτος, ἀναγγέλλων μοι τὴν διόρθωσιν ὑμῶν, τὴν ἐκεῖθεν γεγενημένην.

8. Βλέπω γάρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη,

Εἰπὼν ὅτι «οὐ μεταμέλομαι» ἔτι, λέγει καὶ τὴν αἰτίαν· βλέπω γὰρ ὅτι ἡ ἐπιστολὴ ἐκείνη ὠφέλησεν. Τοῦτο γὰρ ἐλλείπει, νοούμενον ἀπὸ τοῦ ἐφεξῆς. Ἐπήγαγε γάρ·

8. Εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς.

Βλέπω, φησί, τὸ χρήσιμον ἐκείνης, καὶ τὸ ἐξ αὐτῆς κέρδος. Καὶ τὸ μὲν λυπηρὸν αὐτῆς πρὸς ὥραν, ἤγουν βραχύ· τὸ δὲ ὠφέλιμον διηνεκές.

9. Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν.

Μαθὼν τὴν ὑμετέραν βελτίωσιν χαίρω νῦν, οὐχ ὅτι ἁπλῶς ἐλυπήθητε (τί γάρ μοι κέρδος ἐντεῦθεν;), ἀλλ' ὅτι ἐλυπήθητε ἐπὶ μετανοίᾳ· τουτέστι μετανοήσαντες ἐφ' οἷς ἐσφάλλεσθε.

9. Ἐλυπήθητε γὰρ κατὰ Θεόν,

Εὐαρέστως Θεῷ.

9. Ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

Ἐπεὶ γὰρ ἐμέλλετε διὰ τῆς ἡμετέρας ἐπιπλήξεως διορθωθῆναι καὶ κερδᾶναι, ἐζημιώθητε ἂν ἐξ ἡμῶν, εἰ μὴ ἐπεπλήξαμεν ὑμῖν· καὶ ἐγένετο ἂν ὑμῖν ἡ ζημία οὐ παρὰ τὴν ὑμετέραν μόνον ῥᾳθυμίαν, ἀλλὰ καὶ παρὰ τὴν ἡμετέραν σιωπὴν καὶ φειδώ. Ὁρᾷς ὅτι τὸ μὴ ἐπιτιμᾶσθαι τοὺς ἁμαρτάνοντας ζημία ἐστὶν οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τῷ διδασκάλῳ; τῷ μὲν μὴ δόντι μετανοίας ἀφορμήν, τοῖς δὲ μὴ λαβοῦσιν; « Ἐλυπήθητε » οὖν, φησίν, ἵνα διορθωθέντες ἐκ τῆς ἐπιπλήξεως ἐν μηδενὶ ζημιωθῆτε ἐκ τῆς ἡμετέρας ὑποστολῆς. Εἶτα διαιρεῖ καὶ φιλοσοφεῖ περὶ τῆς λύπης·

10. Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται·

Ἡ εὐαπόδεκτος τῷ Θεῷ λύπη τῶν ἀνθρώπων· ἤγουν ἡ ἐφ' ἁμαρτήμασι γινομένη « μετάνοιαν » εἰς σωτηρίαν φέρουσαν κατεργάζεται. Μετάνοιαν δὲ ἀμεταμέλητον. Οὐδεὶς γὰρ μετανοήσας οὕτως μεταμέλεται, ὅτι μετενόησεν ἐφ' οἷς ἥμαρτεν.

10. Ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται.

Κοσμικὴν λύπην λέγει τὴν ὑπὲρ ἀπωλείας χρημάτων ἢ ἄλλων κοσμικῶν πραγμάτων, τὴν ὑπὲρ ἀδοξίας, τὴν ὑπὲρ ὕβρεως, τὴν ὑπὲρ νόσου, τὴν ὑπὲρ τεθνηκότος συγγενοῦς ἢ ἄλλως προσήκοντος καὶ ὅσα τοιαῦτα. Ἡ γὰρ ἐπὶ τοῖς τοιούτοις λύπη οὐ μόνον οὐ διορθοῦται τὴν

συμφοράν, ἀλλὰ καὶ προςεπιτρίβει μάλιστα τὸν λυπούμενον. Καὶ ὥςπερ ἡ κατὰ Θεὸν λύπη σωτηρίαν ψυχῆς ἐργάζεται· οὕτως ἡ κατὰ κόσμον αὕτη πολλάκις θάνατον ἐπιφέρει τοῖς μὴ φέρουσι τὴν ἀμετρίαν αὐτῆς. Καὶ καθάπερ ἐκείνῃ τῇ λύπῃ πρόςεστι τὸ ἀμεταμέλητον, οὕτω καὶ ταύτῃ τοὐναντίον, λέγω δὴ τὸ μεταμέλεσθαι. Ἐπιτρίψαντες γὰρ ἑαυτοὺς πολλοὶ καὶ κατατείναντες, ὕστερον μεταμέλονται, μαθόντες ὅτι οὐ μόνον οὐκ ὠφέλησαν, ἀλλὰ καὶ ἐβλάβησαν. Ἐπειδὴ γὰρ τὸ τῆς λύπης φάρμακον πρὸς μετάνοιαν ἡμῖν ἐδόθη θεόθεν, ἐνταῦθα ἰσχύει μόνον καὶ τὴν ὠφέλειαν ἐπιδείκνυται. Ἐπὶ δὲ τῶν ἄλλων οὐ μόνον οὐκ ὀνίνησιν, ἀλλὰ καὶ προςαπόλλυσι, καθὰ προειρήκαμεν.

11. Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλ' ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ' ἐκδίκησιν.

Αὐτοὺς εἰς ὑπόδειγμα τοῦ ῥηθέντος παράγει καὶ ἀφ' ὧν ἐποίησαν, ἀπὸ τούτων τὴν ἀπόδειξιν τοῦ λόγου παρέχεται, ἅμα καὶ ἐπαινῶν αὐτοὺς καὶ μάλιστα ἐπισπώμενος. Ἰδοὺ γάρ, φησίν, αὐτὸ τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς ἀπὸ τῆς προπεμφθείσης ἐπιστολῆς πόσην ἐνεποίησεν ὑμῖν σπουδὴν εἰς διόρθωσιν; Ὄντως πολλὴν σπουδήν. Εἶτα λέγει καὶ τῆς σπουδῆς τὰ τεκμήρια. Ἀλλὰ τόδε τουτέστιν ἐνεποίησεν ὑμῖν καὶ τόδε, καὶ αὖθις ἔτι τόδε. Καὶ «ἀπολογίαν» μὲν λέγει τὴν πρὸς αὐτόν, «ἀγανάκτησιν» δὲ τὴν πρὸς τὸν πεπορνευκότα, «φόβον» δὲ τὸν πρὸς τὸν Θεὸν ἢ πρὸς ἑαυτόν. Πάλιν «ἐπιπόθησιν» δὲ τὴν εἰς ἑαυτόν, αὖθις «ζῆλον» δὲ τὸν ὑπὲρ τοῦ Θεοῦ, «ἐκδίκησιν» δὲ τὴν τῶν τοῦ Θεοῦ νόμων, ὑβρισθέντων διὰ τῆς ἁμαρτίας.

11. Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.

Διὰ πάντων ἀπεδείξατε ἑαυτοὺς ἀθῴους εἶναι ἀπ' ἐκείνου τοῦ πλημμελήματος τῷ πάσαις ψήφοις τοῦτο καταδικάσαι καὶ πανταχόθεν ἐλάσαι.

12. Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος, ἀλλ' ἕνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς,

Τὸν πεπορνευκότα λέγει καὶ ἀδικήσαντα καὶ ἀδικηθέντα· ἠδίκησε γὰρ ἑαυτὸν καὶ ἠδικήθη ὑφ' ἑαυτοῦ. Φησὶν οὖν, ὅτι εἰ καὶ ἔγραψα ὑμῖν πρότερον τὰς αὐστηρὰς ἐκείνας ἐπιτιμήσεις, ἀλλ' οὐ πρωτοτύπως ἔγραψα ταύτας ἕνεκεν τοῦ ἀδικήσαντος καὶ ἀδικηθέντος, ὡς εἴρηται· ἀλλὰ προηγουμένως ἕνεκεν ὑμῶν. Οὐ τοσοῦτον δι' ἐκεῖνον, ὅσον δι' ὑμᾶς. Κήδομαι μὲν γὰρ καὶ αὐτοῦ, πλεῖον δὲ ὑμῶν, ὡς πλειόνων. Ἔγραψα οὖν ἕνεκεν τοῦ φανερωθῆναι πρὸς ὑμᾶς τὴν σπουδὴν ἡμῶν, τὴν ὑπὲρ ὑμῶν, πῶς σπουδάζομεν ἐξαιρεῖν ὑμᾶς ἀπὸ πάσης ἁμαρτίας. Καὶ ἐπέπληξα, ἵνα προςέχητε, μήποτε ὁδῷ βαδίζον τὸ κακὸν ἅψηται καὶ ὑμῶν. Ὥςπερ οὖν ὅταν λέγῃ « μὴ τῶν βοῶν » μέλει τῷ Θεῷ » (α); οὐ τοῦτο λέγει, ὅτι οὐ μέλει· καὶ γὰρ καὶ οἱ βόες τῆς προνοίας ἀπολαύουσι τοῦ Θεοῦ, ἀλλ' ὅτι οὐ προηγουμένως διὰ τοὺς βόας ἐνομοθέτησεν· οὕτω καὶ ἐνταῦθα· ἰδίωμα γὰρ καὶ τοῦτο τῆς ἑβραΐδος διαλέκτου.

12. Ἐνώπιον τοῦ Θεοῦ.

Τὴν σπουδήν, φησίν, ἡμῶν, τὴν ὑπὲρ ὑμῶν γινομένην ἐνώπιον τοῦ Θεοῦ.

13. Διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν.

Διότι ἃ ἠβουλόμεθα ἤνυσται, ἐψυχαγωγήμεθα ἐπὶ τῷ παρακληθῆναι ὑμᾶς εἰς διόρθωσιν καὶ προτραπῆναι διὰ τῆς προτέρας ἐπιστολῆς.

13. Περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου (β),

Εἰς αὔξησιν δὲ τῆς ἐπὶ τῇ προκοπῇ ὑμῶν χαρᾶς ἔτι ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου· ὅτι ἐχάρη ἐφ' ὑμῖν ὁ Τῖτος, εὐαρέστως Θεῷ πολιτευομένοις.

13. Ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν·

Ὅτι τεθεράπευται ἡ ψυχὴ αὐτοῦ ἐπὶ πᾶσιν ὑμῖν, ἢ ὑπὸ πάντων ὑμῶν, πάντα ἐπαινοῦντος τὰ καθ' ὑμᾶς. Τινὰ δὲ τῶν ἀντιγράφων

(α) Α΄ Κορινθ. θ΄, 9. — (β) Ὁ Θεοφύλ. τὸν στίχον τοῦτον στίζει οὕτως· « Διὰ » τοῦτο παρακεκλήμεθα· ἐπὶ δὲ τῇ παρακλήσει ὑμῶν περισσοτέρως μᾶλλον ἐχάρημεν « κέξ. ».

ἀντὶ «τοῦ πνεύματος», «τὰ σπλάγχνα», γράφουσιν· ἤγουν ἡ ἀγάπη αὐτοῦ ἡ περὶ ὑμᾶς. Εἶτα λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἐχάρη ἐπὶ τῇ χαρᾷ τοῦ Τίτου· φησὶ γάρ·

14. Ὅτι εἴ τι (*) αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην·

Εἴ τι γὰρ πρὸς αὐτὸν ἐκαυχησάμην ὑπὲρ ὑμῶν, ἐγκωμιάζων ὑμᾶς ὡς εὐδιορθώτους καὶ προθύμους εἰς ἀρετήν, οὐκ ἠλέγχθην ψευσάμενος· ἀλλ' ἐδείξατε τὰ ῥήματά μου διὰ τῶν ἔργων. Ὥςτε διπλοῦς ὁ κόσμος ἐμοί, ὅτι τε ὑμεῖς ἐπεδώκατε καὶ ὅτι ἐγὼ ἠλήθευσα.

14. Ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν, ἡ ἐπὶ Τίτου, ἀλήθεια ἐγενήθη·

Ὥςπερ πάντα ἀληθῶς ἐλαλήσαμεν ὑμῖν τὰ περὶ τῆς πίστεως καὶ ἀρετῆς, ἢ τὰ ὑπὲρ Τίτου (εἰκὸς γὰρ παρ' αὐτοῖς ἐγκωμιάσαι τὸν Τῖτον), οὕτω καὶ ἡ ὑπὲρ ὑμῶν καύχησις ἡμῶν, ἡ ἐπὶ Τίτου γενομένη, τουτέστιν ἡ πρὸς τὸν Τῖτον, ὡς ἀνωτέρω δεδήλωται, ἀληθὴς ἐφάνη· πανταχοῦ γὰρ ἀληθείας φροντίζομεν.

15. Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν,

Καὶ ἡ ἀγάπη καὶ ἡ διάθεσις αὐτοῦ ηὐξήθη ἐφ' ὑμῖν καὶ γέγονε θερμότερος ἐραστὴς ἡμῶν. Ἐνδιατρίβει δὲ τοῖς ἐγκωμίοις Τίτου καὶ ὅτι μέλει πάλιν ἐξαποστεῖλαι τοῦτον εἰς αὐτούς· παρῆν γάρ, γραφομένης τῆς παρούσης ἐπιστολῆς, ἵνα ποθεινότερον καὶ ἀσπασίως ὑποδέξωνται τοῦτον.

15. Ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν·

Τοῦτο καὶ τὸν Τῖτον εὐγνώμονα δείκνυσι περὶ τοὺς εὐεργέτας, εἴ γε λαβὼν αὐτοὺς ἐν τῇ ψυχῇ ἐπανῆλθε, καὶ ἔχει τούτους ἐπὶ μνήμης καὶ στόματος, καὶ Κορινθίους δὲ μειζόνως κοσμεῖ, ὅτι αὐτὸν οὕτως διὰ τῆς ἑαυτῶν ἀρετῆς χειρωσάμενοι ἐξέπεμψαν. «Ὑπακοὴν» δὲ λέγει ἢ τὴν πρὸς ἑαυτὸν ἢ τὴν πρὸς Τῖτον.

15. Ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.

(*) Τὸ χειρόγρ. « εἴ τε » ἐξ ἀβλεψίας πάντως τοῦ ἀντιγραφέως, τοῦθ' ὅπερ δῆλον καὶ ἐκ τῆς ἐξηγήσεως.

Οὐ μόνον ἀγαπῶντες, ἀλλὰ καὶ φοβούμενοι καὶ τρέμοντες, καί, ὡς μὲν πατέρα, φιλοῦντες, ὡς δὲ ἄρχοντα δεδοικότες, μήτε τῆς ἀγάπης ἐκλυούσης τὸν φόβον, μήτε τοῦ φόβου τὴν ἀγάπην ἀμαυροῦντος.

16. Χαίρω ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.

Ὅτι κἂν ἐπιπλῆξαι δέῃ, θαρρῶ ὡς οὐκ ἀπορραγήσεσθε, κἂν καυχήσασθαι ὑπὲρ ὑμῶν, ἤγουν ἐπαινέσαι, θαρρῶ πάλιν ὅτι οὐ ψευσθήσομαι. Ἐπάρας οὖν αὐτοὺς τοῖς ἐγκωμίοις, παραίνεσιν πάλιν καθίησιν. Διὰ γὰρ τοῦτο τῇ ἐπιπλήξει παρέμιξε τοὺς ἐπαίνους, ἵνα τούτοις λεάνας αὐτῶν τὴν ἀκοήν, οὕτω προοδοποιήσῃ τῇ παραινέσει καὶ εὐπαράδεκτον αὐτὴν ἀπεργάσηται. Βούλεται γὰρ περὶ ἐλεημοσύνης διαλεχθῆναι. Διὸ καὶ προλαβὼν εἶπε «χαίρω ὅτι ἐν παντὶ θαρρῶ ἐν » ὑμῖν », ἐπισπώμενος αὐτοὺς καὶ εἰς τὴν ἐπὶ ταύτῃ ὑπακοήν.

ΚΕΦΑΛΑΙΟΝ ΟΓΔΟΟΝ

Θ' Προτροπὴ εἰς ἐπίδοσιν χρημάτων τοῖς ἁγίοις καὶ τιμὴν τῶν διὰ τοῦτο ἐρχομένων· ἐν ᾧ περὶ τῆς Τίτου ἀποστολῆς καὶ τῶν ἄλλων πρὸς αὐτούς.

1. Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας·

Ὅρα σύνεσιν. Οὐχ ὃ βούλεται λέγει πρῶτον, ἀλλ' ἕτερον, ἵνα μὴ δόξῃ ἐπίτηδες τοῦτο ποιεῖν, ἀλλ' ἀφ' ἑτέρας ἀκολουθίας ἐπ' αὐτὸ ἐλθεῖν. «Χάριν» δὲ λέγει τὴν τῆς ὑπομονῆς τῶν πειρασμῶν· ἐπήγαγε γάρ·

2. Ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν

Πολλάκις ἐδοκιμάσθησαν ἐν θλίψεσι, πολλὰ παθόντες ὑπὸ τῶν ἀπίστων, καὶ ἐν διαφόρῳ δοκιμῇ θλίψεως γέγονεν ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, ἣν ἔχουσι νῦν· διαφόρως γὰρ ἐξετασθέντες ἐν θλίψεσι

καὶ ὑπομείναντες, νῦν ἔχουσι περισσεύουσαν τὴν χαράν, ἤτοι νικῶσαν τὰς θλίψεις, καὶ ἀποκρύπτουσαν αὐτὰς τῇ ἑαυτῆς ὑπερβολῇ. Ἡ δὲ ὑπερβολὴ τῆς χαρᾶς αὐτῶν ἐστιν ὅτι ἐθλίβησαν ὑπὲρ τοῦ Χριστοῦ, καὶ ἔπαθον ὑπὲρ τῆς πίστεως, ὅπερ ἱκανὸν αὐξῆσαι χαράν. Τοῦτο πρῶτον γνωρίσας τοῖς Κορινθίοις, εἶτα λέγει καὶ περὶ τῆς ἐλεημοσύνης·

2. Καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν·

Τῶν προσόντων γὰρ ὑποστάντων ἁρπαγὴν παρὰ τῶν συμφυλετῶν μέν, ἀπίστων δέ, ἐπτώχευσαν κατὰ βάθους· ἤγουν σφόδρα καὶ κατὰ πολύ. Καὶ ὅμως «ἡ κατὰ βάθους πτωχεία αὐτῶν» περισσείαν ἐλεημοσύνης ἐποίησε διὰ τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, ἢ εἰς τὸ φανῆναι τὸν πλοῦτον τῆς ἁπλῆς προαιρέσεως αὐτῶν. Περισσὴν μὲν γὰρ ἐλεημοσύνην ἐπεδείξαντο εἰς τοὺς δεομένους· ἤγουν [σφόδρα καὶ κατὰ πολὺ] (α) μείζονα τῆς ἐν χρήμασι δυνάμεως αὐτῶν. Ἐδείχθη δὲ διὰ τῆς περισσείας ταύτης ὁ πλοῦτος τῆς δαψιλοῦς προαιρέσεως αὐτῶν. Οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῷ μετρῳ τῆς γνώμης τῶν παρεχόντων ἡ φιλοτιμία κρίνεται. Ὅσῳ γὰρ ἦσαν πένητες, τοσούτῳ μᾶλλον προθυμότερον παρεῖχον. Διὸ καὶ θαυμάζει τούτους ὅτι ἐκ τοσαύτης πενίας τοσαύτην ἐπεδείξαντο φιλοτιμίαν.

3. Ὅτι κατὰ δύναμιν μαρτυρῶ,

Μαρτυρῶ, φησίν, αὐτὸς ὅτι κατὰ δύναμιν ἠλέησαν, πλέον μὴ δυνάμενοι διὰ τὸ μόγις ἀρκεῖν αὐτοῖς τὰ ὑπολειφθέντα.

3. Καὶ ὑπὲρ δύναμιν

Καὶ οὐ μόνον κατὰ δύναμιν, ἀλλὰ καὶ ὑπὲρ δύναμιν τῷ καταστῆσαι ἑαυτοὺς ἐν ἐνδείᾳ.

3. Αὐθαίρετοι·

Τοῦτο ποιοῦντες δηλονότι, καὶ οὐ παρ' ἡμῶν προτραπέντες.

4. Μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ

(α) Τὰ παρεντεθειμένα καὶ τὸ χειρόγραφον ἔχει ὡςαύτως ἐν ἀγκύλαις.

τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους δέξασθαι ἡμᾶς.

Παρακαλοῦντες θερμῶς ἡμᾶς ἀναδέξασθαι τοιαύτην διακονίαν, ὥςτε δι' ἡμῶν γενέσθαι τὴν εἰς τοὺς δεομένους διανομήν. Περιφραστικῶς δὲ εἶπε «χάριν καὶ κοινωνίαν διακονίας» αὐτὴν τὴν διακονίαν τῆς ἐλεημοσύνης. «Χάριν» μέν, ὡς τοῦ Θεοῦ χαριτοῦντος τοὺς ἐλεοῦντας, ὥςπερ καὶ πάντας τοὺς ἀρετὴν μετερχομένους· «χωρὶς »γάρ, φησίν, ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (α). Ἄλλως τε καὶ ἐπειδὴ ζηλωταὶ καὶ ἐρασταὶ χαρισμάτων ἦσαν οἱ Κορίνθιοι, «χάριν» ὠνόμασε τὸ πρᾶγμα, ἵνα ἐρασθῶσι καὶ ἐπιδράμωσιν αὐτῷ. «Κοινω»νίαν» δέ, οὐ μόνον ὅτι οἱ ἐλεοῦντες κοινωνοῦσι τῶν ὄντων τοῖς δεομένοις, ἀλλ' ὅτι καὶ συμμέτοχοι αὐτοῖς γίνονται τῶν μισθῶν· οἱ μὲν γὰρ ὑπομένουσι ταλαιπωροῦντες, οἱ δὲ ἀνακτῶνται τούτους ταλαιπωροῦντας. «Ἁγίους» δὲ τούτους ὀνομάζει ἢ ὡς ἐναρέτους, ἢ ὡς πιστούς, ἢ καὶ ἀμφότερα.

5. Καὶ οὐ καθὼς ἠλπίσαμεν,

Οὐ γὰρ ἂν ἠλπίσαμεν, ὅτι τοσαῦτα παθόντες ποιήσουσι (β) μετάδοσιν· ἢ ὅτι ἐν τοσαύτῃ πενίᾳ ὄντες τοσαῦτα παρέξουσιν. Ἀλλ' ἐνίκησε καὶ τὰς θλίψεις καὶ τὴν πενίαν ἡ μεγαλοψυχία.

5. Ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ καὶ ἡμῖν,

Ἀλλὰ πρὸ τῆς ἐλεημοσύνης ἑαυτοὺς ὅλους ἔδωκαν τῷ Θεῷ, καθάπερ ἀνάθημα, πολλὴν τὴν εἰς αὐτὸν πίστιν ἔχοντες, πολλὴν τὴν ὑπὲρ αὐτοῦ κακοπάθειαν ὑπομένοντες, πολλὴν τὴν ἐν τοῖς πειρασμοῖς ἀνδρείαν ἐπιδεικνύμενοι καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς σπουδήν. «Ἔδωκαν δὲ ἑαυτοὺς καὶ ἡμῖν», ὡς πειθόμενοι καὶ ἀγαπῶντες καὶ ἀεὶ προσέχοντες.

5. Διὰ θελήματος Θεοῦ.

(α) Ἰωάνν. ιέ, 5. — (β) Τὸ χειρόγραφον «ποιήσομεν», ὃ μετατρέψαι δεῖν ἔγνωμεν εἰς «ποιήσουσιν» (οἱ Μακεδόνες δηλονότι) κατὰ τὸ ἀμέσως ἑπόμενον «τοσαῦτα παρέξουσιν». Οἰκουμ. ἐν λ. «Τοῦτο καὶ πρὸς τὰς θλίψεις καὶ πρὸς τὴν ποσότητα νοη» τέον. Οὐκ ἠλπίσαμεν, φησίν, ὅτι καὶ τοσαύτην πενίαν ἔχοντες καὶ ἐν θλίψει ὄντες » τοσαύτῃ, ἢ ἔδωκαν, ἢ τοσαῦτα ἔδωκαν».

Ἔδωκαν δὲ ἑαυτοὺς καὶ ἡμῖν κατὰ θέλησιν Θεοῦ, εὐαρέστως Θεῷ. Τοσαῦτα δὲ ἐκείνους ἐπήνεσεν, ἵνα καὶ τούτους ἐπὶ πλέον διεγείρῃ καὶ ἀνύσῃ τὸ σπουδαζόμενον.

6. Εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον,

Ὥςτε ἡμᾶς, ὁρῶντας τὴν ἐν ἅπασι καλοῖς σφοδρότητα καὶ θέρμην τῶν Μακεδόνων, παρακαλέσαι ὑπὲρ ὑμῶν.

6. Ἵνα καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην.

Παρακαλέσαι δὲ αὐτὸν καὶ προτρέψασθαι, ἵνα καθὼς προενήρξατο, ὅτε παρ' ὑμῖν ἦν, οὕτω καὶ νῦν ἐπιτελέσῃ καὶ πληρώσῃ ἐν ὑμῖν καὶ τὴν χάριν ταύτην· ἤγουν τὴν τῆς ἐλεημοσύνης, συλλέγων ἀπὸ τῶν διδόντων καὶ διανέμων εἰς τοὺς δεομένους· οὐ γὰρ ἀνέχομαι ἐλαττοῦσθαι ὑμᾶς ἐν τούτῳ τῶν Μακεδόνων. «Χάριν» δὲ τὸ πρᾶγμα προςηγόρευσεν, οὐ μόνον ὅτι χάριν αὐτοῖς ὁ Τίτος κατετίθετο διακονῶν εἰς τοῦτο, καὶ μισθοῦ τούτοις πρόξενος γινόμενος, ἀλλ' ὅτι καὶ Θεοῦ δῶρόν ἐστιν ἡ ἐλεημοσύνη καὶ τῷ Θεῷ ἐξομοιοῖ τὸν κεκτημένον. Καὶ ἄλλως γάρ· «μέγα, φησίν, ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεή»μων» (α).

7. Ἀλλ' ὥςπερ ἐν παντὶ περισσεύετε,

Ἐν παντὶ πράγματι θεοφιλεῖ.

7. Πίστει, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ,

«Πίστιν» λέγω τὴν εἰς Χριστόν, καὶ «λόγῳ» σοφίας, καὶ «γνώ»σει» δογμάτων, καὶ «πάσῃ σπουδῇ» πρὸς τὰς ἄλλας ἀρετάς.

7. Καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ,

Καὶ τῇ ἐξ ὑμῶν πρὸς ἡμᾶς ἀγάπῃ.

7. Ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.

Ἀλλ' ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε, καθὼς ἀνωτέρω εἴρηται.

(α) Παροιμ. κ', 6.

8. Οὐ κατ' ἐπιταγὴν λέγω,

Ὅρα πῶς ἀνεπαχθῆ καὶ ἀκατανάγκαστον ποιεῖται τὸν λόγον.

8. Ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς ἡμετέρας (*) ἀγάπης γνήσιον δοκιμάζων.

Ἐπειδὴ γὰρ σφόδρα Μακεδόνας ἐπήνεσεν ἐπὶ τῇ μεταδόσει καὶ τὸν Τῖτον παρεκάλεσε πληρῶσαι τὸ ἔργον, ὡς εἴρηται, τῆς ἐλεημοσύνης, ἵνα μὴ δόξῃ καταναγκάζειν οὕτω τοὺς Κορινθίους, φησὶν ὅτι οὐκ ἀναγκάζων λέγω ἃ εἴρηκα, ἀλλὰ διὰ τῆς τῶν Μακεδόνων σπουδῆς, γνωρισθείσης ὑμῖν ἀπὸ τούτων μου τῶν λόγων, δοκιμάζων τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον, τῆς πρὸς τοὺς δεομένους· ἤγουν δοκιμώτερον ἀποφαίνων καὶ ἰσχυρότερον κατασκευάζων καὶ παροξύνων εἰς προθυμίαν. Ἐπεὶ δὲ προέτρεψεν αὐτοὺς ἀπό τε τῆς ἀλλοτρίας ἀρετῆς, τῆς τῶν Μακεδόνων, ἀπό τε τῶν οἰκείων κατορθωμάτων (ὥςπερ γάρ, φησίν, «ἐν παντὶ περισσεύετε»), προτρέπεται τούτους καὶ ἀπὸ τοῦ Χριστοῦ, λέγων·

9. Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Τὴν εὐεργεσίαν, ἣν ἡμῖν ἐχαρίσατο·

9. Ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν·

Δι' ὑμᾶς ἐπτώχευσε τὴν πτωχείαν τῆς σαρκὸς καὶ τῶν μέχρι θανάτου παθημάτων, πλούσιος ὢν τὸν πλοῦτον τῆς θεότητος.

9. Ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.

Δι' ὑμᾶς, φησίν, ἵνα ὑμεῖς διὰ τῆς εἰρημένης ἐκείνου πτωχείας πλουτήσητε τὸν πλοῦτον τῶν μυρίων ἀγαθῶν, τὸν πλοῦτον τὸν πνευματικόν, τὸν πλοῦτον τῆς κατὰ χάριν θεώσεως. «Δι' ὑμᾶς» δὲ εἶπεν, ὅτι πρὸς Κορινθίους νῦν ὁ λόγος. Εἰ τοίνυν ἡ πτωχεία πλούτου ἐστὶ ποιητική, μὴ δείσῃς, εἰ πτωχεύσεις, μεταδιδούς· πλουτήσεις γὰρ τὰ πολλῷ κρείττονα καὶ ὑψηλότερα, μᾶλλον δὲ ἀσύγκριτα.

(*) Ἐν ἄλλ. «ὑμετέρας», ὡς καὶ παρὰ τῷ Συγγραφεῖ ἐν τῇ ἐξηγήσει.

10. Καὶ γνώμην ἐντεῦθεν (*) δίδωμι·

Συμβουλεύω, φησίν, οὐκ ἐπιτάττω.

10. Τοῦτο γὰρ ἡμῖν συμφέρει,

Ἡ μετάδοσις δηλονότι.

10. Οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσιν.

Δείκνυσιν αὐτοὺς καὶ προεναρξαμένους τοῦ πράγματος καὶ ἐθελοντὰς εἰς τοῦτο ἐλθόντας, ἀλλ' οὐχ ὑφ' ἑτέρου παρακληθέντας. «Προενήρξασθε», φησίν, οὐ μόνον τοῦ ποιεῖν τὴν ἐλεημοσύνην, ἀλλὰ καὶ τοῦ θέλειν ποιεῖν αὐτήν. Τὸ δὲ «προενήρξασθε» ἀντὶ τοῦ πρὸ τῆς ἡμετέρας συμβουλῆς τε καὶ παραινέσεως. Ἀδιαφόρως δὲ τέθεικε τὸ «προενήρξασθε» κατὰ σύνταξιν αἰτιατικήν.

11. Νῦν δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε·

Τότε μὲν προενήρξασθε, νῦν δὲ καὶ τὸ ἐντελῶς ποιῆσαι ἐπιτελέσατε.

11. Ὅπως καθάπερ ἡ προθυμία ἐκ τοῦ θέλειν, οὕτω καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν.

Ὅπως, καθάπερ ἡ προθυμία ἐκ τοῦ θέλειν γίνεται, οὕτω γένηται καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν.

12. Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ' ὃ ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει.

Εἰ γὰρ ἡ προθυμία πρόσεστιν, ἕκαστος καθ' ὃ ἂν ἔχῃ, εὐπρόσδεκτός ἐστι· τουτέστιν ἀπαιτεῖται οὐ καθ' ὃ οὐκ ἔχει, ἤγουν κατὰ τὴν εὐπορίαν, κατὰ τὴν δύναμιν. Ἐπειδὴ γὰρ τοῖς Μακεδόσι καὶ τὸ ὑπὲρ δύναμιν προσεμαρτύρησεν, ἀφῆκε μὲν τὸ κατ' αὐτοὺς παράδειγμα ἐργάζεσθαι τὸ ἑαυτοῦ· ᾔδει γὰρ ὅτι οὐ τοσοῦτον παραίνεσις, ὡς ζῆλος ἐγείρει πρὸς τὴν τῶν ὁμοίων μίμησιν. Αὐτὸς δὲ παραμυθεῖται τού-

---

(*) Πάντα τὰ γνωστὰ ἡμῖν τῶν ἀντιγράφων «ἐν τούτῳ» ἔχουσιν, ἀντὶ τοῦ ἐν τῷ ἡμετέρῳ χειρογράφῳ «ἐντεῦθεν». Μή πως τοῦτο γέγραπται ὡς ἐπεξηγηματικόν ἐκείνου;

τους λέγων, ὅτι ὁ Θεὸς τὰ κατὰ δύναμιν ἀπαιτεῖ. Διὸ καὶ ἐπήγαγεν·

13. Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις·

Οὐ γὰρ ἵνα ἄλλοις εὐπορία εἴη, ὑμῖν ἔνδεια ἔσται. Ἕπεται γὰρ τῇ μὲν εὐπορίᾳ ἄνεσις, τῇ δὲ ἐνδείᾳ θλῖψις· καί τοι γε ὁ Χριστὸς τοὐναντίον ἐπῄνεσε τὴν χήραν ἐκείνην, ὅτι τὸν βίον αὐτῆς ὅλον ἐκένωσε, καὶ ἐκ τοῦ ὑστερήματος ἔδωκεν (α). Ἀλλὰ συγκαταβαίνει νῦν ὁ Ἀπόστολος τῇ ἀσθενείᾳ τῶν Κορινθίων·

13. Ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ

Γινέσθω δηλονότι τὸ ἔργον. Εἶτα λέγει καὶ τὸν τρόπον τῆς ἰσότητος.

13. Τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ
14. τὸ ἐκείνων περίσσευμα εἰς τὸ ὑμῶν ὑστέρημα (*)·

Ἐπεὶ γὰρ ὑμεῖς μὲν περισσεύετε χρήμασιν, ἐλλείπεσθε δὲ τῇ πρὸς Θεὸν παρρησίᾳ, οἱ δὲ πενόμενοι ἅγιοι τοὐναντίον ἐλλείπονται μὲν χρήμασι, περισσεύουσι δὲ τῇ πρὸς Θεὸν παρρησίᾳ, μεταβήτω « τὸ ὑμῶν » περίσσευμα » τὸ ἐν τοῖς χρήμασιν « εἰς τὸ ἐκείνων ὑστέρημα » καὶ ἀναπληρωσάτω τὸ ἐνδέον αὐτῶν, ἵνα καὶ « τὸ ἐκείνων περίσσευμα » τὸ ἐν τῇ πρὸς Θεὸν παρρησίᾳ, μεταβῇ « εἰς τὸ ὑμῶν ὑστέρημα » καὶ τἀνάπαλιν πληρώσῃ τὸ ἐνδέον ὑμῶν.

14. Ὅπως γένηται ἰσότης·

Οὐ κατὰ ποσότητα, ἢ ποιότητα (ἀσύγκριτον γὰρ πάντη τὸ ἐκείνων περίσσευμα), ἀλλὰ κατὰ μόνον τὸν λόγον τῆς ἀντιδόσεως καὶ κατὰ τὸ ἀντιμεταβαίνειν τὸ περίσσευμα τούτων εἰς τὸ ὑστέρημα ἐκείνων, καὶ τὸ περίσσευμα ἐκείνων εἰς τὸ ὑστέρημα τούτων. Διὸ καὶ τὸ « ἐν τῷ νῦν καιρῷ » τῷ « ἐξ ἰσότητος » προσέθηκεν ἀνωτέρω· ἐν γὰρ τῷ μέλλοντι πολλαπλασίων ἡ ἀντίδοσις.

15. Καθὼς γέγραπται·

Ἐν τῇ βίβλῳ τῆς Ἐξόδου· ἐκεῖθεν γάρ ἐστιν ὃ μέλλει ἐρεῖν·

(α) Λουκ. κα', 3.—(*) Ἐν ἄλλ. «ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν »ὑστέρημα». Ἀλλ' ὁ Συγγραφεύς, ἀκολουθῶν τῷ Χρυσοστόμῳ, παραλείπει τὸ «γένηται».

15. « Ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλατ-» τόνησε » (α).

Τοῦτο ἐπὶ τοῦ μάννα γέγονεν· οἵ τε γὰρ πλεῖον τοῦ ὁρισθέντος μέτρου συλλέξαντες οἵ τε ἔλαττον εὑρίσκοντο ἴσον ἔχοντες, κολάζοντος τοῦ Θεοῦ τὴν πλεονεξίαν καὶ ἀπληστίαν. Κἀνταῦθα τοίνυν εἰ γένηται, καθὼς εἴρηκα, οὔτε οἱ τὸ πλεῖον ἔχοντες πλεονάσουσι, τοῦ περισσεύματος χωροῦντος ἐπὶ τὸ ὑστέρημα τῶν τὸ ἔλαττον ἐχόντων· οὔτε οἱ τὸ ἔλαττον ἔχοντες ἐλαττονήσουσιν, ἀναπληρωθέντος αὐτοῖς, ὡς εἴρηται, τοῦ ἐλλείποντος ἀπὸ τοῦ περισσεύματος τῶν τὸ πλεῖον ἐχόντων.

16. Χάρις δὲ τῷ Θεῷ, τῷ διδόντι (*) τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου·

Διαλεχθεὶς περὶ ἐλεημοσύνης, διαλέγεται λοιπὸν καὶ περὶ τῶν μελλόντων ὑποδέχεσθαι παρ' αὐτῶν τὰ χρήματα καὶ ἀποκομίζειν αὐτά. Τοῦτο γὰρ συνεβάλλετο πρὸς τὴν συλλογὴν ταύτην καὶ πρὸς τὸ μείζω ποιῆσαι τὴν προθυμίαν τῶν εἰςφερόντων· ὁ γὰρ μὴ ὑποπτεύων τοὺς ὑποδεχομένους μετὰ πλείονος τῆς δαψιλείας ἐπιδίδωσιν· ὅπερ ἵνα καὶ τότε γένηται, ἄκουσον πῶς συνίστησι τοὺς ἐπὶ τοῦτο ἀφικνουμένους, ὧν ἦν πρῶτος Τῖτος. Διὸ καὶ εὐχαριστεῖ τῷ Θεῷ λέγων· «χά-» ρις τῷ Θεῷ τῷ δόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ » Τίτου ». « Τὴν αὐτὴν » δὲ τῇ ἐμῇ· ἀμφότεροι γὰρ σπουδάζομεν ὑπὲρ ὑμῶν. Θεοῦ δὲ ἔργον λέγει τὸ διεγερθῆναι Τῖτον εἰς τοῦτο, ὥςτε καὶ ταύτῃ προτρέψαι τούτους· εἰ γὰρ ὁ Θεὸς αὐτὸν διήγειρε καὶ ἀπέστειλε πρὸς ὑμᾶς, αὐτὸς αἰτεῖ διὰ τούτου. Καὶ πόθεν τοῦτο δῆλον; Ἄκουσον·

17. Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο· σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς.

Προεκλήθη μὲν ὑπ' ἐμοῦ, ὡς καὶ ἀνωτέρω δεδήλωκα, καὶ προετράπη, ἵνα καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσαι εἰς ἡμᾶς. Σπουδαιότατος δὲ ὑπάρχων (συγκριτικὸν γὰρ τέθεικεν ἀντὶ ὑπερθετικοῦ),

(α) Ἔξοδ. ιϛ', 18. — (*) Ἐν ἄλλ. « τῷ δόντι ». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς οὕτως ἐν τῇ ἐξηγήσει.

πλέον αὐθαίρετος ἐξῆλθε· τουτέστιν ἐξ οἰκείας προθυμίας, προθυμηθεὶς πλέον ἢ παρεκλήθη.

18. Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφόν.

Τὸν ἀδελφὸν ἡμῶν, οὗ τὸ μὲν ὄνομα οὐ λέγει, ὥςπερ οὐδὲ τοῦ ἑτέρου, τοῦ συνεκπεμφθέντος αὐτοῖς. Συνίστησι δὲ αὐτοὺς ἀπὸ τῶν ἐπαίνων· ἴσως γὰρ ἠγνόουν αὐτοὺς οἱ Κορίνθιοι. Διὸ οὐδ' ἐμφιλοχωρεῖ τοῖς ἐγκωμίοις αὐτῶν, ὥςπερ τοῖς τοῦ Τίτου· ἐπεὶ μήπω πεῖραν αὐτῶν εἰλήφεσαν. Ἀλλὰ τοσοῦτον λέγει, ὅσον ἀρκεῖ τούτοις εἰς σύστασιν καὶ πονηρᾶς ὑποψίας ἐλευθερίαν.

18. Οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν·

Οὗ ὁ ἐν τῷ Εὐαγγελίῳ ἔπαινος διὰ πασῶν τῶν ἐκκλησιῶν ᾄδεται, εὐαγγελιζομένου καὶ κηρύττοντος μετὰ τῆς προςηκούσης τιμῆς. Τοῦτον δέ τινες λέγουσιν εἶναι τὸν Βαρνάβαν, οἷς τίθεται καὶ ὁ Χρυσόστομος (α), τεκμήριον λαβὼν ἀπὸ τῶν ἐφεξῆς ῥητῶν·

19. Οὐ μόνον δέ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν,

Οὐ μόνον δὲ ὁ δηλωθεὶς ἔπαινος αὐτοῦ διὰ πασῶν φημίζεται τῶν ἐκκλησιῶν, ἀλλὰ καὶ χειροτονηθείς ἐστιν ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν. Μέγα δὲ αὐτοῦ ἐγκώμιον τὸ χειροτονηθῆναι συνέκδημον Παύλου καὶ ὑπὸ τῶν ἐκκλησιῶν.

19. Ἐν τῇ χάριτι (*) ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν

Συνέκδημος δὲ ἡμῶν ἐν τῷ χαρίσματι τούτῳ τοῦ κηρύγματος τῷ ἐνεργουμένῳ ὑφ' ἡμῶν.

19. Πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν

Ἵνα δι' ἀμφοτέρων ὁ Θεὸς δοξάζηται, ὥςπερ δι' ἐμοῦ, οὕτω καὶ δι' ἐκείνου, προςαγομένων τῇ πίστει τῶν δεχομένων τὸ κήρυγμα.

19. Καὶ προθυμίαν ἡμῶν·

(α) Τόμ. Ι', Ὁμιλ. ΙΗ', σελ. 524. — (*) Ἐν ἄλλ. «σὺν τῇ χάριτι», ἣν γραφὴν ἐπίσης ἐγκρίνει καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἑρμηνείᾳ τοῦ τρίτου μετὰ τὸν παρόντα στίχου.

Καὶ πρὸς προθυμίαν ἡμῶν καὶ παραμυθίαν τὴν ὑπὸ τῆς συνεργείας αὐτοῦ. Ταῦτα μὲν περὶ τῆς διακονίας τοῦ κηρύγματος. Νοοῦνται δὲ τὰ δηλωθέντα ῥητὰ καὶ περὶ τῆς διακονίας τῶν χρημάτων τῆς ἐλεημοσύνης, ὅτι ἐχειροτονήθη συνέκδημος «ἐν τῇ χάριτι ταύτῃ» τῇ τῆς ἐλεημοσύνης «τῇ διακονουμένῃ ὑφ' ἡμῶν»· ἢ «σὺν τῇ χάριτι ταύτῃ», τουτέστι συνέκδημος εἴς τε τὸ κηρύττειν καὶ εἰς τὴν χάριν ταύτην τὴν τοῦ ἐλέους, ἵνα καὶ ὁ Θεὸς δοξάζηται καὶ ὑμεῖς γίνησθε προθυμότεροι, ἀξιοπίστων ὄντων τῶν ὑποδεχομένων τὰ παρ' ὑμῶν διδόμενα χρήματα.

20. Στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν·

Ἐπέμψαμεν δὲ τοιούτους ἀξιολόγους, ἀσφαλιζόμενοι καὶ ὑφορώμενοι τοῦτο, μή ποτέ τις ἡμῶν καθάψηται ὑπὸ τοῦ πλήθους τῶν χρημάτων εἰς ὑποψίαν ἐλθὼν τοῦ νοσφίζεσθαι ἐξ αὐτῶν ἡμᾶς τοὺς ταῦτα διακομίζοντας. «Ἁδρότητα» γὰρ τὴν δαψίλειαν ὠνόμασεν.

21. Προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.

Προνοοῦντες καλὰ καὶ ἀμώμητα.

22. Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν,

Καὶ τοῦτον ἀνωνύμως μὲν τέθεικεν, ὡς ἀνωτέρω δεδήλωται· αἰδεσιμότητα δὲ καὶ πολλὴν αὐτῷ περιῆψεν ἀπὸ τοῦ εἰπεῖν «ἀδελφόν».

22. Ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα,

Καὶ τοῦτο δεύτερον ἐγκώμιον. Ὅν, σπουδαῖον, φησίν, ὄντα, ἐδοκιμάσαμεν «ἐν πολλοῖς πολλάκις» καὶ εὕρομεν δόκιμον.

22. Νυνὶ δὲ πολὺ σπουδαιότερον πεποιθήσει τῇ εἰς ὑμᾶς·

Νυνὶ δὲ πολὺ σπουδαιότερον ὄντα καὶ θερμότερον τῇ εἰς ὑμᾶς πεποιθήσει· θαρρεῖ γὰρ ἐφ' ὑμῖν, ὡς κατορθώσει τὸ σπουδαζόμενον διὰ τὸ περὶ τὰ καλὰ σπουδαῖον ὑμῶν. Νοεῖται δὲ πεποίθησις ἐνταῦθα καὶ ἡ ἀγάπη. Ἀγαπᾷ γάρ, φησίν, ὑμᾶς, ἀγαθὰ περὶ ὑμῶν ἀκούων. Εἶτα σύντομον αὐτοῖς ἔπαινον ἐπιπλέκει, λέγων·

23. Εἴ τε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ συνεργὸς εἰς ὑμᾶς·

Εἴ τε ὑπὲρ Τίτου δεῖ λέγειν ἔτι, κοινωνὸς ἐμός ἐστιν ἐν τῷ κηρύγματι καὶ συνεργὸς εἰς τὴν ὑμετέραν σωτηρίαν.

23. Εἴ τε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ.

Εἴ τε ὑπὲρ τῶν συναποσταλέντων αὐτῷ δεῖ λέγειν, ἀδελφοὶ ἡμῶν εἰσιν, ὑπὸ ἐκκλησιῶν ἀποσταλέντες καὶ ψηφισθέντες εἰς τὴν διακονίαν ταύτην. Εἶτα ἐπήγαγε τὸ μεῖζον δικαίωμα, ὅτι δόξα Χριστοῦ εἰσιν, εἰς δόξαν αὐτοῦ πολιτευόμενοι.

24. Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε,

Τὴν ἐπίδειξιν τῆς πρὸς ἐμὲ ἀγάπης ὑμῶν καὶ τὴν ἐπίδειξιν αὖθις τῆς ἐμῆς ὑπὲρ ὑμῶν καυχήσεως ἐπιδείξασθε εἰς αὐτούς, δείξαντες πῶς μὲν ἡμᾶς ἀγαπᾶτε, καὶ ὅτι οὐ μάτην ἡμεῖς καυχώμεθα ὑπὲρ ὑμῶν, οὐδὲ εἰκῇ καλλωπιζόμεθα ἐφ' ὑμῖν.

24. Εἰς πρόςωπον τῶν ἐκκλησιῶν.

Φανερώσατε ταύτας εἰς αὐτοὺς προςώπῳ τῶν ἐκκλησιῶν· δι' αὐτῶν γὰρ ταῖς ἐκκλησίαις ταύτας ἐπιδείξασθε, ταῖς ἐκπεμψάσαις αὐτούς. Ἢ καὶ ἑτέρως· ἐπιδείξασθε ἃ εἶπον, πάσης αὐτοὺς φιλοφροσύνης καὶ δεξιώσεως ἀξιοῦντες, προςώπῳ τῶν ἐκκλησιῶν· τούτους γὰρ τιμῶντες, τὰς ἐκκλησίας τιμήσετε, ὑφ' ὧν ἀπεστάλησαν.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΑΤΟΝ

1. Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν.

Περιττόν μοί ἐστι τὸ γράφειν πλέον ὧν ἔγραψα.

2. Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν,

Τὴν ὑπὲρ τῆς διακονίας τῆς ἐλεημοσύνης.

2. Ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν,

Ἣν διηγοῦμαι Μακεδόσι, καυχώμενος ἐφ' ὑμῖν, τουτέστι σεμνυνόμενος· τὸ καύχημα γὰρ ἐπὶ καλοῦ τὸ καλλώπισμα σημαίνει καὶ ἀγαλλίαμα.

2. Ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι·

Λέγων δηλαδὴ ὅτι οὐ μόνον ἡ Κόρινθος, ἀλλὰ καὶ πᾶσα ἡ Ἀχαία παρεσκεύασται εἰς ἐλεημοσύνην ἀπὸ πέρυσι καὶ ἑτοίμη ἐστὶν εἰς ἀποστολὴν αὐτῆς.

2. Καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.

Τῶν Μακεδόνων τοὺς πλείονας. Ἀκούοντες γάρ μου διηγουμένου περὶ ὑμῶν, ἐζήλωσάν τε καὶ ἠρεθίσθησαν εἰς μίμησιν. Τῶν πλειόνων δὲ οὕτως ἐρεθισθέντων, καὶ οἱ λοιποὶ τούτους ἐμιμήσαντο. Καὶ μὴν πρὸ μικροῦ ἔλεγεν ὅτι αὐτεπάγγελτοι πρὸς ἐλεημοσύνην ἐκινήθησαν, πῶς οὖν ἐνταῦθά φησιν ὅτι ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισεν αὐτούς; ἀληθὲς καὶ τοῦτο κἀκεῖνο· οὐ γὰρ παρεκάλεσεν εἰς τοῦτο τοὺς Μακεδόνας ὁ Ἀπόστολος, οὐδὲ συνεβούλευσεν, ἀλλὰ διηγούμενος ἐπῄνεσε μόνον τοὺς Κορινθίους. Οἱ δὲ Μακεδόνες, ἐρεθισθέντες τοῖς ἐπαίνοις τῶν Κορινθίων, παρεζήλωσαν αὐτοὺς καὶ αὐτεπάγγελτοι ἐκινήθησαν εἰς ἐλεημοσύνην.

3. Ἔπεμψα δὲ τοὺς ἀδελφούς, ἵνα τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν μὴ κενωθῇ ἐν τῷ μέρει τούτῳ·

Ἵνα ἡ καύχησις ἡμῶν ἡ ὑπὲρ ὑμῶν μὴ ἐλεγχθῇ κενὴ καὶ ματαία ἐν τῷ μέρει τούτῳ· ἤγουν ὅσον ἐπὶ τῷ πράγματι τούτῳ, τῷ τῆς ἐλεημοσύνης. Εἰ γὰρ ἀπαράσκευοι εὑρεθῆτε, κενωθήσεται ἡ καύχησις ἡμῶν, ὅσον ἐπὶ τῇ βραδυτῆτι τῆς ἐλεημοσύνης.

3. Ἵνα, καθὼς ἔλεγον, παρεσκευασμένοι ἦτε·

Καθὼς ἔλεγον Μακεδόσιν, ὅτι παρεσκεύασθε ἀπὸ πέρυσιν.

4. Μήπως, ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως.

Ἴσως γὰρ ἐλεύσονται σὺν ἐμοὶ Μακεδόνες, παραπέμποντες ἅμα καὶ τιμῶντες ἡμᾶς. Ὅρα πῶς οὐκ ἀπὸ τῶν πνευματικῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἀνθρωπίνων αὐτοὺς ἀνάγει. Μήπως, φησί, καταισχυνθῶμεν ἡμεῖς ἐν τῇ ὑποστάσει ταύτῃ· ἤγουν ἐν τῇ καυχήσει ταύτῃ, τῇ περὶ τῆς ἐλεημοσύνης. Τὸ γὰρ «τῆς ὑποστάσεως» ὄνομα, πολυσήμαντον ὄν, μετὰ τῶν ἄλλων σημαίνει καὶ τὴν καύχησιν (α). Ἵνα μὴ λέγωμεν, φησίν, ὅτι καὶ καταισχυνθῆτε ὑμεῖς.

5. Ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα προέλθωσιν εἰς ὑμᾶς,

Ἵνα πρὸ ἡμῶν ἔλθωσιν εἰς ὑμᾶς.

5. Καὶ προκαταρτίσωσι τὴν προεπηγγελμένην εὐλογίαν ὑμῶν ταύτην (*),

Καὶ προετοιμάσωσι τὴν ἀπὸ πέρυσι «προεπηγγελμένην εὐλογίαν »ὑμῶν ταύτην», τὴν ἐλεημοσύνην δηλαδή. Εὐλογίαν δὲ αὐτὴν ὠνόμασεν, ὡς εὐφημίας ποιητικὴν οὐ παρὰ Θεῷ μόνον, ἀλλὰ καὶ παρὰ ἀνθρώποις. Εὐλογεῖται γὰρ ὁ μεταδιδούς.

5. Ἑτοίμην εἶναι οὕτως, ὡς εὐλογίαν καὶ μὴ πλεονεξίαν.

Προπαρασκευάσωσι δὲ αὐτὴν «ἑτοίμην εἶναι οὕτως», ἀβαρῶς δηλονότι καὶ εὐθύμως ἑτοιμαζομένην. «Ὡς εὐλογίαν» εἶναι, προξενοῦσαν ἔπαινον, φιλανθρωπίαν καὶ συμπάθειαν καὶ εὐσπλαγχνίαν τοῖς παρέχουσιν αὐτήν, «καὶ μὴ πλεονεξίαν» εἶναι, δοκούντων πλεονεκτεῖσθαι καὶ ἀποστερεῖσθαι καὶ βιάζεσθαι τῶν παρεχόντων· τουτέστι γινομένη μετ' εὐθυμίας, ἀλλὰ μὴ δυςθυμίας· ἐκ προαιρέσεως, ἀλλὰ μὴ παρὰ προαίρεσιν.

6. Τοῦτο δέ,

(α) Οἰκουμ. ἐν λ. «*Ὑπόστασιν* δὲ τὴν ὑπόθεσιν, καὶ αὐτὸ τὸ πρᾶγμα, ἤτοι τὴν οὐ»σίαν τῆς καυχήσεως νόει».— (*) Ἄλλοι παραινοῦσι στίζειν οὕτως· «εὐλογίαν ὑμῶν»· τὸ δὲ «ταύτην» συνάπτειν τοῖς ἑπομένοις.

Λέγω, δηλονότι.

6. Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει·

Τοῦτο δὲ λέγω, φησίν, ὅτι ὁ σπείρων ὀλίγα, ὀλίγα καὶ θερίσει. Ἐμφαίνει δὲ ὅτι ὁ παρέχων ὀλίγα, ὀλίγον κομίσεται καὶ μισθόν. Διὸ καὶ σπόρον τὴν καταβολὴν τῆς ἐλεημοσύνης ὠνόμασεν, ἵνα, τὸν ἄμητον ἐννοήσαντες, μάθωσιν ὅτι πολλαπλασίονα ὧν δώσουσι συγκομίσονται. Καθολικοὺς δὲ ποιεῖται τοὺς λόγους, ἵνα μὴ ἐναντιολογίᾳ περιπέσῃ. Ἀνωτέρω γὰρ εἴρηκεν ὅτι, περὶ τῆς ἐλεημοσύνης περισσόν μοί ἐστι τὸ γράφειν ὑμῖν (α). Καὶ ὅσα δὲ ἔτι λέγει, οὐ λέγει προηγουμένως ὅτι, ἐλεεῖτε, ἀλλ' ὅτι, ὃ προεπηγγείλασθε ταχέως πληρώσατε, καὶ ὅτι, καλὸν τὸ δαψιλῶς ἐλεεῖν καὶ τὸ χωρὶς λύπης καὶ εἴ τι τοιοῦτον. Ὥςτε περὶ ταχυτῆτος ἐνταῦθα διαλέγεται καὶ δαψιλείας καὶ εὐθυμίας.

6. Καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.

« Ἐπ' εὐλογίαις » ἀντὶ τοῦ δαψιλῶς· οἱ γὰρ δαψιλῶς σπείροντες, εὐλογοῦνται. Διὸ καὶ σπεύδουσι πολλὰ σπείρειν, ἵνα εὐλογῶνται ὑπὸ τῶν παραγόντων, ὡς καὶ ὁ Δαυῒδ εἴρηκε περὶ ὀλιγοστοῦ θέρους, ὅτι « καὶ οὐκ εἶπον οἱ παράγοντες εὐλογία Κυρίου ἐφ' ὑμᾶς » (β).

7. Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ,

Εἰςφερέτω δηλονότι τὸν ἔρανον τῆς ἐλεημοσύνης.

7. Μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης·

Ὡς ἀποστερούμενος ἢ βιαζόμενος· τὸ γὰρ « ἐξ ἀνάγκης » ὑποτέμνεται τὸν μισθόν. Εἶτα καὶ ἀπὸ Γραφῆς ἐπάγεται μαρτυρίας·

7. « Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός » (γ).

Εὔθυμον, ἀτάραχον.

(α) Ὅρ. ἀνωτ. στίχ. 1.— (β) Ψαλμ. ρκη', 7.— (γ) Παροιμ. ιά, 24. 25. κβ', 8. Πρβλ. καὶ τὸ ἐν τῷ Λυκούργου κατὰ Λεωκρ. περισωθὲν εὐριπίδειον ἀπόσπασμα

« Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
» ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,
» χρόνῳ δὲ δρῶσι, δυςγενέστερον . . . »

8. Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς·

Πᾶσαν χάριν εὐθηνίας βίου μὴ ἁπλῶς δοῦναι ὑμῖν, ἀλλὰ ποιῆσαι περισσεῦσαι. Διὰ δὲ τῆς τοιαύτης εὐχῆς ἀναιρεῖ τὴν ὑποψίαν τῶν φοβουμένων πενίᾳ περιπεσεῖν ἀπὸ τοῦ μεταδιδόναι.

8. Ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν.

Ἵνα ἐν πᾶσιν ἀεὶ πᾶσαν αὐτάρκειαν βίου ἔχοντες περισσεύητε οὐ μόνον εἰς ἐλεημοσύνην, ἀλλὰ καὶ εἰς πᾶν ἔργον πνευματικόν. Οὐκ εἶπε δὲ ὅτι, ἵνα παρέχητε, ἀλλ' «ἵνα περισσεύητε». τὸ δαψιλὲς ἐνδεικνύμενος.

9. Καθὼς γέγραπται·

Ποιοῦντες δηλονότι. Τί δὲ γέγραπται;

9. «Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» (α).

Ταῦτα ἔγραψε μὲν ὁ Δαυΐδ, ἐνέφηνε δὲ «τῷ σκορπισμῷ» τὸ δαψιλὲς τῆς διανομῆς, «τῇ δικαιοσύνῃ» δὲ τὴν ἀπὸ τούτου δικαίωσιν. Αἰὼν δὲ αἰῶνος, ὁ μέλλων καὶ μένων καὶ κυρίως αἰών.

10. Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν.

Ἐπεύχεται πάλιν λέγων· «ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι» Θεός, «καὶ ἄρτον εἰς βρῶσιν», ἤγουν καὶ καρπὸν τοῦ καταβληθέντος σπέρματος, δι' οὗ ὁ σπείρας τραφήσεται, «χορηγήσαι καὶ πληθύναι τὸν σπόρον ὑμῶν» τὸν πνευματικόν, τὸν διὰ τοῦ κατὰ τὴν μετάδοσιν σκορπισμοῦ σπειρόμενον· μὴ μόνον χορηγῶν, ἀλλὰ καὶ πληθύνων αὐτόν, ἵνα καὶ πρὸς δαψίλειαν σπείρηται καὶ αὐξήσαι τοὺς καρποὺς τοῦ τοιούτου σπόρου ὑμῶν. Τοῦτον γὰρ δικαιοσύνην ὠνόμασεν, ἢ ὅτι δικαιοσύνης ἔργον τὸ μὴ μόνους αὐτοὺς ἔχειν, ἀλλὰ καὶ ἑτέροις παρέχειν, ἢ ὅτι δίκαιον καὶ ἐνάρετον ποιεῖ τὸν οὕτω σκορπίζοντα.

(α) Ψαλμ. ριά, 9.

11. Ἐν παντὶ πλουτιζόμενοι

Εἴητε, δηλονότι.

11. Εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ·

Εἴητε, φησίν, ἐν παντὶ πράγματι, συμφέροντι, πλουτιζόμενοι ἐκ Θεοῦ εἰς τὸ ἐργάζεσθαι «πᾶσαν ἁπλότητα»· τουτέστι δαψίλειαν· οὐχ ἁπλῶς δὲ δαψίλειαν, ἀλλ' ἐκείνην, ἥτις κατεργάζεται εὐχαριστίαν τῷ Θεῷ δι' ἡμῶν τῶν ἐργαζομένων αὐτήν. «Ἁπλότητα» δὲ λέγει τὴν δαψίλειαν· διότι οἱ δαψιλῶς ἐλεοῦντες ἁπλαῖς χερσὶν ἐλεοῦσι, πολλὰ ταύταις ἐπιτιθέντες μὴ συγχωροῦντα περισφίγγεσθαι. Καὶ ἑαυτὸν δὲ ἐκείνοις συνέταξεν, ὡς διδάσκαλον. Εἶτα λέγει πῶς κατεργάζεται εὐχαριστίαν ἡ δαψίλεια τῆς ἐλεημοσύνης·

12. Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ,

Ὅτι τὸ ἔργον τῆς συνεισφορᾶς ταύτης οὐ μόνον ἐστὶ θεραπεῦον τὴν ἔνδειαν τῶν ἁγίων, ἀλλὰ καὶ ἔτι ἐστὶ περισσεῦον διὰ πολλῶν εὐχαριστιῶν τοῦ Θεοῦ· τουτέστι μετὰ τοῦ θεραπεύειν αὐτὴν ἔτι παρασκευάζει καὶ διὰ πολλῶν, τῶν μεταλαμβανόντων, εὐχαριστεῖσθαι τὸν Θεόν.

13. Διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης δοξάζοντες τὸν Θεὸν

Προσυπακούεται τὸ «ὅτι εἰσίν». Ὅτι, φησίν, εἰσὶ διὰ τῆς διακονίας ταύτης, τῆς εἰς αὐτοὺς γενομένης, δοξάζοντες τὸν Θεόν. «Δοκιμὴν δὲ τῆς διακονίας», αὐτὴν τὴν διακονίαν περιφραστικῶς προσηγόρευσεν. Δοκιμὴν μέν, ὡς δοκιμασίαν προαιρέσεως οὖσαν, διακονίαν δέ, ὡς ὑπηρεσίαν· ὑπηρετεῖ γὰρ ταῖς χρείαις τῶν δεομένων.

13. Ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ,

Δοξάζοντες, φησί, τὸν Θεὸν ἐπὶ τῇ εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ ὑποταγῇ τῆς καταθέσεως ὑμῶν, ὁμολογούντων διὰ τῶν ἔργων καὶ

κατατιθεμένων ὑποτάττεσθαι τῷ Εὐαγγελίῳ, οὗ ἐντολὴ τὸ «πώλη-» σον τὰ ὑπάρχοντά σου καὶ δὸς πτωχοῖς» (α) καὶ ἄλλα πολλὰ περὶ ἐλεημοσύνης.

13. Καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας,

Καὶ ἐπὶ τῇ εἰς αὐτοὺς καὶ εἰς πάντας τοὺς ὁμοίως ἔχοντας δαψιλείᾳ τῆς ἐλεημοσύνης ὑμῶν. Ταύτην γὰρ καλεῖ «κοινωνίαν», ὡς ἀνωτέρω προδιελάβομεν, ἔνθα ἐλέγομεν ὅτι οἱ τὴν μετάδοσιν ποιοῦντες συμμετέχουσι τῶν στεφάνων τοῖς κατὰ Θεὸν πενομένοις καὶ μεταλαμβάνουσιν (β). Εἰπὼν δὲ ὅτι «καὶ εἰς πάντας», ἔδειξεν ὅτι οὐ μόνον ὑπὲρ τῶν εἰς αὐτοὺς γεγενημένων εὐχαριστοῦσιν, ἀλλὰ καὶ ὑπὲρ τῶν εἰς ἑτέρους· ὅ καὶ αὐτὸ περισσεία καὶ προςθήκη τῆς εὐχαριστίας ἐστίν.

14. Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν,

Καὶ αὐτῶν ἐν δεήσει ὄντων ὑπὲρ ὑμῶν· τουτέστιν οὐ μόνον ἡμῶν, ἀλλὰ καὶ αὐτῶν δεομένων καὶ πρεσβευόντων ὑπὲρ τῆς σωτηρίας ὑμῶν.

14. Ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν.

Ἐπιποθούντων ὑμᾶς καὶ σφόδρα φιλούντων διὰ τὴν ἐφ' ὑμῖν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ· διότι ὑπερβολικῶς ὑμᾶς ὁ Θεὸς ἐχαρίτωσεν ἐν πᾶσι χαρίσμασιν. Ἵνα δὲ καὶ δαψιλεστέρους τούτους ἐργάσηται καὶ μὴ συγχωρήσῃ φυσηθῆναι, τῷ Θεῷ τὸ πᾶν ἀνατίθησιν, εὐχαριστῶν αὐτῷ καὶ λέγων (γ)·

15. Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

(α) Ματθ. ιθ', 21.—(β) Ὅρ. τὴν ἐξήγησιν τοῦ 4ου στίχ. τοῦ η' κεφ. τῆς παρούσης ἐπιστολῆς.—(γ) Ὁ θεῖος Φώτιος τοῦ ἀνωτέρω ἐδαφίου «διὰ τῆς δοκιμῆς τῆς διακονίας »ταύτης—διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ» οὑτωσὶ παραινεῖ συμπληροῦν τὰ κατ' ἔλλειψιν σχήματα καὶ τίθεσθαι τὰ ὑπερβατὰ εἰς τὸν καθ' εἱρμὸν τόπον. «Δοξάζοντές εἰ-» σιν οἱ ἅγιοι τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον τοῦ » Χριστοῦ καὶ ἐπὶ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας καὶ τῇ εἰς πάντας». Πάλιν· «δοξάζοντές εἰσι τὸν Θεὸν καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν, τῶν ἐπιποθούντων ὑμᾶς » διὰ τὴν ὑπερβάλλουσαν ἐφ' ὑμῖν χάριν τοῦ Θεοῦ». Ὅρ. Ἀμφιλοχ. Ἐρωτ. ϛγ'.

Ἐπὶ τῇ δωρεᾷ τῶν τε νῦν δεδομένων ἀγαθῶν καὶ τῶν ὕστερον ἐπηγγελμένων. Καὶ αὐτὸ γὰρ τὸ ἔχειν, ὃ εἰςενέγκῃ τις εἰς ἐλεημοσύνην, τῆς τοῦ Θεοῦ ἐστι δωρεᾶς. Καὶ εἰ ἐκεῖνος τοσαῦτα καὶ τηλικαῦτα τὰ μὲν ἐδωρήσατο, τὰ δὲ δωρήσηται, οὐ μέγα ἡμῖν εἰ ἀπὸ τῶν παρ' αὐτοῦ χορηγηθέντων μικρὰ τοῖς αὐτοῦ παρέχομεν. Πληρώσας δὲ καὶ τὸν περὶ ἐλεημοσύνης λόγον, λοιπὸν μεταβαίνει καὶ ἐφ' ἕτερον κεφάλαιον καὶ ἐπιτιμητικωτέρων ἅπτεται λόγων. Ἐπειδὴ γὰρ ἦσαν παρὰ Κορινθίοις τινὲς ἑαυτοὺς μὲν προτιθέντες τοῦ Ἀποστόλου, τοῦτον δὲ διαβάλλοντες ὡς οὐδὲν ὄντα οὐδὲ ὑγιές τι διδάσκοντα, ἀναγκάζεται συνιστᾶν μὲν ἑαυτόν, ἐπιτιμᾶν δὲ ἐκείνοις. Τοῦτο δὲ καὶ πολλαχοῦ τῆς παρούσης ἐπιστολῆς ποιεῖ, τῆς χρείας αὐτὸν εἰς τοῦτο κατεπειγούσης. Διὸ καὶ ἔλεγε «γέγονα ἄφρων καυχώμενος, »ὑμεῖς με ἠναγκάσατε» (α), καὶ πολλαῖς ἄλλαις ἐχρήσατο θεραπείαις, ἀναιρούσαις τὴν ὑποψίαν τῆς μεγαλορρημοσύνης. Ὥςτε οὐκ ἄν τις ἁμάρτοι τὴν ἐπιστολὴν ταύτην ἐγκώμιον Παύλου προσειπών· οὕτω καὶ τὰ τῆς χάριτος μετὰ δαψιλείας τίθησι καὶ τὰ τῆς ὑπομονῆς ἑαυτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ

Ι' Διήγησις τῶν ἰδίων πόνων καὶ προθέσεως καὶ τῆς ἐπ' αὐτῷ χάριτος, πρὸς τὸ μὴ τοῖς ἐπιπλάστοις προςτίθεσθαι Κορινθίους· ἐν ᾧ ἀντεξέτασις ἑαυτοῦ πρὸς ἐκείνους, ἔλεγχος ἐκείνων.

1. Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ,

Αὐτὸς ἐγὼ ὁ ἐξευτελιζόμενος παρὰ τῶν ψευδαποστόλων παρακαλῶ ὑμᾶς ἐν τῇ πραότητι καὶ ἐπιεικείᾳ τοῦ Χριστοῦ, ἀφ' οὗ ταύτας ἐκτησάμην· «μάθετε γάρ, φησίν, ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς

(α) Β' Κορινθ. ιβ', 11.

» τῇ καρδίᾳ» (α)· τοῦ Χριστοῦ γὰρ αὗται διδάγματα καὶ δωρήματα. Διὰ τί δὲ παρακαλεῖ, ἐρεῖ προϊών. Πραότης μὲν οὖν ἡ ἀνεξικακία, ἐπιείκεια δὲ ἡ μετριοφροσύνη.

1. Ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς.

Τοῦτο κατ' εἰρωνείαν· ἐκεῖνοι γὰρ τοῦτο ἔλεγον πρὸς Κορινθίους, ὅτι ὅτε μὲν κατὰ πρόσωπον πάρεστιν ὑμῖν, εὐτελής ἐστι καὶ εὐκαταφρόνητος· ὅταν δὲ ἀπῇ, θαρρεῖ καὶ ἐπαίρεται καὶ ἀπειλεῖ εἰς ὑμᾶς. Τοῦτο δὲ καὶ προϊὼν αἰνίττεται, λέγων ὅτι «αἱ μὲν ἐπιστολαί, φησί, » βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ » λόγος ἐξουθενημένος» (β). Νοεῖται δὲ καὶ ἑτέρως, ὅτι κατὰ πρόσωπον μέν, παρὼν ὑμῖν, μετριοφρονῶ ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς εἴ τι καὶ μέγα περὶ ἐμαυτοῦ φθέγγομαι· οὐ γὰρ ἐξ ἀπονοίας καὶ ὑψηλοφροσύνης, ἀλλ' ἐκ τοῦ θαρρεῖν ἐφ' ὑμῖν, ὡς ἐπὶ τέκνοις ἀγαπητοῖς, οἰκονομικῶς τὰ τοιαῦτα φθέγγομαι. Εἶτα λέγει καὶ τίνος ἕνεκεν τούτους παρακαλεῖ·

2. Δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας.

Παρακαλῶ δὲ καὶ δέομαι ὑμῶν τοῦτο, τὸ μὴ ἀναγκάσαι με ἐπιτολμῆσαι τῇ δυνάμει μου, ἥτινι χρήσασθαι ἐνθυμοῦμαι κατά τινων. Χρήσασθαι δὲ αὐτῇ, παρὼν ὑμῖν· τουτέστιν ὅταν παρῶ, ὅταν παραγένωμαι. «Θαρρῆσαι» μὲν γὰρ εἶπε τὸ ἐπιτολμῆσαι· πεποίθησιν δὲ τὴν δύναμιν, ᾗ ἐθάρρει· «τολμῆσαι» δὲ πάλιν τὸ χρήσασθαι.

2. Τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας.

Λέγω δὴ τοὺς νομίζοντας ἡμᾶς τοιούτους, οἵους ἀνωτέρω εἴρηκεν, ὡς σαρκικῶς πολιτευομένους· τουτέστιν ἀναξίως Θεοῦ, ὡς αὐτοῖς δοκεῖ, καὶ πρὸς ἀρέσκειαν σαρκός· ἤγουν ἀνθρωπαρέσκως καὶ ἐν ὑποκρίσει καὶ πρὸς ἐπίδειξιν. Ὁ τοίνυν δυνάμενος μὲν κολάσαι τοὺς ὑβριστάς, ἀναδυόμενος δὲ καὶ παρακαλῶν μὴ ἀναγκασθῆναι εἰς τὸ κολάσαι, εἰκότως ἔλεγεν ὅτι «παρακαλῶ ὑμᾶς μετὰ πραότητος καὶ ἐπιει»κείας»· ὑπὸ τούτων γὰρ νικώμενος ἠνείχετο καὶ οὐκ ἐξ ἀδυναμίας.

(α) Ματθ. ιά, 21. — (β) Β' Κορινθ. ι', 10.

Τί δὲ βούλεται τὸ μὴ καταναγκάσαι; ἢ πάντως τὸ μὴ ἀνέχεσθαι τῶν τὰ τοιαῦτα φλυαρούντων καὶ λοιδορουμένων αὐτῷ, ἀλλ' ἀπελαύνειν αὐτούς;

3. Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα·

Σάρκα περικείμενοι οὐ σαρκικῶς πολεμοῦμεν τοῖς ἀντιτεταγμένοις ἡμῖν, ἀλλὰ πνευματικῶς δηλονότι καὶ διὰ θείας δυνάμεως.

4. Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά,

Οἷον οὐ πλοῦτος, οὐ δόξα, οὐ δυναστεία, οὐκ εὐγλωττία, οὐδέ τι τοιοῦτον σαρκικόν, οἷς οἱ σαρκικῶς πολεμοῦντες καθοπλίζονται, ἀλλὰ τοὐναντίον, πενία, ἀδοξία, ἀσθένεια, ἰδιωτεία. Τούτοις γὰρ ἐν Θεῷ τροπούμεθα τοὺς ἀνταγωνιζομένους.

4. Ἀλλὰ δυνατὰ τῷ Θεῷ

Εἰ καὶ τοῖς ἀνθρώποις ἀσθενῆ δοκοῦντα, ἀλλὰ δυνατὰ ὄντα θεόθεν· αὐτὸς γὰρ ἡμῖν αὐτὰ παρέθηκε διὰ τῶν ἐντολῶν αὐτοῦ καὶ αὐτὸς αὐτὰ δυνατὰ κατέστησεν, οὐχ ἡμεῖς· καὶ αὐτός ἐστιν ὁ δι' αὐτῶν πολεμῶν καὶ ἐνεργῶν, εἰ καὶ ἡμεῖς αὐτὰ περικείμεθα.

4. Πρὸς καθαίρεσιν ὀχυρωμάτων·

Δυνατὰ πρὸς καθαίρεσιν ὀχυρωμάτων, οἷς τειχίζονται καὶ περιφράττονται οἱ πολεμοῦντες ἡμῖν. Εἶτα σαφηνίζει τίνα ἐκάλεσεν ὀχυρώματα καθαιρούμενα·

5. Λογισμοὺς καθαιροῦντες,

Ἐσμέν, δηλονότι. Διὰ τῶν εἰρημένων γὰρ ὅπλων ἡμῶν ἐσμεν καθαιροῦντες τοὺς συλλογισμοὺς καὶ τὰ σοφίσματα τῶν Ἑλλήνων, οἷς ὀχυροῦνται καὶ καθοπλίζονται, καὶ τὸν ἐντεῦθεν τῦφον αὐτῶν βάλλοντές τε καὶ καταβάλλοντες.

5. Καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ,

Καὶ πᾶσαν ὑψηλοφροσύνην, δίκην πύργου, ἐπαιρομένην κατὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, τοῦ κηρύττοντος τὴν γνῶσιν τοῦ Θεοῦ καὶ τελείαν τὴν θεογνωσίαν διδάσκοντος.

5. Καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

Καὶ διὰ τῶν δηλωθέντων ὅπλων ἡμῶν δοριάλωτον ἄγοντες πᾶσαν γνῶσιν τῶν ἡττωμένων, ἄγοντες δὲ αὐτὴν εἰς τὸ ὑπακούειν καὶ δουλεύειν τῷ Χριστῷ, καὶ ἄγεσθαι τοῖς νόμοις αὐτοῦ, ἀπολέσασαν μὲν τὴν προτέραν ἐλευθερίαν, καθ' ἣν ταῖς ἁμαρτίαις ἐνεξουσίαζεν, ὑποκύψασαν δὲ τῷ ζυγῷ τοῦ Εὐαγγελίου· οὐ γὰρ σωμάτων κρατοῦμεν, ἀλλὰ ψυχὰς χειρούμεθα καὶ νοήματα. Ἐπεὶ μηδὲ λόγῳ πολεμοῦμεν, ἀλλ' ἔργοις πρὸς λόγους.

6. Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν,

Μετὰ δὲ τοῦ αἰχμαλωτίζειν, ὡς εἴρηται, ἔτι καὶ εὐχερῶς ἔχοντες κολάσαι πάντας τοὺς καταφρονοῦντας καὶ ἐξευτελίζοντας ἡμᾶς.

6. Ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

Κολάσαι δὲ αὐτούς, ὅτε τελείως ὑπακούσητε ἡμῶν τῷ τελείως ἀποστῆναι αὐτῶν· ὑμῶν γὰρ ἀναμεμιγμένων ἔτι τούτοις, οὐ βούλομαι τὴν τιμωρίαν ἐπαγαγεῖν, εἰ καὶ δύναμαι, διὰ τὸ φείδεσθαι ὑμῶν, τῶν ἐμῶν. Ταῦτα δὲ γράφων ἐφόβει καὶ τούτους κἀκείνους· τούτους μέν, ἵνα ἀποστῶσιν αὐτῶν, ἐκείνους δέ, ἵνα ἀπόσχωνται τοῦ παρακρούεσθαι τούτους καὶ μεταβληθεῖεν. Διὰ τοῦτο γὰρ ἠπείλει τὴν κόλασιν, ἵνα διορθωθέντας μὴ κολάσῃ.

7. Τὰ κατὰ πρόςωπον βλέπετε·

Ἐπιτιμᾷ καὶ τοῖς μαθηταῖς, ὡς εὐεξαπατήτοις, λέγων, ὅτι ἀπὸ τῶν φαινομένων κρίνετε, καὶ ἀπὸ τῶν σαρκικῶν δοκιμάζετε τοὺς μεγάλους, εἴ τις πλουτεῖ, εἴ τις δοξάζεται, εἴ τις δυναστεύει, εἴ τις κομπολογεῖ, καὶ αὖθις εἴ τις ὑποκρίνεται ἀρετήν.

7. Εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ.

Ὅρα πῶς κατὰ μικρὸν αὔξεται συνιστῶν ἑαυτὸν καὶ κορυφοῦται. Λέγει δὲ ὅτι, εἴ τις θαρρεῖ ἑαυτῷ εἶναι ἑαυτὸν Χριστοῦ, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ μὴ ἀναμένων παρ' ἑτέρου μαθεῖν. Ὅτι κα-

θὼς αὐτός ἐστι Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ ἐσμεν μαθηταὶ καὶ δοῦλοι, καὶ κατὰ τοῦτο τέως τὸ ἴσον ἔχομεν.

8. Ἐὰν γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ Κύριος ἡμῖν εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι.

Ὅρα καὶ τὴν ὑπεροχὴν εὐμεθόδως εἰςενεχθεῖσαν. Ἐὰν γὰρ καὶ περισσότερόν τι ἔχειν καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν λέγων, ἧς ἔδωκεν ἡμῖν ὁ Κύριος, ὥςτε κολάζειν οὓς ἂν βουλώμεθα, οὐκ αἰσχυνθήσομαι, ὡς ψευδόμενος· ἀληθεύσω γάρ. Ἔδωκε δὲ ἡμῖν αὐτὴν εἰς ὠφέλειαν ὑμῶν (α) οὐκ εἰς βλάβην, ἵνα δέει ταύτης ἀσφαλέστεροι γινόμενοι καταρτίζησθε. Ἀπὸ τοῦ Κυρίου δὲ ταύτην λαβεῖν εἰπών, ὑπετέμετο τὸν ἀπὸ τῶν ἐγκωμίων φθόνον.

9. Ἵνα δὲ μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν.

Ὡςανεὶ ἐκφοβεῖν ὑμᾶς· τοῦτο γὰρ οἱ ψευδαπόστολοι πρὸς Κορινθίους ἔλεγον, ὡς ἀνωτέρω δεδήλωται.

10. Ὅτι αἱ μὲν ἐπιστολαί, φησί, βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος.

Διότι φησὶν ὁ ψευδαπόστολος, ἤγουν οἱ ψευδαπόστολοι, αἱ μὲν ἐπιστολαὶ τοῦ Παύλου βαρεῖαι καὶ ἰσχυραὶ ταῖς ἀπειλαῖς καὶ ταῖς μεγαληγορίαις· ἡ δὲ παρουσία τοῦ σώματος αὐτοῦ ἀσθενὴς καὶ εὐκαταφρόνητος, καὶ ὁ λόγος αὐτοῦ ἐξουθενημένος, ὡς ἰδιωτικός.

11. Τοῦτο λογιζέσθω ὁ τοιοῦτος,

Ἵνα δὲ μὴ δόξω, φησίν, ἐκφοβεῖν ὑμᾶς καὶ τὰ ἑξῆς, τοῦτο λογιζέσθω ὁ λέγων τὰ τῆς ἐντεθείσης μεταξυλογίας. Εἶτα λέγει καὶ τί ἐκεῖνος ὀφείλει λογίζεσθαι·

11. Ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ·

Οἷοί ἐσμεν κατὰ τὸν λόγον ἐν ἐπιστολαῖς, ὅτε ἄπεσμεν, τοιοῦτοί ἐσμεν καὶ κατὰ τὸ ἔργον, ὅτε πάρεσμεν· τουτέστιν οἱ αὐτοί ἐσμεν καὶ

(α) Τὸ χειρόγρ. «ἡμῶν».

ἀπόντες καὶ παρόντες, καὶ λέγοντες δι' **ἐπιστολῶν καὶ πράττοντες** ἐν τῷ παρεῖναι ὑμῖν· ἤγουν ταπεινοὶ καὶ συνεσταλμένοι καὶ ἀκόμπαστοι καὶ ἀληθεύοντες, καὶ οἷοι φαινόμεθα ἐπιστέλλοντες, τοιοῦτοί ἐσμεν καὶ παρόντες· δυνάμεθα γὰρ ποιεῖν ἅπερ ἀπειλοῦμεν· ἐπεὶ καὶ πάντα εἰς τὸν ἐνδυναμοῦντα ἡμᾶς Χριστὸν ἀναφέρομεν καὶ τῇ τοῦ Θεοῦ δυνάμει πάντα ἐπιγραφόμεθα.

12. Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων·

Εἰρωνικὸν τὸ «τολμῶμεν» ἢ ὑφειμένον. «Ἐγκρῖναι» μὲν οὖν τὸ δοκίμους ἀποφῆναι ἢ τὸ ἐντάξαι, «συγκρῖναι» δὲ τὸ ἀντιπαρατάξαι. Ἑαυτοὺς δὲ συνίστων οἱ ψευδαπόστολοι μυρία προςμαρτυροῦντες ἑαυτοῖς προτερήματα καὶ κατορθώματα.

12. Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες,

Ἐσμὲν δηλαδή. Ὃ δὲ λέγει ἐσαφήνισε διὰ τοῦ ἐφεξῆς· ἐπήγαγε γάρ·

12. Καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς

Εἰ ἐπὶ τὸ κρεῖττον προεκόψαμεν, εἰ πρὸς τὸ χεῖρον ὑπήχθημεν, εἰ κρείττους ἢ χείρους ἑαυτῶν ἐγενόμεθα. Ἢ καὶ περὶ τῶν συναποστόλων ὁ λόγος· ὅτι συγκρίνομεν ἑαυτοὺς ἀλλήλοις καὶ τῇ τοιαύτῃ συγκρίσει παραθηγόμεθα πρὸς ἐπίδοσιν. Τί γὰρ ἡμῖν συγκρίνεσθαι πρὸς ἀκάρπους;

12. Οὐ συνιοῦσιν.

Οὐκ αἰσθάνονται οἱ ψευδαπόστολοι ὅτι συνιστῶντες ἑαυτοὺς ἁμαρτάνουσιν, ἀλαζονείας ἔργον ποιοῦντες.

13. Ἡμεῖς δὲ οὐχ εἰς τὰ ἄμετρα καυχησόμεθα,

Οὐκ ἀμέτρως καυχησόμεθα κατ' ἐκείνους· ἐκόμπαζον γὰρ ὅτι πρὸς τὰ πέρατα τῆς γῆς ἀφικόμεθα καὶ τὴν Οἰκουμένην ἐπεστρέψαμεν, καί τινα τοιαῦτα ὑπέρογκα.

13. Ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος,

Ἀλλὰ καυχησόμεθα κατὰ τὸ μέτρον τοῦ κανόνος, ἤτοι τοῦ κλήρου, λέγω δὴ τοῦ μέρους.

13. Οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου ἐφικέσθαι (*)

Οὗ μέτρου ἐφικέσθαι καὶ τυχεῖν ἀπένειμεν ἡμῖν ὁ Θεός.

13. Ἄχρι καὶ ὑμῶν.

Καυχησόμεθα δὲ ἄχρι καὶ ὑμῶν, τουτέστιν ὅτι καὶ ὑμᾶς ἐδιδάξαμεν, ὅτι μέχρι καὶ ὑμῶν ἐκηρύξαμεν.

14. Οὐ γὰρ ὡς μὴ ἀφικόμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτούς·

Οὐ γὰρ τῷ εἰπεῖν ὅτι «ἄχρι καὶ ὑμῶν» ὑπερεκτείνομεν ἑαυτοὺς τῷ λόγῳ μόνῳ, ὡς μὴ ἀφικόμενοι εἰς ὑμᾶς.

14. Ἄχρι γὰρ και ὑμῶν ἐφθάσαμεν

Καὶ τῷ πράγματι.

14. Ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.

Καὶ οὐχ ἁπλῶς ἐφθάσαμεν, ἀλλ' εὐαγγελιζόμενοι τὸν Χριστόν· ἤτοι τὸ κατὰ Χριστὸν κήρυγμα.

15. Οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις πόνοις,

Οὐκ ἀμέτρως καυχώμενοι ἐπὶ ἀλλοτρίοις πόνοις, ὡς ἐκεῖνοι ποιοῦσι, τοῖς τῶν Ἀποστόλων κόποις καὶ κατορθώμασιν, ὡς οἰκείοις, ἐπικαυχώμενοι.

15. Ἐλπίδα ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν

Αὐξηθῆναι καὶ ἡμᾶς κατὰ τὸν κλῆρον ἡμῶν· τῆς ὑμετέρας γὰρ πίστεως αὐξανομένης, μεταβησόμεθα καὶ εἰς τοὺς ἐπέκεινα ὑμῶν οἰκοῦντας, καὶ οὕτως αὐξηθήσεται ἡ μερὶς ἡμῶν.

15. Εἰς περισσείαν·

Ἐπὶ πλεῖον.

(*) Ἄλλοι εἰς τὸ «μέτρου» στίζοντες, τὸ «ἀφικέσθαι» συνάπτουσι τοῖς ἑπομένοις «ἄχρι καὶ ὑμῶν».

16. Εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι·

Ὥςτε εἰς τὰ περαιτέρω ὑμῶν μέρη καὶ ἔθνη εὐαγγελίσασθαι.

16. Οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι.

Ἀλλ' οὐκ ἐν ἀλλοτρίῳ κλήρῳ καυχήσασθαι ἐπὶ τοῖς ἤδη ὑφ' ἑτέρων ἑτοιμασθεῖσι καὶ καταρτισθεῖσιν.

17. «Ὁ δὲ καυχώμενος ἐν Κυρίῳ καυχάσθω» (α).

Ἐπὶ τῇ τοῦ Κυρίου δυνάμει, καὶ αὐτῷ τὸ πᾶν λογιζέσθω, καθὼς ἡμεῖς.

18. Οὐ γὰρ ὁ ἑαυτὸν συνιστάνων ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν.

Ὢ ὁ Κύριος μαρτυρεῖ δι' ἀναντιρρήτων κατορθωμάτων, ἃ προδήλως τῆς θείας εἰσὶν ἔργα δυνάμεως, ἐπιτελούμενα διὰ τοῦ κατορθοῦντος αὐτὰ ἀνθρώπου.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΔΕΚΑΤΟΝ

ΙΑ' Περὶ ἑαυτοῦ, τὸ ἐπίπονον, τὸ παρὰ Θεῷ τίμιον, τὸ ὠφελίμως αὐτότροφον. Παρασκευὴ πρὸς τὴν μέλλουσαν αὐτοῦ παρουσίαν.

1. Ὄφελον ἠνείχεσθαί (*) μου μικρὸν τῇ ἀφροσύνῃ·

Μέλλων ἐμβαίνειν εἰς τοὺς οἰκείους ἐπαίνους, καὶ μειζόνων ἅπτεσθαι λόγων, πολλῇ χρῆται προδιορθώσει, ὥςτε μὴ δόξαι φορτικός,

---

(α) Β' Βασιλ. 6', 10. Ἱερεμ. θ', 23. 24. — (*) Σημειωτέα ἡ κατ' ἀπαρέμφατον γραφὴ τοῦ «ἠνείχεσθαι», ἣν ἐπαναλαμβάνει ὁ Συγγραφεὺς καὶ ἐν τῇ ἑρμηνείᾳ. Ὁ Χρυσόστομος (ἐν λ. Τόμ. Ι', Ὁμιλ. κγ', σελ. 553) γράφει «ἠνείχεσθε» καὶ ἑρμηνεύει ὧδε· «εἴθε ἠνείχεσθέ μου μικρά τινα ἀνοηταίνοντος κἑξ.».

ἑαυτὸν ἐγκωμιάζων. Εἰς τοῦτο δὲ ἤγαγεν αὐτὸν ἡ τῆς ὑποθέσεως ἀνάγκη καὶ τὸ δεδιέναι μὴ γένηται εἰς βλάβην τῶν μαθητῶν τὸ αὐτὸν (α) μὲν ἐξευτελίζεσθαι, τοὺς δὲ ψευδαποστόλους δοκεῖν εἶναί τινας μεγάλους. Διὸ καί φησιν, εἴθε ἠνείχεσθαί μου, ἐσομένου μικρὸν ἐν τῇ ἀφροσύνῃ· τουτέστιν οἰκονομικῶς ἀφρονευσαμένου. Ἀφροσύνην λέγων ἃ ὑπὲρ ἑαυτοῦ μέλλει διεξελθεῖν· ἀφροσύνη γὰρ δοκεῖ τὸ ἑαυτὸν ἐγκωμιάζειν.

1. Ἀλλὰ καὶ ἀνέχεσθέ μου.

Μακροθυμεῖτέ μοι, εὖ οἶδα, ὡς διδασκάλῳ καὶ πατρί.

2. Ζηλῶ γὰρ ὑμᾶς

Σφόδρα φιλῶ ὑμᾶς, καὶ διὰ τοῦτο καθῆκα ἐμαυτὸν εἰς τὴν ἀφροσύνην ταύτην. Ὁ ζῆλος γὰρ ἐνταῦθα τὴν ἐπίτασιν τῆς ἀγάπης ἑρμηνεύει. Ἵνα δὲ μὴ ὑποπτευθῇ τοῦ λέγειν διὰ δόξαν ἢ χρήματα, ἤ τι τοιοῦτον αἰσχροκερδές, ἐπήγαγε·

2. Θεοῦ ζήλῳ.

Κατὰ Θεὸν ζήλῳ πνευματικῷ. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τοῦ ζήλου·

2. Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ

Συνῆψα ὑμᾶς διὰ πίστεως ἑνὶ ἀνδρί, τῷ Χριστῷ, τῷ μόνῳ ἀνδρισθέντι κατὰ τῆς ἁμαρτίας, κατά γε τὸ (β) ἀνθρώπινον· «ἁμαρτίαν » γάρ, φησίν, οὐκ ἐποίησεν» (γ)· ἢ τῷ μόνῳ νυμφίῳ τῶν ψυχῶν. Ἐγὼ συνέζευξα τὴν καθ' ὑμᾶς Ἐκκλησίαν τῷ νοητῷ νυμφίῳ Χριστῷ, καὶ διὰ τοῦτο ζηλῶ ὑπὲρ ἐκείνου, οὐ μόνον ὑπὲρ ὑμῶν, μήπως ἡ νύμφη φθαρῇ. Ἑαυτὸν μὲν οὖν ἔστησεν ἐν χώρᾳ νυμφαγωγοῦ καὶ προμνηστευτρίας, ἐκείνους δὲ ἐν τάξει νύμφης.

2. Παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ.

Ὥστε παραστῆσαι τῷ Χριστῷ τὴν καθ' ὑμᾶς, ὡς εἴρηται, Ἐκκλησίαν τῶν πιστῶν παρθένον, ἀεὶ ἁγνὴν διὰ βίου· ἐπὶ μὲν γὰρ τῶν ἀνθρωπίνων καὶ σωματικῶν συναφειῶν πρὸ τοῦ γάμου ἡ παρθενία, ἐπὶ δὲ τῆς νοητῆς καὶ κατὰ Χριστὸν μετὰ συνάφειαν μᾶλλον ἡ παρ-

---

(α) Τὸ χειρόγρ. «αὐτό».— (β) Τὸ χειρόγρ. «τῷ». — (γ) Α' Πέτρ. β', 22.

θενία καὶ ἡ διὰ πάντων ἁγνεία (α), ἔνθα καὶ οἱ νομίμως γεγαμηκότες μετὰ τῶν γαμετῶν παρθένοι μάλιστα γίγνονται διά τε τοῦ βαπτίσματος καὶ τῆς καθαρότητος τοῦ βίου. Οὐ μόνον οὖν εἰμι νυμφαγωγός, ἀλλὰ καὶ φύλαξ τῆς νύμφης καὶ ἐπιμελητής. Ὅθεν καὶ εὐλόγως ζηλῶ.

3. Φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν

Τῷ μὲν ὄφει παρείκασε τοὺς ψευδοδιδασκάλους, ὡς ὄργανα καὶ αὐτοὺς τοῦ διαβόλου καὶ ὡς σκολιοὺς καὶ ἀπατεῶνας· τῇ Εὔᾳ δὲ τοὺς Κορινθίους, ὡς ἀσθενεῖς καὶ εὐεξαπατήτους. «Πανουργίαν» δὲ λέγει τὴν μοχθηρίαν καὶ τὸ πολυμήχανον ἐν ἀπάτῃ. Οὐκ εἶπε δὲ ὅτι ἐφθάρη τὰ νοήματα ὑμῶν, ἵνα μὴ ἀναισχυντοτέρους αὐτοὺς ἐργάσηται, ἀλλ᾽ ὅτι, φοβοῦμαι μή ποτε φθαρῶσιν αἱ διάνοιαι ὑμῶν, ἵνα μᾶλλον οὕτως διορθώσηται τούτους καὶ ἀσφαλίσηται.

3. Ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν.

Ἀπὸ τοῦ εἶναι ὑμᾶς ἁπλοῦς διὰ τὴν ἁπλότητα καὶ ἀφέλειαν ὑμῶν. Ἵνα δὲ μὴ δόξῃ μεγάλα πλήττειν, ἄνοιαν καταγινώσκων αὐτῶν, προσέθηκεν ὅτι διὰ Χριστόν εἰσιν ἁπλοῖ καὶ ἀκέραιοι· καίτοι δέον ἐν μὲν τοῖς σωματικοῖς εἶναι ἀκεραίους, ἐν δὲ τοῖς ψυχικοῖς καὶ πνευματικοῖς φρονίμους. Προδιέσταλται δὲ ἡμῖν διαφόρως, ὅτι οὔτε πάντες ἡμάρτανον, οὔτε πάντες κατώρθουν οἱ Κορίνθιοι, εἰ καὶ καθολικῶς ποιεῖται καὶ τὰς ἐπιτιμήσεις καὶ τοὺς ἐπαίνους.

4. Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ Πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ Εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε.

«Ἐρχόμενον» λέγει νῦν ἕκαστον τῶν ψευδαποστόλων, ὡς μὴ ὄντα Κορίνθιον, ἀλλ᾽ ἔξωθεν ἐρχόμενον· ἢ ὡς ἀλλότριον μὲν τῆς ἀποστολικῆς (β), ἐρχόμενον δὲ οἴκοθεν εἰς αὐτήν. Ἀλλὰ τί λέγεις ὁ λέγων ἀλλαχοῦ ὅτι «ἐάν τις εὐαγγελίζηται ὑμᾶς παρ᾽ ὃ παρελάβετε, ἀνά-

---

(α) Ἀντὶ «ἡ διὰ πάντων ἁγνεία» γραπτέον «ἡ διὰ παντὸς ἁγνεία». — (β) Ἢ ἐξυπονοητέον τὸ «διακονίας», ἢ τὸ «ἀποστολικῆς» γραπτέον «ἀποστολῆς».

» θεμα ἔστω» (α); Νῦν λέγεις ὅτι καλῶς ἠνείχεσθε τοῦ παρ' ὃ παρελάβετε κηρύττοντος; οὐχ ἁπλῶς οὕτω λέγει· ἀλλ' ὅτι ἐὰν ἄλλον Χριστὸν κηρύσσῃ, ὃν κηρύξαι δέον, οὐκ ἐκηρύξαμεν. Ἢ πάλιν· εἰ Πνεῦμα ἕτερον λαμβάνετε παρ' αὐτοῦ, ἤτοι πνευματικὸν χάρισμα, ὃ λαβεῖν δέον, οὐκ ἐλάβετε. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ Εὐαγγελίου, ἤγουν τοῦ κηρύγματος. Πανταχοῦ γὰρ τὸ «δέον» συνυπακουόμενον οὐ συγχωρεῖ νοεῖσθαι νόθον Χριστόν, ἢ ἀλλότριον Πνεῦμα, ἢ ἀλλότριον τῆς ὀρθῆς πίστεως Εὐαγγέλιον. Τὰ γὰρ δέοντα πάντες ἐνήργησαν οἱ Ἀπόστολοι. Οἱ δὲ ψευδαπόστολοι τὸν αὐτὸν μὲν Χριστὸν ὡμολόγουν καὶ τὸ περὶ τῶν λοιπῶν κεφαλαίων κήρυγμα συγκατήγγελλον, καὶ ὅσον ἐν τοῖς καιρίοις τῆς πίστεως συνεφώνουν τοῖς Ἀποστόλοις, παρεμίγνυον δέ τινα καὶ οἴκοθεν ἀνάξια καὶ διεφθαρμένα καὶ ἐξηυτέλιζον τοὺς Ἀποστόλους ὡς ἰδιώτας καὶ παιδείας λογικῆς ἀμοίρους, καὶ μὴ δυναμένους ἐντελῶς κηρύσσειν, καὶ τῷ κόμπῳ καὶ τῇ εὐγλωττίᾳ τοὺς ἀκεραιοτέρους ἐπεσπῶντο. Ἐμφαίνει δὲ δι' ὧν εἶπεν ὁ Ἀπόστολος ὅτι οὐ χρὴ προσέχειν εἴ τι περιττὸν ἁπλῶς οἱ ψευδοδιδάσκαλοι ἐκεῖνοι λέγουσιν· ἀλλ' εἴ τι πλέον, ὀφεῖλον μὲν κηρυχθῆναι, παραλειφθὲν δὲ ὑπὸ τῶν Ἀποστόλων. Εἰ δὲ πάντα τὰ δέοντα παρ' ἡμῶν ἀπήρτισται, διὰ τί ἐκείνοις προσέχετε;

5. Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν Ἀποστόλων.

Ἀφεὶς ἐκείνους πρὸς τοὺς περὶ Πέτρον ποιεῖται τὴν σύγκρισιν, ὡς καὶ ἀνωτέρω εἴρηκεν. Οὐκ εἶπε δὲ ὅτι οὐδενὸς ἔλαττον ἐκήρυξα, ἀλλὰ μετρίως, ὅτι λογίζομαι, ὅτι οὕτω νομίζω. « Ὑπὲρ λίαν » δὲ λέγει τοὺς ἄκρους, τοὺς πάνυ, μετ' ἐγκωμίου μεμνημένος αὐτῶν. Αἰνίττεται δὲ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, οἳ καὶ πρὸ αὐτοῦ ἦσαν καὶ διαβόητον εἶχον ὄνομα. Σκόπει δὲ πῶς, ὅτε μὲν οὐκ εἶχεν ἀνάγκην, ἐλάχιστον ἑαυτὸν ἔλεγεν εἶναι τῶν Ἀποστόλων πάντων· ὅτε δὲ ὁ καιρὸς ἤπειξε, μηδὲν ὑστερηκέναι λέγει τῶν πρώτων.

6. Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ,

Τῇ φράσει, τῇ ἐπαγγελίᾳ, διὰ τὸ ἀκαλλώπιστον καὶ ἀκόσμητον.

(α) Γαλάτ. ά, 8.

6. Ἀλλ' οὐ τῇ γνώσει·

Ὁ πλέον τοῦ λόγου· τῆς γνώσεως γὰρ διάκονος ὁ λόγος ὁ προφορικός. Εἴρηται δὲ περὶ διαφορᾶς τούτων ἐν τῇ πρὸ ταύτης ἐπιστολῇ, ἔνθα περὶ διαφορᾶς χαρισμάτων ἐφιλοσόφησεν (α).

6. Ἀλλ' ἐν παντὶ φανερώσαντες ἑαυτοὺς (*) ἐν πᾶσιν εἰς ὑμᾶς.

Ἀλλ' ἐν παντὶ πράγματι· ἐν πᾶσιν, οἷς ποιοῦμεν, φανερώσαντες ἑαυτούς ἐσμεν εἰς ὑμᾶς. Οἷοί ἐσμεν, τοιοῦτοι φαινόμενοι, καὶ οὐδὲν ὑποκεκριμένον καὶ ἐπίπλαστον ἔχοντες κατὰ τοὺς ψευδαποστόλους.

7. Ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν; (**)

Κατ' ἐρώτησιν ἐντρέπει τούτους, λέγων· ἆρα ἁμαρτίαν ἐποίησα, ἐσφάλην, ἐμαυτὸν πιέζων λιμῷ, τῷ μὴ λαμβάνειν ἀφ' ὑμῶν, ὅτε παρήμην ὑμῖν;

7. Ἵνα ὑμεῖς ὑψωθῆτε,

Ἐμαυτὸν λιμαγχονῶν, ὡς εἴρηται, ἵνα ὑμεῖς κἀντεῦθεν οἰκοδομούμενοι τῷ τοιοῦτον ἔχειν διδάσκαλον, ὑπερεκτεινόμενον τῆς ἐντολῆς (« ἄξιος γάρ, φησίν, ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν ») (β), ὑψωθῆτε κατ' ἀρετήν.

7. Ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ Εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν;

Καὶ τοῦτο κατ' ἐρώτησιν. Ἆρα ἡμάρτηκα, ὅτι προῖκα καὶ ἀδαπάνως ἐκήρυττον ὑμῖν;

8. Ἄλλας Ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν·

« Ἐσύλησα », ἤγουν ἐγύμνωσα τῶν ἀπεσταλμένων μοι ἐκεῖθεν χρημάτων. Πενιχροτέρας ἐντεῦθεν ἐποίησα, λαβὼν ἀπ' αὐτῶν δαπα-

---

(α) Α' Κορινθ. ιβ', 28-31. — (*) Ἀντὶ « φανερώσαντες ἑαυτοὺς » τὰ γνωστά μοι τῶν ἀντιγράφων ἔχουσι « φανερωθέντες ». — (**) Ἐν ἄλλοις τῶν ἀντιγράφων τὸ ἐρωτηματικὸν οὐ τίθεται εἰς τὸ « ἐμαυτὸν ταπεινῶν », ἀλλ' εἰς τὸν ἑπόμενον στίχον « ἵνα » ὑμεῖς ὑψωθῆτε ». Ἐν ἄλλοις δὲ εἰς οὐδέτερον τούτων, ἀλλ' εἰς τὸν μεθεπόμενον « ὅτι » δωρεὰν τὸ τοῦ Θεοῦ Εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν ». — (β) Ματθ. ι', 10.

νήματα χρείας ἀναγκαίας· ὥςτε τούτοις χρώμενον διακονεῖν ὑμῖν ἐν τῷ κηρύττειν ὑμῖν.

8. Καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθείς, οὐ κατενάρκησα οὐδενός.

«Καὶ ὑστερηθείς», ἤγουν ἐν ἐνδείᾳ γεγονώς, οὐ κατερρᾳθύμησά τινος, ἢ οὐ κατεβάρησά τινος, οὐδὲ φορτικὸς ἔδοξα τροφὰς ἀπαιτῶν, ὡς ἐκεῖνοι.

9. Τὸ γὰρ ὑστέρημά μου προςανεπλήρωσαν οἱ ἀδελφοί, ἐλθόντες ἀπὸ Μακεδονίας·

Τοῦτο καὶ αὐτοῖς Μακεδόσιν ἐπιστέλλων ἔλεγεν ὅτι «ἐν ταῖς »χρείαις μου ἐπέμψατέ μοι καὶ ἅπαξ καὶ δίς» (α). «Ὑστέρημα» δὲ νόει τὴν ἔνδειαν.

9. Καὶ ἐν παντὶ ἀβαρῆ ἐμαυτὸν ὑμῖν ἐτήρησα, καὶ τηρήσω.

Εἶτα, ἵνα μὴ δόξῃ διὰ τοῦτο ταῦτα λέγειν, ἵνα μᾶλλον λάβῃ, ἐπήγαγεν·

10. Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.

Ἔστιν ἀλήθεια ἐν ἐμοὶ ἀπὸ Χριστοῦ δοθεῖσα μετὰ καὶ τῶν ἄλλων ἀγαθῶν. Διὸ καὶ ἀληθεύω ἐφ' οἷς ἐρῶ, ὅτι ἡ καύχησις αὕτη, ἡ τοῦ μὴ λαμβάνειν με παρ' ὑμῖν, τὸ καλλώπισμά μου τοῦτο, δίκην ποταμοῦ ῥέουσα καὶ τῇ φήμῃ θέουσα, οὐ φραγήσεται, οὐδ' ἀνακοπήσεται, ὅσον τὸ εἰς ἐμέ, ὅσον ἀπ' ἐμῆς αἰτίας, ἐν τοῖς μέρεσι τῆς Ἀχαΐας, ἐν οἷς ἡ Κόρινθος.

11. Διὰ τί;

Τίνος ἕνεκεν δωρεὰν εὐαγγελίζομαι ὑμῖν;

11. Ὅτι οὐκ ἀγαπῶ ὑμᾶς;

Ἐρωτηματικῶς. Ἆρα διότι οὐκ ἀγαπῶ ὑμᾶς;

11. Ὁ Θεὸς οἶδεν.

(α) Φιλιππ. δ', 16.

Ὅτι ἀγαπῶ ὑμᾶς καὶ σφόδρα.

12. Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν,

Ὃ δὲ ποιῶ, καὶ ποιήσω· ἤγουν τὸ μὴ λαμβάνειν ἀφ' ὑμῶν. Τοῦτο ποιῶ καὶ ποιήσω, ἵνα περιέλω τὴν ἀφορμὴν τῶν ψευδαποστόλων, τῶν ζητούντων ἀφορμὴν οἱανδήποτε εἰς τὸ καταγνῶναί μου.

12. Ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς ἡμεῖς.

Ἐκαυχῶντο γὰρ ὡς μὴ λαμβάνοντες, καί τοι λεληθότως λαμβάνοντες. Ἐκαυχῶντο δὲ πρὸς τοὺς ἀγνοοῦντας. Φησὶν οὖν ὅτι, ἵνα ἐν τῷ μὴ λαμβάνειν, ὡς λέγουσιν ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν ἴσοι ἡμῖν, μηδὲν ἐν τούτῳ πλέον ἡμῶν ἔχοντες, καίτοι τἆλλα ἡττώμενοι.

13. Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι,

Εἰσὶ δηλονότι· ὑποκρίνονται γὰρ τὰ καλά, ἵνα ἐν τοῖς κακοῖς ἀπατήσωσιν.

13. Ἐργάται δόλιοι,

Ἐργαζόμενοι μὲν τὸ ἔργον Κυρίου τῷ δοκεῖν, τῇ δὲ ἀληθείᾳ ἀνασπῶντες τὰ καλῶς πεφυτευμένα καὶ λυμαινόμενοι.

13. Μετασχηματιζόμενοι εἰς Ἀποστόλους Χριστοῦ.

Μὴ δυνάμενοι γὰρ ἑτέρως εὐπαράδεκτοι γενέσθαι, προσωπεῖον Ἀποστόλων ὑποδύονται, τῇ τοῦ προβάτου δορᾷ περιστέλλοντες τὸν λύκον.

14. Καὶ οὐ θαυμαστόν·

Εἰ τοῦτο ποιοῦσιν.

14. Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.

Καίτοι σκότος ὤν. «Ἄγγελον δὲ φωτός», ἤτοι τοῦ Θεοῦ. Αὐτὸς γὰρ οὐκέτι ἐστὶν ἄγγελος Θεοῦ, ἀλλ' ἀποστάτης. Καὶ οἱ ὑπ' αὐτὸν ἄγγελοί εἰσι σκότους. Ἢ εἰς ἄγγελον φωτεινόν.

15. Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης·

Διακόνους μὲν λέγει τοὺς ὑπηρέτας. Δικαιοσύνην δὲ ἢ τὸν Χριστὸν ἢ τὸ κήρυγμα, ὡς δικαιοῦν τοὺς πιστεύοντας.

15. Ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Πονηρὸν δηλονότι καὶ ὀλέθριον· οὐδὲ γὰρ δύνανται λαθεῖν καὶ τὸν παντέφορον ὀφθαλμόν.

16. Πάλιν λέγω, μή τις με δόξῃ ἄφρονα εἶναι·

Πάλιν προθεραπεύω· πάλιν προδιορθοῦμαι, μέλλων εἰπεῖν ὑπὲρ ἐμοῦ. Μή τίς με ὑπολάβῃ ἄφρονα εἶναι, εἰ καὶ προλαβὼν ἀφροσύνην ἐμαυτῷ περιῆψα. Ἐκεῖνο μὲν γὰρ ἐποίησα δοκῶν (α) ἀφροσύνης εἶναι τὸ ἐγκωμιάζειν ἑαυτόν. Τοῦτο δὲ λέγω νῦν, διότι οὐχ ὡς ἄφρων εἰς τοὺς ἐμαυτοῦ ἐμπίπτω ἐπαίνους, ἀλλ' ὑπὸ τῆς ἀνάγκης εἰς τούτους ὠθοῦμαι καὶ συνελαύνομαι διὰ τοὺς ψευδαποστόλους, ὡς ἀνωτέρω δεδήλωται.

16. Εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα μικρόν τι καυχήσωμαι.

Εἰ δὲ μὴ πείθεσθε, ἀλλὰ δοκεῖτε εἶναί με ἄφρονα, κἂν ὡς ἄφρονα ὑπομείνατέ με καυχώμενον. Πληκτικὸς δὲ ὁ λόγος καὶ βαρύς.

17. Ὃ λαλῶ οὐ κατὰ Χριστὸν λαλῶ (*),

Ὃ λαλῶ ἐπαινῶν ἐμαυτὸν οὐ κατὰ τὴν τοῦ Κυρίου ἐντολὴν λαλῶ· ἐκεῖνος γὰρ ὅταν πάντα ποιήσωμεν, προσέταξε λέγειν ὅτι «ἀχρεῖοι »δοῦλοί ἐσμεν» (β). Ὥςτε τὸ καυχᾶσθαι καὶ διηγεῖσθαι τὰ ἑαυτοῦ κατορθώματα αὐτὸ μὲν καθ' ἑαυτὸ οὐ κατὰ Κύριόν ἐστιν· οἰκονομικῶς δὲ γινόμενον ἀπὸ τῆς διανοίας τοῦ λέγοντος γίνεται κατὰ Κύριον.

17. Ἀλλ' ὡς ἐν ἀφροσύνῃ,

(α) Τὸ χειρόγρ. «δοκεῖν». — (*) Ἐν ἄλλ. «οὐ λαλῶ κατὰ Κύριον». Ἀλλὰ καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἑρμηνείᾳ «κατὰ τὴν τοῦ Κυρίου ἐντολὴν» ἢ «κατὰ Κύριον». — (β) Λουκ. ιζ', 10.

Οὐκ εἶπεν ὅτι ἐν ἀφροσύνῃ, ἀλλ' ὅτι « ὡς ἐν ἀφροσύνῃ » ὢν λαλῶ. Εἶτα, ἵνα μὴ δόξῃ πανταχοῦ οὕτω λαλεῖν, προςέθηκεν·

17. Ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.

Ὡς ἐν ἀφροσύνῃ δὲ λαλῶ ἐν τούτῳ τῷ μέρει τῷ τῆς καυχήσεως, ἐν τῷ καυχᾶσθαι δηλονότι· ἀφροσύνης γὰρ δοκεῖ ἡ καύχησις, ὡς προείρηται.

18. Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι.

Ἐπειδὴ οἱ ψευδαπόστολοι (τούτους γὰρ αἰνίττεται) καυχῶνται ἀπὸ τῶν ἔξωθεν, οἷον ἀπὸ εὐγενείας, ἀπὸ τοῦ περιτομὴν ἔχειν καὶ Ἑβραίους εἶναι καὶ τῶν τοιούτων, κἀγὼ καυχήσομαι κατὰ σάρκα, οὐχ ἵνα δόξαν ἐντεῦθεν ἐμαυτῷ περιποιήσωμαι, ἀλλ' ἵνα ἐκείνων τὸ φύσημα συστείλω, μηδ' ἐν τούτοις ἐχόντων τι πλέον ἐμοῦ. Εἶτα τὴν αἰτίαν καὶ τῆς ἐκείνων ἀπονοίας καὶ τῆς ἑαυτοῦ καυχήσεως προςάπτει τοῖς Κορινθίοις, λέγων·

19. Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων,

Τῶν ἀφρόνως καυχωμένων.

19. Φρόνιμοι ὄντες.

Καίτοι φρόνιμοι ὄντες. Ἔδει δὲ τοὺς φρονίμους μὴ ἀνέχεσθαι τῶν ἀφρόνων, ἵνα μὴ χείρους γίνοιντο καὶ ἀναισχυντότεροι. Εἶτα καὶ σφοδρότερον αὐτῶν καθικνεῖται.

20. Ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ,

Κατεξουσιάζων ἐν προσχήματι διδασκάλου.

20. Εἴ τις κατεσθίει, εἴ τις λαμβάνει,

Τὸ «κατεσθίειν» διὰ τοῦ «λαμβάνειν» ἡρμήνευσεν. Λαμβάνοντες γὰρ κρυφίως ἀπό τινων ἐπτώχιζον τοὺς διδόντας, ὃ καὶ κατάβρωσιν ὠνόμασεν.

20. Εἴ τις ἐπαίρεται,

Φυσᾶται, μεγαλορρημονεῖ.

20. Εἴ τις εἰς πρόσωπον ὑμᾶς δέρει.

Τύπτει. Δεικνύων δὲ ὅτι οὐ τὸ διὰ χειρὸς πλήττειν λέγει νῦν, ἀλλὰ τὸ διὰ γλώσσης, ἐπήγαγε·

21. Κατὰ ἀτιμίαν λέγω,

Δέρει κατὰ ἀτιμίαν· ἤγουν κατὰ πρόςωπον ἀτιμάζων καὶ φανερῶς ἐξουδενῶν καὶ φαυλίζων. Τοῦτο δὲ ἐπίτασις τυραννίδος, ὅταν καὶ τὴν ἐλευθερίαν ἡμῶν ἀφαιρῶνται καὶ τὰ χρήματα καὶ δίκην τῶν παιόντων κατὰ κόρρης ἀτιμάζωσί τε καὶ ἐνυβρίζωσιν.

21. Ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν.

Ἀνέχεσθαι δὲ τῶν οὕτως ὑμῖν ἐμπαροινούντων, διότι ἡμεῖς ἠσθενήσαμεν εἰς τὸ τοιαῦτα ποιεῖν, ὁποῖα ἐκεῖνοι. Εἰρωνικὸς δὲ ὁ λόγος. Περιττὸν δὲ καὶ τὸ «ὡς» ἐνταῦθα. Ἔγκλημα μὲν οὖν καὶ τὸ μωραινόντων ἀνέχεσθαι· τὸ δὲ καὶ τοιαῦτα ποιούντων, παντελῶς ἐστιν ἀναπολόγητον. Ὑμεῖς δὲ καὶ ἄλλως· τῶν μὲν ταπεινούντων ἑαυτούς, ἵνα ὑμεῖς ὑψωθῆτε, καταφρονεῖτε, τοὺς δὲ ὑψοῦντας ἑαυτούς, ἵνα ὑμεῖς ταπεινωθῆτε, θαυμάζετε. Ἠδυνάμεθα καὶ ἡμεῖς ἐπιτηδεύειν, οἷα ἐκεῖνοι, ἀλλ' οὐ βουλόμεθα, ὑμῶν τε φειδόμενοι καὶ μὴ παρεξέρχεσθαι ἀπὸ τῆς εὐθύτητος ἐθέλοντες.

21. Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ.

Ἐν ᾧ τις ἐκείνων πέποιθεν ἐφ' ᾧ καυχᾶται. Πάλιν δὲ κἀνταῦθα πρὸς θεραπείαν τίθησι τὸ «ἐν ἀφροσύνῃ λέγω».

22. Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ.

Ἐπεὶ γὰρ οὐ πάντες οἱ Ἑβραῖοι Ἰσραηλῖται ἦσαν (οἱ γὰρ Μωαβῖται καὶ Ἀμμανῖται Ἑβραῖοι μὲν ἐλέγοντο, ἐξ Ἰακὼβ δέ, τοῦ καὶ Ἰσραήλ, οὐ κατῆγον τὸ γένος) (α), προςέθηκε τὸ «Ἰσραηλῖται». Ἔτι δὲ τὴν εὐγένειαν ἐκκαθαίρων ἐπήγαγε·

22. Σπέρμα Ἀβραάμ εἰσι; κἀγώ.

Οἱ γὰρ ἐξ Ἰακὼβ διὰ μέσου τοῦ Ἰσαὰκ εἰς τὸν Ἀβραάμ, ὡς εἰς πρόγονον, ἀνάγονται τὴν εὐγενεστάτην ῥίζαν. Ἐρωτῶν δὲ περὶ τῶν

(α) Τούτων καὶ τὴν πρὸς τοὺς Ἑβραίους ἐπιμιξίαν ἐκώλυεν ὁ Νόμος. Δευτερον. κγ', 2. Πρβλ. καὶ Θεοδώρ. εἰς τὸ αὐτὸ βιβλ. Ἐρώτ. ΚϚ', Τόμ. Α', σελ. 429.

ψευδαποστόλων, εἶτα λέγει καὶ περὶ αὐτοῦ ἔν τε τῷ παρόντι καὶ τοῖς προρρηθεῖσι·

23. Διάκονοι Χριστοῦ εἰσιν;

Ὡς ἀντιλέγουσιν. Καὶ τοῦτο δὲ κατ' ἐρώτησιν ἀναγνωστέον.

23. Παραφρονῶν λαλῶ, ὕπερ (*) ἐγώ.

Πάλιν κἀνταῦθα προθεραπεία· πανταχοῦ γὰρ ὑπομιμνήσκει τοὺς ἀκροατὰς ὅτι πρὸς καθαίρεσιν τῆς ἐκείνων μεγαλαυχίας μεγάλα περὶ ἑαυτοῦ φθέγγεται καὶ δοκεῖ ἀφραίνειν. Τὸ δὲ «ὕπερ» ἀντὶ τοῦ ὑπὲρ αὐτούς. Καὶ μὴν οὐκ ἦσαν αὐτοὶ διάκονοι Χριστοῦ· προλαβὼν γὰρ ψευδαποστόλους αὐτοὺς ὠνόμασεν. Συνέκρινε δὲ ὅμως ἑαυτὸν ἐκείνοις κἀντούτῳ μετριοφρονῶν καὶ εἰδὼς ὅτι ἔφθασε τούτους ἀποκηρύξας.

23. Ἐν κόποις περισσοτέρως,

Τοῖς ὑπὲρ τοῦ κηρύγματος.

23. Ἐν πληγαῖς ὑπερβαλλόντως,

Τοῦτο ἐκείνου μεῖζον τὸ καὶ μαστίζεσθαι.

23. Ἐν φυλακαῖς περισσοτέρως,

Καὶ τοῦτο ἐπίτασις τῶν ἄθλων.

23. Ἐν θανάτοις πολλάκις.

Διαφόρως γὰρ κινδύνοις θανατηφόροις παραδοθεὶς ἐρρύσθη παραδόξως.

24. Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον.

Πεντάκις ἔλαβον τεσσαράκοντα πληγὰς παρὰ μίαν πληγήν, τουτέστι μιᾶς ἐνδεούσης. Νόμος γὰρ ἦν αὐτοῖς ἄτιμον εἶναι τὸν λαβόντα πλέον τῶν τεσσαράκοντα πληγῶν. Ἵνα οὖν μὴ ἡ τοῦ τύπτοντος ῥύμη καὶ ὁρμὴ πλέον τοῦ ἀριθμοῦ ἐπενεγκοῦσα, ποιήσῃ τὸν μαστιζόμενον ἄτιμον, ὥρισαν οἱ παλαιοὶ ἐννέα καὶ τριάκοντα πληγὰς ἐπιφέρειν, ἵνα, εἰ καὶ πλεονάσει ὁ τύπτων, μὴ ἐκπέσῃ ὑπὲρ τὰ τεσσαράκοντα. Καὶ λοιπὸν οὐκ ἦν θέμις παραβαίνειν τὸ ὡρισμένον (α).

(*) Τὰ γνωστά μοι τῶν ἀντιγράφων «ὑπέρ».—(α) Ὅρ. Δευτερον. κε', 2.

25. Τρὶς ἐρραβδίσθην,

Οἶμαι διὰ λώρων ἐπενεχθῆναι τὰς προρρηθείσας πληγὰς καὶ κατὰ νώτων (α).

25. Ἅπαξ ἐλιθάσθην,

Ὅρα κινδύνους θανατηφόρους (β).

25. Τρὶς ἐναυάγησα,

Μακρὰς καὶ διαποντίους ὁδοὺς στελλόμενος.

25. Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα·

Ἐπὶ τοῦ βυθοῦ νηχόμενος πελάγιος.

26. Ὁδοιπορίαις πολλάκις,

Ἐν ὁδοιπορίαις πολλάκις γινόμενος· ἤγουν ὁδοιπορῶν. Εἰπὼν γὰρ τοὺς κατὰ θάλασσαν πειρασμούς, λέγει καὶ τοὺς κατὰ γῆν.

26. Κινδύνοις ποταμῶν,

Ἠναγκάζετο γὰρ καὶ ποταμοὺς διαπερᾶν.

26. Κινδύνοις λῃστῶν,

Οἷς περιέπιπτε διαβαίνων.

26. Κινδύνοις ἐκ γένους,

Ἐκ τῶν Ἑβραίων, ἐπιβουλευόντων αὐτῷ. Ἢ γένος ἐνταῦθα λέγει τὸ προςεχέστερον, ἀπεχθανόμενον αὐτῷ καὶ προςπολεμοῦν διὰ τὴν τῆς θρησκείας μεταβολήν.

26. Κινδύνοις ἐξ ἐθνῶν,

Εἰς ἃ παρεγίνετο κηρύττων.

(α) Ἡ βίβλος τῶν Πράξεων ἀναφέρει ὅτι δὶς ἐρραβδίσθη ὁ Παῦλος (ις', 22 καὶ κβ', 24). Τὴν δὲ φαινομένην διαφωνίαν αἴρει οὑτωςὶν ὁ Οἰκουμένιος (ἐν λ.)· «οὐ πάντα, » ἃ πέπονθεν ὁ Παῦλος, συνέγραψεν ἡμῖν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν. Οὐ γὰρ πρὸς φι- » λοτιμίαν αὐτῷ τὰ τῆς συγγραφῆς πεπόνηται. Διὸ καὶ πολλὰ τῶν ἐνταῦθα εἰρημένων » παρέλιπεν». — (β) Αὐτόθ. ιδ', 19.

26. Κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ,

Πανταχοῦ γὰρ αὐτῷ ἀθλήσεις καὶ πειρασμοὶ προςέκειντο· ἐν θαλάσσῃ, ἐν γῇ, ἐν πόλει, ἐν ἐρημίᾳ. Ταῦτα γὰρ καθολικώτερον τέθεικεν, ὡς ἐμφαντικὰ τῶν κατὰ μέρος.

26. Κινδύνοις ἐν ψευδαδέλφοις·

Ἐν τοῖς ψευδωνύμοις ἀδελφοῖς τοῖς τὸν Χριστιανισμὸν ὑποκρινομένοις.

27. Ἐν κόπῳ καὶ μόχθῳ,

Τῷ τῆς διὰ χειρῶν ἐργασίας (α). Λείπει δὲ τὸ «ἐγενόμην» ἢ «εἰμί».

27. Ἐν ἀγρυπνίαις πολλάκις,

Ἠγρύπνει γὰρ ἐργαζόμενος, ἢ διδάσκων, ἢ προσευχόμενος, ἢ φροντίζων ὑπὲρ τῶν Ἐκκλησιῶν.

27. Ἐν λιμῷ καὶ δίψει,

Ὅτε ἀπεκλείετο.

27. Ἐν νηστείαις πολλάκις,

Ὅτε τοῦ Θεοῦ ἐδεῖτο θερμότερον, ἢ ὅτε διήνυεν ἀσίτους ἡμέρας, μηδεμιᾶς τροφῆς εὐπορῶν.

27. Ἐν ψύχει καὶ γυμνότητι.

Καὶ τοῦτο γὰρ προςθήκη κακοπαθείας.

28. Χωρὶς τῶν παρεκτός,

Χωρὶς τῶν ἐπέκεινα τῶν εἰρημένων, χωρὶς ὧν παρέλιπον.

28. Ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν,

Λείπει τὸ «προκείσθω τῷ λόγῳ». «Ἐπισύστασιν» δὲ λέγει τὴν παρὰ τῶν διωκόντων κοινὴν ἔφοδον κατ' αὐτοῦ, κοινῶς ἐπισυνισταμένων ἐπ' αὐτόν.

(α) Πράξ. ιή, 3. Α' Κορινθ. δ', 12.

28. Ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν.

Μή τις αὐτῶν διασπαραχθείη ποιμνίου δίκην ὑπὸ τῶν λύκων.

29. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;

Συνδιατιθέμενος αὐτῷ καὶ συναλγῶν, κἂν τῶν ὑψηλοτέρων εἴη, κἂν τῶν ταπεινοτέρων;

29. Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

Τίς σκανδαλίζεται ἐν τῇ πίστει, καὶ οὐκ ἐγὼ ἐμπίπραμαι, καὶ οὐ διαφλέγομαι μή ποτε ἀπόληται; καθάπερ γὰρ αὐτὸς ὢν τὸ σῶμα τῆς Ἐκκλησίας καθ' ἕκαστον πάσχον μέλος ὠδυνᾶτο.

30. Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.

« Ἀσθενείας » ἐνταῦθα λέγει τοὺς πειρασμοὺς καὶ τοὺς κινδύνους· ἐλέγχουσι γὰρ ταῦτα τὴν ἀσθένειαν τοῦ σώματος. Διὸ καὶ ὁ Κύριος ἔλεγε· «τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής» (α). Φησὶν οὖν ὁ Ἀπόστολος ἐνταῦθα, ὅτι οὐ κατὰ τῶν κατορθωμάτων καὶ σημείων καυχήσομαι (τοῦτο γὰρ ἀνάξιον), ἀλλὰ τὰ τῶν πειρασμῶν, οἳ χαρακτηρίζουσι τὸν Ἀπόστολον, καὶ δι' ὧν περαίνεται τὸ κήρυγμα τοῦ Εὐαγγελίου.

31. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου Ἰησοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι (*).

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου Ἰησοῦ οἶδεν, ὅτι οὐ ψεύδομαι. Μάρτυρα δὲ τοῦ ῥηθησομένου ποιεῖται τὸν Θεόν. Διότι οἱ μὲν ἀπαριθμηθέντες πειρασμοὶ νεώτεροι ἦσαν καὶ πᾶσι γνώριμοι. Ὃ δὲ μέλλει ἐρεῖν, ἀρχαιότερον ὄν, οὐκ ἦν τούτοις δῆλον.

32. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων.

(α) Ματθ. κϛ', 41. Μάρκ. ιδ', 38. — (*) Ὁ Συγγραφεὺς ἐν τῷ στίχῳ τούτῳ τηρεῖ τὴν παρὰ Χρυσοστόμῳ γραφήν. Ἐν ἄλλοις γράφεται ὧδε· « ὁ Θεὸς καὶ Πατὴρ τοῦ » Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδο- » μαι ». Ἔστι δὲ ἡ δευτέρα αὕτη γραφὴ συνηθεστέρα καί, ὡς ἔοικε, δοκιμωτέρα τῆς πρώτης, ὡς φέρουσα τῶν ἀξιοπιστοτέρων ἀντιγράφων τὸ κῦρος. Πρβλ. F. Matth. n. Test. Ronneburgi, 1807 ἐν λ.

Κρατῆσαί με θέλων, ὡς ἐπισπώμενον τοὺς ὑπ' αὐτὸν εἰς τὴν κατὰ Χριστὸν πίστιν. Ἐφύλαττε τὴν πόλιν μήπως φύγω λαθών.

33. Καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ (α).

Ἡ σαργάνη εἶδος ἦν καλάθου (β). Ἐπεθύμει μὲν γὰρ ἀποθανεῖν καὶ συνεῖναι Χριστῷ, ἤρα δὲ καὶ τοῦ παρεῖναι σωματικῶς ταῖς Ἐκκλησίαις, καὶ βοηθεῖν καὶ καταρτίζειν αὐτάς. Διὸ καὶ τηρεῖν ἑαυτὸν ἔτι τῷ κηρύγματι οὐ παρῃτεῖτο, καὶ ἀνθρωπίνοις χρῆσθαι μηχανήμασιν εἰς σωτηρίαν, ὅτε ἀπῄτει καιρός. Ἔνθα μὲν γὰρ ἄφυκτα ἦν κακά, τοῦ Θεοῦ μόνου ἐδεῖτο· ἔνθα δὲ σύμμετρος ὁ πειρασμός, καὶ οἴκοθεν ἐπενόει. Μέλλων δὲ λοιπὸν μεταβαίνειν ἐφ' ἕτερον εἶδος καυχήσεως, τὸ τῶν θείων ὀπτασιῶν καὶ ἀποκαλύψεων, ὃ μισθὸν μὲν τοσοῦτον οὐκ ἔχει, ὅσον τὸ τῆς καυχήσεως τῶν πειρασμῶν, λαμπρότερον δὲ καὶ ὑψηλότερον δείκνυσι τὸν ἀξιωθέντα τούτων, προδιαστέλλεται λέγων·

ΚΕΦΑΛΑΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

1. Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι·

«Καυχᾶσθαι» ἐν οἷς μέλλω εἰπεῖν, ἵνα μὴ φυσηθῶ ταῦτα διηγούμενος. Τί δέ; εἰ μὴ εἴπῃς, οὐκ οἶδας ταῦτα; ναί· ἀλλ' οὐχ οὕτως εἰδώς, ὡς λέγων αὐτὰ πρὸς ἑτέρους, διακείσομαι· οὐδὲ γὰρ ἡ τῶν κατορθωμάτων φύσις ἐπαίρειν εἴωθε καθ' ἑαυτήν, ἀλλ' ἡ παρὰ

(α) Πράξ. θ', 25.— (β) Ἐτυμολ. μέγα· «Ἔστι *σαργάνη* ἀπὸ σχοινίου πλεγμάτιον εἰς ὑποδοχὴν ἰχθύων». Σουΐδας· «*Σαργάνη* οἱ μὲν σχοινίον τι· οἱ δὲ πλέγμα τι ἐκ » σχοινίου ».

τῶν ἰδόντων αὐτὰ ἢ ἀκουσάντων μαρτυρία καὶ τιμή. Δείκνυσιν οὖν σφαλερὸν τὸ πρᾶγμα καὶ ἐπικίνδυνον. Εἰ δέ, κατεπειγούσης ἀνάγκης, οὕτως ἐστὶ τοῦτο φοβερόν, πολλῷ μᾶλλον μηδεμιᾶς χρείας ἀπαιτούσης.

1. Ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.

Ἐν αἷς ἡ καύχησις βλαβερὰ μὴ πεφυλαγμένως γινομένη καὶ κατὰ καιρόν. Εἶτα λέγειν ἄρχεται·

2. Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴ τε ἐν σώματι, οὐκ οἶδα· εἴ τε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν· ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ.

Οὕτως ἡ τῶν ῥητῶν σύνταξις, ὅτι πρὸ ἐτῶν δεκατεσσάρων οἶδα ἄνθρωπον ἐν Χριστῷ, τουτέστι κατὰ τοὺς τοῦ Χριστοῦ νόμους πολιτευόμενον. Εἶτα ἐπισχὼν τὸν λόγον, καὶ οἷον ἐμφήνας ὅτι δυσχεραίνει λέγων, πάλιν ἐπανέλαβεν αὐτὸν καί φησιν· οἶδα ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ, εἴ τε ἐν σώματι ἁρπαγέντα, οὐκ οἶδα· εἴ τε ἐκτὸς τοῦ σώματος ἐν μόνῃ ψυχῇ καὶ νοΐ, ὁ Θεὸς οἶδεν. Ἐπεὶ δὲ πρῶτος μὲν οὐρανός, ὁ ἐν ἀρχῇ γεγονὼς («ἐν ἀρχῇ γάρ, φησίν, »ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν») (α), δεύτερος δὲ τὸ στερέωμα («καὶ ἐκάλεσε γάρ, φησίν, ὁ Θεὸς τὸ στερέωμα οὐρανόν») (β), εἴη ἂν ἀνιόντι πρῶτος μὲν οὐρανὸς τὸ στερέωμα, δεύτερος δὲ ὁ πρῶτος, τρίτος δὲ ὁ ὑπὲρ ἐκεῖνον, ὡς ὁ λόγος ἐμφαίνει, νοητός τις τόπος ἢ κόσμος ὑπερουράνιος ταῖς ἀγγελικαῖς δυνάμεσιν ἀνειμένος, εἰς ὃν ἔφθασεν ὁ τοῖς ἀγγέλοις ἁμιλλώμενος μέγας Παῦλος, ὃν καὶ ἐν γῇ πολιτευόμενος ἐφαντάζετο. Εἰ γὰρ καὶ ὡς περὶ ἄλλου διηγεῖται τὴν ἁρπαγήν, ἀλλ' αὐτός ἐστιν, ὃν εἰδέναι λέγει. Ἐπενόησε δὲ τὴν ἐσχηματισμένην ταύτην μέθοδον, ἵνα ἅμα μὲν διηγήσηται τὸ πρᾶγμα διὰ τὴν ἐνάγουσαν ἀνάγκην, ἅμα δὲ διακρούσηται τὴν καύχησιν. Ποία γὰρ ἀκολουθία περὶ ἑαυτοῦ διαλεγόμενον ἄλλον παράγειν εἰς μέσον; ἢ πῶς οὐ συνέφερεν αὐτῷ, εἰ περὶ ἑτέρου καυχᾶσθαι ἔμελλεν; Ἀλλ' ἁρπαγῆναι μὲν οἶδε, τὸν δὲ τρόπον τῆς ἁρπαγῆς ἀγνοεῖ. Διὸ καὶ ἡμῖν οὐ περιεργαστέον περὶ τοῦ τρόπου· πῶς γάρ; ὃν ἐκεῖνος ὁ

(α) Γέν. α΄, 1. — (β) Αὐτόθ. α΄, 8.

ἁρπαγεὶς ἠγνόησεν. Ἡρπάγη δὲ ὑπὲρ τοῦ μὴ δοκεῖν ἔλαττον αὐτὸν ἔχειν τῶν ἄλλων Ἀποστόλων. Ἐπειδὴ γὰρ ἐκεῖνοι συνεγένοντο τῷ Χριστῷ, ἡρπάγη οὗτος, ἵνα ἐντεῦθεν αὐτῷ τὸ ἐκεῖθεν ἐλλεῖπον ἀναπληρωθῇ.

3. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴ τε ἐν σώματι, εἴ τε ἐκ-
4. τὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν· ὅτι ἡρπάγη εἰς τὸν παράδεισον,

Καὶ οἶδα, φησί, τὸν τοιοῦτον ἄνθρωπον, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, εἴ τε ἐν σώματι ἡρπάγη, εἴ τε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν. Τινὲς μὲν οὖν φασι ταυτολογίαν εἶναι τοῦτο βεβαιώσεως ἕνεκα, προςαγορευθῆναι δὲ καὶ παράδεισον τὸν τρίτον ἐκεῖνον οὐρανὸν εἰς ἔμφασιν τῆς ἐκεῖσε ἀπολαύσεως· πολὺ γὰρ παρὰ τοῖς τότε τὸ τοῦ παραδείσου ὄνομα καὶ πανταχοῦ ᾔδετο καὶ διαβεβόητο. Ἔνιοι δὲ λέγουσιν ἑτέραν εἶναι ταύτην τὴν ἁρπαγήν· πρῶτον μὲν γὰρ εἰς τὸν οὐρανὸν ἁρπαγῆναι, ἵνα καὶ τοὺς ἀγγέλους ἰδὼν σπουδάζοντας περὶ τὴν τῶν ἀνθρώπων πρόνοιαν καὶ σωτηρίαν μὴ ἀπαγορεύσῃ κάμνων ὑπὲρ τῆς Ἐκκλησίας. Ἐκεῖθεν δὲ αὖθις ἁρπαγῆναι εἰς τὸν παράδεισον, ἵνα τὰς ἀναπαυομένας ἐκεῖ ψυχὰς τῶν ἁγίων μετὰ καὶ τῆς τοῦ λῃστοῦ θεασάμενος, τιμῆς ἀπολαυούσας ὑπὸ τῶν ἀγγέλων, παραμυθίαν ἕξει τῆς ἐν τῷ παρόντι βίῳ κακοπαθείας. Καὶ ἁρπαγὴν μὲν κυρίως λέγουσι τὴν χαμόθεν πρὸς τὸ ὑπερκείμενον ἔπαρσιν, τὴν δὲ ἐκ τοῦ οὐρανοῦ εἰς τὸν παράδεισον ἁρπαγὴν καταχρηστικώτερον εἰρῆσθαι· ἤ, μᾶλλον εἰπεῖν, μουσικώτερον. Οἱ μουσικοὶ γὰρ ἁρπαγὴν καλοῦσι τὴν ἀπὸ τοῦ συντόνου φθόγγου πρὸς τὸν χαλαρὸν κατάβασιν.

4. Καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

« Ἄρρητα » οὐ πρὸς αὐτόν, ἀλλὰ δι' αὐτοῦ, ἃ οὐ δυνατὸν αὐτῷ λαλῆσαι πρὸς ἄνθρωπον ἕτερον διὰ τὸ ὑπερβάλλον ὕψος καὶ μέγεθος τῆς γνώσεως αὐτῶν. Ἡ «ἄρρητα», ὅτι μὴ διὰ γλώσσης ἀνθρωπίνης ἐρρήθησαν πρὸς αὐτόν, ἀλλὰ τῷ ἡγεμονικῷ τῆς αὐτοῦ ψυχῆς ἀλαλήτως ἐνετυπώθησαν.

5. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι·

Ὡς ἑτέρου δῆθεν ὄντος.

5. Ὑπὲρ ἐμαυτοῦ (*) οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.

Ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι ἐν τοῖς τοιούτοις· σφαλερὸν γάρ, ὡς εἴρηται, καὶ κομπηρόν, εἰ μὴ ἐν τοῖς πειρασμοῖς μου καυχήσομαι, ὡς ἀνωτέρω δεδήλωκεν· ἀσφαλέστερον γὰρ τοῦτο καὶ ὠφελιμώτερον τοῖς ἀκούουσιν· ἐκεῖνο γὰρ καὶ σκανδαλίζειν οἶδε πολλοὺς καὶ πλήττειν.

6. Ἐὰν γὰρ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ.

Ἐὰν γὰρ καὶ θελήσω, φησί, καυχήσασθαι ἐπὶ τοιούτοις, οὐκ ἔσομαι ἄφρων, ὡς οἱ ψευδόμενοι καὶ κομπάζοντες· ἀληθεύσω γάρ. Ὥστε κυρίως ἀφροσύνη ἐστὶν ἐπὶ τῆς καυχήσεως, ἡ ἐπὶ ψευδέσι καύχησις· ἡ δὲ ἐπ' ἀληθέσι καύχησις δοκεῖ μὲν ἀφροσύνη καὶ αὕτη, οὐκ ἔστι δέ. Παραιτητέα δὲ καὶ αὕτη διὰ τὸ φορτικὸν καὶ διὰ τὰς προρρηθείσας ἄλλας αἰτίας.

7. Φείδομαι δὲ μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει (**) ἢ ἀκούει τι ἐξ ἐμοῦ.

Αὕτη ἡ ἀληθὴς αἰτία τῆς σιωπῆς τῶν θείων ὀπτασιῶν καὶ ἀποκαλύψεων, ἵνα μή τις λογίσηται αὐτὸν ὑπὲρ ἄνθρωπον. Φαίνεται γὰρ ἐντεῦθεν ὅτι καὶ ἄλλων πλειόνων τοιούτων ἠξιώθη· καὶ γὰρ καὶ θεὸν ἐνόμισαν αὐτὸν εἶναι οἱ Λυκάονες διὰ τὸ μέγεθος τῶν σημείων (α). Λέγει δὲ ὅτι φείδομαι ὑμῶν, μή ποτέ τις εἰς ἐμὲ νομίσῃ, τουτέστι περὶ ἐμοῦ, ὑπὲρ ὃ βλέπει ὄντα με. Βλέπει μὲν γὰρ ἄνθρωπον πειρασμοῖς καὶ πάθεσιν ὑποκείμενον, καὶ ἀκούει διδάσκοντα ἃ μεμάθηκα, καὶ οὐδὲν ἴδιον. Ὁ τοίνυν πρὸ δεκατεσσάρων ἐτῶν τηλικοῦτος, ἡλίκος ἄρα ἦν ὅτε ταῦτα ἔγραφεν; Καὶ ὁ ἐν τοσούτοις ἔτεσι τὰ τοιαῦτα σιωπήσας διὰ μετριοφροσύνην οὐκ ἂν οὐδὲ νῦν ἐξεῖπεν, εἰ μή, ὡς δεδήλωται πολλάκις, ἀνάγκην εἶχεν ἐπικειμένην, ἵνα τῶν ψευδαπο-

---

(*) Ἐν ἄλλ. «ὑπὲρ ἐμαυτοῦ δέ», ἢ (ὡς καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἑρμηνείᾳ) «ὑπὲρ » δὲ ἐμαυτοῦ».— (**) Ἐν ἄλλ. «βλέπει με». Ἣν γραφὴν φαίνεται ὅτι εἶχεν ὑπ' ὄψιν καὶ ὁ Συγγραφεὺς γράφων ἐν τῇ ἐξηγήσει· «μή ποτέ τις εἰς ἐμὲ νομίσῃ· τουτέστι περὶ » ἐμοῦ, ὑπὲρ ὃ *βλέπει ὄντα με*». — (α) Πράξ. ιδ', 13.

στόλων ἀποστάντες οἱ Κορίνθιοι τῷ τηλικούτων ἀξιωθέντι προςέχοιεν, ὡς οὐρανοφοίτῃ καὶ τῆς ἀληθείας κήρυκι.

7. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν,

Καὶ τὸ μέγεθος τῶν ἀποκαλύψεων, καὶ τὴν ὑπεροχὴν τῆς γνώσεως τῶν μυστηρίων (α), ἐδόθη μοι σκόλοψ τῇ σαρκί· τουτέστι συνεχωρήθη δοθῆναι· οὐ γὰρ ὁ Θεὸς αὐτὸν ἔδωκεν αὐτῷ, ἀλλὰ παρεχώρησεν ἐπενεχθῆναι. Σκόλοπα δὲ τῆς σαρκὸς λέγει τοὺς πειρασμούς, τὰς θλίψεις, τὰς τιμωρίας, ἃ τῆς σαρκὸς ἁπτόμενα καθικνεῖσθαι τῆς ψυχῆς οὐκ ἠδύναντο. «Ἄγγελον δὲ ταῦτα Σατᾶν» (β), ὡς ὑπηρετοῦντα τῷ δαίμονι, παρ' οὗ καὶ ἐπήγοντο· Σατᾶν γὰρ ὁ ἀντικείμενος ἑρμηνεύεται. Ὁ δὲ Χρυσόστομος (γ) ἄγγελον Σατᾶν λέγει πάντα ἀντικείμενον τῷ Ἀποστόλῳ καὶ ἐμποδίζοντα τῷ τούτου κηρύγματι· οἷος ἦν Ἀλέξανδρος ὁ χαλκεὺς καὶ οἱ περὶ Ὑμέναιον καὶ Φιλητόν (δ). Πᾶς δὲ ὁ τοιοῦτος ἄγγελός ἐστι Σατᾶν, ὡς διάκονος τοῦ ἀντικειμένου δαίμονος τῷ ὑπουργεῖν αὐτῷ καὶ ἐπεγείρειν πειρασμοὺς καὶ θλίψεις καὶ κακώσεις τῆς σαρκός.

7. Ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι.

Τοῦτο αἰτία τοῦ σκόλοπος. Ἵνα με πλήττῃ, φησίν, ὥςτε συστέλλεσθαι καὶ μὴ ὑπεραίρεσθαι.

8. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ.

Τὸ «τρὶς» ἀντὶ τοῦ πολλάκις. Καὶ τοῦτο δὲ πολλῆς ταπεινοφροσύνης, τὸ ἐξαγγέλλειν ὅτι πάσχων ἔκαμνε καὶ ἐδεῖτο ὑπὲρ ἀπαλλαγῆς.

9. Καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου·

(α) Σημειωτέον ἐνταῦθα ὅτι αἱ λέξεις «καὶ τὸ μέγεθος—τῶν μυστηρίων» οὐκ ἔχουσι τὸ πρὸς ὃ συντακτικῶς ἀποδίδονται ῥῆμα· ἔτι δὲ ὅτι ἐν τῇ ἐξηγήσει λείπει καὶ ἡ ἑρμηνεία τῶν ἐν τῷ κειμένῳ λέξεων· «ἵνα μὴ ὑπεραίρωμαι», τοῦθ' ὅπερ σπανιώτατα συμβαίνει τῷ Συγγραφεῖ. Ἐκ τούτων εἰκάσειέ τις ὅτι ἐξ ἀμελείας τοῦ ἀντιγραφέως παρελείφθησαν στίχοι τινές.— (β) Ἀπὸ κοινοῦ τὸ «λέγει».— (γ) Ἐν λ. Τόμ. Ι', Ὁμιλ. Κς', σελ. 578. — (δ) Α' Τιμ. ά, 20. Β', β', 17. δ', 14.

Ὅτι νεκροὺς ἐγείρεις, ὅτι τυφλοὺς φωτίζεις, ὅτι τὰ ἄλλα θαυματουργεῖς, μὴ ζήτει καὶ τὸ ἀκινδύνως καὶ χωρὶς πραγμάτων κηρύσσειν· τοῦτο γὰρ περιττόν, ἀρκούσης ἐκείνης. Ἀλλὰ ἀλγεῖς καὶ ἀθυμεῖς μὴ δόξω τισὶν ἀσθενὴς τῷ μὴ ἐνισχύειν τοὺς Ἀποστόλους μου; τοῦτο μὲν οὖν αὐτὸ τὴν ἐμὴν δύναμιν δεικνύει.

9. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.

Ἡ γὰρ ἐμὴ δύναμις ἐν ἀσθενείᾳ τῇ ὑμετέρᾳ τελείως δείκνυται, ὅταν ἀσθενοῦντες ἐν τῷ κακοπαθεῖν καὶ ταλαιπωρεῖσθαι περιγίνησθε τῶν κακούντων καὶ ταλαιπωρούντων ὑμᾶς, ὅταν οἱ ἀσθενεῖς ὑμεῖς κρατῆτε τῶν ἰσχυρῶν ἐκείνων. Τότε γὰρ ἀναντιρρήτως ἡ ἐμὴ δύναμις διαλάμπει.

9. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου,

Ἐκεῖνο οὖν ἀκούσας ἀπὸ τοῦ Κυρίου καὶ παρηγορηθείς, λοιπὸν ἡδέως καυχήσομαι καὶ ἔτι ἐν ταῖς ἀσθενείαις μου.

9. Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Ἡ ἐν ἀσθενείαις, ὡς εἴρηται, τελειουμένη, ἵνα πλείονα ταύτην ἐπισπάσωμαι. Ὅσῳ γὰρ τὰ τῶν πειρασμῶν ἐπιτείνεται, τοσούτῳ τὰ τῆς χάριτος αὔξεται.

10. Διὸ εὐδοκῶ ἐν ἀσθενείαις,

«Εὐδοκῶ» ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχω ἀσθενεῖν, εὐαπόδεκτον ἡγοῦμαι τὸ πάσχειν. Εἶτα συνοπτικῶς λέγει καὶ τὰ εἴδη τῶν ἀσθενειῶν·

10. Ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ Χριστοῦ·

Ταῦτα λέγει τούς τε ψευδαποστόλους αἰσχύνων, ὡς καυχωμένους μᾶλλον ἐπὶ τῷ μὴ πάσχειν, καὶ τοὺς Κορινθίους παιδεύων μὴ αἰσχύνεσθαι τοῖς τοιούτοις παθήμασιν, οἷς μᾶλλον, ὡς κατορθώμασιν, ἐγκαλλωπίζεται. Εἶτα καὶ ἄλλην αἰτίαν τίθησιν·

10. Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

Τί θαυμάζεις εἰ τοῦ Θεοῦ ἡ δύναμις τότε δείκνυται καὶ ἐγὼ τότε

δυνατός εἰμι; Τότε γὰρ πλείονος ἀπολαύω χάριτος. Ὅτε γὰρ ἐνέπεσεν εἰς τὸ δεσμωτήριον ἐν Φιλίπποις τῇ πόλει, τότε τὰ θαυμαστὰ ἐκεῖνα ἐποίησεν (α). Ὅτε ἐναυάγησε καὶ εἰς τὴν βάρβαρον ἐξηνέχθη χώραν, τότε μάλιστα ἐδοξάσθη (β). Καὶ ἄλλα πολλὰ τοιαῦτα.

11. Γέγονα ἄφρων καυχώμενος.

« Γέγονα ἄφρων » ὅσον ἐπὶ τῷ καυχήσασθαι, οὐχ ὅσον ἐπὶ τῷ ψεύσασθαι. Γέγονα δὲ τοῦτο πρὸς τὴν ὑπόληψιν τῶν τοῦτο κρινόντων καὶ ἀγνοούντων τῆς καυχήσεώς μου τὴν αἰτίαν.

11. Ὑμεῖς με ἠναγκάσατε·

Ὑμεῖς μοι αἴτιοι τῆς τοιαύτης καυχήσεως, ἅτε προσέχοντες τοῖς ἐπὶ ψευδέσι καυχωμένοις, δι' οὓς ἠναγκάσθην καὶ αὐτός, εἰ καὶ μὴ ἐπὶ τοῖς ὁμοίοις, καυχήσασθαι.

11. Ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι·

Ὑφ' ὑμῶν μαρτυρεῖσθαι τῶν λαβόντων πεῖραν τῆς ἐμῆς πολιτείας. Ὀνειδιστικῶς δὲ τοῦτο λέγει καὶ οὐχ ὡς δεόμενος τῆς μαρτυρίας αὐτῶν.

11. Οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπὲρ λίαν Ἀποστόλων,

Ἄνω μὲν εἶπεν ὅτι « λογίζομαι μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν » Ἀποστόλων » (γ). Ἐνταῦθα δὲ τὸ «λογίζομαι» παρείς, θαρρῶν λέγει ὅτι « οὐδὲν ὑστέρησα ». Παρρησιάζεται γὰρ μετὰ τὰς ἀποδείξεις. Εἶτα πάλιν συστέλλεται·

11. Εἰ καὶ οὐδέν εἰμι· τὰ μὲν σημεῖα τοῦ Ἀποστόλου κατειρ-
12. γάσθη ἐν ὑμῖν,

Εἰ καὶ εὐτελής εἰμι καὶ μικρός, καὶ τὸ ἔτι κατώτερον, καὶ ὅσα εἰκὸς Ἀπόστολον ποιῆσαι, πεποίηκα. Ὥσπερ οὖν οὐδὲν ὄφελος μέγαν ὄντα μηδένα ὠφελεῖν, οὕτως οὐδὲν βλάβος μικρὸν ὄντα πάντας ὠφελεῖν καὶ μεγάλα εὐεργετεῖν.

12. Ἐν πάσῃ ὑπομονῇ,

Τῇ τῶν ποικίλων καὶ ἀλλεπαλλήλων πειρασμῶν, οὓς ὑπέμεινα.

(α) Πράξ. ιϛ', 26-28. — (β) Αὐτόθ. κή, 8. 9. — (γ) Β' Κορινθ. ια', 5.

12. Ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι.

Διαφόροις ὀνόμασιν ἐμφαίνει τὰς διαφόρους θαυματουργίας. Τινὲς δὲ σημεῖα μὲν λέγουσιν ἐπὶ τοῦ παρόντος τὰς θεραπείας τῶν πολυτρόπως ἀσθενούντων. Τέρατα δὲ τὰς λίαν ὑπερφυεῖς παραδοξοποιίας· οἷον ἀναστάσεις νεκρῶν, ὡς ἐπὶ τοῦ κατακρημνισθέντος ἀπὸ τοῦ τριστέγου (α), καὶ εἴ τι τοιοῦτον. Δυνάμεις δὲ τὰς κολαστικὰς τῶν ἀξίων τιμωρίας, ὡς ἐπὶ τοῦ πηρωθέντος Ἐλύμα τοῦ μάγου (β) καὶ τοῦ πεπορνευκότος καὶ παραδοθέντος τῷ Σατανᾷ (γ).

13. Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς Ἐκκλησίας;

Ποῖόν ἐστι χάρισμα, καθ' ὃ ἠλαττώθητε παρὰ τὰς λοιπὰς Ἐκκλησίας τῷ μὴ λαβεῖν ὑμᾶς αὐτό; Τίνος ἐκεῖναι μὲν ἀπήλαυσαν, ὑμεῖς δὲ ὑστερήθητε;

13. Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν;

Εἰ μήπως ἥττημαι ὑμῶν δόξει ὅτι οὐ κατενάρκησά τινος, ὡς καὶ ἀνωτέρω εἴρηται; (δ) Εἰρωνικὸν δὲ τοῦτο καὶ βαρύτητος.

13. Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην.

Συγχωρήσατέ μοι τὴν ἁμαρτίαν ταύτην, εἴ γε καὶ ἁμαρτία ἐστίν, εἰ ἔγκλημα δοκεῖ. Ταῦτα δὲ ἔλεγε καὶ πλήττων καὶ θεραπεύων. Καὶ ὀνειδίζει μὲν αὐτοῖς, ὡς ἀμεταδότοις, ὅσον εἰς αὐτόν, ὅπερ καὶ ἀνωτέρω πεποίηκε· θεραπεύει δὲ πανταχοῦ τὸν λόγον, ἐφ' ἑαυτὸν μεθιστῶν τὴν αἰτίαν, ὡς μὴ θέλοντα λαβεῖν. Ἵνα δὲ μή, συνεχῶς τὸ μὴ λαβεῖν στρέφων, δόξῃ τοῦτο ποιεῖν ὑπὲρ τοῦ λαβεῖν, θεραπεύει καὶ τὴν ὑπόνοιαν ταύτην, ὅπερ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ πεποίηκεν (ε).

14. Ἰδού, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς,

Οὐκ ἐπειδὴ μὴ λαμβάνω διὰ τοῦτο οὐκ ἔρχομαι· δὶς γὰρ παρεγενόμην, καὶ ἰδού, τρίτον τοῦτο παρεσκεύασμαι ἐλθεῖν πρὸς ὑμᾶς.

14. Καὶ οὐ καταναρκήσω.

(α) Πράξ. κ', 9. — (β) Αὐτόθ. ιγ', 8. — (γ) Α' Κορινθ. ε', 5. — (δ) Β' Κορινθ. ια', 8. — (ε) Τὸ «ὅπερ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ πεποίηκεν» ἀναφέρεται ἴσως εἰς τὰ ἐν κεφ. ϛ', 1. 2. 3. τῆς Α' Κορινθ.

Οὐ καταρραθυμήσω τινός. Ἢ οὐ καταβαρήσω τινὰ δαπανῶν ἐκ τῶν αὐτοῦ.

14. Οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς·

Μείζονα ἐπιζητῶ· ψυχάς, οὐ χρήματα. Εἶτα καὶ ὑπεραπολογεῖται αὐτῶν σεμνοπρεπῶς, ἵνα μὴ δόξαντες σμικρολόγοι καὶ φειδωλοὶ καταισχυνθεῖεν.

14. Οὐ γὰρ ὀφείλει τὰ τέκνα θησαυρίζειν τοῖς γονεῦσιν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις.

Εἰ γὰρ ἐγὼ μὲν πατήρ, ὡς διδάσκαλος, ὑμεῖς δὲ τέκνα, ὡς μαθηταί, οὐκ ὀφείλετε ὑμεῖς χρήματα συλλέγειν ἐμοί, ἀλλ' ἐγὼ ὑμῖν. Εὐλόγως οὖν οὐ λαμβάνω ἀφ' ὑμῶν.

15. Ἐγὼ δὲ ἥδιστα δαπανήσω,

Εἰς ὑμᾶς δηλονότι, ὡς πατὴρ εἰς τέκνα. «Δαπανήσω» δέ, εἰ βούλεσθε, ἢ πόνῳ χειρῶν, ἢ ἀφ' ὧν ἄλλοι μοι διδόασιν.

15. Καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν·

Καὶ ἀποθανοῦμαι ὑπὲρ τῆς σωτηρίας ὑμῶν, εἰ τοῦτο δεήσει.

15. Εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι.

Ὀνειδιστικὸν καὶ τοῦτο, καὶ εἰς πλείονα ἀγάπην ἐπισπᾶσθαι δυνάμενον.

16. Ἔστω δέ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ἀλλὰ ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον.

Ἔστω, φησί· συγχωρείσθω ὡς ἀληθὴς ἡ ἀντίθεσις τῶν ψευδαποστόλων, καίτοι μὴ οὖσα ἀληθής· ὅτι ἐγὼ οὐκ ἔλαβον ἀφ' ὑμῶν, ἀλλὰ ὑπάρχων ἀπατεὼν δόλῳ ὑμᾶς μετεχειρισάμην, δι' ἐμαυτοῦ μὲν μὴ λαβών, διὰ τῶν πεμφθέντων δὲ πρὸς ὑμᾶς παρ' ἐμοῦ λαβὼν ἀφ' ὑμῶν. Εἶτα ἐρωτᾷ εἴ τι ἔλαβον παρ' αὐτῶν οἱ ἀποσταλέντες·

17. Μή τινα, ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς;

Ἆρά τινα, ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, ἀποστείλας δολερῶς, δι' αὐ-

τοῦ ἐπλεονέκτησα ὑμᾶς; τουτέστι διὰ μέσου αὐτοῦ χρήματα ἀφειλόμην ἀφ' ὑμῶν; «Ἐπλεονέκτησα» δὲ εἶπεν, ὡς οὐχ ἑκουσίως παρεχόντων.

18. Παρεκάλεσα Τίτον,

Ὅτε ἀπέστειλα τοῦτον πρὸς ὑμᾶς εἰς ἐπίσκεψιν ὑμῶν. «Παρεκά-» λεσα» δὲ εἶπεν, ἐμφαίνων, ὡς εἴ γε καὶ ἐδώκατε αὐτῷ, εὐλόγως ἂν ἐδώκατε, ὑπὲρ ὑμῶν κόπον ἀναδεξαμένῳ. Ἀλλὰ μὴν οὐκ ἐδώκατε.

18. Καὶ συναπέστειλα τὸν ἀδελφόν·

Τὸν συνελθόντα αὐτῷ (α).

18. Μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος;

Ἆρα κατά τι ἐβάρησεν ὑμᾶς ὁ Τίτος; Εἰ δὲ οὐχ οὗτος, δῆλον ὡς οὐδὲ ὁ σὺν αὐτῷ. Πάλιν δὲ τὸ «ἐπλεονέκτησεν».

18. Οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν;

Καὶ τοῦτο καὶ τὸ ἐφεξῆς κατ' ἐρώτησιν πάλιν. Οὐ τῷ αὐτῷ χαρίσματι τοῦ μὴ λαμβάνειν ἀφ' ὑμῶν ἐγώ τε κἀκεῖνοι περιεπατήσαμεν; Καὶ τοῦτο γὰρ τῆς τοῦ Κυρίου χάριτος, τὸ ἐνδεῶς ἔχοντας μὴ λαμβάνειν, ἵνα μὴ τοὺς μαθητευομένους βαρήσωμεν.

18. Οὐ τοῖς αὐτοῖς ἴχνεσι;

Τῇ αὐτῇ ὁδῷ· τῷ αὐτῷ κανόνι;

19. Πάλιν δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα;

Κατ' ἐρώτησιν. Κἀντεῦθεν πάλιν ὑπολαμβάνετε ὅτι ὑμῖν ἀπολογούμεθα ὑπὲρ ἑαυτῶν; ἤγουν ὅτι συνιστῶμεν ἑαυτοὺς ὑμῖν, ἵνα κολακεύσωμεν καὶ θωπεύσωμεν;

19. Κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν·

Τοῦ Θεοῦ ἀκούοντος λαλοῦμεν ἃ εἰρήκαμέν τε καὶ ἐροῦμεν. Λαλοῦμεν δὲ ἐν Χριστῷ, τουτέστιν εὐαρέστως Χριστῷ. Οὐκ ἔστι δὲ τὸν

(α) Ἔστι δ' οὗτος ὁ Βαρνάβας, καθ' ἃ ἀνωτ. (κεφ. η', 18) εἴρηται τῷ Συγγραφεῖ·

ἐνώπιον τοῦ Θεοῦ εὐαρέστως Χριστῷ λαλοῦντα κολακεύειν καὶ δολιεύεσθαι.

19. Τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.

Πράττομεν δηλονότι καὶ λέγομεν. Ὥςτε καὶ μὴ λαμβάνοντες ἀφ᾽ ὑμῶν, ὑπὲρ τῆς ὑμῶν ὠφελείας οὐ λαμβάνομεν, καὶ γράφοντες ὑπὲρ ἑαυτῶν, ἵνα ὑμεῖς ὠφεληθῆτε γράφομεν, οὐχ ἵνα δόξαν ἑαυτοῖς περιποιησώμεθα.

20. Φοβοῦμαι γάρ, μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς,

Φοβοῦμαι μήπως εὕρω ὑμᾶς ἀδιορθώτους. Καὶ διὰ τοῦτο οὖν γράφω καὶ προδιαμαρτύρομαι.

20. Κἀγὼ εὑρεθῶ ἡμῖν οἷον οὐ θέλετε·

Ἀδιορθώτους γὰρ εὑρὼν κἀγὼ εὑρεθῶ ὑμῖν κολαστής. Τὸ μὲν οὖν « εὕρω » ἐμφαντικόν ἐστι τοῦ παρὰ προςδοκίαν· τὸ δὲ « εὑρεθῶ » τοῦ παρὰ τὴν ἐμαυτοῦ προαίρεσιν, ὑμῶν αἰτίων γινομένων.

20. Μήπως ἔρις,

Εὑρεθείη ἐν ὑμῖν δηλαδή. Λέγει δὲ τὴν εἰς ἀλλήλους φιλονικίαν.

20. Ζῆλοι, φθόνοι, θυμοί, ἐριθεῖαι,

« Ἐριθεία » λέγεται παρὰ τῷ Ἀποστόλῳ μὲν ἡ ἀμυντικὴ φιλονικία. Παρὰ δὲ τοῖς ἔξω ἡ ἐριουργία, ἐξ οὗ καὶ συνέριθος ὁ συνεργός (α).

20. Καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις, ἀκαταστασίαι·

Καταλαλιὰ μέν ἐστιν ἡ φανερὰ κατηγορία· ψιθυρισμὸς δὲ ἡ λαθραία.

21. Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς,

(α) Βασίλ. ὁ μέγ. ἐν Ὅρ. κατ᾽ ἐπιτομ. Ἐρώτ. ΞϚ΄ (Τόμ. Γ΄, σελ. 1129)· « Ἔρις » μέν ἐστιν, ὅταν τις ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναί τινος σπουδάζῃ ποιεῖν τι· ἐριθεία » δὲ τὸ ἐξ ὧν ποιεῖ τις ἐπιδεικτικῶς ἢ κενοδόξως προκαλεῖσθαι καὶ ἐρεθίζειν ἄλλους εἰς » τὰ ὅμοια ».

Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεός, τουτέστι λυπήσῃ, ἤγουν παραχωρήσῃ λυπηθῆναι, ὅπερ διὰ τοῦ ἐφεξῆς ἐσαφήνισεν. Καὶ ἐπὶ τοῦ παρόντος δὲ ῥητοῦ καὶ ἐπὶ τοῦ προρρηθέντος τὸ « φοβοῦμαι » συνεξακούεται. « Ὁ Θεός μου » δὲ εἶπε, τὴν εἰς αὐτὸν πεποίθησιν ἐνδεικνύμενος, κἀντεῦθεν πλέον φοβῶν.

21. Καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν.

Κολάσας γὰρ αὐτοὺς ἔτι καὶ πενθήσω· τὸ μέν, ἵνα τὴν τοῦ κολάζειν δύναμιν ἐνδείξωμαι· τὸ δέ, ἵνα καὶ τὴν συμπάθειαν ἐπιδείξωμαι. « Πολλοὺς δὲ τῶν προημαρτηκότων » ἀντὶ τοῦ πολλοὺς προημαρτηκότας· οὐ γάρ τινας μὲν ἔμελλε πενθεῖν, τινὰς δὲ μὴ πενθεῖν τῶν ἀδιορθώτων. « Ἀκαθαρσίαν » μὲν οὖν λέγει πᾶσαν ἁμαρτίαν οἱανδήποτε (πᾶσα γὰρ μολύνει τὴν ψυχήν)· « πορνείαν » δὲ αὐτήν τε ταύτην καὶ τὴν μοιχείαν· « ἀσέλγειαν » δὲ τὴν ἄλλην αἰσχρὰν ἀκολασίαν.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ

1. Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς·

Πάλιν προδιαμαρτύρεται.

1. « Ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν »ῥῆμα» (α).

Νόμος τοῦτο παλαιός, διδάσκων ὅτι λαλούντων δύο καὶ τριῶν μαρτύρων, τουτέστι μαρτυρούντων δύο ἢ τριῶν, βεβαιωθήσεται πᾶν ῥῆμα

(α) Δευτερον. ιθ', 15.

μαρτυρούμενον ὑπ' αὐτῶν. Εἶτα τίθησιν ἀντὶ τριῶν μαρτύρων τάς τε δύο παρουσίας αὐτοῦ καὶ τὴν διὰ τῆς παρούσης ἐπιστολῆς παραγγελίαν.

2. Προείρηκα καὶ προλέγω,

Προδιεμαρτυράμην δὶς διὰ τῶν δύο μου παρουσιῶν, καὶ προδιαμαρτύρομαι τρίτον ἔτι διὰ τῆς παρούσης ἐπιστολῆς.

2. Ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν,

Προδιεμαρτυράμην τὸ δεύτερον· ἤγουν δίς, ὡς παρών, ὡς παραγενόμενος ὑμῖν. Καὶ τὸ τρίτον προδιαμαρτύρομαι, ἀπὼν νῦν.

2. Γράφω τοῖς προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φήσομαι·

Ἀπειλεῖ καὶ τοῖς προημαρτηκόσι καὶ τοῖς ἄλλοις. Τοῖς μέν, ἵνα δέει τῆς ἀπειλῆς διορθώσωνται· τοῖς δέ, ἵνα φυλάττωνται ἢ καὶ πεσόντες ἴσως ἀνασταῖεν. « Οὐ φείσομαι » δὲ ἀντὶ τοῦ οὐ μακροθυμήσω, ὥςπερ ἄχρι τοῦ νῦν.

3. Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ,

Τὸ μὲν ἀκόλουθον ἦν εἰπεῖν· « ἐπεὶ δοκιμὴν ζητεῖτε τῶν ἐμῶν »ἀπειλητικῶν λόγων»· ἔλεγον γὰρ οἱ ψευδαπόστολοι, ὅτι οὐδὲν ἰσχύει πλέον τοῦ ἀπειλεῖν. Οὐκ εἶπε δὲ οὕτως, ἀλλ' ἐπὶ τὸν Χριστὸν μετέστησε τὴν δοκιμήν, δεικνὺς ὅτι ὁ Χριστὸς ἐν αὐτῷ λαλεῖ, καὶ δι' αὐτοῦ ἀπειλεῖ, καὶ ὁ ζητῶν πεῖραν τῆς ἀπειλῆς αὐτοῦ, ζητεῖ πεῖραν τῆς ἀπειλῆς τοῦ Χριστοῦ. Βαρὺς δὲ ὁ λόγος, καὶ φοβερωτέραν ποιῶν τὴν ἀπειλήν.

3. Ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν.

Ἀλλὰ δύναται ἐν ὑμῖν. Δριμέα δὲ καὶ ταῦτα καὶ σφόδρα καθικνούμενα. Ὁ γὰρ παντοδύναμος δύναται πάντως καὶ καθ' ὑμῶν. Μὴ τοίνυν τὴν ἀνοχὴν αὐτοῦ ἀσθένειαν κρίνετε. Ἢ τὸ « ἐν ὑμῖν » εἶπεν ἀναμιμνήσκων αὐτοὺς τῆς τοῦ πεπορνευκότος κολάσεως.

4. Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.

Εἰ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας σαρκικῆς, ὡς ἐνανθρωπήσας καὶ σάρκα παθητὴν ἀναλαβών, ἀλλά γε ζῇ πάλιν κατ' αὐτὴν ἐκ δυνάμεως Θεοῦ, ἢ τοῦ Πατρός, ἢ ἑαυτοῦ κατὰ τὴν θεότητα. Ἢ καὶ ἄλλως· «εἰ ἐσταυρώθη ἐξ ἀσθενείας», ὡς οἱ ἄπιστοι καὶ ὑπολαμβάνουσι καὶ λέγουσιν. Ὥςπερ οὖν ἡ ζωὴ τὸν θάνατον ἀπέκρυψεν, οὕτω καὶ ἡ δύναμις τὴν ἀσθένειαν.

4. Καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ,

Πάσχομεν δι' αὐτόν, καὶ διὰ τοῦτο ἀσθενεῖς νομιζόμεθα.

4. Ἀλλὰ ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.

Ἀλλ' ἐκ δυνάμεως Θεοῦ, τουτέστι τοῦ Πατρός. «Σὺν αὐτῷ», ἤγουν σὺν τῇ δυνάμει τοῦ Υἱοῦ (περὶ τούτου γὰρ ὁ λόγος) ζησόμεθα ἔτι. Τὸ δὲ «εἰς ὑμᾶς» ἀντὶ τοῦ δι' ὑμᾶς, διὰ τὴν ὑμετέραν ὠφέλειαν, ἢ διὰ τὴν ὑμετέραν κόλασιν, ἵνα λάβητε πεῖραν καὶ τῆς ἐντεῦθεν δυνάμεως ἡμῶν.

5. Ἑαυτοὺς πειράζετε, εἰ ἐστε ἐν τῇ πίστει,

Προςτακτικόν ἐστι τὸ «πειράζετε»· παρακελεύεται γὰρ ἐξετάζειν ἑαυτοὺς καὶ δοκιμάζειν, εἰ ἐν τῇ πίστει εἰσίν, εἰ φυλάττουσιν αὐτὴν ἀκεραίαν· εὑρήσουσι γὰρ καὶ ἑαυτοὺς ἔχοντας τὸν Χριστὸν τῇ πίστει συνερχόμενον καὶ διὰ τῶν ὀρθῶς πιστευόντων θαυματουργοῦντα.

5. Ἑαυτοὺς δοκιμάζετε·

Τοῦτο σαφηνισμός ἐστι τοῦ προλαβόντος.

5. Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς ὅτι (*) Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν· εἰ μή τι ἀδόκιμοί ἐστε (**).

Ἢ οὐκ ἐπιγινώσκετε τὸ ἑαυτῶν ἀξίωμα, ὅτι ὁ Χριστὸς ἐν ὑμῖν ἐστιν· εἰ μή που ἀδόκιμοί ἐστε, παραφθείραντες τὴν πίστιν καὶ διαφθείραντες τὴν πολιτείαν, ἧς ἀντεποιεῖσθε προκόπτοντες.

(*) Τὸ χειρόγραφον «ὅτε»· ὃ εἰς «ὅτι» μετετρέψαμεν, καὶ διότι οὐδὲν τῶν ἡμῖν γνωστῶν ἀντιγράφων τὴν τοιαύτην ἔχει γραφήν, καὶ διότι αὐτὸς ὁ Συγγραφεὺς ἐν τῇ τοῦ ῥητοῦ ἐξηγήσει «ὅτι» γράφει. — (**) Κοινῶς κατ' ἐρώτησιν τὸ ἐδάφιον τοῦτο, τοῦ ἐρωτηματικοῦ σημείου τιθεμένου εἴτε εἰς τὸ «ἐν ὑμῖν ἐστιν», εἴτε εἰς τὸ «ἐστέ». Ἀλλ' ὁ Συγγραφεὺς ἄν.υ τοῦ ἐρωτηματικοῦ καὶ γράφει καὶ ἑρμηνεύει τὸ ῥητόν.

6. Ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὔκ ἐσμεν ἀδόκιμοι.

Γνώσεσθε ὅτι οὔκ ἐσμεν ἀδόκιμοι τῷ μένειν ἐν τῇ πίστει καὶ ἔχειν ἐν ἑαυτοῖς τὸν Χριστὸν λαλοῦντα καὶ ἐνεργοῦντα δι' ἡμῶν. Γνώσεσθε δὲ τοῦτο διὰ τοῦ κολάζεσθαι τοὺς ἐν ὑμῖν ἀδιορθώτους.

7. Εὔχομαι δὲ πρὸς τὸν Θεόν, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν.

Διορθωθέντων πάντων καὶ εὑρισκομένων, ὅταν ἔλθω, ἀκαταγνώστων καὶ οὕτω διὰ τῆς ἐπιστροφῆς ἀποστρεφόντων τὴν ἐπίδειξιν τῆς ἡμετέρας ἐν τῷ κολάζειν δυνάμεως.

7. Οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν,

Οὐκ εὔχομαι ἵνα ἡμεῖς δόκιμοι φανῶμεν κολάζοντες τοὺς ἐν ὑμῖν ἀδιορθώτους, οὐδ' ἀπὸ τούτου δοξάζεσθαι βουλόμεθα.

7. Ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε,

Καὶ μὴ κολασθῆτε παρ' ἡμῶν, ὡς τὸ κακὸν ἐργαζόμενοι.

7. Ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.

Μὴ ἐπιδειξάμενοι τὴν ἐν τῷ κολάζειν δύναμιν ἡμῶν, ὡς προείρηται· οὐδὲν γὰρ ἡμῖν μέλει τούτου. Βέλτιον γὰρ ἀδοκίμους ἡμᾶς ἐν τῷ μέρει τούτῳ λογισθῆναι καὶ ἀδυνάτους κολάζειν ὑποπτευθῆναι, διορθωθέντων ὑμῶν, ἤ, μενόντων ἀνιάτων, δοκίμους φανῆναι καὶ δυνατοὺς ἐν τῷ κολάζειν ὑμᾶς.

8. Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας,

Ἐὰν εὕρωμεν ὑμᾶς δι' εὐαρεστήσεως παρρησίαν ἔχοντας πρὸς Θεόν, οὐ δυνάμεθα καθ' ὑμῶν, οὐδὲ εἰ βουλοίμεθα· οὐ γὰρ δυνάμεθά τι κολαστικὸν κατὰ τῆς ἀληθοῦς πολιτείας, κατὰ τῶν ὀρθῶς βιούντων.

8. Ἀλλ' ὑπὲρ τῆς ἀληθείας.

Εἰς τοῦτο γὰρ ἐλάβομεν τὴν κολαστικὴν δύναμιν, εἰς τὸ συνιστᾶν καὶ συγκροτεῖν τὴν εὐσέβειαν· ὥστε διὰ τοῦ κολάζειν ἐπιστρέφειν τοὺς ἠπατημένους ὑπὸ τῆς ἁμαρτίας καὶ ἐπανάγειν εἰς τὴν ἀλήθειαν.

9. Χαίρομεν γάρ, ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε,

Ὅταν ἡμεῖς μὲν ἀσθενεῖς δοκῶμεν τῷ μὴ ἐπιδείκνυσθαι τιμωρητὴν δύναμιν, ὑμεῖς δὲ δυνατοὶ ἦτε τῷ διὰ τῆς ὀρθῆς πολιτείας ἀποπέμπεσθαι πᾶσαν τιμωρίαν.

9. Τοῦτο δὲ καὶ εὐχόμεθα,

Ποῖον τοῦτο;

9. Τὴν ὑμῶν κατάρτισιν.

Οὐ μόνον χαίρομεν, εἰ καὶ ἀσθενεῖς δοκοῦμέν τισιν, ὡς εἴρηται, ἀλλὰ καὶ εὐχόμεθα τὴν ὑμετέραν τελείωσιν ἐν ἔργῳ καὶ λόγῳ καὶ βίῳ καὶ δόγμασιν.

10. Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι κατὰ τὴν ἐξουσίαν, ἣν ὁ Κύριος ἔδωκέ μοι

Ἐπειδὴ πολλὰ ἔγραψεν ἐπαινῶν, καθαπτόμενος, ὀνειδίζων, ἐντρέπων, ἀπειλῶν, ἐκφοβῶν, παντοιοτρόπως ἐνάγων εἰς διόρθωσιν, διὰ τοῦτο, φησί, ταῦτα πάντα ἀπὼν γράφω, ἵνα, βελτιωθέντων ὑμῶν, μὴ ἀποτόμως χρήσωμαι ὑμῖν, ἐλθὼν καὶ παρών· βούλομαι γὰρ ἐν γράμμασι κεῖσθαι τὴν ἀπειλήν, ἀλλὰ μὴ ἐν πράγμασιν. Εἰπὼν δὲ ὅτι «κατὰ τὴν ἐξουσίαν, ἣν ὁ Κύριος ἔδωκέ μοι», φοβερώτερον τὸν λόγον ἐποίησεν, ἐμφήνας ὅτι ἐκεῖνός ἐστιν ὁ μέλλων κολάζειν.

10. Εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν.

Ἔδωκέ μοι δὲ ταύτην εἰς σύστασιν τῆς Ἐκκλησίας, ἀλλ' οὐκ εἰς καθαίρεσιν· οὐχ ἵνα κολάζω τοὺς ὀρθῶς ἔχοντας (τοῦτο γὰρ καθαιροῦντος)· ἀλλὰ τοὺς ἀνίατα πλημμελοῦντας, ὥστε διὰ τούτου συσφίγγεσθαι τοὺς ἄλλους καὶ συνέχεσθαι εἰς εὐσέβειαν.

11. Λοιπόν, ἀδελφοί, χαίρετε,

Ποιοῦντες ἅπερ ἐνετειλάμην, καὶ διορθούμενοι.

11. Καταρτίζεσθε,

Τελειοῦσθε, ἀναπληροῦντες τὰ ἐλλείποντα.

11. Παρακαλεῖσθε,

Παρηγορεῖσθε διὰ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς καὶ διὰ συνειδότος ἀκαταγνώστου, δι' ὧν εὐθυμία γίνεσθαι εἴωθεν. Ἢ καὶ «παρα-» καλεῖσθε» ὑπ' ἀλλήλων ἐν τοῖς ἐπερχομένοις πειρασμοῖς.

11. Τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε·

Ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν καὶ μὴ εἰρηνεύειν· ὅταν ἐν τοῖς δόγμασι συμβαίνοντές τινες διαστασιάζωσιν ἐν τοῖς πρὸς ἀλλήλους (α).

11. Καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

Τὸ «ἔσται» ἢ προφητεύοντός ἐστιν, ὅτι ἐχόντων ὡς εἴρηκεν, ἔσται ὁ Θεὸς μετ' αὐτῶν βοηθῶν τε καὶ ἀντιλαμβανόμενος· ἢ ἐπευχομένου, ἢ καὶ ἀμφότερα. Ὁ Θεὸς δὲ τῆς εἰρήνης καὶ τῆς ἀγάπης εἶπε, δεικνὺς ὅτι ταύταις ὁ Θεὸς χαίρει, ταύταις εὐφραίνεται, ταύτας οἰκειοῦται καὶ δι' αὐτῶν τοὺς κατορθοῦντας αὐτάς.

12. Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες (β).

Οἱ ἐν τοῖς τόποις, ἔνθα τηνικαῦτα διέτριβεν ὁ Ἀπόστολος.

12. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

Μὴ ὑπούλῳ καὶ δολερῷ, καθάπερ ὁ Ἰούδας τὸν Χριστὸν ἐφίλησεν, ἀλλ' ἀληθεῖ καὶ ἁγνῷ.

13. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν· ἀμήν.

Ἐπειδὴ συνῆψεν αὐτοὺς ἀλλήλοις διά τε τῶν ἀσπασμῶν καὶ τῶν φιλημάτων, κατακλείει τὸν λόγον εἰς εὐχήν, συνάπτουσαν αὐτοὺς καὶ τῷ Θεῷ. Ἐπεύχεται τοίνυν αὐτοῖς χάριν μὲν ἀπὸ τοῦ Υἱοῦ, χαριζομένου τὰ ἀγαθά· ἀγάπην δὲ ἀπὸ τοῦ Πατρός, φιλανθρωπευομένου τούτοις· κοινωνίαν δὲ καὶ μετοχὴν ἀπὸ τοῦ ἁγίου Πνεύματος. Ἐνταῦθα μὲν οὖν, ὡς καὶ ἐν ἄλλοις πολλάκις, τῶν τριῶν ὑποστάσεων ἐμνημόνευσεν, ἄλλου (γ) δὲ πολλάκις μὲν τῶν δύο μόνον, ὡς τὸ

(α) Σαφέστερον παρὰ Χρυσοστόμῳ (ἐν λ.)· «ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ » εἰρηνεύειν, ὅταν ἐν τοῖς δόγμασι συμβαίνωσί τινες, ἐν δὲ τοῖς πρὸς ἀλλήλους δια- » στασιάζωσιν». — (β) Ἐν τοῖς δοκιμωτέροις τῶν ἀντιγράφων ὁ στίχος οὗτος ἕπεται τῷ ἑπομένῳ. — (γ) Τὸ χειρόγρ. «ἀλλ' οὐδέ»· ὃ ἐκ παραδρομῆς τοῦ ἀντιγραφέως,

«ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ καὶ ἐν τῷ Πνεύ-» ματι τοῦ Θεοῦ ἡμῶν» (α), καὶ μὴν καὶ εἰς τὸν Πατέρα ἐβαπτίσθησαν· πολλάκις δὲ τοῦ ἑνὸς μόνου· Κολασσαεῦσι γὰρ ἐπιστέλλων «χάρις ὑμῖν, εἶπε, καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν» (β), καίτοι ἐν ταῖς ἄλλαις ἐπιστολαῖς προςτιθεὶς ὅτι «καὶ Κυρίου Ἰησοῦ Χρι-» στοῦ». Καὶ τοῦτο ἂν εὕροις πολλαχοῦ τῶν ἐπιστολῶν· ὅτε γὰρ σιγᾷ ἓν ἢ καὶ δύο, πολλάκις ὡς ὡμολογημένα ταῦτα παραλιμπάνει. Πάλιν δὲ . . . . ἀνατίθησιν (γ). Ἀλλαχοῦ δὲ τῷ Πατρί· «χάρις γὰρ ὑμῖν, φησίν, ἀπὸ Θεοῦ Πατρός». Καὶ αὖθις ἐνταῦθα μὲν τὴν ἀγάπην τῷ Πατρί· ἀλλαχοῦ δὲ τῷ Πνεύματι· «παρακαλῶ γάρ, » φησίν, ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ Πνεύματος» (δ). Καὶ πάλιν ἐνταῦθα μὲν τὴν κοινωνίαν, τῷ ἁγίῳ Πνεύματι, ἀλλαχοῦ δὲ τῷ Υἱῷ· «πιστὸς γάρ, φησίν, ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ » αὐτοῦ» (ε)· κοινὰ γὰρ οἶδεν ἀλλήλων ταῦτα καὶ ἀδιαφόρως κέχρηται τούτοις.

Τέλος τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς τοῦ ἁγίου Παύλου.
Ἐγράφη ἀπὸ Φιλίππων διὰ Τίτου καὶ Λουκᾶ· στίχοι φϞ'.

ἀντὶ «ἄλλου δὲ» = ἀλλαχοῦ δέ. — (α) Α' Κορινθ. ς', 11. — (β) Κολασσ. ά, 2. — (γ) Αἱ μεταξὺ τοῦ «πάλιν δὲ — ἀνατίθησιν» τρεῖς ἢ τέσσαρες λέξεις εἰσὶν ἀπεσβεσμέναι ἐν τῷ χειρογράφῳ. — (δ) Ῥωμ. ιέ, 30. — (ε) Α' Κορινθ. ά, 9.

Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ

ΥΠΟΘΕΣΙΣ

Πολλοῦ τὸ προοίμιον γέμει θυμοῦ καὶ φρονήματος. Ἀλλὰ καὶ πᾶσα σχεδὸν ἡ προκειμένη ἐπιστολή. Τὸ γὰρ μετ᾽ ἐπιεικείας τοῖς μαθηταῖς ἀεὶ διαλέγεσθαι, καὶ ὅτε δέονται σφοδρότητος, ἀνάξιον διδασκάλου. Διὰ τοῦτο καὶ ὁ Κύριος τὰ πολλὰ προσηνῶς τοῖς μαθηταῖς διαλεγόμενος, ἔστιν ὅπου καὶ αὐστηρότερον ἐκέχρητο τῷ λόγῳ. Καὶ νῦν μὲν ἐμακάριζε (α), νῦν δὲ ἀνοήτους ὠνόμαζεν (β). Τὸ αὐτὸ δὲ καὶ πρὸς τοὺς ἄλλους Ἰουδαίους ἐποίει· ποτὲ μὲν ἠπίως ὁμιλῶν αὐτοῖς, ποτὲ δὲ μετ᾽ ὀργῆς, περιβλεπόμενος αὐτοὺς καὶ ἀγανακτῶν. Τοῦτον οὖν καὶ ὁ μέγας Παῦλος μιμούμενος καὶ κατ᾽ ἴχνος τοῦ διδασκάλου βαίνων, ἐποίκιλλε τὸν λόγον, καὶ πρὸς τὴν χρείαν τῶν μαθητευομένων ἐνίοτε μὲν καίων καὶ τέμνων, ἐνίοτε δὲ προσηνῆ φάρμακα ἐπιτιθείς. Οὐχ ἁπλῶς δὲ παρωξύνθη κατὰ Γαλατῶν, ἀλλὰ μέγα ἦν τὸ κινῆσαν αὐτὸν ἁμάρτημα. Τὸ γὰρ ἐπιτυχοῦσι παροξύνεσθαι μικροψύχων· ὥσπερ οὖν τὸ ἐπὶ τοῖς μεγάλοις ἀναπίπτειν νωθρῶν καὶ ὑπνηλοτέρων. Τινὲς γὰρ τῶν πιστευσάντων ἐξ Ἰουδαίων, ὁμοῦ μὲν τῇ προλήψει τοῦ Ἰουδαϊσμοῦ κατεχόμενοι, ὁμοῦ δὲ κενοδοξίᾳ μεθύοντες, καὶ βουλόμενοι περιθεῖναι ἑαυτοῖς ἀξίωμα διδασκάλων, ἐλθόντες εἰς Γαλάτας, ἐδίδασκον ὅτι δεῖ περιτέμνεσθαι καὶ σάββατα καὶ νουμηνίας τηρεῖν. Οἱ γὰρ περὶ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην ταῦτα, φησίν, οὐ κωλύουσιν, οἱ πρῶτοι τῶν Ἀποστόλων, οἱ μετὰ Χριστὸν γενόμενοι, καὶ παρ᾽ αὐτοῦ διδαχθέντες καὶ εἰς τὸ κηρύττειν ἀποσταλέντες (καὶ ἀληθῶς οὐκ ἐκώλυον)· ἀλλ᾽ οὐ δογματίζοντες τοῦτο ἐποίουν, ἀλλ᾽ οἰκονομικῶς τῇ ἀσθενείᾳ τῶν ἐκ περιτομῆς πιστευόντων συγκαταβαίνοντες. Ὁ δὲ Παῦλος, εἰς τὰ ἔθνη κηρύττων, οὐ χρείαν εἶχε τῆς

(α) Ματθ. ιϛʹ, 17. — (β) Λουκ. κδʹ, 25.

συγκαταβάσεως ταύτης. Ὅτε οὖν ἐν Ἰουδαίᾳ γέγονε, καὶ αὐτὸς τῇ συγκαταβάσει ταύτῃ ἐχρήσατο. Ἀλλ' οἱ ἀπατεῶνες, οὐ λέγοντες τὰς αἰτίας τῆς συγκαταβάσεως, παρελογίζοντο τοὺς ἀσφαλεστέρους, λέγοντες ὅτι οὐ δεῖ Παύλῳ ἀνέχεσθαι, χθὲς καὶ σήμερον φανέντι (α)· ἐκεῖνοι γάρ, ὡς εἴρηται, πρῶτοι. Καὶ οὗτος μὲν μαθητὴς ἐκείνων, ἐκεῖνοι δὲ τοῦ Χριστοῦ. Καὶ οὗτος μὲν εἷς, ἐκεῖνοι δὲ πολλοί. Προςετίθουν δὲ ὅτι καὶ αὐτὸς οὗτος ὁ ἀναιρῶν τὴν περιτομὴν φαίνεται καὶ ταύτῃ χρησάμενος ἐν ἄλλοις. Καὶ ἑτέρως μὲν ὑμῖν, ἑτέρως δὲ ἑτέροις κηρύττει. Ἐπεὶ οὖν ὁ Ἀπόστολος εἶδε πυρὰν χαλεπὴν κατὰ τῆς τῶν Γαλατῶν Ἐκκλησίας ἀναφθεῖσαν καὶ τὴν οἰκοδομὴν ἔγνω σαλευομένην καὶ καταπεσεῖν κινδυνεύουσαν, τοῦτο μὲν ὑπὸ θυμοῦ δικαίου, τοῦτο δὲ ὑπὸ ἀθυμίας κατασχεθείς, γράφει τὴν ἐπιστολήν, πρὸς ἅπαντα ταῦτα ἀπολογούμενος, καὶ ἐκ προοιμίων εὐθέως πρὸς ἐκεῖνο ἀποτείνεται, ὃ διορύττοντες αὐτοῦ τὴν ὑπόληψιν ἔλεγον, ὅτι οἱ μὲν ἄλλοι τοῦ Χριστοῦ, αὐτὸς δὲ τῶν Ἀποστόλων γέγονε μαθητής.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ

1. Παῦλος Ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων,

Ἀποσταλεὶς οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ὑπὸ Θεοῦ. Οὐ παρὰ τῶν Ἀποστόλων, ἀλλὰ παρὰ τοῦ Χριστοῦ. Ἵνα δὲ μὴ λέγοιεν ὅτι, ἀπεστάλης μὲν παρὰ τοῦ Χριστοῦ, διὰ μέσων δὲ τῶν πρὸ σοῦ Ἀποστόλων, ἐπήγαγεν, ὅτι οὐδὲ διὰ μέσων αὐτῶν, ἀλλὰ ἀμέσως ὑπ' αὐτοῦ τοῦ Χριστοῦ. Ἐβάπτισε μὲν γὰρ αὐτὸν Ἀνανίας, ἀλλ' οὐκ ἐκεῖνος ἤγαγε τοῦτον εἰς τὴν πίστιν, ἀλλ' αὐτὸς ἄνωθεν ὁ Χριστὸς τὴν θαυμαστὴν ἐκείνην ἀφῆκε φωνήν (β), δι' ἧς αὐτὸν ἐσαγήνευσεν. Καὶ τοὺς μὲν πρὸ αὐτοῦ Ἀποστόλους ἐπὶ γῆς ὢν ἐκάλεσε, τοῦτον δὲ εἰς

(α) Τὸ χειρόγρ. «φανέντος», ὃ μᾶλλον τραπῆναι δεῖν ἔγνωμεν εἰς «φανέντι», ἢ τὸ πρὸς ὃ ἀναφέρεται «Παύλῳ» εἰς «Παύλου». — (β) Πράξ. θ', 4.

οὐρανοὺς ἀνελθών· καὶ γὰρ καὶ πρὸς Ἀνανίαν εἶπεν ὁ Χριστὸς περὶ τούτου «ὅτι ἐγὼ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός » μου παθεῖν » (α). Εἰ δὲ ταῦτα αὐτῷ ὑπέδειξε, πρόδηλον ὅτι καὶ ἐδίδαξε τὸν λόγον τοῦ κηρύγματος, καὶ ἀπέστειλεν.

1. Ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ,

Δι' αὐτοῦ τοῦ Χριστοῦ.

1. Καὶ Θεοῦ Πατρός,

Οὓς γὰρ ὁ Υἱὸς ἀποστέλλει, τούτους καὶ ὁ Πατήρ, ἔτι δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ ἐν τῇ βίβλῳ τῶν Πράξεων ἱστόρηται λέγον τὸ Πνεῦμα τὸ ἅγιον· « ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ τὸν » Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προκέκλημαι αὐτούς» (β). Καὶ μία τοῖς τρισίν, ὥςπερ φύσις καὶ ἐξουσία, οὕτω καὶ θέλησις. Ὥςπερ δὲ οὐ διότι νῦν προέταξε τὸν Υἱόν, διὰ τοῦτο μείζω ἂν εἴποιμεν τοῦ Πατρός, οὕτως οὐδὲ διότι ἐν ἄλλοις προτάττεται ὁ Πατήρ, διὰ τοῦτο μείζονα ἂν αὐτὸν εἴποιμεν τοῦ Υἱοῦ.

1. Τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.

Ἀφεὶς τό γε νῦν ἔχον περὶ τῆς θεότητος αὐτοῦ λέγειν, τὸ κεφάλαιον λέγει τῆς κατὰ τὴν ἐνανθρώπησιν οἰκονομίας· διὰ γὰρ τῆς ἐγέρσεως ὑπομιμνήσκει τοῦ δεσποτικοῦ θανάτου, ὃν ὑπὲρ ἡμῶν ἐκεῖνος ὑπέστη. Συνεβάλετο (γ) γὰρ εἰς τὸ προκείμενον. Καὶ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτως ἀπὸ τῆς τοῦ Θεοῦ μεγαλωσύνης, ὡς ἀπὸ τῆς εἰς ἀνθρώπους εὐεργεσίας αὐτοῦ πρὸς τὴν εἰς αὐτὸν ἀγάπην ἐνάλλεσθαι. Τῷ Πατρὶ δὲ τὴν τοῦ Χριστοῦ ἔγερσιν ἀνέθηκε, μιμούμενος αὐτόν, ὃς καὶ αὐτὸς τῷ Πατρὶ τὰ ἑαυτοῦ ἀνετίθει, τιμῶν αὐτόν, ἀλλ' οὐχ ἑαυτὸν ἀτιμάζων. Οὐδὲ γὰρ ὁ Υἱὸς ἠσθένει πρὸς ἀνάστασιν τοῦ οἰκείου σώματος. Εἰ γὰρ ἡ εἰς αὐτὸν πίστις οὐ μόνον τοὺς εἰς αὐτὸν πιστεύοντας, ἀλλὰ καὶ τὰς σκιὰς αὐτῶν ἐποίει νεκροὺς ἀνιστᾶν, πολλῷ μᾶλλον αὐτὸς ὁ ζωοδότης τοῦτο ποιεῖν ἠδύνατο, καὶ πεποίηκεν. Διὸ καὶ ἔλεγε· «λύσατε τὸν ναὸν τοῦ» τον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν » (δ). Καὶ αὖθις· « ἐξου-

(α) Αὐτόθ. 16.—(β) Πράξ. ιγ', 2.—(γ) Γραπτέον ἴσ. «συνεβάλλετο».—(δ) Ἰωάνν. β', 19.

» σίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν » αὐτήν » (α).

2. Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί,

Πῶς ἐν μὲν ταῖς ἄλλαις ἐπιστολαῖς ἢ τὸ ἑαυτοῦ ὄνομα τίθησιν, ἢ καὶ ἑτέρου ἑνὸς ἢ καὶ δύο πολλάκις, ἐνταῦθα δὲ πλῆθος ὁλόκληρον τέθεικεν; Ἢ πάντως διὰ τοὺς λέγοντας, ὅτι μόνος ὁ Παῦλος παρὰ τοὺς ἄλλους ἀπαγορεύει τὸν νόμον καὶ τὰ σάββατα καὶ τὰς νουμηνίας καὶ τὰ τοιαῦτα; δείκνυσι γὰρ ἐκ προοιμίων, ὅτι πολλοὺς ἔχει τῆς γνώμης καὶ τῶν δογμάτων κοινωνούς.

2. Ταῖς ἐκκλησίαις τῆς Γαλατίας·

Οὐ γὰρ μίαν πόλιν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τὸ ἔθνος τῶν Γαλατῶν ἡ προδηλωθεῖσα πυρκαϊὰ ἐπενέμετο. Θέα δέ μοι κἀνταῦθα τὴν πολλὴν ἀγανάκτησιν· οὔτε γὰρ ἀγαπητοὺς αὐτούς, οὔτε μὴν ἡγιασμένους ὠνόμασεν, ὡς ἐπὶ τῶν ἄλλων εἴωθε ποιεῖν, οὐδ' ἀπὸ τῶν προσηγοριῶν τῆς τιμῆς, ἀλλὰ ἀπὸ τῆς συνόδου μόνης. Καὶ οὐδὲ « ταῖς ἐκκλησίαις τοῦ Θεοῦ» εἶπεν, ἀλλ' ἁπλῶς «ταῖς ἐκκλησίαις τῆς » Γαλατίας ».

3. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ταῦτα εἴρηται καὶ ἡρμήνευται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ (β). Μάλιστα δὲ τούτοις ἐπεύχεται ταῦτα, ὡς κινδυνεύουσιν ἐκπεσεῖν αὐτῶν.

4. Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν (*),

Ὁρᾷς ὅτι οὐ δουλικὴν ὑπέμεινε διακονίαν, οὐδ' ἀναγκασθεὶς ἐξεδόθη παρ' ἑτέρου, ἀλλ' ἑκουσίως ἑαυτὸν ἔδωκεν; Ὅταν δὲ ἀκούσῃς, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ Πατήρ, τὴν εὐδοκίαν τοῦ Πατρὸς νόησον. Ὁ μὲν γὰρ εὐδόκησεν, ὁ δὲ ἐνήργησεν. Καὶ ὅπερ ἠθέλησεν ὁ Πατήρ, τοῦτο καὶ ὁ Υἱός. Καὶ αὖθις· ὅπερ

(α) Αὐτόθ. ι', 18. — (β) Ῥωμ. α', 7.— (*) Τὰ δοκιμώτερα τῶν ἀντιγράφων « περὶ » τῶν ἁμαρτιῶν ἡμῶν ». Ἣν γραφὴν ῥητῶς ἐγκρίνει καὶ ὁ Συγγραφεύς, γράφων ἐν τῇ ἑρμηνείᾳ « περὶ τῶν ἁμαρτιῶν » δὲ ἀντὶ « ὑπὲρ τῶν ἁμαρτιῶν ».

ἠθέλησεν ὁ Υἱός, τοῦτο καὶ ὁ Πατήρ. «Περὶ τῶν ἁμαρτιῶν» δὲ ἀντὶ τοῦ «ὑπὲρ τῶν ἁμαρτιῶν». Δίκην γὰρ ἀμνοῦ τὰς ἁμαρτίας ἡμῶν βαστάσας, καὶ τυθεὶς ὑπὲρ ἡμῶν ἠλευθέρωσεν ἡμᾶς αὐτῶν.

4. Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ,

«Ἐκ τοῦ ἐνεστῶτος πονηροῦ αἰῶνος» καθ' ὑπερβατόν. Ἐνεστῶτα δὲ πονηρὸν αἰῶνα λέγει οὐ τὴν ἐνταῦθα ζωήν, ὥς τινες ἐλήρησαν (α). Πῶς γάρ, ἣν αὐτὸς ἄνωθεν ἡμῖν ἐξ ἀρχῆς ἐνέπνευσε, ζῳώσας ἡμᾶς; Ἀλλὰ τὴν ἐνταῦθα πονηρὰν καὶ διεφθαρμένην ζωὴν καὶ τὰς φαύλας πράξεις. Οὐ γὰρ ἀπέθανεν, ἵνα ἀποκτείνας ἡμᾶς ἀγάγῃ τῆς παρούσης ζωῆς, ἀλλ' ἵνα ἀφεὶς ἐν τῇ παρούσῃ ζωῇ, ἐξαγάγῃ ἀπὸ τῶν φαύλων πράξεων. Διὸ καὶ πρὸς τὸ πάθος ἐπειγόμενος ἔλεγε πρὸς τὸν Πατέρα· «οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τη»ρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ» (β), τουτέστιν ἀπὸ τῆς κακίας. Εἰ γὰρ κατὰ τοὺς ἀνοήτους τὸ φαῦλα πράττειν τῇ φύσει τῆς ζωῆς ἡμῶν ἦν [συγκεκληρωμένα](γ), οὐδεὶς ἂν αὐτὰ διέφυγεν. Καὶ μὴν διέφυγον καὶ διαφεύγουσιν αὐτὰ πάντες οἱ σωζόμενοι. Τὰ μέντοι συγκεκληρωμένα τῇ φύσει τῆς ζωῆς ἡμῶν οὐδεὶς δύναται διαφυγεῖν· οἷον τὸ ἐσθίειν, τὸ πίνειν, τὸ καθεύδειν, τὸ αὐξάνεσθαι, τὸ πεινῆν, τὸ διψῆν, τὸ γεννᾶσθαι, τὸ τελευτᾶν καὶ τὰ τούτοις ἐοικότα· τῶν γὰρ φυσικῶν ἀναγκῶν οὐδένα ἂν εὕροις περιγενόμενον. Ὁ μὲν οὖν νόμος οὐ μόνον οὐκ ἀπήλλαξεν ἁμαρτιῶν, ἀλλὰ καὶ κατεδίκασε παραβαθείς. Ὁ δὲ Χριστὸς καὶ τῶν προτέρων ἀπήλλαξεν ἁμαρτημάτων διὰ τοῦ κατὰ τὴν πίστιν βαπτίσματος, καὶ πρὸς τὸ μέλλον ἠσφαλίσατο, χάριν ἐνθεὶς διακρουομένην τὰ πονηρὰ καὶ τὸν πονηρόν.

4. Κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν·

Δόντος δὲ ἑαυτὸν καὶ τὰ ἐφ' ἑξῆς, ὡς εἴρηται, ποιήσαντα κατὰ τὸ θέλημα τοῦ Πατρός. Τοῦτο δὲ εἶπεν, ἐμφαίνων ὅτι, συνευδοκοῦντος τοῦ Πατρός, ἔδωκεν ὁ Υἱὸς τὴν καινὴν Διαθήκην ἀντὶ τῆς Πα-

(α) Τοὺς Μανιχαίους ἐνταῦθα αἰνίσσεται ὁ Συγγραφεύς· οὗτοι γὰρ ἐπὶ τοῦ χωρίου τούτου στηριζόμενοι ἐδογμάτιζον, ὅτι ὁ Παῦλος πονηρὸν ἐκάλεσε τὸν ἐνεστῶτα αἰῶνα, ἤτοι τὴν παροῦσαν ζωήν. Ὅρ. Θεοδώρ. ἐν λ. (Τόμ. Γ', σελ. 461) καὶ Χρυσόστ. ἐν λ. (Τόμ. Ι', σελ. 618). — (β) Ἰωάνν. ιζ', 15. — (γ) Τὸ χειρόγρ. «τὰ συγκεχωρη»μένα»· ὃ ἡμεῖς ἀντικατεστήσαμεν διὰ τῆς παρεντεθειμένης λέξεως. Καὶ γὰρ καὶ μετ' ὀλίγα ἀναγινώσκομεν «τὰ μέντοι συγκεκληρωμένα τῇ φύσει τῆς ζωῆς ἡμῶν κτλ.».

λαιᾶς, καὶ παραθαρρύνων τοὺς φοβουμένους ἀποστῆναι τοῦ νόμου τέλεον. «Πατέρα δὲ ἡμῶν» τὸν Θεὸν προςηγόρευσεν, ὡς υἱοθετουμένων αὐτῷ διὰ τῆς ἀναγεννήσεως τοῦ βαπτίσματος.

5. Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὅς ἐστιν ἀειδόξαστος.

5. Ἀμήν.

Ἀληθῶς. Παρατηρητέον δὲ ὅτι τὸ «ἀμὴν» οὐδαμοῦ εὑρίσκομεν κείμενον ἐν ἀρχῇ καὶ προοιμίοις, ἀλλὰ μετὰ πολλά, ἢ ἐπὶ τέλους. Ἐνταῦθα δὲ τοῦτο τέθεικε, δεικνὺς ὅτι ἀπήρτησε τὸν λόγον ἐν τῷ προοιμίῳ, ἀναμνήσας τῆς ταφῆς καὶ τῆς ἀναστάσεως καὶ τῆς ἀπολυτρώσεως τῶν ἁμαρτημάτων καὶ τῆς πρὸς τὸ μέλλον ἀσφαλείας καὶ τοῦ θελήματος τοῦ Πατρός, καὶ εἰς δοξολογίαν καὶ εὐφημίαν καταλήξας τῷ ἐκπλαγῆναι τὴν ὑπερβολὴν τῆς τοσαύτης εἰς ἡμᾶς χάριτος. Διὰ τοῦτο, καθάπερ πυρωθεὶς τῇ ἐννοίᾳ τῆς τηλικαύτης εὐεργεσίας, σφοδροτέρων ἄλλων ἄρχεται λόγων·

6. Θαυμάζω ὅτι οὕτω (*) ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον Εὐαγγέλιον·

Θαυμάζω, ὅτι γενναῖοι δόξαντες ἐν τοῖς ἐπελθοῦσιν ὑμῖν πρότερον διὰ Χριστὸν πειρασμοῖς, οὕτω ταχέως ἄρτι μετατίθεσθε εἰς ἕτερον Εὐαγγέλιον ἀπὸ τοῦ Πατρὸς τοῦ καλέσαντος ὑμᾶς εἰς ἑαυτὸν ἐν χάριτι τοῦ Υἱοῦ αὐτοῦ, χαρισαμένου ὑμῖν τὰ μυρία, ὡς προείρηται, ἀγαθὰ διὰ τῆς ἑαυτοῦ σφαγῆς καὶ αἰτίου γεγονότος τῆς εἰς τὸν Πατέρα υἱοθεσίας. Εἰ γὰρ ἐγὼ ἀπεστάλην διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός, ὡς ἀνωτέρω δεδήλωται, οἱ ἐμοὶ ἀφιστάμενοι, τῶν ἀποστειλάντων ἀφίστανται. Ἔγκλημα μὲν γὰρ καὶ τὸ καὶ μετὰ πολὺν χρόνον τοῦτο παθεῖν· τὸ δὲ καὶ ταχέως, ἀσθενείας δεῖγμα σαφές. «Ἕτε-
» ρον δὲ Εὐαγγέλιον» λέγει τὸ κήρυγμα τῶν προρρηθέντων ἀπατεώνων· ἤγουν τὸ καταγγέλλειν ὅτι δεῖ περιτέμνεσθαι καὶ σάββατα καὶ νουμηνίας τηρεῖν. «Εὐαγγέλιον» δὲ αὐτὸ ἐκάλεσεν, οὐχ ὡς ὂν Εὐαγγέλιον, ἀλλ' ὡς οὕτως ὀνομαζόμενον παρ' ἐκείνων.

(*) Ἡ λέξις «οὕτω» ἐν τῷ χειρογράφῳ γέγραπται «οὐ», κατὰ παραδρομὴν πάντως τοῦ ἀντιγραφέως.

7. Ὃ οὐκ ἔστιν ἄλλο·

Εἰπὼν « Εὐαγγέλιον » μεταβαίνει ἀπὸ τοῦ ψευδοῦς εὐαγγελίου ἐπι τὸ ἀληθῶς καὶ ὂν καὶ λεγόμενον· ὃ οὐκ ἐστιν ἄλλο παρ' ὃ ἡμεῖς εὐαγγελιζόμεθα. Ἓν γὰρ καὶ τὸ αὐτό ἐστι τὸ κυρίως καὶ ἀληθῶς Εὐαγγέλιον. Εἴ τι δὲ ἄλλο, οὐκ Εὐαγγέλιόν ἐστι τοῦτο, ἀλλ' ἀπάτη. Ὅθεν δῆλον, ὅτι καὶ τὰ τέσσαρα εὐαγγέλια ἕν εἰσιν Εὐαγγέλιον· τὸ γὰρ ἓν καὶ οὐχ ἓν οὐ τῷ τῶν γραφόντων ἀριθμῷ, ἀλλὰ τῇ ταυτότητι καὶ ἑτερότητι τῶν γραφομένων κρίνεται. Πάντες δὲ οἱ Εὐαγγελισταὶ οἵ [τε] (α) ἐγγράφως οἵ τε ἀγράφως κηρύξαντες συμφωνοῦσι περὶ τὰ καίρια τοῦ κηρύγματος καὶ συνεκτικὰ τῆς πίστεως.

7. Εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς,

Οὐκ ἔστι, φησίν, ἄλλο, ἕως ἀτάραχοι μένετε, ἕως ὑγιαίνετε τὸν νοῦν, ἀθόλωτον φυλαττόμενον καὶ ὀρθῶς κρίνειν δυνάμενον, καὶ μὴ δίκην ὀφθαλμοῦ τεταραγμένου, ἕτερα ἀνθ' ἑτέρου βλέποντος.

7. Καὶ θέλοντος μεταστρέψαι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ.

Καὶ μὴν ὀλίγην ἐπειςῆγον τῷ Εὐαγγελίῳ προςθήκην τὴν τῆς περιτομῆς καὶ τοῦ σαββάτου καὶ τῆς νουμηνίας. Ἀλλὰ διὰ τῶν ὀλίγων τούτων τὸ ὅλον μεταστρέφεσθαι καὶ ἀνατρέπεσθαι εἴρηκεν. Καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν ὁ καὶ μικρὸν τοῦ χαρακτῆρος παραποιήσας ὅλον τὸ νόμισμα εἰργάσατο κίβδηλον· οὕτω καὶ ὁ τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχύτατον παρατρέψας καὶ καταστρέψας τῷ παντὶ λυμαίνεται. Διὰ τοῦτο τὰ μείζω τῶν ἁμαρτημάτων ἐπειςῆλθεν, ὅτι τὰ ἐλάττονα τῆς προςηκούσης οὐ τυγχάνει διορθώσεως. Τραύματα γὰρ ἀμεληθέντα πολλάκις καὶ πυρετοὺς ἔτεκον καὶ σηπεδόνας καὶ θάνατον.

8. Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

Κεχωρισμένος ἔστω Θεοῦ. Ἵνα μὲν οὖν μή τις λέγῃ, ὅτι κενοδοξίας ἕνεκεν τὰ ἴδια δόγματα συγκροτεῖ, καὶ ἑαυτὸν ἀνεθεμάτισεν, εἴ τι τούτων παραποιήσοι. Ἐπεὶ δὲ καὶ εἰς ἀξιώματα κατέφευγον, εἰς

(α) Τὸ χειρόγρ. « οἵ ».

Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, διὰ τοῦτο καὶ ἀγγέλων ἐμνήσθη. Ὅτι, τί λέγω πρώτους Ἀποστόλους; Κἂν ἄγγελος ἐξ οὐρανοῦ εἴη ὁ παραχαράσσων τὸ κήρυγμα ἡμῶν, ὅπερ οὐχ ὡς γενησόμενον εἴρηκεν, ἀλλ' εἰς ἔμφασιν τῆς λίαν ἀπαγορεύσεως. Ἐπεὶ δὲ καὶ οἱ ἱερεῖς ἄγγελοι ἐκαλοῦντο («χείλη γάρ, φησίν, ἱερέως φυλάξεται γνῶ-» σιν· καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυ-» ρίου παντοκράτορός ἐστι») (α), τῇ τοῦ ἀνθρώπου προσθήκῃ τὰς ἄνω δυνάμεις ᾐνίξατο. Τὸ δὲ «παρ' ὃ εὐηγγελισάμεθα» ἀντὶ τοῦ κατὰ προσθήκην τινὰ διαφθείρουσαν ὅλον τὸ Εὐαγγέλιον. Ἵνα δὲ μὴ νομίσῃ τις θυμοῦ τὰ ῥήματα εἶναι, ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ κατὰ συναρπαγήν τινα, δεύτερον τὰ αὐτὰ πάλιν τίθησιν, ἐμφαίνων, ὅτι κρίσει καὶ διασκέψει φησί, καὶ οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν.

9. Ὡς προείρηκα, καὶ ἄρτι πάλιν λέγω,

Βεβαιῶν δηλονότι ὃ προείρηκα. Εἶτα καὶ αὐτὸ τίθησιν·

9. Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Ταῦτα δὲ λέγει θαρρῶν, ὅτι καὶ οἱ περὶ τὸν Πέτρον, καὶ πάντες, ὁμοφώνως κηρύττουσιν. Ἡ γὰρ συγκατάβασις, ὡς προείρηται, οἰκονομία τις ἦν διὰ τὴν τῶν ἐκ περιτομῆς ἀσθένειαν. Διὸ καὶ ἀλλαχοῦ ἔλεγεν «εἴ τε γὰρ ἡμεῖς, εἴ τε ἐκεῖνοι, οὕτω κηρύσσομεν» (β).

10. Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν Θεόν;

«Πειθὼ» νῦν τὴν ἀπολογίαν ὀνομάζει· ἐπειδὴ γὰρ ἀπολογεῖσθαι μέλλει πρὸς τὴν κατηγορίαν τῶν ῥηθέντων ἀπατεώνων καὶ δεῖξαι ὅτι οὔτε παρὰ τῶν Ἀποστόλων ἐδιδάχθη, οὔτε ἐναντία αὐτοῖς διδάσκει, φησὶν ὅτι ἄρτι ἀνθρώποις ἀπολογοῦμαι παρὰ Θεῷ (γ), καίτοι οὐκ ἀνθρώπους ἔχω κριτὰς τοῦ κηρύγματος, ὃ κηρύσσω, ἀλλὰ τὸν ἐγχειρίσαντά με τοῦτο Θεόν. Δέον οὖν ἐκείνῳ ἀπολογεῖσθαι, ἀπολογοῦμαι ὑμῖν, ἐπεὶ δικασταί μοι γίνεσθε τοῦ πράγματος, καὶ ἐξετασταὶ κάθησθε οἱ μαθηταὶ τοῦ διδασκάλου. Τοῦτο δὲ ἔλεγεν ἅμα μὲν βαρυθυμῶν διὰ τὸ μὴ σφόδρα παρ' αὐτοῖς πιστεύεσθαι· ἅμα δὲ καὶ πληροφορῆσαι αὐτοὺς βουλόμενος καὶ στηρίξαι σαλευομένους.

10. Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν;

(α) Μαλαχ. β', 7. — (β) Α' Κορινθ. ιε', 11. — (γ) Τὸ χειρόγρ. «παρὸ Θεῷ».

Κατ' ἐρώτησιν. Μὴ ζητῶ ἀνθρωπίνην δόξαν καὶ διὰ τοῦτο ὑπέρχομαι τὴν ἀπολογίαν, ἵνα πείσας καὶ εὐχαριστήσας ὑμῖν δοξασθῶ; Ἀνθρωπαρεσκείαν γὰρ ἐνταῦθα τὴν φιλοδοξίαν λέγει. Πᾶς γὰρ φιλόδοξος ἀνθρωπάρεσκος, εἰ καὶ μὴ πᾶς ἀνθρωπάρεσκος φιλόδοξος· ἀνθρωπαρεσκεῖ γάρ τις καὶ δι' ἄλλας αἰτίας.

10. Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Εἰ μέχρι τοῦ νῦν ἀνθρώποις ἤρεσκον, ὥςπερ ἄρα καὶ ἤρεσκον πᾶσι τοῖς ἐχθροῖς τοῦ Χριστοῦ, Ἰουδαίοις ἅμα καὶ Ἕλλησιν, ἕως ἐπολέμουν τῇ Ἐκκλησίᾳ, ἕως ἐκάκουν τοὺς πιστούς, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην ἄρτι. Εἰ δόξης ἀνθρωπίνης ἀντεποιούμην, ὡς οἱ κατήγοροι λέγουσιν, ἔμενον ἂν πολεμῶν τῇ Ἐκκλησίᾳ, καὶ διὰ τοῦτο δοξαζόμενος παρὰ τοῖς Ἰουδαίοις καὶ τῷ γένει μου, καὶ οὐκ ἂν ὡς δοῦλος Χριστοῦ ἠτιμαζόμην καὶ ἠλαυνόμην καὶ ᾐκιζόμην, καὶ μυρίους ὑφιστάμην κινδύνους. Ἐπεὶ δὲ ἑκουσίως δόξης ἀνθειλόμην ἀτιμίαν, ἄρα συκοφαντοῦσιν οἱ καταψηφιζόμενοί μου φιλοδοξίαν.

Α' Μετὰ τὸ προοίμιον, διήγησις τῆς ἑαυτοῦ μεταστάσεως ἀπὸ Ἰουδαϊσμοῦ κατὰ ἀποκάλυψιν.

11. Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον, τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον.

« Γνωρίζω δὲ ὑμῖν, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον τὸ Εὐαγγέλιον, »τὸ εὐαγγελισθὲν ὑμῖν ὑπ' ἐμοῦ». Οὐκ ἔστι παραδοθέν μοι κατὰ ἀνθρωπίνην παράδοσιν, ὡς ἐκεῖνοι λέγουσιν. Εἶτα σαφέστερον ἐπάγει·

12. Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.

Ὅρα πῶς ἄνω καὶ κάτω διισχυρίζεται, ὅτι οὐκ ἀνθρώπου, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ γέγονε μαθητής, ἀμέσως τὴν γνῶσιν αὐτῷ πᾶσαν τοῦ κηρύγματος ἀποκαλύψαντος. Ἵνα δὲ μή τις εἴπῃ· καὶ πόθεν τοῦτο δῆλον; ποιεῖται λοιπὸν ἀπόδειξιν τοῦ λόγου τὴν ἀθρόαν αὐτοῦ μεταβολήν· οἱ γὰρ σφοδροὶ καὶ διακαεῖς ὄντες ἔν τισιν, ὅταν ὑπ' ἀνθρώπων διδάσκωνται, χρόνου συχνοῦ δέονται καὶ πολλῆς ἐπιμελείας καὶ μηχανῆς εἰς τὸ πεισθῆναι καὶ μεταστῆναι πρὸς τὰ ἐναντία τού-

των, οἷς προελήφθησαν. Ὁ δ' ἐν αὐτῇ τῇ τῆς μανίας ἀκμῇ καθαρῶς νίψας, εὔδηλον ὅτι θείας τυχὼν ὄψεως καὶ διδασκαλίας, οὕτως ἀθρόον πρὸς τὴν καθαρὰν ἐπανῆλθεν ὑγιείαν. Διὰ τοῦτο ἀναγκάζεται περὶ τῆς προτέρας αὐτοῦ διηγήσασθαι ἀναστροφῆς, καὶ μάρτυρας αὐτοὺς καλεῖ ταύτης, μέχρις αὐτῶν διαδούσης τῆς φήμης τὴν αὐστηρίαν τῆς κατὰ Χριστοῦ μανίας αὐτοῦ, καίτοι πόρρω Παλαιστίνης διακειμένων. Οὐκ ἂν δὲ τοσοῦτον τὰ τῆς φήμης διέβη, εἰ μὴ πολλὴ τῶν γινομένων ἦν ἡ ὑπερβολή.

13. Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ,

Τὴν ἐν τῷ Ἰουδαϊσμῷ ποτε ἐμὴν ἀναστροφήν. Τὸ δὲ «ποτὲ» ἀντὶ τοῦ πρότερον.

13. Ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν.

Οὐ μόνον ἐδίωκον τοὺς πιστούς, ἀλλὰ καὶ ἐπόρθουν τὴν κατ' αὐτοὺς Ἐκκλησίαν· τουτέστιν ἐπεχείρουν καταστρέψαι καὶ καθελεῖν· τοῦτο γὰρ τοῦ πορθοῦντος ἔργον.

14. Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου,

Καὶ ἐν τῷ γένει μου, τῷ τῶν Ἰουδαίων, προέκοπτον ἐν τῇ ἰουδαϊκῇ θρησκείᾳ. Εἶτα λέγει καὶ τὸ εἶδος τῆς προκοπῆς·

14. Περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.

Ζῆλον ἔχων· ἤγουν δικαίαν ὀργὴν καὶ σφοδρὰν ἀγανάκτησιν, ὡς ἐδόκουν, ὑπὲρ τῶν πατρικῶν μου παραδόσεων, καταλυομένων ὑπὸ τοῦ κηρύγματος, καὶ ζηλῶν ὑπὲρ τοῦ πρώτου νόμου καὶ τῶν παλαιῶν ἐθῶν (α), καὶ διὰ τοῦτο ἀκατάσχετος ὢν εἰς τὴν τούτων ἐκδίκησιν.

15. Ὅτε δὲ εὐδόκησεν ὁ Θεός, ὁ ἀφορίσας με ἐκ κοιλίας μη-
16. τρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύ-

(α) Τὸ χειρόγρ. «ἐθνῶν», ὃ προφανῶς ἐγράφη ἡμαρτημένως ἀντὶ «ἐθῶν».

ψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν,

Ὅτε δὲ ἠθέλησεν ὁ Θεὸς ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί· τουτέστιν οὐ τοῖς ἐκτὸς ὀφθαλμοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἐντός· οὐ γὰρ διὰ ῥημάτων μόνον ἔμαθε τὰ περὶ τῆς πίστεως, ἀλλὰ καὶ δι' ἐλλάμψεως τὴν ψυχὴν αὐτοῦ φωτιζούσης καὶ σοφιζούσης. Εἰ γὰρ καὶ ἀφώρισεν αὐτὸν εἰς τὸ Εὐαγγέλιον ἐκ κοιλίας μητρὸς αὐτοῦ, προειδὼς αὐτὸν σκεῦος τοῦ κηρύγματος ἐκλελεγμένον καὶ δόκιμον, ἀλλὰ τότε εὐδόκησεν ἀποκαλύψαι αὐτῷ καὶ καλέσαι εἰς τὴν πίστιν καὶ εἰς τὸ Εὐαγγέλιον, ὅτε ᾔδει τοῦτον πιστεύσαντα. Εἰπὼν δὲ ὅτι «διὰ τῆς »χάριτος αὐτοῦ», ἔδειξεν ὅτι τῆς ἀγαθότητος καὶ εὐεργεσίας τοῦ Θεοῦ ἦν ἡ κλῆσις αὐτοῦ, εὐεργετοῦντος αὐτὸν τῇ κλήσει, καὶ ἀπὸ τοῦ σκότους (α) ἐπὶ τὸ φῶς μετάγοντος. Πάλιν δὲ εἰπὼν ὅτι «ἐν τοῖς ἔθνε» σιν», ἔδειξεν ὅτι καὶ Ἀπόστολος τῶν ἐθνῶν ἐχειροτονήθη καὶ ὅτι οὐκ εἶχε χρείαν συγκαταβαίνειν, ἐφ' οἷς οἱ ἄλλοι Ἀπόστολοι συγκατέβαινον τῇ ἀσθενείᾳ τῶν ἐκ περιτομῆς.

16. Εὐθέως οὐ προςανεθέμην σαρκὶ καὶ αἵματι.

« Ὅτε δέ, φησίν, εὐδόκησεν ὁ Θεὸς ἀποκαλύψαι μοι», ὡς εἴρηται, τότε οὐ προςανεθέμην ἀνθρώποις· ἤγουν οὐκ αὐτίκα ἐκοινολογησάμην τοῖς Ἀποστόλοις τὰ περὶ τοῦ κηρύγματος, ἢ ὅλως ἀνθρώπῳ τινί· ἀτοπίας γὰρ ἦν ἐσχάτης τὸν παρ' αὐτοῦ τοῦ Θεοῦ μαθόντα ἀνθρώποις προςανατιθέναι, περὶ ὧν ἔμαθε, καὶ δοκιμαστὰς αὐτοὺς λαμβάνειν τῆς θεόθεν διδασκαλίας. Οὐ τοίνυν ἀλαζονευόμενος ταῦτα ἔλεγεν, ἀλλ' ὥςτε δεῖξαι τὸ ἀξίωμα τοῦ κηρύγματος, ὃ κηρύσσει.

17. Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους·

Ἵνα παρ' αὐτῶν τι μάθω πλέον ἢ ἀκριβέστερον, ὧν ὑπὸ Θεοῦ ἐδιδάχθην. Εἰκὸς δὲ τὸν Θεὸν καὶ τοῦτο αὐτὸ κελεῦσαι. ἵνα μή, δόξας τισὶν ὑπ' ἐκείνων δεδιδάχθαι, ἐλάττωσιν ἔχοι κατὰ τοῦτο. Εἰ γὰρ καὶ ἀνῆλθε πρὸς αὐτούς, ὅτε ἐν Ἀντιοχείᾳ ζήτησις γέγονεν, εἰ χρὴ περιτέμνειν τοὺς ἐξ ἐθνῶν πιστεύοντας (β), ἀλλ' οὐκ οἴκοθεν ἀνῆλ-

(α) Τὸ χειρόγρ. «ὑπὸ τοῦ σκότους». — (β) Πράξ. ιε', 2.

θεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων αὐτὸς καὶ Σίλας, καὶ οὐδὲ μαθησόμενος, ἀλλὰ πείσων τοὺς ἀντιλέγοντας.

17. Ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν·

«Εἰς Δαμασκόν», παρ' ᾗ ἐπηρώθη καὶ ἀνέβλεψε καὶ ἐβαπτίσθη. Βαβαί! πόσα παρέδραμεν αὐτοῦ κατορθώματα, ὅσα μεταξύ τε κατώρθωσε καὶ ὅσα ἐν Δαμασκῷ· οὐ γὰρ πρὸς ἐπίδειξιν διηγεῖται, ἀλλ' ἑνὸς ἔχεται, τοῦ ἀποδεῖξαι τέλειον τὸ οἰκεῖον κήρυγμα.

18. Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον·

Οὐχ ὥςτε μαθεῖν τι πλέον παρ' αὐτοῦ, ἀλλ' ἰδεῖν αὐτὸν καὶ τιμῆσαι τῇ τοσαύτῃ ὁδοιπορίᾳ, τῇ διὰ μόνην θέαν αὐτοῦ.

18. Καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε.

Ἡ μὲν ἀνέλευσις ἦν δεῖγμα ταπεινοφροσύνης τοῦ Παύλου καὶ εἰς τιμὴν τοῦ Πέτρου, τὸ δὲ καὶ ἐπιμεῖναι τοσαύτας ἡμέρας, φιλίας καὶ σφοδροτάτης ἀγάπης.

19. Ἕτερον δὲ τῶν Ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

Ἢ διότι οὐκ ἦσαν ἐκεῖ τότε, ἢ διότι οὐκ ἀνῆλθε δι' αὐτούς. Ὁ δὲ Ἰάκωβος οὗτος ἦν μὲν ἐπίσκοπος τῶν ἐν Ἱεροσολύμοις πιστῶν, ἀδελφὸς δὲ τοῦ Κυρίου ἐνομίζετο, ὡς ὢν υἱὸς Ἰωσὴφ τοῦ μνήστορος τῆς Θεοτόκου (α), ὃν ἰδεῖν μὲν λέγει, οὐ μὴν δὲ καὶ μαθεῖν τι παρ' αὐτοῦ.

20. Ἃ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι.

(α) Πλατύτερον περὶ τῆς γενεαλογίας τοῦ Ἰακώβου ὁ Θεοφύλ. ἐν λ. «Πῶς δὲ ἦν » (ὁ Ἰάκωβος) τοῦ Κλοπᾶ, ἄκουε· Κλοπᾶς καὶ Ἰωσὴφ ἀδελφοί. Τοῦ Κλοπᾶ ἄπαιδος » τελευτήσαντος, ὁ Ἰωσὴφ ἐξανέστησεν αὐτῷ σπέρμα, καὶ ἔτεκε τοῦτον καὶ τοὺς ἄλλους » αὐτοῦ ἀδελφοὺς καὶ Μαρίαν, ἥν, τοῦ Κλοπᾶ οὖσαν, ἀδελφὴν τῆς τοῦ Κυρίου μητρὸς » τὸ Εὐαγγέλιον εἶπεν (Ἰωάνν. ιθ', 25), ὡς τοῦ Ἰωσὴφ μᾶλλον πατρὸς κηδεμονίαν » πρὸς τὴν Παρθένον, ἢ ἀνδρὸς διάθεσιν διασώσαντος».

Ὅτι δὲ οὐ ψεύδομαι ἃ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ γράφω· ὃν φοβούμενος, οὐ ψεύδομαι πάντως.

21. Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλι-
22. κίας. Ἤμην δὲ ἀγνοούμενος τῷ προςώπῳ ταῖς Ἐκκλη-
σίαις τῆς Ἰουδαίας, τῆς ἐν Χριστῷ (*)·

Τῶν μὲν ἐθνῶν εἰχόμην, φησίν, ὡς εἰς αὐτὰ ἀποσταλείς, τῶν δὲ ἰουδαϊκῶν Ἐκκλησιῶν, τῶν κατὰ Χριστόν, ἀπειχόμην διὰ τὸ μὴ θέλειν ἄλλων Ἀποστόλων πόνοις ἐποικοδομεῖν. Διὸ καὶ ἠγνοούμην αὐταῖς « τῷ προςώπῳ », ἤτοι τῇ κατὰ πρόσωπον θέᾳ.

23. Μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν
24. εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει. Καὶ ἐδόξαζον
ἐν ἐμοὶ τὸν Θεόν.

Καὶ ταῦτα ἀκούουσαι ἐδόξαζον τὸν Θεὸν δι' ἐμέ, ὅτι διώκτης ὢν εὐαγγελιστὴς ἐγενόμην.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ

Β' Περὶ τῆς τῶν Ἀποστόλων ἐπιμαρτυρήσεως εἰς τὴν ἐν πίστει ζωήν.

1. Ἔπειτα δὲ διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱερο-
2. σόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τῖτον. Ἀνέβην
δὲ κατ' ἀποκάλυψιν καὶ ἀνεθέμην αὐτοῖς τὸ Εὐαγγέλιον,
ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι·

Τῆς μὲν προτέρας ἀνόδου αἰτία ἦν, ἵνα ἴδῃ τὸν Πέτρον. Ταύτης δὲ τῆς δευτέρας αἴτιον ἡ ἀποκάλυψις, ἀποκαλύψαντος αὐτῷ τοῦ

(*) Κοινῶς τὰ ἀντίγραφα «ταῖς ἐν Χριστῷ» γράφουσιν. Ἀλλ' ἐκ τῶν ἐν τῇ ἑρμηνείᾳ «τῶν δὲ ἰουδαϊκῶν Ἐκκλησιῶν, τῶν κατὰ Χριστόν» καὶ ὁ Συγγραφεὺς δῆλός ἐστιν οὕτως ἀνεγνωκώς.

ἁγίου Πνεύματος καὶ ἐντειλαμένου ἀνελθεῖν εἰς Ἱεροσόλυμα καὶ ἀνακοινώσασθαι τοῖς Ἀποστόλοις τὸ Εὐαγγέλιον, ὃ κηρύσσει· τουτέστι τὸ χωρὶς περιτομῆς. Οὐχ ἵνα αὐτός τι μάθῃ πλεῖον, ἀλλ' ἐπειδὴ καὶ τότε ἦσαν οἱ κατηγοροῦντες αὐτοῦ, ὡς ἐναντία τοῖς Ἀποστόλοις διδάσκοντος, ὅσον ἐπὶ τῇ περιτομῇ καὶ τοῖς σάββασι καὶ ταῖς νουμηνίαις, ᾠκονόμησεν ὁ Θεὸς καὶ ηὐδόκησεν ἀνελθεῖν αὐτὸν καὶ κοινολογήσασθαι τοῖς Ἀποστόλοις περὶ τούτου, ἵνα καὶ παρ' αὐτῶν ἐπικριθὲν τὸ κατ' αὐτὸν Εὐαγγέλιον, δόκιμον καὶ τοῖς ἄλλοις λογισθείη, καὶ ἐπιστομισθεῖεν (α) οἱ συκοφάνται.

2. Κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι,

Δοκοῦντας λέγει τοὺς κορυφαίους τῶν Ἀποστόλων Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, οὐχ ὡς ἀναιρῶν τὸ εἶναι αὐτοὺς τοιούτους, ἀλλ' ὡς μετὰ τοῦ εἶναι καὶ δοκοῦντας μεγάλους παρὰ τοῖς πιστοῖς· τὸ γὰρ «δοκεῖν» καὶ τὸ «εἶναι» πολλάκις συνεμφαίνει. «Κατ' ἰδίαν» δέ, φησί, τούτοις προςανεθέμην τὸ Εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι, καὶ οὐκ ἐπὶ πολλῶν. Τὸ δὲ αἴτιον, ἵνα μὴ ταραχθῶσιν οἱ ἐκ περιτομῆς, μὴ καταδεχόμενοι τὴν ἀπὸ τοῦ Νόμου ἀποστασίαν. Ἄλλως τε οὐδ' ἐριστικῶς διαλέγεσθαι σκοπὸν εἶχεν, ἵνα καὶ ἐπὶ πολλῶν ποιήσηται τὴν διάλεξιν, ἀλλ' ἁπλῶς κοινολογήσασθαι, ἵνα τὴν πρόφασιν ἀνέλῃ τῶν λεγόντων, ὅτι ἐναντία διδάσκει τοῖς Κορυφαίοις. Ἐπὶ μόνων δὲ Βαρνάβα καὶ Τίτου κοινολογεῖται τοῖς περὶ Πέτρον, ἵνα οὗτοι γένωνται αὐτῷ μάρτυρες ἀξιόπιστοι πρὸς τοὺς ἐγκαλοῦντας καὶ πείθωσιν αὐτούς, ὅτι συμφωνοῦσι τούτῳ καὶ οἱ πρῶτοι τῶν Ἀποστόλων.

2. Μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον.

Ἀνεθέμην δὲ αὐτοῖς πῶς κηρύσσω «μήποτε εἰς κενὸν τρέχω ἢ » ἔδραμον, οὐκ ὀρθῶς κηρύσσων, ὡς ἐδόκει τοῖς συκοφάνταις». Τοῦτο δὲ εἶπεν, οὐχ ὡς αὐτὸς τοῦτο μαθεῖν βουλόμενος· ἤδη γὰρ ὅτι οὐ μάτην ἔδραμεν ἢ τρέχει τὸν δρόμον τοῦ κηρύγματος, ἀλλ' ὡς καὶ τὴν ἀπὸ τῶν Κορυφαίων μαρτυρίαν ἐπισπώμενος.

3. Ἀλλ' οὐδὲ Τῖτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι.

(α) Τὸ χειρόγρ. «ἐπιστομηθεῖεν».

Οὐδ' ὁ Τῖτος, Ἕλλην ὢν καὶ ἀκρόβυστος, ἠναγκάσθη ὑπὸ τούτων διὰ τὴν πίστιν περιτμηθῆναι. Καὶ τοῦτο γὰρ ἀπόδειξις μεγίστη τοῦ μὴ καταγινώσκειν αὐτοὺς τῶν ὑπὸ τοῦ Παύλου λεγομένων ἢ πραττομένων.

4. Διὰ δὲ τοὺς παρειςάκτους ψευδαδέλφους,

Ἀντὶ τοῦ «οὐδὲ διὰ τοὺς παρειςάκτους ψευδαδέλφους»· ἀπὸ κοινοῦ γὰρ τὸ ἀρνητικὸν τοῦτο μόριον, ἀπὸ τοῦ προρρηθέντος ἑλκόμενον. Ἰδίωμα δὲ καὶ τοῦτο τῆς παλαιᾶς Γραφῆς. Λέγει δὲ ὅτι οὐ δι' αὐτοὺς ἠναγκάσθη περιτμηθῆναι, κελεύοντας τοῦτο καὶ ἐπισπεύδοντας (α). «Ψευδαδέλφους» δὲ ὀνομάζει τοὺς ὑπερέχοντας ἐν τοῖς ἐκ περιτομῆς πιστοῖς καὶ δοκοῦντας εἶναι σοφωτέρους, ψευδομένους μὲν τὴν πρὸς τοὺς εὐσεβεῖς κατὰ πίστιν ἀδελφότητα, σπουδάζοντας δὲ καταδουλοῦν τῷ νόμῳ τοὺς πιστεύοντας ἐκ περιτομῆς· οὓς καὶ «παρ» ειςάκτους» εἶπεν, ὡς ἀκλητὶ παρειςελθόντας τότε ἐπὶ κατασκοπῇ τῶν λεγομένων.

4. Οἵτινες παρειςῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ,

Ἣν ἔχομεν διὰ τοῦ Χριστοῦ, ἐλευθερωθέντες ἀπὸ τῆς δουλείας τοῦ Νόμου.

4. Ἵνα ἡμᾶς καταδουλώσωσιν.

Τῷ Νόμῳ δηλονότι.

5. Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ,

Ὧν τῇ ὑποταγῇ πρὸς βραχὺ εἴξαμεν, ὥςτε ὑποταγῆναι αὐτοῖς κἂν γοῦν ὀλίγον.

5. Ἵνα ἡ ἀλήθεια τοῦ Εὐαγγελίου διαμείνῃ πρὸς ἡμᾶς.

«Ἡ ἀλήθεια τοῦ Εὐαγγελίου», οὗ κηρύσσομεν ἐν τοῖς ἔθνεσιν· εἰ γὰρ εἴξαμεν αὐτοῖς, ἐφάνημεν ἂν οὐκ ὀρθῶς κηρύττοντες.

(α) Θεοδώρ. ἐν λ. (Τόμ. Γ', σελ. 469)· «Ὁ «δὲ» σύνδεσμος πρὸς τὴν τοῦ λόγου » συνθήκην περιττός· ἔστι γὰρ ἡ διάνοια τῶν ῥητῶν αὕτη· «οὐδὲ Τῖτος, καίτοι Ἕλλην » ὤν, ἠναγκάσθη περιτμηθῆναι διὰ τοὺς παρειςάκτους ψευδαδέλφους κ.τ.λ. ».

6. Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει·

Περὶ δὲ τῶν δοκούντων εἶναί τι μέγα, ὥςπερ ἄρα καί εἰσι (λέγει δὲ τοὺς ἀμφὶ Πέτρον Ἀποστόλους), οὐδὲν προςήκει μοι λέγειν, ὁποῖοί ποτε ἦσαν, ὅτε τὴν περιτομὴν καὶ τὰ σάββατα καὶ τὰς νουμηνίας οὐκ ἐκώλυον, τουτέστιν εἴ τε καλῶς ἐποίουν εἴ τε κακῶς. Εἰπὼν δὲ ὅτι «ἦσαν», ἔδειξεν ὅτι νῦν οὐκ εἰσὶ τοιοῦτοι, ἀλλά, τοῦ κηρύγματος πανταχοῦ διαλάμψαντος, ἐπαύσαντο τῆς οἰκονομικῆς συγκαταβάσεως.

6. Πρόςωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει.

Ἔχουσιν οὐκ ἐμὲ δοκιμαστὴν αὐτῶν, ἀλλὰ τὸν Θεόν, ὅς ἐν τῷ δοκιμάζειν οὐ δυςωπεῖται ἀξίωμα, ἀλλὰ καὶ τοὺς μεγάλους εὐθύνει, ὅταν οὐκ ὀρθῶς τὸ ἐπιτεταγμένον ἀνύσωσιν.

6. Ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο.

Οἱ μετὰ τοῦ εἶναι καὶ δοκοῦντες, ὡς προείρηται, οὐδὲν προςεδίδαξάν με.

7. Ἀλλὰ τοὐναντίον,

Ἀλλὰ τοὐναντίον ἐποίησαν, ὧν οἱ συκοφάνται λέγουσιν. Οἱ μὲν γὰρ φημίζουσιν, ὅτι ἐναντίως μοι διάκεινται οἱ Κορυφαῖοι, ὡς ἀσυμφώνῳ αὐτοῖς. Οὗτοι δὲ καὶ τὸ κήρυγμα ἡμῶν ἐπῄνεσαν καὶ συνῄνεσαν καὶ ἡμᾶς ἐδεξιώσαντο.

7. Ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς·

«Ἀκροβυστίαν» μὲν λέγει τοὺς ἀκροβύστους, ἤτοι τὰ ἔθνη. «Περιτομὴν» δὲ τοὺς περιτετμημένους Ἰουδαίους. Εἰπὼν δὲ ὅτι «καθὼς Πέτρος», ἐξίσωσεν ἑαυτὸν τῷ κορυφαίῳ τῶν ἄλλων, περιτεθεὶς ἀξίωμα, ὡς προδιείληπται, τῷ κηρύγματι ἑαυτοῦ.

8. Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη.

Ὁ γὰρ Χριστὸς ὁ χειροτονήσας τὸν Πέτρον ἀπόστολον τῶν Ἰουδαίων, ἐχειροτόνησε κἀμὲ ἀπόστολον τῶν ἐθνῶν.

9. Καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι Κηφᾶς καὶ Ἰάκωβος (*) καὶ Ἰωάννης,

Οὐκ ἀκούσαντες, ἀλλὰ καταμαθόντες ἀκριβῶς καὶ τοῖς πνευματικοῖς πλέον ὀφθαλμοῖς κατοπτεύσαντες τὸ δοθέν μοι χάρισμα τῆς ἀποστολῆς. Εἶδες πῶς ἔδειξε καὶ τῷ Χριστῷ εὐάρεστον τὸ κήρυγμα ἑαυτοῦ καὶ τοῖς Ἀποστόλοις; οὐ γὰρ ἄν, εἰ μὴ τοιοῦτον ἦν, ἐδόθη αὐτῷ, οὐδὲ ἐνήργησεν ἂν δι' αὐτοῦ ἡ χάρις. Τινὰ δὲ τῶν ἀντιγράφων προτεταγμένον ἔχουσιν ἐνταῦθα τὸν Ἰάκωβον κατὰ ἀδιαφορίαν ἀπαγγελίας· ἢ μέσος ὁ Πέτρος, ὡς περὶ ἑαυτὸν τούτους ἔχων, οἷα κορυφαῖος.

9. Οἱ δοκοῦντες στύλοι εἶναι,

Ἔρεισμα τῆς Ἐκκλησίας· οὓς πάντες ἐξαιρέτους ἔχουσι, καὶ ἑδραιώματα τῆς πίστεως.

9. Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας·

Ἰδόντες, φησίν, ὡς εἴρηται, καὶ γνόντες, δεξιὰς ἔδωκαν ἡμῖν κοινωνίας. Ἐπεὶ γὰρ οἱ παλαιοὶ δεῖγμα φιλοφροσύνης καὶ ὁμονοίας καὶ ἑνώσεως ἐνόμιζον τὸ τὰς δεξιὰς χεῖρας ἀλλήλαις ἐμβάλλειν, ὃ καὶ δεξίωσις ὠνομάζετο, ἀκολούθως λέγει καὶ οὗτος, ὅτι δεξιὰς ἔδωκαν ἡμῖν, σημεῖον οὔσας κοινωνίας καὶ ὁμοφροσύνης. Ὁ δὲ Βαρνάβας κοινωνὸς ἦν τῷ Παύλῳ τῆς εἰς τὰ ἔθνη ἀποστολῆς, ὑπὸ τοῦ ἁγίου Πνεύματος συναποσταλεὶς αὐτῷ.

9. Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν.

Ἵνα, καθὰ διετάξατο ὁ Κύριος, διελόμενοι τὴν Οἰκουμένην, ἡμεῖς μὲν εἰς τὰ ἔθνη κηρύττωμεν, αὐτοὶ δὲ εἰς τοὺς περιτετμημένους.

10. Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν·

Ἐπέκεινα δὲ καὶ πλεῖον ἐκείνων, ἵνα ἡμεῖς μνημονεύωμεν τῶν παρ' αὐτοῖς πτωχῶν· ἐν Ἰουδαίᾳ γὰρ οἱ πιστεύοντες ἀφῃροῦντο τὰς οὐσίας παρὰ τῶν μὴ πιστευόντων καὶ πανταχόθεν ἠλαύνοντο. Παρὰ

(*) Ἐν ἄλλ. «Ἰάκωβος καὶ Κηφᾶς». Τὸν δὲ λόγον, δι' ὃν ἔν τισι τῶν ἀντιγράφων ἡ τοιαύτη γίνεται τῶν ὀνομάτων μετάθεσις, ἐξηγεῖται ὁ Συγγραφεὺς ἐν τῇ ἑρμηνείᾳ.

δὲ τοῖς Ἕλλησιν οὐχ οὕτως ἐγυμνοῦντο τῶν ὄντων οἱ πιστεύοντες.

10. Ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

Ὃ αὐτὸ τοῦτο καὶ ἐσπούδασα ποιῆσαι· πάσας γὰρ τὰς ὑφ' ἑαυτὸν Ἐκκλησίας εἰς τοῦτο παρεκάλεσεν, ὡς ἐν ταῖς Ἐπιστολαῖς εὑρίσκομεν. Δείξας δὲ τὴν πρὸς τοὺς πρώτους Ἀποστόλους ὁμόνοιαν, ἀναγκάζεται λοιπὸν μνησθῆναι καὶ τῆς γενομένης αὐτῷ πρὸς Πέτρον ἐν Ἀντιοχείᾳ φανερᾶς διαλέξεως ἐπὶ πάντων.

Γ' Περὶ τῆς πρὸς Κηφᾶν ἀντιρρήσεως ὑπὲρ τῆς ἐν πίστει καὶ οὐκ ἐν Νόμῳ σωτηρίας.

11. Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην,

Αὐτοπροσώπως διελέχθην· αὐτὸς γὰρ αὐτῷ ἐπετίμησε, τοῦτο κἀκείνου θελήσαντος πάντως καὶ συνευδοκήσαντος κατ' οἰκονομίαν.

11. Ὅτι κατεγνωσμένος ἦν.

Οὐχ ὑπ' ἐμοῦ, οὐδ' ὑπὸ τῆς ἀληθείας, ἀλλ' ὑπὸ τῶν ἀγνοούντων τὰ τῆς διανοίας αὐτοῦ. Τίς δὲ ἡ κατάγνωσις, ἄκουσον·

12. Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου,

Τουτέστιν ἀπὸ Ἱεροσολύμων· ἐκεῖ γὰρ ὁ Ἰάκωβος ἐπεσκόπευεν, ὡς προείρηται.

12. Μετὰ τῶν ἐθνῶν συνήσθιεν·

Μετὰ τῶν πιστευσάντων ἐξ ἐθνῶν καὶ ἐν Ἀντιοχείᾳ τότε διατριβόντων.

12. Ὅτε δὲ ἦλθον,

Οἱ ἀπὸ Ἰακώβου δηλονότι, ἐκ περιτομῆς μὲν ὄντες, πιστοὶ δὲ τυγχάνοντες.

12. Ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν,

Ἀπὸ τῶν ἐξ ἐθνῶν, οὐκέτι συνεσθίων αὐτοῖς.

12. Φοβούμενος τοὺς ἐκ περιτομῆς.

Τοὺς εἰρημένους· ἤτοι τοὺς ἀπὸ Ἰακώβου. Ἐφοβεῖτο δὲ αὐτούς, ἵνα μὴ ἀποστῶσι βλέποντες τὸν διδάσκαλον αὐτῶν μετὰ τῶν ἐξ ἐθνῶν συνεσθίοντα· σφόδρα γὰρ αὐτοῦ κατέσειε τὴν ψυχὴν ὁ φόβος τῆς ἀπωλείας τῶν μαθητῶν.

13. Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι·

Οἱ πρὶν ἐλθεῖν τοὺς ἀπὸ Ἰακώβου διατρίβοντες ἐν Ἀντιοχείᾳ καὶ μηδὲ μίαν παρατήρησιν ἰουδαϊκὴν φυλάττοντες· οἱ γὰρ ἄλλοι, οἱ ἐκ περιτομῆς, ἔτι πολλὰ τῶν παρατηρήσεων τοῦ Νόμου καὶ τῶν ἐθῶν τῶν ἰουδαϊκῶν τηροῦντες, ἐφυλάττοντο συνεσθίειν τοῖς ἐξ ἐθνῶν· οἷς, ὡς ἁπαλοῖς ἔτι καὶ νεοφύτοις, οἰκονομικῷ λόγῳ συγκατέβαινεν ὁ Πέτρος, ὑποκρινόμενος ἐν καιρῷ τῶν αὐτῶν ἔχεσθαι καὶ αὐτός, ἵνα, τῆς πίστεως καλῶς ἐν αὐτοῖς παγείσης καὶ ῥιζωθείσης, ἀδεῶς ὕστερον πᾶσαν τοιαύτην ἀνέλῃ πρόληψιν.

13. Ὥςτε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.

Συνυπεκρίθησαν οὗτός τε κἀκεῖνοι τῷ Πέτρῳ τὰς εἰρημένας οἰκονομικὰς παρατηρήσεις. Ὀνομαστὶ δὲ τὸν Βαρνάβαν τέθεικε καὶ τὸ «ὥςτε» προσέθηκε, δηλῶν ὅτι (α) καὶ αὐτὸς ὁ μετ᾿ αὐτοῦ κηρύττων ἐν τοῖς ἔθνεσι Βαρνάβας καὶ μηδὲν κοινὸν πρὸς τοὺς ἐκ περιτομῆς ἔχων «συναπήχθη τῇ ὑποκρίσει».

14. Ἀλλ᾿ ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου,

Ὅτε ἔγνω ὅτι οὐδὲν πλέον ὠφελοῦνται ἀπὸ τῆς εἰρημένης συγκαταβάσεως οἱ περὶ Πέτρον, οὐδὲ οὕτως ὀρθοποδούντων ἐκείνων, πρὸς οὓς ἡ συγκατάβασις ἐγίνετο.

14. Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων·

Ἐντεῦθεν μάλιστα φανερόν, ὅτι πεπλασμένος ἦν οὗτος ὁ ἔλεγχος καὶ ἀπὸ συνθήκης ἀμφοῖν τῶν Κορυφαίων. Εἰ μὲν γὰρ τὸν Πέτρον ὁ Παῦλος ἠβούλετο διορθώσασθαι, κατ᾿ ἰδίαν τοῦτο πεποίηκεν, ὡς ὁ

(α) Τὸ χειρόγρ. «δῆλον ὅτι».

Χριστὸς ἐνετείλατο (α). Νῦν δὲ «ἔμπροσθεν πάντων» ποιεῖται τὴν ἐπιτίμησιν τῷ δοκεῖν μὲν Πέτρον ἐλέγχων, τῇ δ' ἀληθείᾳ τοὺς ἐκ περιτομῆς διορθούμενος καὶ τῶν ἰουδαϊκῶν προλήψεων εὐμεθόδως αὐτοὺς ἀπάγων. Καὶ ἦν ἡ φαινομένη νῦν ἐπίπληξις Πέτρου κεκρυμμένη διδασκαλία τῶν Πέτρου μαθητῶν, καὶ σεσοφισμένη παραίνεσις (β).

14. Εἰ σύ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐχὶ ἰουδαϊκῶς,

Εἰ σύ, φύσει Ἰουδαῖος ὤν, ζῇς δίχα τῶν προειρημένων παρατηρήσεων. Τοῦτο γὰρ ἐμφαίνει νῦν τὸ «ἐθνικῶς ζῇς». Ἀνακαλύπτει δὲ τὴν ἀκρίβειαν Πέτρου, δεικνύων ὅτι ζῶν αὐτὸς ἀπαρατηρήτως διὰ τὴν ἐλευθερίαν τοῦ Εὐαγγελίου, κατ' οἰκονομίαν ὑποκρίνεται τὴν παρατήρησιν. Καί, βλεπόντων μὲν τῶν ἐκ περιτομῆς, ὑποκρίνεται διὰ τὸ ἀσκανδάλιστον· οὐ βλεπόντων δέ, τηρεῖ τὴν ἀκρίβειαν.

14. Τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;

Ὅρα σοφίαν. Οὐκ εἶπε, διὰ τί τοὺς Ἰουδαίους ἀναγκάζεις ἰουδαΐζειν (οἱ γὰρ συνυποκριθέντες οὐκ ἐθνικοὶ ἦσαν, ἀλλ' Ἰουδαῖοι), ἀλλ' ὑπὲρ τῶν ἐθνῶν εἰςήγαγε τὴν ἐπίπληξιν, ὡςανεὶ λέγων ὅτι οἱ ἐξ ἐθνῶν βλέποντες τὴν τοιαύτην σου συγκατάβασιν ἀναγκάζονται καὶ αὐτοὶ διὰ τὸ ἀξίωμά σου φυλάττειν τὰς εἰρημένας παρατηρήσεις, οἷον τὸ σάββατον καὶ τὴν περιτομὴν καὶ τὰ τοιαῦτα· τοῦτο γὰρ δηλοῖ τὸ «ἰουδαΐζειν»· ἵνα μᾶλλον ἀναμιγνύωνται καὶ μὴ ἀποσχίζωνται τούτων οἱ ἐκ περιτομῆς. Προφάσει οὖν κηδεμονίας τῶν οἰκείων μαθητῶν ἀνεύθυνον καὶ ἐλευθέραν ἐποιήσατο τὴν ἐπιτίμησιν, καὶ σχήματι τοῦ τῶν ἐξ ἐθνῶν ἀντιποιεῖσθαι πείθει λεληθότως τοὺς ἐκ περιτομῆς ἀποστῆναι τῆς συνηθείας τῆς παλαιᾶς. Ὁ μὲν οὖν Πέτρος οὐκ ἐτόλμα τοὺς ἑαυτοῦ μαθητὰς ἀναγκάζειν ἀπέχεσθαι τῶν ἰουδαϊκῶν

(α) Ματθ. ιη', 15. — (β) Θεοφύλ. ἐν λ. «Εὐσέβιος δὲ οὐ τὸν μέγαν Πέτρον λέγει » ἐπιτιμηθῆναι παρὰ τοῦ Παύλου, ἀλλ' ἕτερόν τινα Κηφᾶν, ἕνα τῶν ἑβδομήκοντα· καὶ » κατασκευάζειν οἴεται τοῦτο, οὐκ εἰκὸς εἶναι λέγων τὸν ἀπολογησάμενον ἐν ἀρχῇ, ὅτε, » τῷ Κορνηλίῳ συμφαγών, τινὰς ἐσκανδάλισεν, αὖθις δεηθῆναι τῆς τοιαύτης ἐπιτιμή- » σεως. Ἀλλ', ὦ σοφώτατε, οὐδ' ἡμεῖς λέγομεν τὸν Πέτρον, ὡς ἀγνοοῦντα τὸ δέον, » ἐπιτιμηθῆναι παρὰ Παύλου, ἀλλ' ἑκόντα ὑποστῆναι τὴν ἐπιτίμησιν, ἵν' ἕτεροι διορ- » θωθῶσιν». Τὸ περὶ οὗ ὁ λόγος χωρίον τοῦ Εὐσεβίου ὅρ. Ἐκκλ. Ἱστ. Βιβλ. Α', κεφ. ιβ'.

προλήψεων, ἵνα μὴ ἀποπηδήσωσιν, οὔπω διὰ τὴν χρονίαν συνήθειαν ἀνεχόμενοι τούτων ἀποστῆναι. Ὁ δὲ Παῦλος, οὐδὲ αὐτὸς προςήγαγε τούτοις λόγον περὶ τοῦ πράγματος, γινώσκων ὅτι οὐδόλως αὐτῷ προςέξουσιν, οὐ μόνον ὡς ὄντι διδασκάλῳ τῶν ἐξ ἐθνῶν, καὶ τούτων ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ὡς ἐκ πολλοῦ μεμισημένῳ διὰ τὸ προδήλως διδάσκειν ἀποστασίαν, ὧν αὐτοὶ παρεφύλαττον. Λοιπὸν οὖν παρεσκεύασεν ὁ Πέτρος τὸν Παῦλον ἐπιτιμῆσαι αὐτῷ σφοδρῶς ἔμπροσθεν πάντων, ἵνα ὁ ἐπίπλαστος οὗτος ἔλεγχος δικαίαν αὐτῷ παράσχῃ πρόφασιν κατὰ τῶν ἐκ περιτομῆς μαθητῶν. Διὰ τοῦτο ὁ Πέτρος ἐπιπληττόμενος ἀνέχεται καὶ σιγᾷ καὶ οὐκ ἀντιλέγει, γνωρίζων τὴν γνώμην, μεθ' ἧς ὁ Παῦλος ἐποιεῖτο τοὺς λόγους καὶ βουλόμενος διὰ τῆς ἐσχηματισμένης ἑαυτοῦ καταδίκης ὠφεληθῆναι τοὺς μαθητάς, ὁρῶντας τὸν διδάσκαλον παρὰ τοῦ συνδιδασκάλου καὶ συγκορυφαίου φανερῶς ἐπιτιμώμενον ὑπὲρ τῶν ἰουδαϊκῶν παρατηρήσεων καὶ διὰ τοῦ σιγᾶν ὁμολογοῦντα δικαίαν τὴν ἐπιτίμησιν, καὶ λεληθότως καρπουμένους τὸ μηκέτι ταύταις ἐνέχεσθαι, μανθάνοντας ὡς οὐκέτι χρειώδεις μετὰ τὴν εἰς Χριστὸν πίστιν αἱ τοιαῦται παρατηρήσεις, καὶ μᾶλλον ἐν τῷ ἀνακαλυφθῆναι τὴν ἀκρίβειαν Πέτρου, τῇ μὲν ἀληθείᾳ ζῶντος ἀπαρατηρήτως, τῷ δοκεῖν δὲ φυλάττοντος αὐτὰς καὶ ὑποκρινομένου τοῦτο δι' οἰκονομικὴν συγκατάβασιν.

15. Ἡμεῖς φύσει Ἰουδαῖοι,

Ἀπὸ γεννήσεως Ἰουδαῖοι, ἐκ πρώτης ἡλικίας ἐντραφέντες τῷ Νόμῳ, καὶ οὐκ ἐκ προσηλύτων Ἰουδαῖοι γενόμενοι.

15. Καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί,

Καὶ οὐχ ὡς τὰ ἔθνη ἁμαρτωλοί. Οἱ μὲν γὰρ Ἰουδαῖοι, ὡς παραβαίνοντες τὸν Νόμον, εἰσὶν ἁμαρτωλοὶ μέχρις ἂν πιστεύσωσι· τὰ δὲ ἔθνη, ὡς καὶ αὐτὸν ἀγνοοῦντα τὸν Θεόν, καὶ πολύθεα, ἢ μᾶλλον ἄθεα. Κοινοποιεῖται δὲ τὸν λόγον ἐντάττων καὶ ἑαυτόν. Καὶ πρὸς τὸν Πέτρον ἔτι ἀποτείνεται δι' ἑαυτοῦ πρὸς τοὺς ἐκ περιτομῆς ποιούμενος (α)·

(α) Τὸ χειρόγρ. τὰ ἀπὸ τοῦ «καὶ πρὸς τὸν Πέτρον — ποιούμενος» ἐλλιπῶς ἀποδίδωσιν.

16. Εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων Νόμου,

Εἴπερ ἡμεῖς, φησίν, οἱ φύσει Ἰουδαῖοι (ἔτι δὲ κρέμαται ἡ ἀπόδοσις τοῦ λόγου), εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων Νόμου καὶ τὰ ἑξῆς, ὡς ἐρεῖ. Ἔργα μὲν οὖν τοῦ νόμου αἱ ἐργασίαι τῶν ἐντολῶν αὐτοῦ. Ἐπεὶ δὲ οὐδεὶς ταύτας πάσας εἰργάζετο, εἰκότως οὐδεὶς οὐ δικαιοῦται ἐξ αὐτῶν, μᾶλλον μὲν οὖν καὶ κατεδικάζοντο διὰ τοῦτο.

16. Ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ,

Εἰδότες, φησίν, ὅτι οὐδεὶς ἐξ ἔργων νόμου δικαιοῦται, εἰμὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, ἐλευθερούσης τῶν ἁμαρτημάτων τοὺς διὰ τοῦ βαπτίσματος ἀποκαθαιρομένους.

16. Καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν,

Εἰδότες, φησί, τὸ εἰρημένον καὶ ἡμεῖς εἰς αὐτὸν ἐπιστεύσαμεν.

16. Ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ,

Τῆς εἰς Χριστόν.

16. Καὶ οὐκ ἐξ ἔργων Νόμου·

Ὡς ἀνωτέρω ἡρμήνευται.

16. Ὅτι ἐξ ἔργων Νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ.

Πᾶς ἄνθρωπος, ὡς μὴ φυλάξας αὐτόν. Ἐπεὶ οὖν οὐ μόνον οὐ δικαιοῖ, ἀλλὰ καὶ καταδικάζει, ὁ δὲ Χριστὸς οὐ μόνον οὐ καταδικάζει, ἀλλὰ καὶ δικαιοῖ ἐπὶ πᾶσι τοῖς προημαρτημένοις, τίνος ἕνεκεν ἀντέχονται τοῦ καταδικάζοντος οἱ ἐκ περιτομῆς φιλονικοῦντες;

17. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ,

Διὰ Χριστοῦ· διὰ τῆς εἰς Χριστὸν πίστεως.

17. Εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί,

Τῷ καταλιπεῖν τὸν Νόμον· ἁμαρτίαν γὰρ τοῦτο ἐκάλουν οἱ ἐκ περιτομῆς.

17. Ἄρα Χριστὸς ἁμαρτίας διάκονος;

Ἐργάτης ἢ αἴτιος· αὐτὸς γὰρ διηκόνησεν εἰς τοῦτο καὶ αὐτὸς τοῦτο εἰργάσατο, διὰ τῆς εἰς αὐτὸν πίστεως ἀποσπάσας ἡμᾶς ἐκεῖθεν. Εἶτα συλλογιστικῶς εἰς ἄτοπον ἀπαγαγών, ἐπεβόησε·

17. Μὴ γένοιτο.

Εἰπεῖν τοῦτο δηλονότι. Ὁ Χριστὸς γὰρ δικαιοσύνης μᾶλλον ἐγένετο διάκονος καὶ σωτηρίας ἡμῶν.

18. Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.

« Κατάλυσιν » μὲν λέγει τὴν ἀποστροφὴν τοῦ Νόμου· « οἰκοδο-» μὴν » δὲ τὴν ἐς αὖθις ἐπιστροφήν· « παραβάτην » δέ, φησίν, ἐμαυτὸν ἀποδείκνυμαι οὐ μόνον τῶν καλῶς δεδογμένων μοι καὶ τῆς πίστεως, ἀλλὰ καὶ αὐτοῦ τοῦ Νόμου, ἐν ᾧ Μωϋσῆς ἔγραψε τὸ « Προ-» φήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς » ἐμέ, αὐτοῦ ἀκούσεσθε» (α). Τὸν Χριστὸν γὰρ ὑποδηλώσας, αὐτοῦ ἀκούειν ἐνετείλατο, καταλιπόντας τοῦ λοιποῦ τὸν Νόμον.

19. Ἐγὼ γὰρ διὰ Νόμου Νόμῳ ἀπέθανον,

Διὰ νόμου τοῦ εὐαγγελικοῦ ἀπέθανον τῷ παλαιῷ Νόμῳ· ἤγουν ἠλευθερώθην τῆς δουλείας αὐτοῦ· ὁ γὰρ δουλεύων, εἰ ἀποθάνοι, ἐλευθεροῦται λοιπόν. Ἢ καὶ ἑτέρως· δι᾽ αὐτοῦ τοῦ παλαιοῦ Νόμου αὐτῷ πάλιν ἀπέθανον· αὐτὸς γὰρ κελεύσας μοι, ὡς εἴρηται, ἀκούειν τοῦ Χριστοῦ, ἠλευθέρωσέ με ἀφ᾽ ἑαυτοῦ. Καὶ ἑτέρως δὲ πάλιν· αὐτὸς προςέταξεν ὁ Νόμος τὸν μὴ πάντα ποιοῦντα τὰ γεγραμμένα ἀποθνήσκειν. Οὐκοῦν διὰ τοῦ τοιούτου προςτάγματος αὐτοῦ ἅπαντες αὐτῷ κατεδικάσθημεν εἰς θάνατον· οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσεν. Ὥςπερ οὖν δοῦλον ἀποθανόντα οὐκ ἔστιν ἀκούειν τοῦ δεσπότου· οὕτως οὐδ᾽ ἐμὲ τοῦ Νόμου (β), διὰ τῆς ἀποφάσεως αὐτοῦ τελευτήσαντα, οὐ τὸν σωματικὸν μόνον θάνατον, ἀλλὰ καὶ τὸν ψυχικόν. Ὁ μὲν γὰρ σωματικὸς στέρησίς ἐστι τῆς ἐνταῦθα ζωῆς· ὁ δὲ ψυχικὸς τῆς ἐκεῖ· ζωὴ γὰρ ἐκεῖ κυρίως ἡ τῶν ἀγαθῶν ἀπόλαυσις.

(α) Δευτερον. ιη΄, 15. — (β) Ἀπὸ κοινοῦ πάλιν τὸ « ἀκούειν ».

19. Ἵνα Θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι.

Ἵνα, ἀπαλλαγεὶς τῆς θανατηφόρου καταδίκης ἐκείνης, ζήσω παρὰ Θεῷ, συναπέθανον τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος· αἱ γὰρ ἐν τῷ βαπτίσματι καταδύσεις θανάτου σύμβολον καὶ ταφῆς. Διπλοῦν δὲ ἐνταῦθα τὸ θαῦμα τοῦ Χριστοῦ· ὅτι τε τὸν ἤδη νεκρὸν ἐμὲ λαβὼν ἐζώωσε καὶ ὅτι διὰ θανάτου τὴν ζωὴν ἐδωρήσατό μοι· ὑπὲρ ἡμῶν γὰρ ἀποθανὼν καὶ τῆς θανατηφόρου καταδίκης ἀπαλλάξας, ζωὴν ἡμῖν ἐχαρίσατο.

19. Ζῶ δέ, οὐκέτι ἐγώ,

Ἀποθανὼν δὲ διὰ τῆς θανατηφόρου ἀποφάσεως, ὡς εἴρηται, τοῦ Νόμου, οὐκέτι ζῶ τὴν ἐν αὐτῷ ζωήν, ἢ ἁπλῶς τὴν προτέραν ζωήν, τὴν ἐν ἁμαρτίαις (ὥςπερ γὰρ ὁ Χριστὸς ἀπέθανε κατὰ σάρκα, οὕτως ἐγὼ καθ' ἁμαρτίαν, νεκρωθεῖσαν ὑπὸ τῆς νεκρώσεως τοῦ Χριστοῦ καὶ τῆς ἀπὸ τοῦ βαπτίσματος ζωῆς), ἀλλ' ἑτέραν ζωὴν ζῶ, τὴν ἀπὸ τοῦ Χριστοῦ καὶ κατὰ Χριστόν.

19. Ζῇ δὲ ἐν ἐμοὶ Χριστός.

Ὥςπερ γάρ, ὅταν ἐν ἀνθρώπῳ κρατήσῃ ἁμαρτία, αὐτὴ λέγεται ζῆν ἐν αὐτῷ, κυριεύουσα τῆς ψυχῆς καὶ πρὸς ἃ βούλεται ταύτην ἄγουσα μετὰ καὶ τοῦ σώματος· οὕτως ἐν τῷ Παύλῳ, νεκρωθείσης τῆς ἁμαρτίας, ὁ Χριστὸς ἔζη λοιπὸν ἐν αὐτῷ κυριεύων τῆς ψυχῆς αὐτοῦ καὶ κινῶν αὐτὴν τῷ ἑαυτοῦ θείῳ θελήματι καὶ ἐνεργῶν ἐν αὐτῷ. Τίς ταύτην τολμήσει ῥῆξαι τὴν φωνὴν μὴ ὢν κατὰ Παῦλον;

20. Ὃ δὲ νῦν ζῶ (*) ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ,

Τὰ μὲν εἰρημένα μοι, φησί, περὶ τῆς νοερᾶς εἰσι ζωῆς. Εἰ δὲ καὶ περὶ τῆς αἰσθητῆς ταύτης ζωῆς, ἣν νῦν ζῶ ἐν σαρκί, βούλεταί τις μαθεῖν, καὶ αὕτη διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστὸν γέγονέ μοι· ὅσον γὰρ ἀπὸ τοῦ Νόμου πάλαι ἂν ἀπόλωλεν, ὡς προδιείληπται. Ἀλλ' ἐλθὼν ὁ Χριστὸς καὶ εἰς θάνατον ἑαυτὸν ἐκδούς, πάντας ἐξήρ-

---

(*) Ἡ λέξις «ζῶ» οὐ κεῖται ἐν τῷ χειρογράφῳ, ἕνεκα τῆς τοῦ ἀντιγράψαντος πλημμελείας· ἐν γὰρ τῇ ἑρμηνείᾳ ἀναγινώσκομεν «περὶ τῆς. . . ζωῆς, ἣν νῦν ζῶ ἐν σαρκί».

πασεν ἀπὸ τοῦ ἐπηρτημένου θανάτου τοὺς πιστεύοντας εἰς αὐτόν.

20. Τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

Τί ποιεῖς, ὦ Παῦλε, τὰ κοινὰ σφετεριζόμενος καὶ τὰ ὑπὲρ τῆς Οἰκουμένης γεγενημένα ἰδιοποιῶν; Πυρωθεὶς γὰρ ὑπὲρ τοῦ πρὸς τὸν Χριστὸν πόθου τοιαῦτα φθέγγεται· δεικνὺς ὅτι ἕκαστον ἡμῶν χρὴ τοσαύτην ὁμολογεῖν τῷ Χριστῷ χάριν, ὅσην ἂν εἰ δι' αὐτὸν μόνον ἔπαθε καὶ ἀπέθανεν. Οὕτω ἕκαστον ἀνθρώπων τοσοῦτον ὁ Χριστὸς ἀγαπᾷ, [ὅσον] (α) πᾶσαν τὴν Οἰκουμένην. Ἐντρέπει δὲ αὐτοὺς ὁ λόγος, ὡς ἀθετοῦντας αὐτὴν (β) τῷ ζητεῖν τὸν Νόμον.

21. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ (*)·

[Ἐπειδὴ τὰ ἀπὸ τῶν λογισμῶν τέθεικεν, ἀποφαίνεται λοιπόν, ὅτι οὐκ ἀποσείομαι τὴν τοῦ Χριστοῦ δωρεάν, ἥν μοι ἐχαρίσατο, δικαιώσας με χωρὶς ἔργων τῷ θανάτῳ αὐτοῦ, οὐδὲ τῷ Νόμῳ προστρέχω] (γ).

21. Εἰ γὰρ διὰ Νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

Εἰ γὰρ ὁ Χριστὸς μὲν ἀπέθανε διὰ τὸ μὴ τὸν Νόμον ἰσχύειν δικαιοῦν ἡμᾶς, διὰ τοῦ Νόμου δὲ ἡ δικαιοσύνη δίδοται, ὡς λέγουσιν οἱ ἀπατεῶνες, ἄρα ὁ Χριστὸς μάτην ἀπέθανε καὶ περιττός ἐστιν ὁ τούτου θάνατος, εἴ γε κατ' αὐτοὺς ὁ Νόμος ἰσχύει δικαιοῦν. Εἶτα ἐννοήσας τὴν ὑπερβολὴν τῆς τοιαύτης ἀτοπίας, καὶ ὑβρίζει τούτους λέγων·

(α) Τὸ «ὅσον» λείπει ἐκ τοῦ χειρογράφου. — (β) Δηλαδὴ τὴν πρὸς τὸν Χριστὸν χάριν. — (*) Ὁλόκληρος ὁ στίχος οὗτος οὐ κεῖται ἐν τῷ χειρογράφῳ. Λείπει δ' ὁμοίως καὶ ἡ εἰς αὐτὸν τοῦ Συγγραφέως ἐξήγησις. Ἀμφότερα, ὡς ἔοικεν, ἐξ ἀπροσεξίας τοῦ ἀντιγραφέως. — (γ) Τὰ παρεντεθειμένα ταῦτα ἐλήφθησαν ἐκ τῆς ἑρμηνείας τοῦ Θεοφυλάκτου πρὸς συμπλήρωσιν τοῦ κενοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

Δ' Ὅτι διὰ πίστεως ἁγιασμὸς καὶ οὐ διὰ Νόμου.

1. Ὦ ἀνόητοι Γαλάται,

Ὦ μὴ νοοῦντες τὴν ἀλήθειαν, μηδὲ δυνάμενοι διακρίνειν τὸ ψεῦδος. Εἰ γὰρ καὶ ὁ Χριστὸς ἐκέλευσε μὴ ὀνομάζειν μωρὸν τὸν ἀδελφόν, ἀλλὰ τὸ « εἰκῇ » καὶ ἐπ' ἐκείνου νοήσομεν (α). Ἐνταῦθα δὲ οὐ μάτην, οὐδὲ ὡς ἔτυχε ταύτην αὐτοῖς προςάπτει τὴν προςηγορίαν, ἀλλὰ καὶ λίαν εὐκαίρως καὶ δικαίως, οἷα τὴν τοῦ Χριστοῦ χάριν ἀθετοῦσι διὰ τοῦ ἐπικλίνεσθαι τῷ Νόμῳ καὶ μὴ αἰσθανομένοις αὐτοῖς.

1. Τίς ὑμᾶς ἐβάσκηνε τῇ ἀληθείᾳ μὴ πείθεσθαι;

Ποῖος δαίμων ὑμῖν ἐφθόνησε τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς; δαίμονος γὰρ βασκανία τὸ γενόμενον, σφοδρότερον καθ' ὑμῶν πνεύσαντος καὶ κινήσαντος τοὺς ἀπατεῶνας εἰς ἐμπόδιον τῆς κατὰ Θεὸν πορείας ὑμῶν. Ὅρα δὲ ὅτι μετὰ τὸ ἀποδεῖξαι τὸ ἑαυτοῦ κήρυγμα εὐάρεστον καὶ τῷ Χριστῷ καὶ τοῖς Ἀποστόλοις, τότε λοιπὸν ἐπάγει τούτοις τὴν ἐπιτίμησιν ἀδεῶς·

1. Οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυρωμένος.

« Οἷς ἐν ὑμῖν », ἀντὶ τοῦ ἐν οἷς ὑμῖν κατ' ὀφθαλμοὺς τοὺς τῆς ψυχῆς, προεζωγραφήθη διὰ τοῦ κηρύγματος ὁ Χριστὸς ἐσταυρωμένος καὶ εἴδετε αὐτὸν τοῖς τῆς πίστεως ὀφθαλμοῖς καὶ οὕτω διετέθητε πρὸς αὐτὸν θερμῶς, ὡς καὶ τοῖς τοῦ σώματος ὁρῶντες αὐτὸν ἐσταυρωμένον. Διὰ δὲ τῆς σταυρώσεως καὶ τἆλλα πάθη, ὅσα δι' ἡμᾶς πέπονθεν, ᾐνίξατο. Πῶς οὖν τῆς τηλικαύτης ἐπελάθεσθε χάριτος καί, τοῦτον ἀφέντες, ἐπὶ τὸν Νόμον ὁρᾶτε;

2. Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων Νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως;

Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἵνα συντόμως ὑμᾶς ἐλέγξω

(α) Ματθ. έ, 22.

ἀγνώμονας. Εἶτα ἐρωτᾷ ὅτι τὰ πνευματικὰ χαρίσματα καὶ διάφορα, περὶ ὧν ἡ πρὸς Κορινθίους πρώτη ἐπιστολὴ διέξεισι (α) (ταῦτα γὰρ νῦν ἡ λῆψις τοῦ Πνεύματος ἐδήλωσεν), ἐξ ἔργων Νόμου ἐλάβετε, ὡς τὰς ἐντολὰς αὐτοῦ ἐργαζόμενοι, ἢ ἐξ ἀκοῆς πίστεως; ἤγουν ἐκ τοῦ ὑπακοῦσαι τῇ πίστει; Μανίας οὖν ἐσχάτης τοσαῦτα παρὰ τῆς πίστεως εὐεργετηθέντας μεταδιώκειν Νόμον, τὸν οὐδὲν τοιοῦτον παρασχεῖν δυνάμενον.

2. Οὕτως ἀνόητοί ἐστε;

Κατ' ἐρώτησιν ὁ λόγος. Εἶτα προστίθησι καὶ διὰ τί τούτους προςηγόρευσεν «ἀνοήτους».

3. Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε.

Οὐ μόνον οὐκ ἐπεδώκατε, ἀλλὰ καὶ εἰς τοὐπίσω κατηνέχθητε. Ἐναρξάμενοι πνευματικῶς, εἰς τὰ σαρκικὰ κατελύσατε. Τὸ μὲν γὰρ σημεῖα ποιεῖν πνευματικόν, τὸ δὲ περιτέμνεσθαι σαρκικόν. Μετὰ γοῦν τὸ δράξασθαι τῆς ἀληθείας ἐπὶ τοὺς τύπους κατωλισθήσατε. Μετὰ τὸ μετασχεῖν τοῦ ἡλίου τὸν λύχνον ἐπεζητήσατε. Μετὰ τὴν στερεὰν τροφὴν ἐπὶ τὸ γάλα τρέχετε. «Ἐπιτελεῖσθε» δὲ εἶπεν, ἀντὶ τοῦ ἐνεργεῖσθε, δίκην θρεμμάτων ἑαυτοὺς ἐκδόντες τοῖς τέμνουσι μᾶλλον ἢ περιτέμνουσιν.

4. Τοσαῦτα ἐπάθετε εἰκῇ.

Τοσαῦτα ὑπεμείνατε μάτην· ὅσους γὰρ πειρασμοὺς διὰ Χριστὸν ὑπεμείνατε, ματαίους καὶ ἀνοήτους ἀποδείκνυσιν ἡ πρὸς αὐτὸν αὕτη ἀγνωμοσύνη ὑμῶν. Εἶτα, ἵνα μὴ κατασείσῃ παντελῶς αὐτῶν τὴν ψυχὴν καὶ ἐκλύσῃ τὰ νεῦρα, θεραπεύει τὸ ῥηθέν. Ἐπήγαγε γάρ·

4. Εἴ γε καὶ εἰκῇ.

Εἴ γε καὶ εἰκῇ ταῦτα γένοιντο, μὴ διορθουμένων ὑμῶν. Ὡς εἴ γε διορθωθείητε, οὐκ εἰκῇ ταῦτα λογισθείη (β).

(α) Α' Κορινθ. ια', 8-11. — (β) Οἰκουμ. ἐν λ. «εἴ γε καὶ εἰκῇ», ἀλλὰ μὴ καὶ ἐπι» ζημίως. «Εἰκῇ» μὲν γάρ ἐστι τὸ μηδὲν μήτε προςλαβεῖν, μήτε ἀποθέσθαι· ὁ δὲ ἐναρ» ξάμενος πνεύματι, καὶ διὰ τοῦτο πολλοῖς περιπεσὼν πειρασμοῖς, εἶτα μεταβαλόμενος, » οὐ μόνον εἰκῇ ἔπαθεν ἅπερ ἔπαθεν, ἀλλὰ καὶ ἐπιζημίως, ἀπολέσας ἃ ἀπέκειτο αὐτῷ » διὰ τὰς ὑπὲρ Χριστοῦ θλίψεις καὶ τοὺς πειρασμοὺς ἔπαθλα».

5. Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων Νόμου, ἢ ἐξ ἀκοῆς πίστεως;

Πάλιν ἐρωτᾷ ὅτι ὁ Θεός, ὁ τὰ ῥηθέντα ποιήσας ἐν ὑμῖν, ἐξ ἔργων Νόμου τὸ Πνεῦμα ἐπεχορήγησεν ὑμῖν καὶ ἐνήργησε τὰ σημεῖα, ἢ ἐξ ὑπακοῆς τῆς πίστεως; Πρόδηλον ὅτι διὰ τὴν πίστιν. Εἶτα καὶ τὸν Ἀβραὰμ εἰς μέσον ἄγει· πολὺς γὰρ τοῦτο λόγος ἦν παρ' αὐτοῖς, καὶ ἀπὸ τούτου πάλιν αὐτοὺς ἐλέγχει, δικαιωθέντος οὐκ ἐκ Νόμου, ἀλλ' ἐκ πίστεως.

6. Καθὼς Ἀβραὰμ

« Ἐδικαιώθη » δηλονότι· ταῦτα γὰρ προσυπακουστέον.

6. Ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην (α).

« Ἐπίστευσε τῷ Θεῷ », περὶ ὧν προεῖπεν αὐτῷ, καθὼς εἴρηται σαφῶς ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ (β), καὶ ἐδικαιώθη ἀπὸ μόνου τοῦ πιστεῦσαι. Τί οὖν ἐβλάβη μὴ γενόμενος ὑπὸ Νόμον; Ἀλλ' οὔπω, φησίν, ὁ Νόμος ἐδόθη. Ἀλλ' οὐδὲ νῦν ἐστιν ὁ Νόμος· πέπαυται γάρ. Ἐπεὶ δὲ ἐδεδοίκεσαν οἱ ἐκ περιτομῆς μὴ τὸν Νόμον ἀφέντες ἀλλοτριωθῶσι τῆς συγγενείας τοῦ Ἀβραάμ, λύει καὶ τὸν φόβον τοῦτον, δεικνὺς ὅτι τὴν πρὸς ἐκεῖνον συγγένειαν οὐχ ἡ φύσις, ἀλλ' ἡ πίστις ἐργάζεται. Τοῦτο δὲ σαφέστερον μὲν ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ κατεσκεύασε, λέγει δὲ καὶ νῦν·

Ε' Ὅτι καὶ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη εἰς τύπον ἡμῶν.

7. Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ.

Προστακτικόν ἐστι τὸ « γινώσκετε » ὅτι οἱ τῆς πίστεως ὄντες, οὗτοί εἰσιν υἱοὶ τοῦ Ἀβραάμ, ὁμοιούμενοι αὐτῷ διὰ τῆς μιμήσεως τὰ κατὰ τὴν πίστιν.

8. Προϊδοῦσα δὲ ἡ Γραφή, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεός, προευηγγελίσατο τῷ Ἀβραὰμ ὅτι « εὐλογηθήσον- » ται ἐν σοὶ πάντα τὰ ἔθνη » (γ).

(α) Γέν. ιε', 6. — (β) Ῥωμ. δ', 3. — (γ) Γέν. ιβ', 3. κβ', 18.

« Γραφὴν » ἐνταῦθα λέγει τὸν τοῦ γραπτοῦ νόμου δοτῆρα Θεόν. « Προευηγγελίσατο » δὲ τῷ Ἀβραὰμ ὅτι εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη, τουτέστι πάντες οἱ ἐξ ἐθνῶν πιστεύοντες. Τί δέ ἐστι τὸ « ἐν σοί »; ἀντὶ τοῦ ἐν τῇ σῇ μιμήσει, ἐν τῇ κατὰ πίστιν πρὸς σὲ ὁμοιώσει.

9. Ὥςτε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.

Σὺν Ἀβραὰμ τῷ ἐκ πίστεως δικαιωθέντι. Συλλογιστικὴ δὲ ἡ ἀπόδειξις·

ϛ' Ὅτι Νόμος οὐ δικαιοῖ, ἀλλ' ἐλέγχει καὶ κατάραν ἐπιτίθησιν, ἣν λύει ὁ Χριστός.

10. Ὅσοι γὰρ ἐξ ἔργων Νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν·

Ὥςπερ ἀνωτέρω εἶπεν ὅτι « οἱ ἐκ πίστεως », ἀντὶ τοῦ οἱ τοῦ μέρους τῆς πίστεως, οὕτω καὶ νῦν « ὅσοι ἐξ ἔργων Νόμου » ἀντὶ τοῦ ὅσοι τοῦ μέρους τῶν ἔργων τοῦ Νόμου, δι' ἐκείνου μὲν δηλῶν τοὺς ὁμολογοῦντας δικαιοῦσθαι ἐκ πίστεως, διὰ τούτου δὲ τοὺς φιλονικοῦντας δικαιοῦσθαι ἐξ ἔργων Νόμου. Δείξας οὖν ἐκείνους ὑπὸ εὐλογίαν, δείκνυσι τούτους ὑπὸ κατάραν ὄντας. Δείκνυσι δὲ τοῦτο ἀπὸ Γραφῆς, τῆς τοῦ Δευτερονομίου·

10. Γέγραπται γάρ· « ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν » πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ Νόμου, τοῦ » ποιῆσαι αὐτά » (α).

Οὐχ ὥςτε ἁπλῶς ἀναγινώσκειν, ἀλλ' ὥςτε ποιῆσαι τὰ γεγραμμένα καὶ ἀναγινωσκόμενα.

11. Ὅτι δὲ ἐν Νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον· « ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται » (β).

Δῆλον ἐντεῦθεν· καὶ γὰρ εἴρηκε διὰ τοῦ Ἀβραὰμ (γ) οὕτως· « ὁ » δίκαιος ἐκ πίστεως ζήσεται »· τουτέστιν ὁ δικαιούμενος ζῆν ἐκ πίστεως ζήσεται. Ἐπεὶ γὰρ ὁ Νόμος θάνατον κατεδίκαζε τῶν παραβαινόντων αὐτόν, προῳκονόμησεν ὁ Θεὸς τὴν πίστιν, ἵνα αὕτη τοὺς πι-

(α) Δευτερον. κζ', 26. — (β) Ἀββακ. β', 4. — (γ) Γράφε « Ἀββακούμ ».

στεύοντας ἐξέληται ἀπὸ τοῦ καταψηφισθέντος θανάτου, δικαιοῦσα τούτους ζῆν δι' αὐτήν. Διὸ καὶ ἄνωθεν τὰ περὶ αὐτῆς προηγορεύθη.

12. Ὁ δὲ Νόμος οὐκ ἔστιν ἐκ πίστεως·

Οὐκ ἐνεργεῖται ἐκ πίστεως μόνης, ἀλλὰ καὶ ἐξ ἐργασίας τῶν ἐντολῶν αὐτοῦ. Ἡ δὲ πίστις οὐδὲν πλέον ἐπιζητεῖ πρὸς ἐλευθερίαν τῶν προημαρτημένων.

12. Ἀλλ' « ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς » (α).

Ὥςπερ ἐν τῷ Δευτερονομίῳ (β) καὶ πάλιν γέγραπται. Καὶ τοῦτο γὰρ ἐκεῖθεν ἔλαβε, δηλοῦν ὅτι ὁ ποιήσας τὰ γεγραμμένα ἐν τῷ Νόμῳ, οὗτος ζήσεται δι' αὐτῶν, ἐκφεύγων τὸν ἐπηρτημένον τοῖς παραβαίνουσι θάνατον. Ὥςπερ δέ τινος ὑποκρούσαντος, τίς οὖν ἡμᾶς ἐλευθερώσει ἀπὸ τῆς κατάρας τοῦ Νόμου, εἴπερ αὐτὸν ἀπολείψομεν, φησί·

13. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ Νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· « ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου » (γ).

« Ἡμᾶς » τοὺς ὑπὸ τοῦ Νόμου καταραθέντας, ὡς μὴ ἐμμείναντας ταῖς ἐντολαῖς αὐτοῦ, καθὼς ἀνωτέρω διείληπται. Ἐξηγόρασε δὲ ἡμᾶς γενόμενος ὑπὲρ ὑμῶν κατάρατος, τουτέστιν ὑποστὰς κατάραν, ἑτέραν μὲν παρὰ τὴν προειρημένην, ἀπὸ τοῦ Δευτερονομίου δὲ καὶ αὐτήν. Ἐπεὶ γὰρ ὁ διὰ τοῦ σταυροῦ ἀνασκολοπισμὸς ἐκείνοις ἐπήγετο, τοῖς τὰ χαλεπώτατα πεπλημμεληκόσι, κατηραμένον ἀπέφηνεν ὁ Νόμος τὸν σταυρούμενον, ὡς ἐσχάτως ἡμαρτηκότα. Ὁ τοίνυν Χριστὸς ὑπὲρ ἡμῶν σταυρωθεὶς καὶ ὑποπεσὼν τῇ κατάρᾳ, ἧς ἦν ἐλεύθερος, ὡς μὴ μόνον ἐσχάτως μὴ ἁμαρτήσας, ἀλλὰ καὶ ὡς ἀναμάρτητος ὢν παντάπασι, διὰ τοῦ καταραθῆναι ἠλευθέρωσε τοὺς καταραθέντας. Ἐπεὶ γὰρ καὶ ὁ τὸν Νόμον παραβαίνων ἐπικατάρατος, καὶ ὁ κρεμάμενος ἐπὶ ξύλου ἐπικατάρατος, ἔδει δὲ τὸν μέλλοντα λύειν τὴν κατάραν τῆς παραβάσεως, ἀνεύθυνον ἐκείνης γενέσθαι, πεπλήρωκε μὲν τὸν νόμον ἑτέραν δὲ κατάραν ἀνθυποστάς, διὰ ταύτης ἐκείνην ἔλυσεν. Κατηράθη γὰρ ἀνθ' ἡμῶν, ἵνα ἡμᾶς ἐκείνης ἀπαλλάξῃ· καὶ δοὺς

(α) Λευϊτ. ιή, 5. — (β) Γράφε « Λευϊτικῷ ». — (γ) Δευτερον. κα', 23.

ἑαυτὸν εἰς κατάραν, ὥςπερ τίμημα καὶ ἀντίλυτρον, ἐξηγόρασε καὶ ἐλυτρώσατο ἡμᾶς, ὡς δεδήλωται.

14. Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ,

Προείρηκε γὰρ ἔτι τῷ Ἀβραὰμ ὁ Θεός, ὡς ἡ βίβλος τῆς Γενέσεως διέξεισιν, ὅτι «ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ » ἔθνη » (α). Γέγονε τοίνυν ὁ Χριστὸς ὑπὲρ ἡμῶν κατάρα, ὡς εἴρηται, ἵνα δι' αὐτοῦ μέσου γένηται εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραάμ. Σπέρμα γὰρ τοῦ Ἀβραὰμ τὸν Χριστὸν ὁ χρησμὸς ἐδήλου (ἐκ τοῦ ἀβραμιαίου γὰρ σπέρματος ἡ κατὰ σάρκα μήτηρ αὐτοῦ), ἀλλ' οὐ τοὺς Ἰουδαίους. Πῶς γὰρ ἔχοι λόγον τοὺς ὑπευθύνους τῇ κατάρᾳ διὰ τὴν παράβασιν, τούτους ἑτέροις εὐλογίας αἰτίους γίνεσθαι, ἧς αὐτοὶ ἀπεστερήθησαν; Δῆλον οὖν ὡς οὐ τούτους, ἀλλὰ τὸν Χριστὸν ὁ Θεὸς ὠνόμασε σπέρμα τοῦ Ἀβραάμ, δι' οὗ ἦλθεν ἐπὶ τὰ ἔθνη ἡ ἐπαγγελθεῖσα τῷ Ἀβραὰμ εὐλογία.

14. Ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

Ἵνα τῆς κατάρας ἀφεθέντες καὶ εὐλογηθέντες ἐπισπασώμεθα τὴν χάριν τοῦ Πνεύματος διὰ τῆς πίστεως, τὴν ἐπαγγελθεῖσαν διὰ τοῦ Προφήτου Ἰωήλ· «ἐκχεῶ γάρ, φησίν, ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ » πᾶσαν σάρκα » (β)· δηλαδὴ τοὺς πιστεύσαντας.

Ζ' Ὅτι οὐκ ἐκ Νόμου, ἀλλ' ἐξ ἐπαγγελίας τὰ ἀγαθά·
ὁ δὲ Νόμος παρασκευαστὴς δι' ἐλέγχου.

15. Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω·

Ἄνω μὲν «ἀνοήτους» αὐτοὺς ἐκάλεσεν· ἐνταῦθα δὲ «ἀδελφούς», νῦν μὲν ἐπιστύφων, νῦν δὲ παραμυθούμενος. Τί δέ ἐστι «κατὰ ἄν» θρωπον λέγω»; ἐξ ἀνθρωπίνων παραδειγμάτων. Ἐπειδὴ γὰρ καὶ ἀπὸ Γραφῶν καὶ ἀπὸ τῶν παρ' αὐτοῖς χαρισμάτων, καὶ ἀφ' ὧν ὁ Χριστὸς ἔπαθε, καὶ ἀπὸ τοῦ Πατριάρχου συνέστησεν ἐπικρατεστέραν

(α) Γέν. ιβ', 3. κβ', 18. — (β) Ἰωήλ, β', 28, 29.

τοῦ Νόμου τὴν πίστιν, λοιπὸν ἐκβαίνει καὶ εἰς τὴν κοινὴν συνήθειαν καί φησιν·

15. Ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται.

Τὸ «ὅμως», ἀντὶ τοῦ πάντως. Λέγει δὲ ὅτι ἀνθρώπου διαθήκην πρὸ τοῦ θανάτου αὐτοῦ κεκυρωμένην οὐδεὶς ἀθετεῖ, ἢ ἐπὶ πλέον διατάσσεται κατὰ προςθήκην αὐτῆς. Εἰ δὲ ἐπὶ ἀνθρώπου τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ, διαθεμένου πρὸς Ἀβραάμ.

16. Τῷ δὲ Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ.

«Αἱ ἐπαγγελίαι», ὅσαι παρὰ Θεοῦ αὐτῷ ἐπηγγέλθησαν.

16. Οὐ λέγει· καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός· καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός.

«Οὐ λέγει» ὁ Θεὸς πρὸς τὸν Ἀβραὰμ ὅτι καὶ τοῖς σπέρμασί σου δώσω ἃ ἐπαγγέλλομαι, ὥςτε ἐπὶ πολλῶν ῥηθῆναι τὸ «τοῖς σπέρμασιν», ὥςτε πολλοὺς νοεῖσθαι διὰ τῆς πληθυντικῆς σημασίας· ἀλλ' ὡς ἐφ' ἑνὸς λέγει ὅτι «καὶ τῷ σπέρματί σου» ὡς ἑνὸς νοουμένου, ὅς ἐστι Χριστός, καθὼς προαποδέδεικται.

17. Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ Θεοῦ εἰς Χριστόν, ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γεγονὼς Νόμος οὐκ ἀκυροῖ,

«Τοῦτο δέ, φησί, λέγω» δι' ὧν ἐπεχείρησα λέγειν· τοῦτο συνιστῶ, ὅτι «διαθήκην προκεκυρωμένην ὑπὸ Θεοῦ εἰς Χριστόν», τουτέστι πρὸ πολλῶν ἐτῶν κεκυρωμένην ὑπὸ Θεοῦ διὰ τὸν Χριστόν, ἤτοι περὶ τοῦ Χριστοῦ, «οὐκ ἀκυροῖ ὁ Νόμος» ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη δοθείς. «Διαθήκην» δὲ λέγει τὰς πρὸς Ἀβραὰμ ῥηθείσας ἐπαγγελίας περὶ τοῦ σπέρματος αὐτοῦ, ἤτοι τοῦ Χριστοῦ.

17. Εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.

«Οὐκ ἀκυροῖ» αὐτήν, ὥςτε καταργῆσαι τὰς ἐπαγγελίας τῆς προρρηθείσης εὐλογίας, ἣν διὰ μέσου τοῦ Χριστοῦ τὰ ἔθνη δέξασθαι ἔμελλον.

18. Εἰ γὰρ ἐκ Νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας.

Εἰ γὰρ ἐκ Νόμου δίδοται ἡ κληρονομία, ἣν ἡ προρρηθεῖσα διαθήκη τῶν πρὸς Ἀβραὰμ ἐπαγγελιῶν ὑπέσχετο δώσειν, οὐκέτι ἐξ ἐπαγγελίας τῆς διαθήκης ἐκείνης δίδοται. Εἰ δὲ ἐξ ἐκείνης οὐ δίδοται, διέπεσεν ἄρα ἐκείνη ἡ διαθήκη καὶ ἠκυρώθη. Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον;

18. Τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός.

Δι' ἐπαγγελίας τὴν χάριν ἐποίησεν. Ἀψευδὴς δὲ ὁ ἐπαγγειλάμενος αὐτῷ.

19. Τί οὖν ὁ Νόμος;

Ἐρωτᾷ· εἶτα ἀποκρίνεται. Ἐρωτᾷ δὲ εἰς τί ὁ Νόμος ἐδόθη, καὶ τίνος ἕνεκεν;

19. Τῶν παραβάσεων χάριν προςετέθη,

Οὔκ ἐστι, φησί, περιττός, ἀλλὰ καὶ πάνυ χρήσιμος· προςετέθη γὰρ διὰ τὰς παραβάσεις, ἵνα μὴ παραβαίνωσι τὴν ἀρέσκειαν τοῦ Θεοῦ οἱ ἐξ Ἀβραάμ· ἵνα μὴ παρὰ τὴν εὐθεῖαν πολιτευόμενοι περιπίπτωσι κρημνοῖς ἀσεβείας καὶ ἀτόπων πράξεων· ἵνα μὴ τὴν τοῦ προγόνου αὐτῶν Ἀβραὰμ θεοσέβειαν παραβαίνωσιν. «Προςετέθη» δὲ εἰπών, ἐνέφηνεν ὅτι εἰς βοήθειαν προςετέθη τοῦ μὴ διαπεσεῖν τὰς ἐπαγγελίας ἐξ ἀδιαφορίας τῶν καταγομένων ἐκ γένους Ἀβραάμ.

19. Ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται,

Προςετέθη δὲ ὁ Νόμος οὐχ ὥςτε δι' ὅλου παραμένειν, ἀλλ' ὥςτε μένειν ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπηγγείλατο ὁ Θεὸς διὰ μέσου τοῦ Ἀβραάμ, ὅσα ἐκείνῳ ἐπηγγείλατο· τὸ δέ ἐστιν ὁ Χριστός, ὡς εἴρηται. Ἐπεὶ οὖν ὁ Χριστὸς ἦλθεν, ἐσχόλασεν ὁ Νόμος λοιπόν.

19. Διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου.

Προςετέθη, φησίν, ὁ ῥηθεὶς δι' ἀγγέλων, διακονησάντων εἰς ἀπαγγελίαν αὐτοῦ· ὁρισθεὶς δὲ «ἐν χειρὶ μεσίτου», ἤγουν ἐν ἐξουσίᾳ, ἐν δυναστείᾳ, ἐν προστάγματι τοῦ Χριστοῦ· τοῦτον γὰρ καλεῖ «μεσίτην», ὡς μεσιτεύσαντα Θεῷ καὶ ἀνθρώποις καὶ καταλλάξαντα

αὐτῷ τούτους ἐκπεπολεμωμένους διὰ τὴν ἀσέβειαν αὐτῶν. Νοοῦνται δὲ ἄγγελοι καὶ οἱ ἱερωμένοι Μωϋσῆς τε καὶ Ἀαρών. Προείρηται γὰρ ὅτι καὶ οἱ ἱερεῖς ἄγγελοι προςαγορεύονται. Ἔδειξε δὲ ὅτι καὶ τὸν Νόμον ὁ Χριστὸς ἔδωκεν. Ὁ δὲ δοὺς καὶ τοῦ λῦσαι Κύριος ἐστίν.

20. Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν·

Ἑνὸς μέρους οὐκ ἔστι μεσίτης, ἀλλὰ δύο τέως.

20. Ὁ δὲ Θεὸς εἷς ἐστιν.

Ὁ δὲ Πατήρ ἐστι τῶν οἷς ὁ υἱὸς ἐμεσίτευσεν· ἢ ἐπειδὴ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἐνέφηνε, λοιπὸν ἐπήγαγεν, ὅτι εἷς ἐστιν ὁ Θεὸς ἐν ἀμφοτέροις· μία γὰρ ἀμφοῖν ἡ θεότης, εἰ καὶ Θεός ἐστιν ἑκάτερος τούτων.

21. Ὁ οὖν Νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ;

Ἐρωτᾷ· ἄρα εἰς ἀναίρεσιν ἐπειςήχθη τῶν διὰ τῆς πρὸς Ἀβραὰμ διαθήκης ἐπαγγελιῶν τοῦ Θεοῦ; Εἰ γὰρ ἐκεῖναι μὲν εὐλογίαν ἐπαγγέλλονται, οὗτος δὲ κατάραν εἰςάγει, ἄρα ἀνεῖλεν αὐτάς; Εἶτα ταχέως ἀπαγορεύει τὸ ἄτοπον τοῦ τοιούτου λόγου λέγων·

21. Μὴ γένοιτο·

Τὸ οὕτως ὁμολογεῖν.

21. Εἰ γὰρ ἐδόθη Νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ Νόμου ἦν ἡ δικαιοσύνη.

Εἰ ἐδόθη Νόμος ὁ δυνάμενος ζωοποιῆσαι τοὺς Ἑβραίους, ὡς φυλάττοντας αὐτοῦ τὰς ἐντολὰς καὶ διὰ τοῦτο φεύγοντας τὸν ἀπηρτημένον τοῖς παραβαίνουσι θάνατον καὶ δικαιουμένους ζῆν, ὄντως ἂν ἐκ τοῦ Νόμου ἦν ἡ δικαιοσύνη τοῦ ζῆν, καὶ ἐκεῖθεν ἂν ἐδέδοτο τὸ δικαιοῦσθαι ζῆν καὶ ἀνήρηται οὕτως ἡ διαθήκη τῶν εἰρημένων ἐπαγγελιῶν. Ἐπεὶ δὲ οὐκ ἠδυνήθη τοῦτο, καίτοι σφόδρα βουλόμενος (διὰ γὰρ τοῦτο καὶ ἐδόθη, καὶ τοῦτο σκοπὸς αὐτῷ), πρόδηλον ὡς οὐκ ἀπὸ τούτου ἡ δικαιοσύνη δίδοται, ἀλλ' «ὁ δίκαιος, ὡς προείρηται, ἐκ » πίστεως ζήσεται» (α). Οὐκ ἠδυνήθη δέ, διὰ τὴν ἀπείθειαν καὶ σκληρότητα ἢ καὶ ἀσθένειαν τῶν δεξαμένων αὐτόν.

(α) Ῥωμ. ά, 17.

22. Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν,

Ἀλλὰ μᾶλλον ἕτερον ἐποίησεν ἡ Γραφὴ τοῦ Νόμου, τουτέστιν ὁ γραπτὸς οὗτος Νόμος, συνέλαβε δίκην σαγήνης τοὺς πάντας ὑπὸ ἁμαρτίαν, ἅτε ἐλέγξας αὐτοὺς καὶ δείξας ὄντας ἁμαρτωλούς. Ἐπειδὴ γὰρ τῶν ἰδίων ἁμαρτημάτων οὐκ ᾐσθάνοντο, μὴ αἰσθανόμενοι δέ, οὐδὲ ἀφέσεως ἐπεθύμουν, ἔλαβον τὸν Νόμον ἐλέγχοντα τὰ τραύματα τούτων, ἵνα ποθήσωσι τὸν ἰατρόν, καὶ ἐλθόντα ἀποδέξωνται ἀσπασίως οἱ συνετώτεροι.

22. Ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.

«Ἡ ἐπαγγελία» τῆς εὐλογίας, ἢ τῆς ἐκ πίστεως ζωῆς· «ὁ δί-» καιος γάρ, φησίν, ἐκ πίστεως ζήσεται», ὡς ἀνωτέρω καὶ εἴρηται καὶ ἡρμήνευται. Ὥςτε ὁ Νόμος προωδοποίει τῇ πίστει, εἰς ἐπιθυμίαν ἄγων ἀφέσεως τῷ τῆς κολάσεως φόβῳ, ἥν τινα ἄφεσιν ἡ πίστις ἔμελλε χαρίζεσθαι.

23. Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ Νόμου ἐφρουρούμεθα,

Παρέχοντος ἡμῖν ἀσφάλειαν, καὶ κωλύοντος ἀπὸ πλειόνων ἁμαρτημάτων δίκην περιτειχίσματος.

23. Συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι.

Ὥςπερ ἐν φρουρίῳ τινὶ τῷ φόβῳ τοῦ Νόμου κατεχόμενοι διὰ τὴν μέλλουσαν φανερωθῆναι πίστιν. Εἰ γὰρ μὴ ὁ Νόμος ἐδόθη, πάντες ἂν ἐξώκειλαν εἰς κακίαν, καὶ [οὐδεὶς] (α) Ἰουδαίων ἔμελλεν ἔσεσθαι ὁ πιστεύων εἰς Χριστόν· καὶ οὕτω διέπεσαν ἂν αἱ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίαι. Δοθεὶς δὲ ὁ Νόμος δύο ταῦτα κατώρθωσεν· ἀρετήν τε σύμμετρον παιδεύσας τοὺς προσέχοντας καὶ ποιήσας ἐπιγνώμονας τῶν οἰκείων ἁμαρτημάτων, ὃ τὰ μέγιστα συνεβάλλετο πρὸς ὑποδοχὴν τῆς τὴν ἄφεσιν αὐτῶν παρεχούσης πίστεως.

24. Ὥςτε ὁ Νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν,

(α) Τὸ «οὐδεὶς» ἡμετέρα ἐστὶ κατ' εἰκασίαν διόρθωσις, ἀντὶ τοῦ ἐν τῷ χειρογράφῳ κειμένου «οὐ», μηδὲν νόημα παρέχοντος.

Ὡς εἰς διδάσκαλον. Ὁ δὲ παιδαγωγὸς συμπράττει πάντως τῷ διδασκάλῳ, ἀπαλλάττων τε κακίας τὸν νέον καὶ προγυμνάζων καὶ ἐπιτήδειον κατασκευάζων εἰς παραδοχὴν τῶν ἀπὸ τοῦ διδασκάλου μαθημάτων. Ὅταν δὲ διδάσκῃ τὸν νέον ὁ διδάσκαλος, ἀργεῖ λοιπὸν ὁ παιδαγωγός.

24. Ἵνα ἐκ πίστεως δικαιωθῶμεν.

Ἵνα, ἐλθούσης τῆς εἰς Χριστὸν πίστεως, δεξάμενοι ταύτην, δικαιωθῶμεν ἐξ αὐτῆς, ἐπείπερ ἐκ τοῦ Νόμου δικαιωθῆναι οὐκ ἠδυνήθημεν.

25. Ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν.

« Ἐλθούσης τῆς πίστεως » τῆς εἰς τέλειον ἄνδρα ἀγούσης καὶ ἀναγούσης· οἱ γὰρ τοιοῦτοι παιδαγωγοῦ χρείαν οὐκέτι ἔχουσιν. Εἰ δὲ ἐπὶ πλεῖον παραμένοι κατέχων ὁ παιδαγωγός, ἐμποδίζει τε τῷ διδασκάλῳ καὶ τοὺς προκόψαντας ἀτιμάζει, φιλονικῶν κατέχειν ἔτι ὡς νηπιόφρονας. Ὥςπερ γὰρ ὁ ἐν νυκτὶ φωτίας (α) λύχνος, ἐάν, γενομένης ἡμέρας, ἀναγκάζῃ προςέχειν αὐτῷ καὶ μὴ καθορᾶν τὸν ἥλιον, οὐ μόνον οὐκ ἐχαρίσατο, ἀλλὰ καὶ προςελυμήνατο· οὕτω καὶ ὁ Νόμος, ἐὰν πρὸς τὰ μείζω κώλυμα γένηται.

26. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.

Διὰ τῆς ἐν Χριστῷ Ἰησοῦ πίστεως· διὰ τοῦ πιστεῦσαι εἰς Χριστόν. Βαβαί! πόση τῆς πίστεως ἡ δύναμις, καὶ πῶς αὐτὴν ἐκκαλύπτει προϊών. Ἄνω μὲν γὰρ ἔδειξεν ὅτι υἱοὺς ποιεῖ τοῦ Ἀβραάμ· νῦν δὲ διδάσκει ὅτι καὶ τοῦ Θεοῦ, διὰ τῆς ἐν τῷ βαπτίσματι παλιγγενεσίας τε καὶ υἱοθεσίας.

27. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

Ὅσοι κατὰ Χριστὸν ἐβαπτίσθητε, τουτέστι κατὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ, ἣν ἐνετείλατο τοῖς Ἀποστόλοις (β), Χριστὸν ἐνεδύσασθε, τοῦ Χριστοῦ τὸν τύπον καὶ τὴν ἰδέαν περιεβάλεσθε, τῷ Χριστῷ ἀφωμοι-

---

(α) Τῶν μήπω ἐν τοῖς λεξικοῖς κατειλεγμένων ἡ λέξις «φωτίας». Τὸ δὲ *φωτίας λύχνος* ἐσχημάτισται κατα τὸ παρὰ Θεολόγῳ Γρηγορίῳ (Λόγ. λη'. εἰς τὰ Γενέθλια Τόμ. Β', ε', σελ. 316) *ἀνθοσμίας οἶνος* κτλ. — (β) Ματθ. κη', 19.

ώθητε. Ἐπεὶ δὲ ὁ Χριστὸς Υἱός ἐστι τοῦ Θεοῦ, καὶ ὑμεῖς ἄρα οἱ ἀφομοιωθέντες αὐτῷ. Ἡρμήνευσε δέ τις καὶ οὕτως· ὅτι οἱ εἰς Χριστὸν βαπτιζόμενοι Χριστὸν ἐνδύονται οὐχ ὡς ἱμάτιον, ἀλλὰ καθάπερ ὁ σίδηρος τὸ πῦρ οὐκ ἔξωθεν περιβάλλεται, ἀλλ' ὅλος δι' ὅλου πληροῦται τούτου, οὕτω καὶ οὗτοι, καὶ νοῦν καὶ ψυχὴν καὶ σῶμα τῆς τοῦ Χριστοῦ χάριτος καὶ βοηθείας ἀναπίμπλανται (α).

28. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ.

Μετὰ γὰρ τὸ βάπτισμα καὶ τὴν ἀπὸ τούτου κατὰ Χριστὸν μόρφωσιν καὶ ὁμοίωσιν οὐκ ἔστιν ἐν Χριστῷ διάκρισις γένους καὶ τύχης καὶ φύσεως· πάντες γὰρ ὑμεῖς οἱ βαπτισθέντες ἕν ἐστε, μίαν μορφὴν καὶ ὁμοίωσιν, τὴν ἐν Χριστῷ, περικείμενοι.

29. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ,

«Εἰ δὲ ὑμεῖς Χριστοῦ ἐστε», ἀφομοίωμα δηλονότι καὶ τρόπον ἕτερον υἱοὶ κατὰ τὴν ὁμοίωσιν τῆς πολιτείας καὶ τοὺς χαρακτῆρας τῆς ἐκείνου ζωῆς, ἄρα διὰ μέσου Χριστοῦ σπέρμα τοῦ Ἀβραὰμ ἐστε, οὗ σπέρμα προαποδέδεικται ὁ Χριστός. Καὶ λοιπὸν εἰς ὑμᾶς εἰσιν αἱ ἐπαγγελίαι, αἱ τῷ σπέρματι τοῦ Ἀβραὰμ ἐπαγγελθεῖσαι· σπέρμα γὰρ τοῦ Ἀβραὰμ κυρίως τὸ κατὰ Χριστὸν καὶ διὰ Χριστοῦ. Ἐπεὶ καὶ τεκνία τοὺς μαθητὰς ὠνόμασεν ὁ Χριστός (β).

29. Καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

Εἰ δὲ σπέρμα τοῦ Ἀβραὰμ ἐστε, ἄρα καὶ κληρονόμοι, οὐ κατὰ χρῆμα καὶ τοιαύτην περιουσίαν, ἀλλὰ κατὰ τὴν ἐπαγγελίαν· τουτέστι κληρονόμοι τῶν ἐπηγγελμένων αὐτῷ παρὰ Θεοῦ.

(α) Φώτιός ἐστιν ὁ ταῦτα διδάσκων ἐν τοῖς Ἀμφιλοχίοις (Ἐρώτ. ΡΚΖ'). Λέγει γὰρ κατὰ λέξιν. «Ἔνδυμα τὸ Πνεῦμα τὸ ἅγιον λέγεται τῶν πιστῶν, οὐχ ὡς ἱμάτιον, » ἀλλ' ὡς ἐνδύεται σίδηρος τὸ πῦρ· οὐκ ἔξωθεν περιβαλλόμενος, ἀλλ' ὅλως δι' ὅλου. » Οὕτω γὰρ καὶ τὸν Χριστὸν καὶ τὸ πανάγιον Πνεῦμα οὐχ ὡς ἱμάτιον, ἔξωθεν περικεί- » μενον, περιβαλλόμεθα, ἀλλ' ὡς τὴν καρδίαν καὶ τοὺς λογισμοὺς πληρούμενοί τε φωτὸς » καὶ τὸ πρόσωπον χάριτος». — (β) Ἰωάνν. ιγ', 33.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ

Η' Ὅτι ὑπὸ κτίσιν ἦσαν οἱ ἐν Νόμῳ.

1. Λέγω δέ,

«Λέγω δὲ» ἔτι δηλονότι·

1. Ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν.

Καίτοι κύριος ὢν πάντων τῶν παρὰ τοῦ πατρὸς ἀφορισθέντων αὐτῷ. Ἀπὸ παραδείγματος δὲ ποιεῖται τὴν νουθεσίαν.

2. Ἀλλ' ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός.

Τῆς παρὰ τοῦ πατρὸς αὐτοῦ ὁρισθείσης.

3. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι·

«Νήπιοι» οὐ τῇ ἡλικίᾳ, ἀλλὰ ταῖς φρεσί, τῇ γνώσει. Ὅτε νηπιωδέστερον διεκείμεθα, ἀφείθημεν εἶναι, καθάπερ ὑπὸ ἐπιτρόπους, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου, ἥλιον καὶ σελήνην. Ἐπεὶ γὰρ οἱ δρόμοι τούτων τὰ σάββατα καὶ τὰς νουμηνίας ἐπετέλουν, διὰ τῆς τούτων παραφυλακῆς ὑπὸ τὴν παρατήρησιν ἐκείνων ἡγόμεθα. Ἦμεν δὲ ὑπὸ ταῦτα δεδουλωμένοι τῷ ἀναγκάζεσθαι παρατηρεῖν αὐτά. «Στοιχεῖα» δὲ τοῦ κόσμου» ἥλιος καὶ σελήνη διὰ τὸ πῦρ. Τινὲς δὲ στοιχεῖα ἐπὶ τοῦ προκειμένου ῥητοῦ τὸν στοιχειώδη καὶ εἰςαγωγικὸν νόμον ἐνόμισαν, ὃν καὶ ἀνωτέρω παιδαγωγὸν προςηγόρευσε, κόσμον νενοηκότες τὸν κοσμικῶς καὶ σωματικῶς ἐν τούτῳ πολιτευόμενον λαὸν καὶ σωματικῶς αὐτὸν ἐκλαμβάνοντα (α).

4. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου,

(α) Εἴληπται ταῦτα τῷ Συγγραφεῖ ἐκ τῶν τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Γενναδίου († 471). Ὅρ. Πατρολογίας Τόμ. ΠΕ', σελ. 1732.

Τοῦ ἀποκληρωθέντος ἐκ Θεοῦ τῇ κατὰ Νόμον λατρείᾳ καὶ πολιτείᾳ.

4. Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ,

Εἰς ἀνάκλησιν δηλαδὴ τῶν ἀποστατησάντων ἀνθρώπων.

4. Γεννώμενον ἐκ γυναικός,

Τικτόμενον· ὅτε ἐτίκτετο. Ὁ μέντοι Φώτιος δι' ἑνὸς ἀμεταβόλου τοῦτο παραινεῖ γράφεσθαι λέγων ὅτι, ἐπειδὴ ἅπαξ ἐτέχθη, λοιπὸν τὸ προκείμενον ἀντὶ τοῦ «γεγονότα» νοήσομεν. Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ ἐφεξῆς (α)·

4. Γενόμενον ὑπὸ Νόμον·

Ὡς ἐξ Ἰουδαίων κατὰ σάρκα βλαστήσαντα· ἐκεῖθεν γὰρ ἡ μήτηρ αὐτοῦ.

5. Ἵνα τοὺς ὑπὸ Νόμον ἐξαγοράσῃ,

Ἐκ τῆς καταδίκης τοῦ θανάτου καὶ ἐκ τῆς ἀρᾶς, δοὺς ἑαυτὸν ἀντίλυτρον, ὡς προείρηται, τῷ ὑπὲρ αὐτῶν ἀποθανεῖν καὶ καταραθῆναι.

5. Ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Τὴν ἄνωθεν ἡμῖν κεχρεωστημένην ἀπὸ τῆς τοῦ Θεοῦ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας· «πληθύνων γάρ, φησί, πληθυνῶ τὸ σπέρμα » σου » (β). Ἐπεὶ γὰρ ὁ μὲν Χριστὸς προαποδέδεικται υἱὸς τοῦ Ἀβραάμ, οἱ βαπτιζόμενοι δὲ μορφοῦνται τὸν Χριστόν, περιτιθέμενοι

(α) Τὸ παρὰ τοῦ Συγγραφέως ὑποδεικνύμενον χωρίον τοῦ Φωτίου εὕρηται ἐν τοῖς Ἀμφιλοχίοις (Τόμ. Α', σελ. 1024, Ἐρώτ. ΣΚΖ') καὶ ἔχει ἐπὶ λέξει ὡς ἑξῆς. « Γενόμενον » δεῖ λέγειν ἐκ γυναικός, ὥςπερ καὶ « γενόμενον ὑπὸ Νόμον » διὰ τοῦ ἑνὸς » ἀμεταβόλου. Πρῶτον μὲν ἐκ τῆς συνεχοῦς παραθέσεως τῶν νοημάτων τε καὶ ῥημά- » των· δεύτερον δέ, ὅτι « γεγέννηται μὲν ὁ Χριστὸς ἐκ Παρθένου » τῶν δύο γραφομένων » κατὰ τὴν δευτέραν συλλαβὴν ἀμεταβόλων, οὐ μὴν δὲ « γεννᾶται »· ἅπαξ γὰρ ἐκ Παρ- » θένου γεγέννηται. Μηδενὶ δὲ ἡ τοῦ Θεολόγου Γρηγορίου φωνὴ πλάνης αἴτιον γενέσθω· » ἐκεῖνος γὰρ ἔφησε « Χριστὸς γεννᾶται » (Τόμ. Β', Λόγ. λή, σελ. 311), οὐχ ὅτι διὰ » παντὸς ἐκ Παρθένου « γεννᾶται », ἀλλ' ὅτι γε ἡ παροῦσα τότε πανήγυρις τῆς τοῦ Δε- » σπότου γεννήσεως ἐτύγχανεν ἡμέρα. Διὸ παντὶ τρόπῳ φυλακτέον τοῦ « γενόμενον » ἐκ γυναικὸς » διὰ τῶν δύο ν μήτε τὴν γραφὴν μήτε τὴν ἐκφώνησιν ποιεῖσθαι ». — (β) Γέν. ις', 10.

τὸν χαρακτῆρα καὶ τὴν ὁμοίωσιν τῆς πολιτείας αὐτοῦ, ὁ δὲ Χριστὸς οὐ μόνον υἱὸς τοῦ Ἀβραάμ, ἀλλὰ καὶ Υἱὸς τοῦ Θεοῦ· καὶ οἱ βαπτιζόμενοι ἄρα υἱοὶ γίνονται οὐ μόνον τοῦ Ἀβραάμ, ἀλλὰ καὶ τοῦ Θεοῦ διὰ τῆς πρὸς τὸν Υἱὸν αὐτοῦ ὁμοιώσεως καὶ μιμήσεως.

6. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς (*) τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κράζον· ἀββᾶ, ὁ Πατήρ·

« Ὅτι δέ ἐστε υἱοὶ » δῆλον ἐντεῦθεν· ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν. « Πνεῦμα » δὲ λέγει τὸ πνευματικὸν χάρισμα τῆς εὐχῆς, ὃ διὰ τοῦ Υἱοῦ ἐδόθη εἰς τὰς καρδίας ἡμῶν, ὅτε παρέδωκεν ἡμῖν τὴν εὐχήν, ἧς ἡ ἀρχὴ « Πάτερ » ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς», κράζον διὰ τῆς ἡμετέρας γλώσσης, ἀββᾶ, ἤγουν ὁ Πατήρ. Δι' αὐτοῦ γὰρ τοῦ Πνεύματος κινούμεθα Πατέρα προσαγορεύειν τὸν Θεόν, καὶ τοῦτο τεκμήριον τῆς εἰς τὸν Θεὸν υἱοθεσίας τῶν πιστῶν. Εἴρηται δὲ περὶ τούτου πλατύτερον ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ (α). «Τοῦ Υἱοῦ δὲ αὐτοῦ» εἶπεν, ἢ ὡς δι' αὐτοῦ δοθέν, ἢ διὰ τὴν πρὸς τὸν Υἱὸν οἰκείωσιν τοῦ ἁγίου Πνεύματος.

7. Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός·

«Οὐκέτι εἶ δοῦλος» τῶν νομικῶν παρατηρήσεων καὶ τοῦ Νόμου, ἀλλὰ υἱὸς τοῦ Θεοῦ.

7. Εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ

Τῆς βασιλείας δηλαδὴ τοῦ Πατρός.

7. Διὰ Χριστοῦ.

Οὐ τὴν μορφὴν ὑπέδυς.

8. Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεόν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς·

Εἰδωλολάτραι γὰρ ἦσαν οἱ ἐν Γαλάταις Ἕλληνες, πρὸς οὓς νῦν ὁ λόγος.

(*) Ἡ λέξις « Θεὸς » παρελείφθη ἐξ ἀμελείας, ὡς ἐκ τῆς ἑρμηνείας δηλοῦται. — (α) Ῥωμ. ή, 15.

9. Νῦν δέ, γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα,

Νῦν δὲ διὰ τοῦ κηρύγματος γνόντες Θεὸν τὸν ὄντως ὄντα, μᾶλλον δὲ γνωσθέντες ὑπ' αὐτοῦ (οὐ γὰρ ὑμεῖς καμόντες εὕρετε τὸν Θεόν, ἀλλ' αὐτὸς ὑμᾶς ἐν σκότει διάγοντας εἶδέ τε φιλανθρώπως καὶ ἐκάλεσε), πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὴν εἰδωλολατρείαν· εἰδωλολατρείᾳ γὰρ ἐοίκασιν αἱ νομικαὶ παρατηρήσεις. Ὁ γὰρ σάββατα καὶ νουμηνίας παραφυλάττων, ἡλίῳ καὶ σελήνῃ δοκεῖ δουλεύειν. «Ἀσθενῆ δὲ » καὶ πτωχὰ» τὰ στοιχεῖα ταῦτα προςηγόρευσεν, ὡς μηδὲν δυνάμενα πρὸς τὴν δόσιν τῶν ἐπηγγελμένων θεόθεν ἀγαθῶν· ἤγουν τῆς υἱοθεσίας καὶ τῆς κληρονομίας καὶ τῶν τοιούτων.

9. Οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε;

«Ἄνωθεν» ἀντὶ τοῦ ἐξ ἀρχῆς, ὡς τὸ πρότερον· εἰ καὶ μὴ τὸν ἴσον τρόπον.

10. Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιρούς, καὶ ἐνιαυτούς;

Κατ' ἐρώτησιν ἐντρεπτικώτερον λέγει· «ἡμέρας μὲν καὶ μῆνας» λέγων τὰ σάββατα καὶ τὰς νουμηνίας, «καιροὺς» δὲ τοὺς τῶν ἑορτῶν, «ἐνιαυτοὺς» δὲ τὸν ἕβδομον καὶ τὸν ἑβδομηκοστὸν καὶ ἄλλους, οὓς παραφυλάττειν ἐκέλευεν ὁ Νόμος. Δείκνυσι γὰρ ἐντεῦθεν ὅτι καὶ εἰς ταῦτα τούτους οἱ ἀπατεῶνες μεθείλκυον.

11. Φοβοῦμαι ὑμᾶς,

Φοβοῦμαι δι' ὑμᾶς, ἤγουν ὑπὲρ ὑμῶν.

11. Μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.

Εἰπὼν ὅτι «φοβοῦμαι» καὶ ἐπαγαγὼν τὸ «μήπως», ἅμα εἰς ἀγῶνα τούτους ἐνέβαλε καὶ ἐλπίδας ὑπετείνατο χρηστάς, ὡςανεὶ λέγων· βλέπω τὸ ναυάγιον ἐπικυλιόμενον ὑμῖν, οὐκ ἀπογινώσκω δέ· κύριοι γὰρ ὑμεῖς ἀπαλλαγῆναι τούτου καὶ εἰς τὴν προτέραν ἐπανελθεῖν γαλήνην.

12. Γίνεσθε ὡς ἐγώ,

Ταῦτα πρὸς τοὺς ἐξ Ἰουδαίων· ἀπόστητε, λέγων, τῶν παλαιῶν, ὡς ἐγώ, παράδειγμα ἐμὲ ἔχοντες.

12. Ὅτι κἀγὼ ὡς ὑμεῖς·

Ἐπειδὴ κἀγώ, ὡς ὑμεῖς, ἤμην· πρότερον γὰρ περιεκαιόμην τοῦ Νόμου, καὶ σφόδρα τοῦτον ἐφύλαττον καὶ ἀποστῆναι οὐκ ἠνειχόμην. Ὕστερον δὲ πληροφορηθεὶς ἀδεῶς ἀπέστην.

12. Ἀδελφοί, δέομαι ὑμῶν·

Τοῦτο πρὸς τοὺς Γαλάτας. Παρακαλῶ, φησίν, ὑμᾶς καὶ δυςωπῶ ἀκούειν εὐπειθῶς τῶν διὰ τῆς ἐπιστολῆς παραινέσεων. Δεικνύων δὲ ὅτι οὐκ ἔχθρας ἦν τὰ εἰρημένα, οὐδ' ἀπό τινος κακονοίας, εἰ καὶ καθικνοῦντο καὶ ἔδακνον, ἀναμιμνήσκει τῆς ἀγάπης, ἣν ἐδείξαντο περὶ αὐτόν, καί φησιν·

12. Οὐδέν με ἠδικήσατε.

Μὴ ἀδικηθεὶς δὲ ἀφ' ὑμῶν, οὐκ ἂν μάτην οὕτω καθηπτόμην, εἰ μὴ ἐκηδόμην ὑμῶν ἀπατωμένων.

13. Οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκός μου εὐηγγελισάμην ὑμῖν τὸ πρότερον.

Ὅτι κατὰ «ἀσθένειαν τῆς σαρκός μου»· ὅτι ἐν διωγμοῖς καὶ μάστιξι καὶ ταῖς ὑπὲρ ὑμῶν πολυτρόποις κακοπαθείαις εὐηγγελισάμην ὑμῖν κατ' ἀρχάς. Ταῦτα γὰρ καλεῖ «ἀσθένειαν τῆς σαρκός», ὡς προλαβόντες εἰρήκαμεν.

14. Καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενίσατε,

Καὶ τὰ εἰρημένα παθήματα τῆς σαρκός μου οὐκ ἐξουθενίσατε, ὡς ἀπόδειξιν ἀδυναμίας ὄντα.

14. Οὐδὲ διεπτύσατε,

Οὐδ' ἀπώσασθέ με, ὡς ἀβοήθητον.

14. Ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με,

Ὁ τοίνυν οὕτως ὑφ' ὑμῶν τιμηθεὶς πῶς ἂν ἠθέλησα λυπεῖν ὑμᾶς εἰκῇ καὶ μάτην, εἰ μὴ διὰ φιλοστοργίαν;

14. Ὡς Χριστὸν Ἰησοῦν.

Τί λέγω ὡς ἄγγελον Θεοῦ; ὡς αὐτὸν τὸν Χριστὸν ἐδέξασθέ με.

15. Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν;

Πόσος οὖν ἦν ὁ μακαρισμὸς ὁ παρ' ὑμῶν, ὃν ἐμακαρίζετέ με τότε; πολὺς πάντως. Ἢ καὶ ἄλλως· πηλίκος ἦν ὁ μακαρισμὸς ὑμῶν, ὃν ἐμακαρίζεσθε τότε παρὰ τῶν ἄλλων ἐκκλησιῶν, ὡς τοσαύτην εἰς ἐμὲ διάθεσιν ἐνδειξάμενοι;

15. Μαρτυρῶ γὰρ ὑμῖν ὅτι, εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι.

Τὴν ὑπερβολὴν ἐνταῦθα τοῦ πρὸς αὐτὸν ἔρωτος αὐτῶν καὶ τὴν ἐπίτασιν τοῦ πόθου δηλοῖ. Εἶτα διαπορούμενος καὶ ἐκπληττόμενος πῶς μετεκλήθησαν ἐπικληθέντες ἑτέροις, τίθησιν αἰτίαν τοῦ πρὸς τοῦτον μίσους αὐτῶν ἀτοπωτάτην. Ἐπήγαγε γάρ·

16. Ὥςτε ἐχθρὸς ὑμῖν γέγονα ἀληθεύων ὑμῖν.

Ὥςτε ἐπεὶ οὐχ εὑρίσκω αἰτίαν τῆς ἀπ' ἐμοῦ πρὸς τοὺς πλάνους μεταθέσεως ὑμῶν, μισητὸς ὑμῖν γέγονα, διότι ἠλήθευσα ὑμῖν, διότι τὴν ἀλήθειαν ἐκήρυξα ὑμῖν. Καὶ τοῦτο δὲ ἠρέμα δάκνον ἐστίν, ὡς εἰς ἄνοιαν ἀποσκῶπτον.

17. Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς,

Τουτέστι φθονοῦσιν ὑμῖν οἱ πλάνοι· ζῆλος γὰρ οὐ καλὸς ὁ φθόνος, ὥςπερ καὶ ζῆλος καλὸς ἡ μίμησις τῶν ἀγαθῶν.

17. Ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν,

Ἐκβαλεῖν τῆς πίστεως ἢ τῆς τελειοτέρας γνώσεως, ἵνα καταστήσωσι μαθητὰς αὐτῶν.

17. Ἵνα αὐτοὺς ζηλῶτε.

Ἵνα αὐτοὺς ζηλωτοὺς νομίζητε καὶ μακαρίους, ὡς ἀκριβέστερον ἡμῶν διδάσκοντας· ἢ ἵνα αὐτοὺς μιμῆσθε, τῶν νομικῶν ἀντιποιούμενοι.

18. Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς.

Καλόν, φησί, τὸ πάντοτε ζηλοῦσθαι ὑμᾶς ἐν καλῷ· τουτέστι τὸ μακαρίζεσθαι ὑμᾶς ἐν ἀρετῇ, καὶ μὴ παρόντων ἡμῶν· καὶ γὰρ ἀξιοζήλωτον τὸ καὶ ἀπόντος τοῦ διδασκάλου μένειν τοὺς μαθητὰς ἐν τῷ καλῷ, καὶ μὴ μόνον ὅτε παρείη. Ἠνίξατο δὲ ὅτι ἡ ἀπουσία αὐτοῦ τὴν μεταβολὴν εἰργάσατο.

19. Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

Προςαγορεύσας «ἀδελφοὺς» ἀνωτέρω, νῦν «τεκνία» τούτους ἐκάλεσεν· ὡς ἅπαξ τε γεννήσας αὐτοὺς διὰ τοῦ κηρύγματος καὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως, καὶ ἵνα πλείονα φιλοστοργίαν ἐνδείξηται. Τεκνία μου, φησίν, ὑπὲρ ὧν πάλιν κατατείνομαι πόνοις· ὑπὲρ ὧν, ὡς ἐξαμβλωθέντων, αὖθις ὠδινῶμαι, ἄχρις οὗ ἀναμορφωθῇ Χριστὸς ἐν ὑμῖν· διεφθείρατε γὰρ τὴν εἰκόνα καὶ τὴν μορφὴν ἠλλοιώσατε, καὶ χρεία ὑμῖν ἀνακαινισμοῦ καὶ ἐπαναλήψεως τῆς κατὰ Χριστὸν πολιτείας, ἣν παραχαραγεῖσαν ἐπανορθωθῆναι χρεών.

20. Ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου·

«Καὶ ἀλλάξαι» ταύτην εἰς θρῆνον κεκραμένον δάκρυσι· διὰ γὰρ ἐπιστολῆς οὐκ ἐνῆν ὀλολυγμὸν οὐδὲ δάκρυα ἐπιδείξασθαι.

20. Ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

Ἐπειδὴ οὐκ ἔχω τί εἴπω, ἢ τί λογίσωμαι περὶ ὑμῶν, οἵτινες διά τε τῶν κινδύνων, οὓς ὑπὲρ τῆς πίστεως ὑπεμείνατε, διά τε τῶν σημείων, ὧν ἐκ τῆς πίστεως ἐπεδείξασθε, τοσοῦτον ὑψωθέντες κατηνέχθητε νῦν εἰς περιτομὴν καὶ σάββατα καὶ νουμηνίας, καὶ τοιαύτην εὐτέλειαν.

Θ' Ὅτι ἐν τῇ ἐλευθέρᾳ γυναικὶ τοῦ Ἀβραὰμ καὶ τῷ γνησίῳ παιδὶ ὑποτυπωθέντας οὐ χρὴ δουλοῦσθαι Νόμῳ.

21. Λέγετέ μοι

Ἀποκρίθητέ μοι, ἐρωτῶντι. Πρὸς τοὺς ἀντεχομένους δὲ τοῦ Νόμου ὁ λόγος.

21. Οἱ ὑπὸ Νόμον θέλοντες εἶναι, τὸν Νόμον οὐκ ἀκούετε;

Ἀναγινωσκόμενον δηλαδή. Λέγει δὲ «Νόμον» ἐνταῦθα τὸ βιβλίον τῆς Γενέσεως, ἔνθα τὰ περὶ τοῦ Ἀβραὰμ ἱστόρηται. Ἔστι δὲ ὅτε «Νόμον» ὀνομάζει καὶ ὅλην τὴν παλαιὰν Γραφήν.

22. Γέγραπται γάρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς
23. παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας (α). Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας.

Πάλιν εἰς μέσον ἄγει τὸν Ἀβραὰμ καθ' ἕτερον λόγον· δείκνυσι γὰρ ὅτι ἐκεῖθεν οἱ τύποι τὴν ἀρχὴν ἔλαβον, καὶ τὰ παρόντα ἐν αὐτῷ προεζωγραφεῖτο. Ἐκ μὲν οὖν Ἄγαρ, τῆς δούλης, ἔσχε τὸν Ἰσμαήλ· ἐκ δὲ Σάρρας, τῆς ἐλευθέρας, τὸν Ἰσαάκ. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, δυναμένην γεννᾶν· τουτέστι κατὰ νόμον φύσεως. Ὁ δὲ ἐκ τῆς ἐλευθέρας οὐ κατὰ σάρκα γεγέννηται, μὴ δυναμένην γεννᾶν, οὐδὲ κατὰ νόμον φύσεως, ἀλλ' ὑπερφυῶς δι' ἐπαγγελίας· ἔξωροι γὰρ ἦσαν ἤδη οἱ τούτου γονεῖς, καὶ ὅσον εἰς παιδογονίαν νεκροί. Διὰ μέντοι τῆς ἐπαγγελίας, ἣν ὁ Θεὸς αὐτοῖς ἐπηγγείλατο περὶ παιδοποιίας, ἐζωοποιήθησαν εἰς παιδογονίαν.

24. Ἅτινά ἐστιν ἀλληγορούμενα·

«Ἅτινα», λέγω δὴ τὸ ἕνα μὲν υἱὸν ἔχειν ἐκ τῆς δούλης, ἕνα δὲ ἐκ τῆς ἐλευθέρας, ἐστὶν ἕτερον λόγον ἔχοντα παρὰ τὸν ἱστορούμενον· τυπικὰ γὰρ ὄντα αἰσθητικῶς μὲν ἱστόρηνται, ἀναγωγικῶς δὲ ἑρμηνεύονται.

24. Αὗται γάρ εἰσι δύο (*) Διαθῆκαι·

« Αὗται γὰρ » αἱ δύο γυναῖκες, ἥ τε ἐλευθέρα καὶ ἡ δούλη, αἱ δύο Διαθῆκαί εἰσι κατ' ἀλληγορίαν· ἥ τε Παλαιὰ καὶ ἡ Καινή· ἡ μὲν Ἄγαρ εἰς τὴν παλαιὰν Διαθήκην λαμβανομένη (πρὸ πολλοῦ γὰρ αὕτη ἐγέννησεν υἱὸν τὸν Ἰσμαήλ), ἡ δὲ Σάρρα εἰς τὴν Καινὴν (ὑστερογενέστερος γὰρ ὁ ταύτης υἱὸς Ἰσαάκ). Καὶ ἡ μέν, παλαιὰ μήτηρ, ὡς-

(α) Γέν. ιϛ', 15. κα', 2. — (*) Ἐν ἄλλ. «αἱ δύο», ὡς καὶ ὁ Συγγραφεὺς ἐν τῇ ἐξηγήσει.

περ καὶ ἡ τῶν Ἑβραίων συναγωγή· ἡ δέ, καινὴ μήτηρ, ὥςπερ καὶ ἡ τῶν πιστῶν Ἐκκλησία. Διόπερ ὁ μὲν ἐξ ἐκείνης λαὸς παλαιός· ὁ δὲ ἐκ ταύτης καινός.

24. Μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα,

Ἡ μία μὲν Διαθήκη, ἡ ἀπὸ τοῦ ὄρους Σινᾶ δοθεῖσα (ἀπὸ τούτου γὰρ τοῦ ὄρους ὁ Θεὸς ἐδόκει λαλεῖν, ὅτε τὸν παλαιὸν ἐνομοθέτει Νόμον), εἰς δουλείαν γεννῶσα· τουτέστι δούλους ἀποτελοῦσα, δουλεύοντας τοῖς ἐπιτάγμασι τοῦ δεσπότου αὐτῆς, καὶ τῇ ζεύγλῃ τοῦ Νόμου τὸν τράχηλον ὑπέχοντας, καὶ κολάσεις ἐκεῖθεν καὶ θανάτους ἀπεκδεχομένους, εἰ παραβαῖεν.

24. Ἥτις ἐστὶν Ἄγαρ.

Ἥτις Διαθήκη ἀπὸ τοῦ ὄρους Σινᾶ, ὡς εἴρηται, ἐστὶν ἡ Ἄγαρ, ὡς καὶ ἀπὸ τοῦ ὀνόματος δῆλον. Τὸ γὰρ Σινᾶ ὄρος Ἄγαρ καλεῖται παρὰ τοῖς Ἄραψιν.

25. Τὸ γὰρ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ,

Τὸ γὰρ «Ἄγαρ» ὄνομα Σινᾶ ὄρος δηλοῖ ἐν τῇ Ἀραβίᾳ, καὶ μεθερμηνευόμενον τὸ Σινᾶ ὄρος τῇ διαλέκτῳ τῶν Ἀράβων Ἄγαρ ἑρμηνεύει, ὥςπερ καὶ τὸ «Ἄγαρ» αὖθις μεθερμηνευόμενον τῇ καθ' ἡμᾶς διαλέκτῳ, Σινᾶ ὄρος δηλοῖ. Ἐπεὶ τοίνυν ἡ μὲν Ἄγαρ Σινᾶ ὄρος ἑρμηνεύεται, ἐν τῷ ὄρει δὲ Σινᾶ ἡ παλαιὰ δίδοται Διαθήκη, ἄρα ἐν τῇ Ἄγαρ ἡ Παλαιὰ εἰκόνισται, καὶ τύπος αὐτῆς ἡ Ἄγαρ.

25. Συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ,

Καὶ γὰρ ἐκ γειτόνων τῷ Σινᾷ ὄρει, τῷ ὁμωνυμοῦντι τῇ Ἄγαρ, κεῖται ἡ Ἱερουσαλήμ. Μεταβὰς δὲ ὁ Ἀπόστολος ἀπὸ τοῦ ὄρους ἐπὶ τὴν Ἄγαρ, φησὶν ὅτι παραλαμβάνει καὶ τὴν νῦν Ἱερουσαλήμ, ἤτοι τὴν ἐνταῦθα, τὴν ἐπὶ γῆς οὖσαν. Τοῦτο γὰρ δηλοῖ τὸ «συστοιχεῖ», ὅτι γειτνιάζει καὶ παράκειται καὶ ἅπτεται διὰ τῆς τῶν πραγμάτων ἐγγύτητός τε καὶ ὁμοιότητος. Ὥςπερ γὰρ ἡ Ἄγαρ, δούλη οὖσα, δούλους ἔτικτεν, οὕτω καὶ ἡ κάτω Ἱερουσαλήμ, δούλη οὖσα τοῦ Νόμου, δούλους αὐτῷ ἔτικτε. Καὶ ἡ παλαιὰ δὲ Διαθήκη, ἧς τύπος ἡ Ἄγαρ, δούλους τίκτει, καθὼς προδεδήλωται. Διὸ καὶ ἐπήγαγε·

25. Δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς.

Τέκνα καὶ τῆς κάτω Ἱερουσαλὴμ καὶ τῆς παλαιᾶς Διαθήκης οἱ ἐν Ἱεροσολύμοις τῷ Νόμῳ προςανέχοντες. Διὰ δὲ τῶν Ἱεροσολύμων, ὡς διὰ μητροπόλεως, πᾶσα ἡ τῶν Ἑβραίων δηλοῦται γῆ.

26. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν,

«Ἄνω Ἱερουσαλὴμ» λέγει τὴν Ἐκκλησίαν τῶν πιστῶν, ὡς ὑψηλοτέραν τῶν γεηρῶν καὶ χαμαὶ συρομένων πραγμάτων καὶ τύπον τῆς ἐν οὐρανοῖς μητροπόλεως. Ἡ μὲν οὖν Σάρρα τύπος ἦν τῆς Ἐκκλησίας, ἡ δὲ Ἐκκλησία, τύπος τῆς ἐπουρανίου Ἱερουσαλήμ. «Ἐλευθέρα» δέ, φησίν, ἐστὶ καθ' ὁμοίωσιν τῆς Σάρρας. «Ἐλευθέρα» δὲ τῆς δουλείας τοῦ Νόμου.

26. Ἥτις ἐστὶ μήτηρ ἡμῶν πάντων.

«Τῶν πιστῶν». Εἰ δὲ ἡ μήτηρ ἐλευθέρα, καὶ οἱ τικτόμενοι πάντως ἐλεύθεροι τίκτονται. Εἶτα παράγει καὶ τὸν Ἡσαΐαν, πάλαι τὴν πολυτεκνίαν καὶ καλλιτεκνίαν τῆς Ἐκκλησίας προαναφωνήσαντα·

27. Γέγραπται γάρ· «εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα»·

«Στεῖραν [οὐ] (α) τίκτουσαν» ὠνόμασε τὴν Ἐκκλησίαν· πρὸ τῆς πίστεως γὰρ οὐκ ἐγέννα τέκνα κληρονομεῖν δυνάμενα, ὥςπερ οὐδὲ ἡ Σάρρα.

27. «Ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα»·

«Ῥῆξον» φωνὴν εὐφροσύνης· ῥήγνυσι γὰρ τὸν ἀέρα διὰ τῆς φωνῆς ὁ λαλῶν. «Καὶ βόησον» χαρμόσυνα. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς εὐφροσύνης·

27. «Ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχού-
» σης τὸν ἄνδρα» (β).

«Ἔρημον» αὖθις ὁ Προφήτης τὴν στεῖραν Ἐκκλησίαν ὠνόμασεν, ὡς ἀγνοοῦσαν τὸν Θεὸν καὶ χηρεύουσαν αὐτοῦ ὅσον κατὰ τοῦτο. Ὕπανδρον δὲ τὴν συναγωγὴν τῶν Ἰουδαίων, ὡς γινώσκουσαν τὸν

(α) Τὸ ἐν ἀγκύλαις «οὐ» ἡμετέρα ἐστὶ προςθήκη. — (β) Ἡσ. νδ', 1.

Θεόν. Ἐπεὶ καὶ πολλαχοῦ τῶν προφητικῶν Γραφῶν ἄνδρα τῆς συναγωγῆς ταύτης ὁ Θεὸς ἑαυτὸν ὀνομάζει. Ὥςπερ δὲ ἡ Σάρρα, στεῖρα οὖσα, μήτηρ ἐγένετο πλήθους ἐκγόνων, οὕτω καὶ ἡ Ἐκκλησία, στεῖρα οὖσα, πολύπαις ἐγένετο καὶ νενίκηκε τὴν δηλωθεῖσαν συναγωγήν. Ἐκείνη μὲν γὰρ ἓν ἔθνος ἔχει, αὕτη δὲ μέχρι τῶν περάτων τῆς Οἰκουμένης τὰ ἑαυτῆς ἐξέτεινε τέκνα, μηδὲ τὰς ἐν θαλάσσῃ νήσους παραλείπουσα.

28. Ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν.

Δείκνυσιν ὅτι οὐ μόνον στεῖρα ἦν ἡ Ἐκκλησία, ὥςπερ ἡ Σάρρα, οὐδὲ μόνον πολύπαις γέγονεν, ὥςπερ ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν, ὥςπερ ἡ Σάρρα. Διό, φησίν, ὅτι ὁμοίως τῷ Ἰσαὰκ ἐξ ἐπαγγελίας ἐγεννήθημεν· «πληθύνων γάρ, φησί, πληθυνῶ τὸ σπέρμα σου» (α). Καὶ αὖθις· « ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα » (β)· τουτέστιν ἐν τοῖς κατὰ τὸν Ἰσαὰκ ὑπερφυῶς τικτομένοις, ἀλλ' οὐκ ἐν τοῖς κατὰ φύσιν γεννωμένοις. Ταῦτα δὲ εἴρηται καὶ ἡρμήνευται σαφῶς ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ (γ). Ὥςπερ γὰρ ἡ περὶ τοῦ Ἰσαὰκ ἐπαγγελία ἐζωοποίησεν εἰς γέννησιν τὴν ἀπονεκρωθεῖσαν τῷ γήρᾳ φύσιν τῶν γεννητόρων αὐτοῦ, οὕτω καὶ τὰ ῥήματα τοῦ Θεοῦ ἐπὶ τῆς κολυμβήθρας τοῦ βαπτίσματος διὰ τοῦ ἱερέως λεγόμενα ζωοποιοῦσι ταύτην εἰς γέννησιν τῶν δι' αὐτῆς ἀναγεννωμένων. Καὶ οὔτε ἐκεῖ, οὔτε ἐνταῦθα φύσεως ἔργον ἡ γέννησις, ἀλλὰ τῆς δυνάμεως τῶν θείων ῥημάτων. Εἰ δὲ καὶ κατὰ τὸν Ἰσαάκ ἐσμεν, ἄρα καὶ ἐλεύθεροι καὶ κληρονόμοι τοῦ Πατρός ἐσμεν.

29. Ἀλλ' ὥςπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα· οὕτω καὶ νῦν.

Ἵνα μή τις εἴπῃ, πῶς οὖν οἱ ἐλεύθεροι νῦν ὑπὸ τῶν δούλων διώκονται (πολλὰ γὰρ οἱ μὴ πιστεύοντες Ἰουδαῖοι τοὺς πιστεύοντας ἐκάκουν καὶ ἤλαυνον), προλαμβάνει (δ) τὴν τοιαύτην ἀντίθεσιν καὶ δείκνυσιν ὅτι καὶ τοῦτο προδιετυπώθη τότε· ὁ γὰρ κατὰ φύσιν, ὡς εἴρηται, γεννηθεὶς Ἰσμαὴλ ἐδίωκε τὸν κατὰ δύναμιν πνεύματος καὶ ὑπερφυῶς γεννηθέντα Ἰσαάκ. Ὅτε ἰδοῦσα αὐτοὺς μαχομένους ἡ

(α) Γέν. ιϛ', 10. — (β) Αὐτόθ. κα', 12. — (γ) Ἐν κεφ δ'. — (δ) Τὸ χειρόγρ. «προςλαμβάνει».

Σάρρα, παρεσκεύασε τοῦτον ἐκβληθῆναι μετὰ καὶ τῆς μητρὸς αὐτοῦ.

30. Ἀλλὰ τί λέγει ἡ Γραφή;

Ἡ τῆς Γενέσεως.

30. «Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ » κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς » ἐλευθέρας» (α).

Ἴδε τὰ ἐπίχειρα τῆς προςκαίρου τυραννίδος· οὐ μόνον γὰρ ἐξέπεσε τῶν πατρῴων ὁ παῖς, ἀλλὰ καὶ φυγὰς καὶ ἀλήτης μετὰ τῆς μητρὸς ἐγένετο. Ὥςτε οὐ μόνον ἀπὸ τοῦ διωγμοῦ, ὃν ἐδίωκε τὸν Ἰσαάκ, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ Θεοῦ γνώμης ἡ ἔκπτωσις αὕτη γέγονεν.

31. Ἄρα, ἀδελφοί, οὐκ ἐσμεν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

Εἰ δὲ τῆς ἐλ·υθέρας, καὶ ἐλεύθεροι τοῦ Νόμου, ὡς εἴρηται. Ὥςπερ δὲ ἡ Σάρρα πρὸς τῷ ἐσχάτῳ γήρᾳ γέγονε μήτηρ, οὕτω καὶ ἡ Ἐκκλησία, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ὡς προδεδήλωται, τότε ἔτεκεν. Πῶς οὖν οὐκ ἄτοπον, πρὸ τοσούτων ἀφορισθέντας καὶ ἐλευθερωθέντας νῦν ἑκουσίως εἰς τὸν τῆς δουλείας ζυγὸν ὑπάγεσθαι; Εἶτα καὶ ἄλλην αἰτίαν τίθησι, πείθουσαν ἐμμένειν τῇ ἐλευθερίᾳ.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ

1. Τῇ ἐλευθερίᾳ οὖν, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

Μὴ γὰρ ἑαυτοὺς ἠλευθερώσατε, ἵνα πάλιν ἐνσχεθῆτε τῷ ζυγῷ τῆς δουλείας, ὥςπερ μεταμεληθέντες; Ὁ Χριστὸς ὑμᾶς ἠλευθέρωσε, δου-

(α) Γέν. κα', 10.

λεύσας ὑπὲρ ἡμῶν καὶ ἀποθανὼν καὶ καταραθεὶς εἰς ἀντίλυτρον δουλείας καὶ θανάτου καὶ κατάρας, ὡς διαφόρως δεδήλωται. Μὴ γοῦν ἀγνώμονες γίνεσθε παρὰ τὸν εὐεργέτην, τούτου μὲν καταφρονοῦντες, τὸν δὲ δουλωσάμενον προτιμῶντες.

Ι' Ὅτι ἡ κλῆσις ἡμῶν οὐχ ὑπόκειται περιτομῇ καὶ Νόμῳ διὰ τὸ τοῦ Χριστοῦ πάθος.

2. Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

« Ἐγώ, φησί, τοῦτο λέγω», ὁ τὸν Χριστὸν ἔχων (α) ἐν ἐμαυτῷ λαλοῦντα, ὁ τοσαῦτα καὶ τηλικαῦτα δι' αὐτοῦ δυνάμενος. «Οὐδὲν δὲ » ὑμᾶς ὠφελήσει», ὡς καταφρονοῦντας αὐτοῦ καὶ περιφρονοῦντας τὴν εὐεργεσίαν αὐτοῦ τῷ ἀποτρέχειν ἐπὶ τὸν Νόμον. Ἢ καὶ ἄλλως· τὸ τοῦ Χριστοῦ ὄνομα οὐδὲν ὑμᾶς ὠφελήσει, ἐπικείμενον μὲν ὑμῖν, ἀτιμαζόμενον δὲ κατὰ τὸν ῥηθέντα τρόπον.

3. Μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν Νόμον πληρῶσαι.

Οὐχ ὑμῖν δὲ μόνοις ταῦτα λέγω, ἀλλὰ καὶ παντὶ περιτεμνομένῳ μετὰ τὴν πίστιν, ὅτι ὁ μίαν ἐντολὴν τοῦ Νόμου ποιῶν ὅλας αὐτοῦ τὰς ἐντολὰς ὀφείλει πληρῶσαι, εἴ γε φιλεῖ αὐτὸν ἢ φοβεῖται. Ὁ δὲ περιτεμνόμενος μόνον καὶ ὀλίγα τοῦ Νόμου τηρῶν τῆς τε πίστεως ἐξέπεσε καὶ τοῦ Νόμου διήμαρτε, μήτε τῷ Χριστῷ ἀρέσκων μήτε τῷ Νόμῳ. Διὸ καὶ οὐδαμόθεν ἔχει βοήθειαν, ὡς ἀμφοτέρας τὰς Διαθήκας ἀκρωτηριάσας καί, ἵν' οὕτως εἴπω, περιτεμών.

4. Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ

Ἀπερράγητε, ἐπικλιθέντες τῷ Νόμῳ.

4. Οἵτινες ἐν Νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε.

Οἵτινες ἀπὸ τοῦ τηρεῖν τὸν Νόμον δικαιοῦσθε, ὡς δοκεῖτε, καὶ ἀπὸ τοῦ μερικῶς φυλάττειν αὐτὸν τῆς κατὰ Χριστὸν χάριτος ἐξεπέσετε,

(α) Τὸ χειρόγρ. ἀντὶ «ὁ τὸν Χριστὸν ἔχων» γράφει « ὅτι Χριστὸν ἔχω ».

φανέντες οὕτως ἀγνώμονες. Ὅτι δὲ καὶ τοῦ Νόμου ἠστόχησαν, ἤδη προαπέδειξεν.

5. Ἡμεῖς γὰρ Πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.

Ἡμεῖς γὰρ διὰ τοῦ ἐν ἡμῖν ἁγίου Πνεύματος ἀπεκδεχόμεθα ἐλπίδα δικαιώσεως ἐκ πίστεως, ἀλλ' οὐκ ἐκ Νόμου παρεχομένην. Εἰ δὲ δικαιώσεως, ἄρα καὶ τῶν ἄλλων ἐν οὐρανοῖς ἀγαθῶν. Οὕτω γὰρ ἡμᾶς ἐλπίζειν παρασκευάζει τὸ Πνεῦμα.

6. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία,

Ἐν γὰρ τῇ κατὰ Χριστὸν πίστει, ἐν τῇ κατὰ Χριστὸν πολιτείᾳ περιττὴ καὶ ἡ περιτομὴ καὶ ἡ ἀκροβυστία· οὐδὲν γὰρ ταῦτα συντελοῦσιν εἰς ὠφέλειαν καὶ σωτηρίαν. Ὥςπερ γὰρ ὁ ἀθλητὰς καὶ στρατιώτας ἐπιλεγόμενος οὐ τοὺς γρυποὺς ἢ σιμοὺς ἢ μέλανας ἢ λευκοὺς ἐπιλέγεται, εἰδὼς μηδὲν διαφέρειν εἰς δοκιμασίαν τὰς τοιαύτας διαφοράς, ἀλλὰ τοὺς ἀνδρείους καὶ ἐπιστήμονας· οὕτω καὶ τοὺς εἰς τὴν τοῦ Χριστοῦ παράταξιν ἀπογραφομένους ἡ περιτομὴ καὶ ἀκροβυστία οὐδὲν ὀνίνησιν εἰς ἐκλογὴν καὶ εὐαρέστησιν. Οὔτε οὖν ὁ ἐκ περιτομῆς διὰ ταύτην ὠφελεῖται, οὔτε ὁ ἐν ἀκροβυστίᾳ διὰ τοῦτο βλάπτεται.

6. Ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.

Ἀλλὰ πίστις ἰσχύει καὶ ὠφελεῖ διὰ τῆς εἰς Χριστὸν ἀγάπης ἐνεργουμένη, ἢ καὶ διὰ τῆς εἰς τὸν πλησίον. Ὀνειδίζει δὲ αὐτοῖς τὸ μήτε εἰς Χριστὸν ἀγάπην ἔχειν τελείως, μήτε εἰς ἀλλήλους, μήτε εἰς αὐτόν (α). Εἰ γὰρ εἶχον, οὐκ ἂν τοιούτοις ἐπεχείρησαν.

7. Ἐτρέχετε καλῶς·

Τὸν δρόμον τῆς πίστεως.

7. Τίς ὑμᾶς ἐνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι.

Τίς ὑμῖν ἐνεπόδισεν εἰς τὸ μὴ πείθεσθαι τῇ ἀληθείᾳ τοῦ κηρύγματος καὶ εἰς τὸ ἑξῆς. Τὸ δὲ «τίς» ἐνταῦθα οὐκ ἐρωτῶντός ἐστιν, ἀλλ' ὀ-

---

(α) «Εἰς αὐτὸν» τὸν Παῦλον δηλαδή. Τὸ δὲ χειρόγρ. «εἰς ἑαυτόν».

λοφυρομένου· ᾔδει γὰρ τοὺς ἐγκόψαντας. Τίς, φησίν, ὁ τοσοῦτον ἰσχύσας. Καὶ ὀπίσω δὲ τρόπον τινὰ θρηνῶν ἔλεγε· «τίς ὑμᾶς ἐβάσ-» κηνεν» (α).

8. Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς.

Τοῦ μὲν Θεοῦ ἐστι τὸ λαλεῖν· τὸ δὲ πείθεσθαι τῷ καλέσαντι οὐκ ἐκ τοῦ Θεοῦ ἐστιν, ἀλλ' ἐκ τῶν καλουμένων· ὥσπερ γὰρ τὸ καλεῖν ἴδιον τοῦ καλοῦντος, οὕτω καὶ τὸ πείθεσθαι ἴδιον τῶν κληθέντων. Ἢ καὶ ἄλλως· ἡ πεισμονὴ ὑμῶν αὕτη, ἣν πείθεσθε τοῖς ἀναπείθουσιν ὑμᾶς καὶ ἀποσπῶσιν ἡμῶν, οὐ κατὰ Θεόν ἐστιν, οὐδὲ εὐαρέστως Θεῷ.

9. Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.

Παραδειγματικὸν τοῦτο· ὥσπερ γὰρ ὀλίγη ζύμη ὅλον τὸ φύραμα ζυμοῖ καὶ εἰς τὴν ἑαυτῆς ἕξιν μεθίστησιν, οὕτω καὶ μικρὰ τοῦ Νόμου παραφυλακὴ ὅλου τοῦ Ἰουδαϊσμοῦ μεταδίδωσιν. Καὶ τὸ μικρὸν τοῦτο μὴ διορθωθέν, εἰς τέλειον Ἰουδαϊσμὸν ἀπάγει.

10. Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε·

Θαρρῶ περὶ ὑμῶν, διὰ τοῦ Κυρίου τὸ τοιοῦτον θάρσος ἔχων, ὅτι οὐδὲν ἕτερον φρονήσετε παρὰ τὰς γραφομένας ὑμῖν παρ' ἐμοῦ νομοθεσίας. Οἶδα τοὺς ἐμοὺς μαθητάς· οἶδα τὸ εὐδιόρθωτον ὑμῶν. Ἐντεῦθεν δὲ προτρέπει τούτους εἰς διόρθωσιν.

10. Ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅςτις ἂν ᾖ.

Ὁ δὲ ταράσσων ὑμᾶς, ὅστις ἂν καὶ εἴη, ὑποστήσεται τὴν καταδίκην, ὑφέξει τὴν δίκην. Αἰνίττεται δὲ τοὺς ἀπατεῶνας ἐκείνους.

11. Ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι;

« Εἰ περιτομὴν ἔτι κηρύσσω », ὡς οἱ κατήγοροι οὗτοι λέγουσι συκοφαντοῦντές με, ὡς ἐν ἄλλοις μὲν κηρύσσοντα περιτομήν, ἐν ἄλλοις δὲ κωλύοντα ταύτην. Εἰ δὲ ἐκήρυσσον ὅλως αὐτήν, διὰ τί ἔτι διώκομαι παρὰ τῶν Ἰουδαίων, ὡς κωλύων αὐτήν; οὐδὲν γάρ μοι ἑτε-

(α) Ἐν κεφ. γ', 1.

ρον ἐγκαλοῦσιν ἢ τοῦτο μόνον. Εἰ γὰρ καὶ τὸν Τιμόθεον οἰκονομικῶς περιέτεμεν, ἀλλ' οὐκ ἐκήρυξε διὰ τούτου περιτομήν· μᾶλλον μὲν οὖν ἡ οἰκονομικὴ αὕτη περιτομὴ τὴν περιτομὴν περιεῖλεν. Οὕτω γὰρ παραδεχθεὶς τοῖς τότε Ἰουδαίοις εἰς διδασκαλίαν ὁ Τιμόθεος, καὶ καταφυτεύσας διὰ βάθους τὸ κήρυγμα, κατὰ μικρὸν ἐξεῖλεν ἀπ' αὐτῶν τὴν περιτομήν, παύσας αὐτὴν παντελῶς.

11. Ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ.

Λοιπὸν ἀνῄρηται τὸ σκάνδαλον τοῦ κηρύγματος, ὃ ἐνεπόδιζε τοῖς Ἰουδαίοις· τοῦτο γὰρ μόνον αὐτοῖς ἐγένετο κώλυμα, ἡ ἀναίρεσις τῆς περιτομῆς· καὶ γὰρ εἰ συνεχωρεῖτο τούτοις μετὰ τοῦ πρώτου Νόμου πιστεύειν, οὐδὲν ἕτερον ἐκώλυε δέχεσθαι τὴν πίστιν. Καὶ εἴ τινες δὲ μὴ ἐπίστευσαν, οὐκ ἂν ἐπολέμουν τῷ Ἀποστόλῳ, μηδὲν τοῦ Νόμου παρασαλεύοντι. Καὶ γὰρ καὶ τῷ Χριστῷ τοῦτ' ἐνεκάλουν, ὅτι παραλύει τὸν Νόμον. Ἐπεὶ δὲ διώκομαι καὶ ἐπιβουλεύομαι, σημεῖον ἀναντίρρητον τοῦτο τοῦ μὴ κηρύσσειν, ἀλλὰ κωλύειν με τὴν περιτομήν.

ΙΑ' Ὑπογραφὴ τῆς κατὰ πνεῦμα ἐλευθερίας.

12. Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς.

Εἰ βούλονται, μὴ περιτεμνέσθωσαν μόνον, ἀλλὰ καὶ ἀποκοπτέσθωσαν τὸ μόριον ὅλον ἢ καὶ τὰ μόρια. Βαρυθυμοῦντος δὲ ὁ λόγος. Τοὺς μὲν οὖν Γαλάτας, ὡς οἰκείους καὶ εὐδιορθώτους, νουθετεῖ καὶ σωφρονίζει· τοῖς δὲ ἀπατεῶσιν ἐπαρᾶται, ὡς ἀλλοτρίοις καὶ ἀνιάτοις. « Ἀναστατοῦντας » δὲ αὐτοὺς εἶπεν, ὡς ἀναπείθοντας τὴν μὲν οἰκείαν πίστιν, ὡς πατρίδα φευκτήν, καταλιμπάνειν, τὴν δὲ ἀλλοτρίαν μεταδιώκειν.

13. Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί·

Ἐπὶ τῷ ἐλευθερωθῆναι πάσης δουλείας, ἧς καὶ ἠλευθερώθητε διὰ τοῦ κατὰ Χριστὸν βαπτίσματος. Μὴ τοίνυν εἰς δουλείαν ἀποτρέχειν θελήσητε.

13. Μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί,

Μόνον μὴ τὴν ἐλευθερίαν « ἐκλάβητε » ἢ « ἐκτρέψητε » εἰς ἀφορ-

μὴν τῆς σαρκός· εἰς ὑπόθεσιν τῶν σαρκικῶν ἡδονῶν. Ἐλύθη γὰρ τὰ τοῦ Νόμου δεσμά, οὐχ ἵνα γένηται παράνομος ἡ πολιτεία, ἀλλ' ἵνα ὑπὲρ τὸν νόμον ἡ φιλοσοφία. Οὐχ ἵνα ταπεινότεροι, ἀλλ' ἵνα ὑψηλότεροι γενώμεθα.

13. Ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις.

Ἐν οἷς εἰκός. Τοῦτο δὲ ποιεῖτε, τῆς ἀγάπης ἐναγούσης ὑμᾶς εἰς τοῦτο· καὶ γὰρ ἐπίτασις ἀγάπης τὸ πρᾶγμα, καὶ ὁμονοίας ποιητικόν, καὶ ταπεινοφροσύνης ἀπόδοσις.

14. Ὁ γὰρ πᾶς Νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ «ἀγα-» πήσεις τὸν πλησίον σου ὡς σεαυτόν» (α).

Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τὸν Νόμον ἔστρεφον, εἰ βούλει, φησίν, αὐτὸν πληροῦν, ἐν τῇ ἀγάπῃ τοῦτον πλήρωσον. Μετὰ γὰρ τὴν τοῦ Νόμου πρώτην ἐντολήν, αὕτη πρώτη ἐστὶν ἐντολή, τὸ «ἀγαπήσεις » τὸν πλησίον σου ὡς σεαυτόν». Καὶ ὁ ταύτην πληρώσας ὅλον αὐτὸν πληρώσει διὰ μιᾶς (β) ταύτης ἐντολῆς· πάντα γάρ, ὅσα ἐνομοθέτησεν, εἰς τὴν ἀγάπην ἀφορῶσι, τήν τε εἰς Θεὸν καὶ τὴν εἰς τὸν πλησίον, καὶ ταύτης ἕνεκεν ἐνομοθετήθησαν.

15. Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε,

Διὰ φθόνου καὶ φιλονικίας καὶ ἐπιβουλῆς καὶ τῶν τοιούτων κακῶν. Ἐπίτασις δὲ τοῦ «δάκνειν» τὸ «κατεσθίειν». Καὶ τὸ μὲν δάκνειν θυμουμένου· τὸ δὲ κατεσθίειν ἐπιμένοντος τῷ θυμῷ καὶ θηριώδους.

15. Βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε.

Φθοροποιὸν γὰρ τοῦτο καὶ ἀναλωτικόν.

16. Λέγω δέ·

Ἔτι, δηλονότι, ἢ παραινῶ.

16. Πνεύματι περιπατεῖτε,

Κατὰ τὰς πνευματικὰς καὶ θείας ἐντολάς.

(α) Λευϊτ. ιθ', 18. — (β) Γράφ. «διὰ τῆς μιᾶς».

16. Καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

Εἰ, ὡς εἴρηται, περιπατεῖτε. «Ἐπιθυμίαν δὲ σαρκὸς» λέγει τὴν περιττήν τε καὶ βλαβεράν.

17. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος· τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός·

Οὐ σώματος καὶ ψυχῆς πόλεμον ὁ λόγος εἰςάγει· οὐδὲ γὰρ ἐναντία εἰσὶν ἀλλήλοις. Εἰ γὰρ ἂν ἦσαν, καὶ ἀλλήλων ἀναιρετικά, ὡς πῦρ καὶ ὕδωρ, ὡς φῶς καὶ σκότος. Νῦν δὲ καὶ σφόδρα ὁμονοοῦσιν ἀλλήλοις καὶ ἀλλήλων ἀντέχονται· τό τε γὰρ σῶμα πολυτρόπως ὑπηρετεῖ τοῖς θελήμασι τῆς ψυχῆς, καὶ δι' ὀφθαλμῶν καὶ ὤτων καὶ τῶν ἄλλων αἰσθητηρίων πολλὴν αὐτῇ καὶ ποικίλην γνῶσιν συνειςφέρει· ἥ τε ψυχὴ παντοίως ἐπιμελεῖται τοῦ σώματος καὶ μυρία πάσχει, μὴ θέλουσα τοῦτο καταλιπεῖν, καὶ βιαίως ἀπορρήγνυται τῆς συζυγίας αὐτοῦ, καὶ κοινωνοῦσιν ἀλλήλοις ἀλγηδόνων. Ἀλλὰ καὶ τὸ ἐπιθυμεῖν μόνης ἐστὶ τῆς ψυχῆς, οὐχὶ δὲ καὶ τοῦ σώματος· ἐπεὶ καὶ μόνης ἐστὶ ψυχῆς τὸ θέλειν καὶ μὴ θέλειν· «τί γάρ, φησίν, ἐπιθυμεῖ ἡ ψυχή » σου» (α); Καὶ πάλιν· «μὴ πορεύου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου» (β). Τὸ δὲ σῶμα ὄργανόν ἐστι τῆς ψυχῆς. Τὸ δὲ ὄργανον οὐ μάχεται τῷ ἐνεργοῦντι τεχνίτῃ· τῶν γὰρ κινουμένων ἐστίν, οὐ τῶν κινούντων· καὶ τῶν ἐνεργουμένων, ἀλλ' οὐ τῶν ἐνεργούντων. Λοιπὸν οὖν «σάρκα» μὲν λέγει νῦν τὸν σαρκικὸν λογισμόν, τὸν ὑλικόν, τὸν περὶ τὰ σαρκικὰ καὶ ὑλικὰ καταγινόμενον, καὶ συγκατασπῶντα τὴν ψυχήν· «πνεῦμα» δὲ τὸν πνευματικὸν λογισμόν, τὸν περὶ τὰ πνευματικὰ καὶ ὑψηλὰ καὶ θεῖα ἀσχολούμενον, καὶ συνέλκοντα τὸ σῶμα. Οἵτινες δύο λογισμοὶ (ὁ μὲν πονηρὸς ὢν (γ), ὁ δὲ ἀγαθός), ἐπιθυμοῦσι κατ' ἀλλήλων, ἤγουν μάχονται. Ὁ μὲν τῷ σώματι καὶ τὴν ψυχὴν συγκατασπῶν, ὁ δὲ τῇ ψυχῇ καὶ τὸ σῶμα συνέλκων. Χεῖρον μὲν γὰρ μέρος τὸ σῶμα, καλὸν (δ) καὶ τοῦτο, καὶ οὐκ ἀντικείμενον τῇ ψυχῇ.

17. Ταῦτα δὲ ἀλλήλοις ἀντίκειται,

Οἱ δηλωθέντες, ὡς εἴρηται, λογισμοί. Ὥςτε, τοῦ πονηροῦ λογι-

(α) Α' Βασιλ. κ', 4. — (β) Δευτερον. ιβ', 21. — (γ) Γραπτέον ἴσως «ὢν ὁ μὲν πο» νηρὸς ὢν κἐξ.». — (δ) Γραπτέον ἴσως «ἀλλὰ καλὸν κἐξ.».

σμοῦ καταναγκάζοντος, χρηστέον τῷ ἀντικειμένῳ λογισμῷ πρὸς συμμαχίαν καὶ καθαίρεσιν αὐτοῦ· λέγω δὴ τῷ ἀγαθῷ.

17. Ἵνα μή, ἃ ἂν θέλητε, ταῦτα ποιῆτε.

Ἵνα μὴ συγχωρῆτε τῇ ψυχῇ πορεύεσθαι κατὰ τὰς πονηρὰς αὐτῆς ἐπιθυμίας.

18. Εἰ δὲ πνεύματι ἄγεσθε, οὔκ ἐστε ὑπὸ Νόμον.

Οὐ χρήζετε τοῦ Νόμου πρὸς βοήθειαν· ὁ γὰρ Πνεῦμα ἅγιον ἔχων σβέννυσι διὰ τούτου πᾶσαν ἐπιθυμίαν πονηρὰν καὶ ῥιζόθεν ἀνασπᾷ τὰ πάθη· ὅπερ ὁ Νόμος οὐκ ἰσχύων ποιεῖν, τὰ τέλη αὐτῶν (α) ἐκόλαζε· τίς γὰρ ἀγόμενος ὑπὸ τοῦ διδασκάλου τὸ ἄγεσθαι μᾶλλον ὑπὸ τοῦ παιδαγωγοῦ προτιμήσει;

19. Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός· ἅτινά ἐστι πορνεία,
20. μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, φαρμακεία, εἰδωλολατρεία,
21. ἔχθραι, ἔρις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι καὶ τὰ ὅμοια τούτοις,

Πάλιν ἐνταῦθα «σάρκα» οὐ τὸ σῶμά φησιν, ἀλλὰ τὸν προδηλωθέντα σαρκικὸν λογισμόν. Καὶ τοῦτο δῆλον ἀπό τε τῶν προειρημένων ἀνωτέρω καὶ ἀπὸ τῆς «ἔχθρας», καὶ τῆς «ἔριδος», καὶ τοῦ «ζήλου», καὶ τῆς «αἱρέσεως», καὶ τοῦ «φθόνου». Καὶ γὰρ εἰ τὰ ἄλλα δοίημεν εἶναι τοῦ σώματος, καίτοι ἀπὸ τῆς ψυχῆς ἔχοντα τὴν ἀρχὴν καὶ κίνησιν, ἀλλά γε ταῦτα μονομερῶς εἰσι τῆς ψυχῆς. Ἡ μὲν οὖν «πορνεία» καὶ «μοιχεία» γνώριμοι. «Ἀκαθαρσία» δὲ ἡ ἀνδρομανία καὶ εἴ τις ἄλλη τοιαύτη ἀρρητουργία. «Ἀσέλγεια» δὲ ἡ ἑκάστης τῶν παραχρήσεων τούτων κατάχρησις καὶ ἐπιμονή. Καὶ αὖθις· ἡ μὲν «φαρμακεία» καὶ «εἰδωλολατρεία» καὶ «αἱ ἔχθραι» καὶ «αἱ ἔριδες» καὶ «οἱ θυμοὶ» καὶ «αἱ διχοστασίαι» καὶ «αἱ αἱρέσεις» καὶ «οἱ φθόνοι» καὶ «οἱ φόνοι» καὶ «αἱ μέθαι» πρόδηλα. «Ζῆλον» δὲ ἐνταῦθα λέγει τὴν τοῦ κακοῦ μίμησιν· «μὴ ζήλου γάρ, φησί, τοὺς ποιοῦντας τὴν ἀνομίαν» (β). «Ἐριθεία» δέ ἐστιν ἡ ἀμυντικὴ ἔρις, ὡς καὶ ἀνωτέρω προείρηται. «Κῶμος» δὲ τὸ μετὰ αὐλῶν καὶ ᾀσμάτων συμπόσιον.

(α) Τὸ χειρόγρ. «τὰ τέλη των». — (β) Ψαλμ. λϛ', 1.

21. Ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον,

Δι' ἃ προλέγω ὑμῖν καὶ διαμαρτύρομαι, καθὼς καὶ πρότερον. Τί δὲ προλέγεις; εἰπέ.

21. Ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Εἰ μὴ μετανοήσουσι καὶ διορθωθεῖεν, ἀλλὰ πράσσοντες τελευτήσουσιν. Εἰ δὲ ταῦτα τῆς σαρκὸς ἦσαν, ἤτοι τῆς φύσεως, ἀλλ' οὐ τῆς μοχθηρᾶς προαιρέσεως, οὐκ ἂν τοιαύτη κόλασις αὐτοῖς ἀπέκειτο. Οἱ δὲ τῆς βασιλείας ἐκπίπτοντες καὶ τῆς ἐκεῖθεν ἀπολαύσεως, εἰς τὴν κόλασιν ἐμπεσοῦνται, τὴν ἐναντίαν τῇ ἀπολαύσει.

22. Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια.

«Πνεῦμα» πάλιν ἐνταῦθα οὐ τὴν ψυχήν φησιν, ἀλλὰ τὸν πνευματικὸν λογισμόν, τὴν πνευματικὴν προαίρεσιν. Ὅταν γὰρ ἡ τῆς ψυχῆς γνώμη ἀγαθὴ εἴη, βοηθεῖται τῷ πνεύματι, καὶ οὕτω πνευματικὴ γινομένη καρποφορεῖ. Ἡ μὲν οὖν «ἀγαθωσύνη» σαφηνισμός ἐστι τῆς χρηστότητος. Ἡ δὲ «πραότης» ἐπίτασις τῆς μακροθυμίας. Πρώτην δὲ τὴν «ἀγάπην» τέθεικεν ὡς περιεκτικωτέραν τῶν ἄλλων ἀγαθῶν, καὶ ῥίζαν καὶ αἰτίαν. Εἰσὶ δὲ καὶ ἄλλαι ἀρεταὶ καρπὸς τοῦ τοιούτου πνεύματος. Διὰ τούτων δὲ κἀκεῖναι γνωρίζονται.

23. Κατὰ τῶν τοιούτων οὐκ ἔστι Νόμος.

Κατὰ τοιούτων ἀρετῶν, ἢ κατὰ τῶν τοιούτων ἀνδρῶν, τῶν πνευματικῶν δηλονότι, οὐκ ἰσχύει ὁ παλαιὸς Νόμος. Τίς γὰρ ἂν ἐπιτάξειε τῷ οἴκοθεν κατορθοῦντι; Ὥσπερ γὰρ οἱ εὐήνιοι τῶν ἵππων καὶ ἀφ' ἑαυτῶν, ὡς δέον, ἀγόμενοι οὐκ ἂν δεηθεῖεν μάστιγος, οὕτως οὐδὲ ψυχὴ κατορθοῦσα τὴν ἀρετὴν βοηθείᾳ τοῦ πνεύματος ἕξει χρείαν τοῦ τοιούτου Νόμου.

24. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

Οἱ δὲ τοῦ μέρους τοῦ Χριστοῦ τὰς πονηρὰς πράξεις ἐνέκρωσαν διὰ

τοῦ ἁγίου Πνεύματος, οὐ μετέχουσι· ταύτας γὰρ ὠνόμασε πάλιν ἐνταῦθα «σάρκα». Οὐ γὰρ δὴ τὴν σάρκα ἀνεῖλον, ἐπεὶ πῶς ἔζων; Καὶ οὐ τὰς τοιαύτας πράξεις μόνον, ἀλλὰ καὶ τὰς πρὸ αὐτῶν πονηρὰς διαθέσεις, καὶ αὖθις τὰς πρὸ τούτων βλαβερὰς ἐπιθυμίας· ἐπιθυμεῖ γάρ τις, εἶτα διατίθεται χαύνως, ἡττώμενος τῆς ἐπιθυμίας καὶ ὑπενδιδοὺς τῆς προτέρας ἀνδρείας, ὅπερ ἐστὶ πάθος, εἶτα πράττει τὰ τῆς ἐπιθυμίας.

25. Εἰ ζῶμεν πνεύματι, Πνεύματι καὶ στοιχῶμεν.

Εἰ πνευματικὴν ζωὴν αἱρούμεθα, τῇ τοῦ Πνεύματος δυνάμει στοιχῶμεν, καὶ ταύτῃ ἀρκεσθῶμεν, μὴ δεόμενοι τοῦ Νόμου, μηδὲ προςθήκην ἐξ ἐκείνου ζητοῦντες.

26. Μὴ γινώμεθα κενόδοξοι ἀλλήλους προκαλούμενοι, ἀλλήλους φθονοῦντες.

Ὥςπερ γὰρ τὸ προκαλεῖσθαι ἀλλήλους εἰς φιλονικίας, καὶ ἔρις ἀπὸ κενοδοξίας τίκτεται, μὴ ἀνεχομένων ἡττᾶσθαι (α), οὕτω καὶ ὁ φθόνος· ἀπὸ δὲ τοῦ φθόνου τὰ μυρία κακά.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ

1. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον

Ἐὰν συναρπαγῇ. «Ὑμεῖς» ὅσοι πνευματικοὶ διορθοῦσθε τὸν τοιοῦτον.

1. Ἐν πνεύματι πραότητος·

(α) Ἀσαφὲς τὸ χωρίον. Εὐοδοῦται δ', οἶμαι, αὐτοῦ ἡ ἔννοια, ἐὰν γραφῇ ὧδε· «ὥςπερ »γὰρ «τῷ» προκαλεῖσθαι ἀλλήλους εἰς φιλονικίας, «ἡ» ἔρις ἀπὸ φιλοδοξίας τίκτεται »κἑξ.»· ἤτοι «ὥςπερ ἀπὸ φιλοδοξίας τίκτεται ἡ ἔρις (τῷ προκαλεῖσθαι ἀλλήλους εἰς φι»λονικίας), οὕτω καὶ ὁ φθόνος κτλ.».

Διορθοῦσθε δὲ αὐτὸν «ἐν πνεύματι πραότητος»· τὸ γὰρ μετ' ἐπιεικείας διορθοῦν τὸν ἁμαρτάνοντα χαρίσματός ἐστι πνευματικοῦ.

1. Σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς.

Πρὸς ἕκαστον ἀποτείνεται νῦν. «Σκοπῶν» δὲ ἀντὶ τοῦ ἐνθυμούμενος σεαυτόν, μήποτε καὶ σὺ πειρασθῇς ἔν τινι παραπτώματι καὶ χρείαν ἕξεις τοῦ καταρτίζοντος. Κατάρτισον οὖν τὸν πειρασθέντα, ἵνα εἰ καὶ σύ ποτε πειρασθῇς, καταρτισθῇς αὖθις ὑφ' ἑτέρων, καὶ ἀντιλάβῃς ὃ εἰςήνεγκας. Τοῦτο δὲ καὶ τοὺς προληφθέντας παραμυθεῖται, καὶ τοὺς διορθοῦντας οὐκ ἐᾷ διὰ τοῦτο φυσηθῆναι, δεδιότας μὴ καὶ αὐτοὶ παραπέσοιεν.

2. Ἀλλήλων τὰ βάρη βαστάζετε,

Ἀλλήλων τὰ ἐλαττώματα ἀνέχεσθε· φορτικὸν γὰρ τὸ ἐλάττωμα, βαροῦν τε τὸν ἔχοντα καὶ ἐπαχθὲς τοῖς ἄλλοις φαινόμενον.

2. Καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Καὶ οὕτω διὰ τοῦ φέρειν τὰ ἀλλήλων ἐλαττώματα ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ· τουτέστι κοινῇ καὶ δι' ἀλλήλων πληρώσατε τὸν νόμον τοῦ Χριστοῦ, τὸν περὶ ἀγάπης· «ταῦτα γάρ, φησίν, ἐν» τέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους» (α)· ἀγάπης γὰρ μέρος ἡ ἀνεξικακία. Ἢ καὶ ἄλλως· δι' ἀλλήλων ἀναπληρώσατε τὸ ἐλλεῖπον, εἰς πλήρωσιν τοῦ νόμου τοῦ Χριστοῦ. Ἀνεξικακῶν γὰρ τῷ ὀργίλῳ τυχὸν ἀνδρί, θεραπεύσεις αὐτὸν ἐντεῦθεν, καὶ ὃ ἐνέλιπεν αὐτῷ εἰς τὸ πολιτεύεσθαι κατὰ τὸν νόμον τοῦ Χριστοῦ, λέγω δὴ τὴν πραότητα, ἀνεπλήρωσας, θεραπεύσας αὐτόν, ὡς εἴρηται, καὶ εἰς πραότητα ἐπαναγαγών.

3. Εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ·

Εἰ δοκεῖ τις εἶναί τι μέγα, μηδὲν τοιοῦτον ὤν, τὰς φρένας ἀπατᾷ ἑαυτοῦ· τουτέστιν ἑαυτὸν πλανᾷ.

4. Τὸ δὲ ἔργον αὐτοῦ (*) δοκιμαζέτω ἕκαστος,

Εἰ καλὸν ὤν, καλῶς εἰργάσθη, καὶ εὐαρέστως Θεῷ· «οὐ καλὸν» γάρ, φησί, τὸ καλόν, ὅταν μὴ καλῶς γίνηται».

(α) Ἰωάνν. ιε', 17. — (*) Τὸ χειρόγρ. «αὐτοῦ». Ἐν ἄλλ. «ἑαυτοῦ».

4. Καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον.

Καὶ ὅταν ἴδῃ αὐτὸ τοιοῦτον, οἷον εἰρήκαμεν, εἰ βούλοιτο καυχᾶσθαι, καθ' ἑαυτοῦ μόνου καυχάσθω, ὡς νικήσας ἑαυτόν, καὶ μὴ καθ' ἑτέρου, ὡς ὁ Φαρισαῖος, κατά τε τῶν ἄλλων ἀνθρώπων καὶ τοῦ Τελώνου. Τοῦτο δὲ οὐ νομοθετῶν εἴρηκεν, ἀλλὰ συγκαταβαίνων καὶ ὡςανεὶ λέγων, ὅτι οὐ δεῖ καυχᾶσθαι. Εἰ δὲ καὶ δι' ἀσθένειαν βουληθείης τοῦτο, σεαυτοῦ μόνου κατεπαίρου καὶ μὴ ἑτέρου· δεύτερον γὰρ τοῦτο κακὸν ἐν ἀποτυχίᾳ τοῦ πρώτου.

5. Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

Ὅςτις ἂν ᾖ. «Ἕκαστος γὰρ» τῶν ἐξουδενουμένων καὶ τῶν καυχωμένων τῷ ἰδίῳ φορτίῳ πιεσθήσεται. Καὶ ὥςπερ ἐκείνους βαροῦσιν αἱ ἁμαρτίαι, δι' ἃς ἐξουδενοῦνται, οὕτω καὶ τοὺς ἐξουδενοῦντας αἵ τε ἄλλαι τούτων ἁμαρτίαι καὶ αὐτὸ τὸ ἐξουδενεῖν ἑτέρους.

6. Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι, ἐν πᾶσιν ἀγαθοῖς.

Ἐνταῦθα περὶ τῶν μαθητῶν καὶ τῶν διδασκάλων λέγει, προτρέπων τοὺς μαθητὰς προςάγειν θεραπείαν τοῖς διδασκάλοις ἐν ταῖς χρείαις τοῦ σώματος, καί φησιν· ὁ τὸν λόγον τοῦ κηρύγματος διδασκόμενος κοινωνείτω τῷ διδάσκοντι ἐν πᾶσιν ἀγαθοῖς, τοῖς σωματικοῖς δηλονότι (ἀγαθὰ γὰρ λέγονται καὶ τὰ πρὸς χρείαν τοῦ σώματος)· καὶ μηδὲν ἔστω ἴδιον τοῦ μαθητοῦ, ἀλλὰ πάντα κοινὰ πρὸς τὸν διδάσκαλον. Ἐπεὶ καὶ τὰ ἐκείνου κοινὰ γίνονται πρὸς τοὺς μαθητάς, λέγω δὴ τὰ τοῦ λόγου. Τοῦτο δὲ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγεν· «εἰ »ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρ»κικὰ θερίσωμεν» (α); Ὁ γὰρ οὕτω προςεδρεύων τῷ διδάσκειν, ὡς ἀμελεῖν μὲν τῆς τῶν χρειωδῶν φροντίδος, πένεσθαι δὲ διὰ τοῦτο καὶ προςαιτεῖν, ἄξιός ἐστι κομίζεσθαι τὰ πρὸς χρείαν ἀπὸ τῶν διδασκομένων.

7. Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται·

(α) Α' Κορινθ. θ', 11.

Οὐκ ἐξαπατᾶται ἐν τῷ καιρῷ τῆς κρίσεως καὶ τῆς ἀνταποδόσεως, ἀλλὰ τὰ πάντα εἰδὼς ἑκάστῳ ἀποδώσει ἄξια τῶν ἔργων αὐτοῦ.

7. Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.

Εἰ μὲν καλὸν σπείρει, καλὸν καὶ θερίσει. Εἰ δὲ πονηρὸν σπείρει, πονηρὸν καὶ θερίσει· τουτέστι τοῖς ἔργοις ἀναλόγως εὑρήσει καὶ τὰς ἀντιδόσεις.

8. Ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν·

Ὥςπερ ἀναγκαῖον τοῦ αὐτοῦ γένους εἶναι καὶ τὸν σπόρον καὶ τὸν καρπόν, οὕτω καὶ ἐπὶ τῶν ἔργων ἀναγκαῖον τῆς αὐτῆς αὐτοῖς ποιότητος (α) εἶναι καὶ τὰς ἀμοιβάς· ὁ γὰρ καταβάλλων εἰς τὴν σάρκα αὐτοῦ τρυφὴν καὶ μέθην καὶ ἐπιθυμίαν πονηρὰν καὶ τὰ τοιαῦτα, ἐπεὶ δὲ ταῦτα φθοροποιά, φθορὰν καὶ θερίσει· τουτέστι κόλασιν καὶ τιμωρίαν. [Ἀκουέτωσαν οἱ τρυφῶντες] (β).

8. Ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.

Ὁ δὲ ἐργαζόμενος τὰ πνευματικὰ καὶ θεοφιλῆ (τοῦτο γάρ ἐστι τὸ « ὁ σπείρων εἰς τὸ πνεῦμα »), θερίσει ἐκ τῶν πνευματικῶν ἔργων, ἤτοι κερδανεῖ ζωὴν αἰώνιον.

9. Τὸ καλὸν δὲ ποιοῦντες μὴ ἐκκακῶμεν·

Μὴ ἀποκάμνωμεν.

9. Καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι.

« Καιρῷ γὰρ » πρέποντι· τουτέστι τῷ τῆς ἀνταποδόσεως θερίσομεν τῶν καμάτων τοὺς καρπούς, μὴ ἐκλυόμενοι, ἤγουν μηδένα μόχθον ἐν τῷ θερίζειν ὑφιστάμενοι, ὡς οἱ ἐνταῦθα θερίζοντες, αὐχμῷ καὶ κονιορτῷ καὶ πόνῳ ταλαιπωρούμενοι.

10. Ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

(α) Τὸ χειρόγρ. « πιότητος ». — (β) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῇ ᾤᾳ τοῦ χειρογράφου.

Ἵνα μὴ νομίσῃ τις ὅτι τοὺς μὲν διδασκάλους θεραπεύειν χρὴ ἐν ταῖς χρείαις, τῶν ἄλλων δὲ ἀμελεῖν, εἰς κοινὸν ἐξάγει τὸν λόγον καὶ πᾶσι τὴν θύραν τῆς τοιαύτης ἀνοίγει φιλοτιμίας, πιστοῖς τε ὁμοῦ καὶ ἀπίστοις. Πλείονα δὲ περὶ τοὺς πιστοὺς ἐνδείκνυσθαι κελεύει τὴν ἐπιμέλειαν. «Ἕως δὲ καιρὸν ἔχομεν», ἀντὶ τοῦ ἕως ἐνταῦθα ζῶμεν· ταύτης γὰρ τῆς ζωῆς ἐστιν ὁ πρὸς τοὺς δεομένους οἶκτος καὶ ἡ μετάδοσις. Ὥςπερ γὰρ οὐκ ἀεὶ τοῦ σπείρειν ἐσμὲν κύριοι, οὕτως οὐδὲ τοῦ ἐλεεῖν· μετὰ γὰρ τὸν θάνατον οὐκ ἔστι καιρὸς ἐλέους, κἂν μυριάκις ἡ ψυχὴ τοῦτο βουληθείη.

ΙΒ' Ἀποτροπὴ ἀπὸ τῶν ἑλκόντων ἐπὶ τὴν περιτομήν, καὶ προτροπὴ πρὸς νέαν ζωὴν τὴν ὑπὸ τὸ Πνεῦμα.

11. Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί.

Πηλίκοις γράμμασιν ἔγραψα πρὸς ὑμᾶς τῇ ἐμῇ χειρί. Ἐμφαίνει δὲ διὰ τούτου ὅτι πᾶσαν αὐτὸς ἔγραψε τὴν παροῦσαν ἐπιστολὴν εἰς σημεῖον γνησιότητος. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἐπιστολῶν ὑπηγόρευε μὲν αὐτός, ἔγραφε δὲ ἕτερος, ὡς ἀπὸ τῆς πρὸς Ῥωμαίους δῆλον· «ἀσπάζομαι γάρ, φησίν, ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν» (α). Ἐνταῦθα δὲ αὐτὸς ἔγραψεν ὅλην. Ἐποίησε δὲ τοῦτο οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ μαρτυρίαν ἰδιόγραφον παρέχων, ὡς οὔτε ἐκήρυξε περιτομὴν οὔτε κηρύξει, οὔτε μὴν ὑπόκρίνεταί τι τῶν ἐφ' οἷς ἐσυκοφαντήθη. Τὸ δὲ «πηλίκοις» ὁ Χρυσόστομος ἑρμηνεύων, φησὶν «ὅτι οὐ διὰ τὸ μέγεθος τῆς ἐπιστολῆς εἴρηται, ὡς ἐμοὶ δοκεῖ, ἀλλὰ τὴν ἀμορφίαν τῶν γραμμάτων ἐμφαίνει, ὅτι οὐδὲ ἄριστα γράφειν εἰδώς, ὅμως τοσαῦτα γράψαι δι' ἑαυτοῦ ἠναγκάσθη» (β).

12. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι,

Τί ἐστι τὸ «εὐπροσωπῆσαι ἐν σαρκί»; Εὐδοκιμῆσαι παρ' Ἰουδαίοις· τούτους γὰρ νῦν καλεῖ «σάρκα» ὡς τῇ σαρκικῇ περιτομῇ χαίροντας, καὶ τοῖς σωματικοῖς τοῦ Νόμου προσέχοντας. Ὅσοι, φησί, θέλουσιν εὐαρεστῆσαι τοῖς ἐν περιτομῇ, λέγει δὲ τοὺς πολλάκις δηλωθέντας ἀπατεῶνας.

(α) Ῥωμ. ιϛ'. 22. — (β) Χρυσόστ. ἐν λ. (Τόμ. Ι', σελ. 677).

12. Μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται.

Ἵνα μὴ διὰ τὸν σταυρὸν τοῦ Χριστοῦ διώκωνται παρὰ τῶν ὁμοφύλων μέν, ἀπίστων δέ, ὡς τῷ σταυρωθέντι πιστεύσαντες· ἤλαυνον γὰρ αὐτούς, ὡς πιστεύσαντας.

13. Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ Νόμον φυλάσσουσιν·

Οὐδὲ γὰρ αὐτοὶ οὗτοι, οἱ μετὰ τὴν πίστιν περιτεμνόμενοι, Νόμον τὸν παλαιὸν φυλάσσουσιν, οἷα ὀλίγα τούτου τηροῦντες, τὴν περιτομὴν δηλαδὴ καὶ τὰ σάββατα καὶ τὰς νουμηνίας καὶ βρωμάτων παρατηρήσεις, τὰ δὲ ἄλλα, πολλὰ ὄντα, παρωσάμενοι διὰ τὴν πίστιν. «Περιτεμνομένους» δὲ εἶπε τοὺς ἀπατεῶνας, καίτοι πρὸ τῆς πίστεως περιτεμνομένους ὄντας· διότι ὅσον ἐπὶ τῷ ἀναπείθειν ἑτέρους μετὰ τὴν πίστιν περιτέμνεσθαι καὶ αὐτοὶ τοῦτο πάσχειν ἐδόκουν, τῇ προαιρέσει περιτεμνόμενοι. Εἰ γὰρ μὴ περιτετμημένοι ἦσαν, περιετμήθησαν ἄν.

13. Ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.

Ὡς τὴν σάρκα ὑμῶν περιτεμόντες καὶ διδάσκαλοι περιτομῆς γεγονότες. Ὥςτε διὰ δύο ταῦτα ποιοῦσι τοῦτο, ἵνα τε τοῖς ἀπίστοις Ἰουδαίοις εὐαρεστῶσι, τὸν τοῦ Νόμου ζυγὸν ὑμῖν ἐπιτιθέντες, καὶ ἵνα καυχῶνται, ὡς ἔχοντες μαθητὰς ὑμᾶς, τοὺς τοσούτων χαρισμάτων ἀξιωθέντας, καὶ σημεῖα καὶ δυνάμεις ποιήσαντας.

14. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰμὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

«Μὴ γένοιτο καυχᾶσθαι» ἐν ἄλλῳ τινί, εἰμὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, ὅτι τοσοῦτον ἠγαπήθην παρὰ τοῦ Θεοῦ, ὡς δοῦναι τὸν Υἱὸν αὐτοῦ ὑπὲρ ἐμοῦ εἰς τὸ σταυρωθῆναι. Εἰ γὰρ ὁ Δεσπότης οὐκ ἐπησχύνθη σταυρωθῆναι ὑπὲρ τῶν δούλων, πῶς οἱ δοῦλοι αἰσχυνθήσονται ἐπὶ τῷ ὑπὲρ αὐτῶν σταυρωθέντι Δεσπότῃ; μᾶλλον μὲν οὖν καὶ καυχήσονται ἐπὶ τούτῳ καὶ σεμνυνθήσονται, ὅτι τοιοῦτον ἔχουσι Δεσπότην.

14. Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.

«Κόσμον» ἐνταῦθα λέγει τὰ κοσμικὰ πράγματα καὶ βιωτικά, τὸν

πλοῦτον, τὴν δυναστείαν, τὴν δόξαν καὶ τὰ τοιαῦτα, ὅσα δοκοῦσιν εἶναι πολλοῖς λαμπρά τε καὶ περισπούδαστα. Φησὶν οὖν ὅτι ταῦτα νεκρὰ γέγονεν ἐμοί· τουτέστιν ὅσον εἰς ἐμέ, τῷ μὴ δύνασθαι ἑλεῖν καὶ χειρώσασθαί με. Καὶ ἐγὼ νεκρὸς γέγονα αὐτοῖς· ἤγουν ὅσον εἰς αὐτά, μηδεμίαν ἐπιθυμίαν ἔχων αὐτῶν· τὸ γὰρ νεκρὸν οὔτε χεῖρας κινεῖ, οὔτε ἐπιθυμεῖ. Αὕτη ἡ διπλῆ νέκρωσις ὑπόθεσίς ἐστι τῆς μακαρίας ζωῆς.

15. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία,

Ἐν γὰρ τῇ κατὰ Χριστὸν διδασκαλίᾳ οὔτε ἡ περιτομή τι συμβάλλεται πρὸς σωτηρίαν, οὔτε ἡ ἀκροβυστία. Ἀνόνητα δὲ καθ' ἑαυτά εἰσιν ἀμφότερα. Τοῦτο δὲ καὶ ἀνωτέρω εἴρηκεν (α).

15. Ἀλλὰ καινὴ κτίσις.

Ἀλλ' ἡ καινὴ πολιτεία τὸ πᾶν ἐστιν, ὡς τοῦ παλαιοῦ ἀνθρώπου τῇ κολυμβήθρᾳ τοῦ βαπτίσματος ἐνταφέντος καὶ τὸν παλαιὸν Νόμον ἑαυτῷ συνθάψαντος, καὶ καινοῦ ἀναγεννηθέντος, καὶ δεομένου πολιτείας καινῆς ἐπὶ καινοῖς πράγμασιν.

16. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχοῦσιν (*), εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος,

Καὶ ὅσοι τῇ διδασκαλίᾳ ταύτῃ προσανέχουσι, κανόνος δίκην, ἀπευθυνούσῃ καὶ καταρτιζούσῃ αὐτούς, ἐπ' αὐτοὺς [εἰρήνη] (β) καὶ ἔλεος εἴη.

16. Καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

Τοὺς αὐτοὺς λέγει πάλιν «Ἰσραὴλ τοῦ Θεοῦ» ὡς νέον Ἰσραήλ, καὶ καινὸν λαὸν τοῦ Θεοῦ, ἀντεισαχθέντα τοῦ παλαιοῦ, ὃς οὐκέτι ἐστὶ τοῦ Θεοῦ, παροργίζων αὐτὸν ἐν τῷ ἀνελεῖν καὶ ὑβρίζειν τὸν Υἱὸν αὐτοῦ· «ὁ μὴ τιμῶν γάρ, φησίν, τὸν Υἱόν, ἀτιμάζει τὸν Πατέρα» (γ).

17. Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω·

Ἔτι ἀπιστῶν μοι καὶ ἀπειθῶν, ἢ περί τινος τῶν ἤδη γραφέντων ἐνοχλῶν· ἀκινήτων λοιπὸν μενόντων καὶ ἀναλλοιώτων.

(α) Γαλάτ. ε', 6. — (*) Ἡ τοῦ χειρογράφου γραφὴ «στοιχοῦσιν» ἀντὶ «στοιχήσουσιν», ὡς τὰ γνωστά μοι τῶν ἀντιγράφων διδόασιν, ἰδιάζει, ὅσον ἐμέ γε εἰδέναι, τῷ Συγγραφεῖ. — (β) Ἡ ἐν ἀγκύλαις λέξις οὐ κεῖται. — (γ) Ἰωάνν. η', 49.

17. Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.


Τὰ τραύματα, τὰ διὰ τὸν Κύριόν μου ἐπιτεθέντα μοι, ἃ μαρτυροῦσί μοι πολιτείαν ἀνυπόκριτον. Εἰ γὰρ περιτομὴν ἐκήρυσσον, ὡς οἱ συκοφαντοῦντές φασιν, οὐκ ἂν οὕτως ὑπὸ Ἰουδαίων ᾐκιζόμην. Τίς γὰρ βλέπων στρατιώτην, ἐκ παρατάξεως καὶ πολέμου μυρία τραύματα ἔχοντα, δειλίαν αὐτῷ καὶ προδοσίαν ἐγκαλέσει, φέροντι προδήλως ἐπὶ τοῦ σώματος τὴν ἀπόδοσιν τῆς ἀνδραγαθίας (α);

18. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ Πνεύματος ὑμῶν, ἀδελφοί.

Τῷ ἐσχάτῳ ῥήματι τούτῳ πάντα τὰ ἔμπροσθεν ἐπεσφράγισεν. Καὶ ἐν ἀρχῇ χάριν αὐτοῖς ἐπηύξατο, καὶ ἐν τῷ τέλει πάλιν. Οὐκ εἶπε δὲ ὅτι μεθ' ὑμῶν ἡ χάρις εἴη, ἀλλ' ὅτι «μετὰ τοῦ Πνεύματος ὑμῶν», ἵνα καὶ ἀμφότερα παραμείνῃ, δηλῶν ὅτι, παραμένοντος μὲν τοῦ ἁγίου Πνεύματος, οὗ ἔλαβον διὰ τοῦ βαπτίσματος, συμπαραμενεῖ καὶ ἡ τοῦ Κυρίου χάρις· ἤγουν ἀντίληψις, ἀποφοιτῶντος (β) δὲ διὰ τοῦ παραχαράττεσθαι τὴν πίστιν καὶ λαμβάνειν προςθήκην ἐκ τοῦ Νόμου, συναποφοιτήσει καὶ αὕτη καὶ ἀμφοτέρων ἔρημοι καταστήσονται. «Ἀδελφοὺς» δὲ τελευταῖον προςειπών, ἐθεράπευσε καὶ παρεμυθήσατο.

18. Ἀμήν.

Ἀληθῶς εἴη· ἢ ἀληθῶς, ἀδελφοί.



Τέλος τῆς πρὸς Γαλάτας. Ἐγράφη ἀπὸ Ῥώμης. Στίχοι σιγ'.

(α) Χαριέστατα τὰ τοῦ ἱεροῦ Χρυσοστόμου ἐν λ. (Τόμ. Ι', σελ. 678)· «Οὐκ εἶπεν » «ἔχω», ἀλλὰ «βαστάζω», ὥςπερ τις ἐπὶ τροπαίοις μέγα φρονῶν, ἢ σημείοις βασιλι- » κοῖς. — Καὶ καθάπερ οἱ σημειοφόροι τῶν στρατιωτῶν, οὕτω καὶ οὗτος ἀγαλλιάζεται » τραύματα περιφέρων».—(β) Τὸ χειρόγρ. *ἀποφοιτῶν*, ὃ ἄμεινον ἡμῖν ἔδοξεν εἰς γενι- » κὴν τραπῆναι, *ἀποφοιτῶντος* κατὰ τὴν ἀναλογίαν τοῦ ἀνωτέρω *παραμένοντος*· ἤτοι » «Παραμένοντος μὲν τοῦ ἁγίου Πνεύματος. . ., συμπαραμένει ἡ χάρις. Ἀποφοιτῶντος » δέ. . ., συναποφοιτήσει καὶ αὕτη».

EUTHYMII ZIGABENI

COMMENTARIUS

IN

XIV EPISTOLAS SANCTI PAULI
ET VII CATHOLICAS

NUNC PRIMUM AD FIDEM CODICIS ANTIQUI

CUM PROLOGO ET ANIMADVERSIONIBUS

EDIDIT

NICEPHORUS CALOGERAS

olim Archiepiscopus Patrensis, Magister Serenissimi Principis Hellenici CONSTANTINI et Universitatis Athenarum Professor honorarius Theologiae

---

TOMUS PRIOR

Complectens praefationes et interpretationem Epistolae ad Romanos, I et II ad Corinthios et ad Galatas



ATHENIS

TYPIS FRATRUM PERRI

1887





